# ϹΙΜΠΛΙΚΙΟΥ ΜΕΓΑΛΟΥ ΔΙΔΑϹΚΑΛΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙϹ ΤΑϹ ΔΕΚΑ ΚΑΤΗΓΟΡΙΑϹ ΤΟΥ ΑΡΙϹΤΟΤΕΛΟΥϹ·-

Universitäts- und
Landesbibliothek Düsseldorf

LANDES-
UND STADT-
BIBLIOTHEK
DÜSSELDORF

Universitäts- und
Landesbibliothek Düsseldorf

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ, ΑΠΟ ΦΩΝΗΣ ΣΙΜΠΛΙΚΙΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΜΕΓΑΛΟΥ.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

Πολλοὶ πολλὰς κατεβάλοντο φροντίδας, εἰς τὸ τῶν κατη-
γοριῶν τοῦ ἀριστοτέλους βιβλίον. οὐ μόνον ὅτι προοίμιόν ἐστι
τῆς ὅλης φιλοσοφίας, εἴπερ αὐτὸ μὲν τῆς λογικῆς ἐστιν ἀρ-
χὴ πραγματείας. ἡ δὲ λογικὴ τῆς ὅλης παραλαμβάνεται δι-
καίως φιλοσοφίας, ἀλλὰ καὶ ὅτι τρόπον τινὰ περὶ ἀρχῶν ἐστι
τῶν πρώτων, ὡς ἐν τοῖς περὶ τοῦ σκοποῦ μαθησόμεθα λόγοις.
ἄλλοι δὲ κατ᾽ ἄλλην ὁρμὴν τὰς περὶ τοῦτο τὸ βιβλίον πραγμα-
τείας πεποίηνται. οἱ μὲν, αὐτὴν μόνην τὴν λέξιν αὐτοῦ τὸ σα-
φέστερον μεταφράσαι προθυμηθέντες. ὥσπερ θεμίστιός τε ὁ εὐφραδὴς, καὶ εἴ τις
ἄλλος τοιοῦτος. οἱ δὲ, καὶ τὰς ἐννοίας μὲν, αὐτὰς δὲ μόνας ψιλὰς τὰς ὑπὸ τοῦ ἀριστοτέ-
λους προτεθειμένας, συντόμως ἀποκαλύπτειν ἐσπούδασαν. ὥσπερ ἐν τῷ κατὰ πεῦσιν
καὶ ἀπόκρισιν βιβλίῳ πεποίηκεν ὁ πορφύριος. ἄλλοι δὲ πρὸς τούτοις, καὶ ζητημά-
των ἐφήψαντο μετρίως, ὡς ὁ ἀφροδισιεὺς ἀλέξανδρος, καὶ ἑρμῖνος, καὶ ὅσοι τοιοῦτοι-
ῶν καὶ μάξιμον ἐγὼ τίθημι, τὸν αἰδεσίου μὲν τοῦ ἰαμβλίχου μαθητήν. ἐν δὲ τῷ εἰς
τὰς κατηγορίας ὑπομνήματι, πάντα σχεδὸν τῷ ἀλεξάνδρῳ συνάσαντα. τινὲς
μέχρι καὶ βαθυτέρας περὶ αὐτὸ διανοίας ἐχώρησαν, ὥσπερ ὁ θαυμάσιος βοηθός.
ἄλλοις δὲ ἤρεσεν ἀπορίας μόνας γράψαι πρὸς τὰ λεγόμενα. ὅπερ λούκιός τε πε-
ποίηκε, καὶ μετ᾽ αὐτὸν νικόστρατος, τὰ τοῦ λουκίου ὑποβαλλόμενος. σχεδόν τι πρὸς
πάντα τὰ εἰρημένα κατὰ τὸ βιβλίον, ἐνστάσεις κομίζειν φιλοτιμούμενοι. καὶ οὐδὲ
εὐλαβῶς, ἀλλὰ καταφορικῶς μᾶλλον, καὶ ἀπηρυθριακότως. πλὴν καὶ τούτοις χάρις.
καὶ ὅτι πραγματειώδεις τὰς πολλὰς τῶν ἀποριῶν προεβάλοντο, καὶ ὅτι λύσεώς
τε τῶν ἀποριῶν ἀφορμὰς, καὶ ἄλλων πολλῶν τε καὶ καλῶν θεωρημάτων τοῖς μετ᾽
αὐτοὺς ἐκδεδώκασι. πλωτῖνος δὲ ὁ μέγας αὐτοῖς τούτοις, τὰς πραγματειωδεστέρας
ἐξετάσεις, ἐν τρισὶν ὅλοις βιβλίοις τοῖς περὶ τῶν γενῶν τοῦ ὄντος ἐπιγεγραμμένοις,
τῷ τῶν κατηγοριῶν βιβλίῳ προσήγαγε. μετὰ δὲ τούτους, ὁ πάντων ἡμῖν τῶν καλῶν
αἴτιος πορφύριος, ἐξήγησίν τε ἐντελῆ τοῦ βιβλίου, καὶ τῶν ἐνστάσεων πασῶν λύ-
σεις οὐκ ἀπόνως ἐν ἑπτὰ βιβλίοις ἐποιήσατο, τοῖς γεδαλίῳ προσφωνηθεῖσι. πολλὰ
καὶ τῶν στωϊκῶν ἐκεῖ δογμάτων κατὰ τὴν κοινωνίαν τοῦ λόγου προσιστορῶν. μετὰ



LANDES-
UND STADT-
BIBLIOTHEK
DÜSSELDORF

Universitäts- und
Landesbibliothek Düsseldorf

τούτων δὲ, ὁ θεῖος ἰάμβλιχος πολύστιχον καὶ αὐτὸς εἰς τοῦτο τὸ βιβλίον κατεβάλετο πραγματείαν. τὰ μὲν πολλὰ τοῖς πορφυρίου, καὶ ἐπ' αὐτῆς τῆς λέξεως κατακολουθῶν. τινὰ δὲ ἐπικρίνων ἐκείνων καὶ διαρθρῶν ἀκριβέστερον μετὰ τοῦ συστέλλειν τὴν ὡς ἐν σχολαῖς πρὸς τὰς ἐνστάσεις μακρολογίαν. πανταχοῦ δὲ τὴν νοερὰν θεωρίαν ἑκάστῳ σχεδὸν τῶν κεφαλαίων ἐπιτιθείς. καί τι καὶ ἄλλο πρὸς τούτοις χρήσιμον τῷ συγγράμματι προστιθείς. ἀρχύτου γὰρ τοῦ πυθαγορικοῦ καὶ πρὸ ἀριστοτέλους τὴν εἰς δέκα τῶν πρώτων γενῶν ποιησαμένου διαίρεσιν, ἐν τῷ βιβλίῳ ὃ περὶ τοῦ παντὸς ἐκεῖνος ἐπέγραψε. καὶ τά τε γνωρίσματα αὐτῶν διὰ παραδειγμάτων ἐναργῶς σαφηνίζοντος. καὶ τάξιν ἣν ἔχουσι πρὸς ἄλληλα. καὶ τὰς κατ' εἴδη διαφορὰς ἑκάστου, καὶ τὰ ὑπάρχοντα αὐτοῖς κοινῶς τε καὶ ἰδίως ἐπιδεικνύντος, αὐτὸς ἐν τοῖς προσήκουσι τόποις τὰ τοῦ ἀρχύτου παραγαγών, ἐκεῖνά τε νοερῶς συνεπτυγμένα ἐξήπλωσε. καὶ τὴν συμφωνίαν τὴν πρὸς αὐτὰ τοῦ ἀριστοτέλους ἐπέδειξε. καὶ εἴπου τι διάφωνον ἦν, ὀλίγα δὲ καὶ ταῦτα, καὶ τοῦτο ὑπ' ὄψιν ἤγαγε τοῖς φιλομαθέσι. μὴ δὲ τὴν αἰτίαν τῆς διαφωνίας ἀνεξέταστον καταλιμπάνων. ἴσως. διότι φαίνεται πανταχοῦ τῷ ἀρχύτᾳ κατακολουθεῖν ὁ ἀριστοτέλης βουλόμενος. καὶ δέξιππος δὲ ὁ ἰαμβλίχου, καὶ αὐτὸς μὲν τὸ τοῦ ἀριστοτέλους βιβλίον, συντόμως ἐξηγήσατο. προηγουμένως δὲ τὰς πλωτίνου ἀπορίας ὡς ἐν διαλόγῳ προτεινομένας αὐτῷ, διαλύειν προτίθεται. οὐδὲν δὲ οὐδὲ οὗτος σχεδὸν τοῖς πορφυρίου καὶ ἰαμβλίχου προστεθεικώς. τοιαύτης τοίνυν τῶν κλεινοτάτων ἐν φιλοσοφίᾳ περὶ τὸ τῶν κατηγοριῶν βιβλίον γεγενημένης σπουδῆς, καταγέλαστος εὐθὺς ἂν ἀπ' ἀρχῆς δόξαιμι, γράφειν τι καὶ αὐτὸς τολμήσας, εἰ μὴ τὴν αἰτίαν εὔλογον ἐπιδείξαιμι τοῦ τολμήματος. ἐγὼ γὰρ ἐνέτυχον μὲν καί τισι τῶν εἰρημένων συγγράμμασιν. ἐπιμελέστερον δὲ ὡς οἷός τε ἦν τοῖς ἰαμβλίχου παρακολουθῶν ἀπεγραψάμην, καὶ αὐτῇ πολλαχοῦ τῇ λέξει τοῦ φιλοσόφου χρησάμενος. ὁ δὲ σκοπὸς ἦν μοι τῆς ἀπογραφῆς, ἅμα μὲν, ὡς ἂν δυναίμην ἐκ τοῦ γράφειν, ἀκριβεστέραν τῶν εἰρημένων κατανόησιν προσλαβεῖν. ἅμα δὲ τὸν ὑψηλὸν νοῦν τοῦ ἀνδρὸς καὶ τοῖς πολλοῖς ἄβατον, ἐπὶ τὸ σαφέστερόν τε καὶ συμμετριώτερον καταγαγεῖν. ἐκρίνων δὲ, καὶ τὸ πολὺ πλῆθος τῶν πολυειδῶν συγγραμμάτων εἰς ἔλαττον ὁποσονοῦν συστεῖλαι. οὐχ οὕτως ὡς ὁ φιλοσοφώτατος συριανὸς εἰς ἐλάχιστον. ἀλλὰ μετὰ τοῦ μηδὲν ὡς δυνατὸν τῶν ἀναγκαίων παραλιπεῖν. εἰ δέ τι καὶ αὐτὸς ἴσχυσα προσθεῖναι, καὶ ὑπὲρ τούτου τοῖς ἀνδράσι τούτοις μετὰ τὸν θεὸν χάρις. ὑφ' ὧν χειραγωγούμενος, ἢ ἀπορίαν οὐκ ἀπόβλητον, ἢ διάρθρωσιν τῶν εἰρημένων ἀξίαν τινὰ τοῦ λόγου προστέθεικα. συμβουλεύω μέντοι τοῖς ἐντευξομένοις, μηδέποτε τῶν πορφυρίου καὶ ἰαμβλίχου καταφρονῆσαι συγγραμμάτων ἐπὶ τούτοις τοῖς σχολικοῖς. ἀλλ' εἴπερ ἄρα, ὡς εἰσαγωγῇ καὶ γυμνασίῳ τούτοις χρήσασθαι, πρὸς ἀκριβεστέραν τῶν ἐκείνοις τοῖς ἀνδράσιν εἰρημένων κατάληψιν. ἐπεὶ δὲ πρὸ τούτων ἀριστοτέλους τῷ τῶν κατηγοριῶν ἐντυγχάνομεν βιβλίῳ, ἅμα δὲ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων τῶν ἀρι-

στοτέλους περιπατητικὴ καλουμένη, ῥητέον πρῶτον κατὰ πόσους καὶ ποίους τρό-
πους τὰς ὀνομασίας ἔσχον αἱ κατὰ φιλοσοφίαν αἱρέσεις. Δεύτερον, τίς ἡ διαίρεσις
τῶν ἀριστοτελικῶν συγγραμμάτων. ἵνα καὶ τὸ προκείμενον ὁποίου χώρου τάξομεν, γέ-
νηται δῆλον. Τρίτον, πόθεν ἀρκτέον τῶν ἀριστοτέλους συγγραμμάτων. Τέταρτον,
τί τὸ τέλος ἐστὶ τῆς ἀριστοτέλους φιλοσοφίας. Πέμπτον, τίνα τὰ ἄγοντα ἡμᾶς πρὸς
τὸ τέλος. Ἕκτον, τί τὸ εἶδος τῶν ἀριστοτελικῶν συγγραμμάτων. Ἕβδομον, διὰ τί τὴν
ἀσάφειαν ἐπετήδευσεν ὁ φιλόσοφος. Ὄγδοον, ποῖον δεῖ τὸν ἐξηγητὴν εἶναι τῶν
τοιούτων λόγων. Ἔνατον, ποῖον δεῖ τὸν ἀκροατὴν προσλαμβάνεσθαι. Δέκατον,
πόσα δεῖ προλαμβάνειν ἑκάστης ἀριστοτελικῆς πραγματείας κεφάλαια. καὶ ποῖ-
α. καὶ διὰ ποίαν αἰτίαν. Αἱ μὲν οὖν κατὰ φιλοσοφίαν αἱρέσεις, ἑπταχῶς ὀνομάζονται.
ἢ ἀπὸ τοῦ συστησαμένου τὴν αἵρεσιν, ὡς οἱ πυθαγόρειοι καὶ πλατωνικοί. ἢ ἀπὸ τῆς τοῦ
αἱρεσιάρχου πατρίδος. ὡς κυρηναϊκοί, οἱ ἀπὸ ἀριστίππου. καὶ μεγαρικοί, οἱ ἀπὸ εὐκλεί-
δου. καὶ ἐλεατικοί, οἱ ἀπὸ ξενοφάνους καὶ παρμενίδου. ἢ ἀπὸ τοῦ τόπου ἐν ᾧ διέτριβον
φιλοσοφοῦντες, ὡς ἀκαδημαϊκοὶ καὶ στωϊκοί. ἢ ἀπὸ συμβεβηκυίας ἐνεργείας, ὡς πε-
ριπατητικοί. ἢ ἀπὸ τῆς ἐν τῷ φιλοσοφεῖν κρίσεως. ὡς ἐφεκτικοί, οἱ ἀπὸ πύῤῥωνος.
ἢ ἀπὸ τοῦ τέλους ὃ προτίθενται τῆς ἑαυτῶν φιλοσοφίας, ὡς ἡδονικοὶ οἱ ἐπικούρει-
οι. ἢ ἀπὸ τοῦ εἴδους τῆς ζωῆς, ὡς οἱ κυνικοί. ἄλλο γὰρ τὸ τέλος οὗ στοχάζονται, καὶ ἄλλο τὸ εἶ-
δος τῆς ἐπιτηδεύσεως. οὐ γὰρ δι' ἡδονῆς οἱ ἐπικούριοι τὴν ἡδονὴν ἐθήρων, ἀλλὰ διὰ
πόνων μάλιστα καὶ ἐγκρατείας. Τῶν δὲ ἀριστοτελικῶν συγγραμμάτων τὰ μέν ἐστι
μερικά, ὡς αἱ ἐπιστολαὶ πρός ἕνα τινὰ καὶ περὶ μερικοῦ τινὸς γεγραμμέναι πράγ-
ματος. τὰ δέ, καθόλου. τὰ δὲ καὶ μεταξύ, ὡς αἱ περὶ ζώων καὶ φυτῶν ἱστορίαι. οὔτε
μερικῶν οὖσαι τινῶν πάντη. περὶ γὰρ εἰδῶν εἰσὶ καὶ ζώων. ἀλλὰ τὰ μὲν μερικὰ καὶ τὰ μέ-
σα, μενέτω νῦν ἀδιαίρετα. τῶν δὲ καθόλου, τὰ μέν ἐστιν ὑπομνηματικά, ὅσα πρὸς
ὑπόμνησιν οἰκείαν καὶ πλείονα βάσανον συνέταξεν ὁ φιλόσοφος. ὧν τὰ μέν, μονοει-
δῆ ἐστιν, ὡς περὶ ἑνός τινος ὑπομιμνήσκοντα. τὰ δὲ ποικίλα, ὡς περὶ πλειόνων. δοκεῖ
δὲ τὰ ὑπομνηματικὰ μὴ πάντη σπουδῆς ἄξια εἶναι. διὸ οὐδὲ πιστοῦται ἀπ' αὐτῶν
τὰ τοῦ φιλοσόφου δόγματα. ὁ μέντοι ἀλέξανδρος τὰ ὑπομνηματικά, συμπεφυρ-
μένα φησὶν εἶναι, καὶ μὴ πρὸς ἕνα σκοπὸν ἀναφέρεσθαι. διὸ καὶ πρὸς ἀντιδιαστολὴν τούτων,
συνταγματικὰ τὰ ἕτερα λέγεσθαι. τῶν δὲ συνταγματικῶν, τὰ μέν ἐστιν διαλογικά.
τὰ δέ, αὐτοπρόσωπα. καὶ τῶν αὐτοπροσώπων, τὰ μέν ἐστι θεωρητικά. τὰ δέ, πρακτικά.
τὰ δέ, ὀργανικά. καὶ τῶν θεωρητικῶν, τὰ μέν, θεολογικά, ὡς τὰ μετὰ τὰ φυσικά. τὰ δὲ φυσι-
ολογικά, ὡς ἡ φυσικὴ ἀκρόασις, καὶ αἱ ἑπόμεναι ταύτῃ πραγματεῖαι. τὰ δέ, μαθηματι-
κά. οἷα γεωμετρικά τε αὐτῷ γέγραπται καὶ μηχανικὰ βιβλία. Τῶν δὲ πρακτικῶν, τὰ μέν,
ἠθικά. ὡς τά τε νικομάχεια καὶ τὰ εὐδήμεια. καὶ τὰ ἐπιγραφόμενα μεγάλα. τὰ δέ,
οἰκονομικά. τὰ δέ, πολιτικά, ὡς οἱ οἰκονομικοὶ καὶ πολιτικοὶ ἐπιγεγραμμένοι λόγοι.
τῶν δὲ ὀργανικῶν, τὰ μέν, περὶ αὐτῆς ἐστι τῆς ἀποδεικτικῆς μεθόδου. τὰ δέ, περὶ τῶν πρὸ
αὐτῆς, ὡς τὰ πρότερα ἀναλυτικά. καὶ τὸ περὶ ἑρμηνείας. καὶ αἱ κατηγορίαι. τὰ δέ, περὶ

τῶν τὴν ἀπόδειξιν ὑπαλυομένων, ὅσοι τόποι καὶ οἱ σοφιστικοὶ ἔλεγχοι, καὶ αἱ ῥητορικαὶ τέχναι. αὕτη μὲν οὖν τῶν ἀριστοτελικῶν συγγραμμάτων ὁλοσχερεστέρα διαίρεσις. Περὶ δὲ τοῦ τρίτου, ῥητέον πόθεν ἄρχεσθαι δεῖ τῶν ἀριστοτελικῶν συγγραμμάτων. μετὰ γὰρ τὴν διαίρεσιν, ἀκόλουθος ὁ περὶ τούτων λόγος. Τινὲς μὲν οὖν ἀπὸ τῶν ὀργανικῶν φασὶν ἄρχεσθαι δεῖν. ταῦτα γὰρ ἡμῖν ἐμποιεῖ τὸ διακρίνειν. ἐν μὲν ταῖς πράξεσι, τὰ ἀγαθὰ καὶ κακά. ἐν δὲ ταῖς γνώσεσι, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ὥστε καὶ τῶν πρακτικῶν καὶ τῶν γνωστικῶν συγγραμμάτων, προηγεῖσθαι χρὴ τὰ τὴν διακριτικὴν ἡμῖν δύναμιν παρεχόμενα. ὃ δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν φαίνεται προηγουμένη ἡ τῶν ὀργάνων γνῶσις, οἷον τεκτονικῆς, χαλκευτικῆς. καὶ ἐπὶ ἰατρικῆς δέ, πολλῷ μᾶλλον ἐπὶ φιλοσοφίας, τῆς πάντα μετὰ ἀποδείξεως ὑπισχνουμένης παραδιδόναι. καὶ ταύτῃ μόνῃ τήν τε ζωὴν ἡμῶν καὶ τὴν γνῶσιν ἐπιτρεπούσης. πῶς οὖν ἄνευ ἀποδείξεως, ἢ τοῖς πρακτικοῖς ἢ τοῖς θεωρητικοῖς λόγοις ἐντυγχάνοντες, οὐ ταὐτὸν πεισόμεθα, τοῖς ἄνευ τοῦ ἑρμαϊκοῦ μώλυος περὶ τὴν κίρκην ἰοῦσι, καὶ θελγομένοις ὑπὸ τῶν παρ᾽ ἑκάστοις πιθανῶς λεγομένων. Τινὲς δὲ ἀπὸ τῶν ἠθικῶν προστάττουσι ποιεῖσθαι τὴν ἀρχήν. τὰ γὰρ ὄργανα φασὶ τῶν μέσων εἶναι. καὶ δύνασθαι τὸν αὐτοῖς καὶ εὖ καὶ κακῶς χρῆσθαι. δηλοῦσι δὲ καὶ οἱ πολλοὶ τῶν ῥητόρων καὶ τῶν σοφιστῶν. δεῖ οὖν πρότερον τοῖς χρησομένοις τοῖς ὀργάνοις μετρίως παρεσκευασμένης ζωῆς. οὐ γὰρ τοιαύτη ἐστὶν ἡ τῶν οἰκοδομικῶν καὶ κυβερνητικῶν γνῶσις, οἵα ἡ φιλοσοφίας, ἀλλ᾽ αὐτὴ ζωτική ἐστι. δεῖ οὖν πρώτης τῆς ἀπὸ τῶν ἠθικῶν καθάρσεως, οὐκ ἀποδεικτικῶς, ἀλλ᾽ ὀρθοδοξαστικῶς τὰ ἠθικὰ παραλαμβανόντων ἡμῶν κατὰ τὰς αὐτοφυεῖς περὶ τῶν ὄντων ἐννοίας. ἀλλ᾽ εἰ μὲν τὰ ἠθικὰ τοῦ ἀριστοτέλους καθηγήσεις μόνον ἦσαν παραινετικαὶ καὶ ἀναπόδεικτοι, οἷαι πολλαὶ παρὰ τοῖς πυθαγορείοις ἐλέγοντο, ὀρθῶς εἶχεν ἐκ τούτων ἀρχομένους, προκαθαρθῆναι δι᾽ αὐτῶν τὰ ἤθη. εἰ δὲ καὶ ἐκεῖνα μετὰ διαιρέσεων καὶ ἀποδείξεων ἐπιστημονικῶν παραδέδωκεν ὁ ἀριστοτέλης, πῶς ἄνευ τῶν ἀποδεικτικῶν μεθόδων ἰόντες ἐπ᾽ αὐτὰ δυνησόμεθά τι πλέον ἀνύειν. μήποτε οὖν δεῖ μὲν πάντως ἠθικῆς προκαθηγήσεως, ἀλλ᾽ οὐ διὰ τῶν ἀριστοτέλους ἠθικῶν παραδεδομένης, ἀλλὰ διὰ τοῦ ἀγράφου συνεθισμοῦ, καὶ τῶν ἀτέχνων παραινέσεων ἀγράφως τε καὶ ἐγγράφως τὸ ἦθος ἡμῶν ἀπευθυνουσῶν. εἶτα τῆς λογικῆς τε καὶ ἀποδεικτικῆς μεθόδου. καὶ μετ᾽ ἐκεῖνα, τούς τε περὶ ἠθῶν ἐπιστημονικοὺς λόγους, καὶ τοὺς περὶ τῆς τῶν ὄντων θεωρίας, ἐπιστημονικῶς δυνησόμεθα παραδέχεσθαι. Τέταρτον δὲ ἦν τῶν προβλημάτων, τὸ, τέλος τῆς ἀριστοτελικῆς φιλοσοφίας εὑρεῖν. ἐκ τούτου γὰρ καὶ τὸ σεμνὸν αὐτῆς θεασόμεθα. τέλος τοίνυν καὶ τῆς τοῦδε τοῦ ἀνδρὸς φιλοσοφίας, κατὰ μὲν τὸ ἦθος, ἡ διὰ τῶν ἀρετῶν τελείωσις. κατὰ δὲ τὴν γνῶσιν, ἡ ἐπὶ τὴν μίαν τῶν πάντων ἀρχὴν παραδρομή. καὶ γὰρ οἶδεν αὐτὴν ἐπιστημονικῶς, καὶ ἐσεβάσθη. καὶ λαμπρᾷ τῇ φωνῇ ἀνεβόησεν. Οὐκ ἀγαθὸν πολυκοιρανίη. κοινὸν δὲ ἀμφοῖν τέλος, τὸ ἐπιβάλλον ἀνθρώπῳ, ἡ τελεωτάτη εὐδαιμονία. πρὸς ἣν, οὐδὲ μίαν ὑπερβολήν, οὐδενὶ τῶν ἄκρως φιλοσοφησάντων κατέλιπεν ὁ ἀριστοτέλης. οὐδὲ ἄνθρωπον εἶναι λέγων ἄξιον, ἀλλὰ θεὸν, τὸν εἰς ἐκείνην ἀναδραμόντα. τοιαῦτα γὰρ ἐν τοῖς τελ-

ταῖς τῶν Νικομαχείων ἠθικῶν μεγαληγορίαις. Πρὸς δὲ τὸ οἰκεῖον ἄγει τέλος, ἅπαντα τὰ τοῦ φιλοσόφου συγγράμματα. τὰ μέν, τὴν ἀποδεικτικὴν παρασκευάζοντα μέθοδον. τὰ δέ, ἤθη διὰ τῶν ἀρετῶν κοσμοῦντα. τὰ δέ, τὴν γνῶσιν διὰ τῶν φυσικῶν, ἐπὶ τὰ ὑπὲρ φύσιν ἀνάγοντα. Εἶδος δὲ τῆς ἀριστοτελικῆς ἑρμηνείας, τὸ κατά (Περὶ ἰδέας λόγου) τε τὸν νοῦν καὶ τὴν λέξιν συνεστραμμένον καὶ νοερὸν καὶ γοργόν. ἥ γε τὴν λύσιν εὐθὺς ἐπάγει τῇ ἀπορίᾳ, ἡ πολλάκις ἐπὶ συχνῶν ἀποριῶν, μιᾷ λύσει καὶ ταύτῃ συντόμῳ διαλύει πάσας. οὐδαμοῦ δὲ ἐθέλει τῆς ἐναργείας ἐξίστασθαι. διττῆς δὲ οὔσης ἐναργείας κατ' αὐτόν, τῆς μέν, ἀπὸ νοῦ, τῆς δέ, ἀπὸ αἰσθήσεως, τοῖς μετ' αἰσθήσεως ζῶσι διαλεγόμενος, τὰς ἀπὸ τῆς αἰσθήσεως προτιμᾷ. διὸ καὶ τὸ ἀναγκαστικὸν αὐτοῦ ταῖς ἀποδείξεσιν ὑπάρχει. ὡς καὶ τὸν μὴ πειθόμενον διὰ τὰς οὐκ εὐτυχεῖς προλήψεις, ὅμως ἠναγκασμένον ἐπιστομίζεσθαι. πανταχοῦ δὲ ἐθέλει τῆς φύσεως μὴ ἐξίστασθαι, ἀλλὰ καὶ τὰ ὑπὲρ τὴν φύσιν, κατὰ τὴν πρὸς τὴν φύσιν θεωρεῖ σχέσιν. ὡς ὁ θεῖος Πλάτων ἔμπαλιν κατὰ τὸ πυθαγόρειον ἔθος, καὶ τὰ φυσικὰ ἐπισκέπτεται καθὸ τῶν ὑπὲρ φύσιν μετέχουσιν. οὐ μὴν οὐδὲ μύθοις, οὐδὲ συμβολικοῖς αἰνίγμασιν, ὡς τῶν πρὸ αὐτοῦ τινὲς Ἀριστοτέλης ἐχρήσατο. ἀλλ' ἀντὶ παντὸς ἄλλου παραπετάσματος, τὴν ἀσάφειαν προετίμησεν. ἐζήτει δὲ καὶ ταύτης τὴν αἰτίαν ὁ λόγος, κατὰ τὸ ἕβδομον τῶν προβληθέντων. καὶ καλῶς εἰς αὐτὴν αὐτοφυῶς ἐμπέπτωκε. τῶν γὰρ παλαιοτέρων νομιζόντων, μὴ δεῖν καὶ τοῖς σκυτοτόμοις τὴν ἑαυτῶν σοφίαν προτιθέναι εἰς πάρεργον ἀντίληψιν διὰ τὴν προφαινομένην σαφήνειαν, οἱ μέν, μύθοις. οἱ δὲ συμβόλοις αὐτὴν ἀπέκρυψαν, ὡς ἐν τοῖς παραπετάσμασι, τὰ ἀπορρητότερα τῶν ἱερῶν. Ἀριστοτέλης δέ, τὴν ἀσάφειαν προετίμησεν. ἴσως μὲν καὶ τὴν ἀσάφειαν τῶν μύθων καὶ τῶν συμβόλων ὑπόνοιαν παραιτησάμενος. ῥαδίως γὰρ ἄλλος ἄλλως ἐκδέχεσθαι δύναται τὰ τοιαῦτα. ἴσως δὲ καὶ γυμναστικωτέραν εἰς ἀγχίνοιαν ὑπολαμβάνων, τὴν τοιαύτην ἀσάφειαν. ἔφρασε δ' ὅμως ὥσπερ ἐβούλετο. τοῖς ῥαθύμοις οὐδὲ τὴν μυθικὴν ψυχαγωγίαν προτείνειν ἀξιῶν. ἀλλ' οὕτως αὐτοὺς ἀποσκευαζόμενος, ὡς πάντων ἀσαφέστερος μαρτυρεῖσθαι. ὅτι γὰρ οὐκ ἀσθενείᾳ λόγου τὸ ἀσαφὲς αὐτοῦ τοῖς συγγράμμασιν ἐπεγένετο, ἴσασι μέν, καὶ οἱ μετρίως λόγῳ παρακολουθεῖν δυνάμενοι, ὅτι πολλὴν ἐμφαίνει λεκτικὴν δύναμιν, ἡ Ἀριστοτέλους ἑρμηνεία. ὡς διὰ ὀλίγων πολλάκις συλλαβῶν παραδιδόναι, ὅσα οὐκ ἄν τις ἐν πολλαῖς περιόδοις ἐδίδαξε. δῆλον δὲ καὶ ἐξ ὧν ἐνίοις ἐβουλήθη σαφέστατα ἐδίδαξεν. ὡς ἐν τοῖς μετεώροις καὶ τοῖς τοπικοῖς, καὶ ταῖς γινομέναις αὐτοῦ πολιτείαις. ἅπερ διὰ τὸ κοινότερον τῶν θεωρημάτων, σαφέστερον ἀπαγγέλλειν σύνοιδε. Τὸ δὲ δύνασθαι σαφῶς εἰπεῖν, δηλοῖ μάλιστα ὁ τῶν ἐπιστολῶν αὐτοῦ χαρακτήρ, τὸν ἀνὰ χεῖρας διάλογον. ὃς ἐπιστολαῖς προσήκει μετ' εὐπρεπείας ἀποτυπούμενος. καὶ οὐδὲ ἔστι τις τῶν συνεγνωσμένων Ἀριστοτέλει περὶ τὸν ἐπιστολικὸν χαρακτῆρα προσόμοιος. Τὸν δὲ ἄξιον τῶν ἀριστοτελικῶν συγγραμμάτων ἐξηγητήν, δεῖ μὴ πάντῃ τῆς ἐκείνου μεγαλονοίας ἀπολείπεσθαι. δεῖ δὲ καὶ τῶν πανταχοῦ τῷ φιλοσόφῳ γεγραμμένων, ἔμπειρον εἶναι καὶ τῆς ἀριστοτελικῆς συνηθείας ἐπιστήμονα. δεῖ δὲ καὶ κρίσιν ἀδέκαστον ἔχειν.

ὡς μὴ δὲ τὰ καλῶς λεγόμενα κακοσχόλως ἐκδεχόμενον, ἀδόκιμα δεικνύναι. μὴ δὲ εἴ τι δέοι γε ἐπὶ στάσεως, ταύτῃ πάντως ἀπαισίου φιλονεικεῖν ἀποδεῖξαι, ὡς εἰς τὴν αἵρεσιν ἑαυτὸν ἐγγράψαντα τοῦ φιλοσόφου. δεῖ δὲ οἶμαι καὶ τῶν πρὸς Πλάτωνα λεγομένων αὐτῷ, μὴ πρὸς τὴν λέξιν ἀποβλέποντα μόνον, διαφωνίαν τῶν φιλοσόφων καταψηφίζεσθαι, ἀλλ' εἰς τὸν νοῦν ἀφορῶντα, τὴν ἐν τοῖς πλείστοις συμφωνίαν αὐτῶν ἰχνεύειν. καὶ τὸν ἀκροατὴν δεῖ καλόν τε εἶναι, καὶ σπουδαῖον. ἱκανῶς. καὶ προέργου πάντος ποιεῖσθαι τὴν ἐπὶ πολὺ τῶν ἀριστοτελικῶν νοημάτων ἐξέτασιν. καθ' αὐτόν γε, καὶ μετὰ τῶν ὁμοίως φιλομαθῶν. φυλάττεσθαι δὲ χρὴ τὴν ἐριστικὴν φλυαρίαν. εἰς ἣν πολλοὶ τῶν ἀριστοτέλει συγγινομένων ἀποπίπτουσι. τοῦ τε φιλοσόφου τοῖς ἀνελέγκτοις ὅροις τῆς ἐπιστήμης, τὰ πάντα ἀποδεικνύναι σπουδάζοντος, οἱ περιττῶς σοφοί, καὶ πρὸς τὰ ἐναργῆ ἀντιλέγειν ἐθίζονται. τὸ ὄμμα τῆς ἑαυτῶν ψυχῆς ἀποτυφλοῦντες. πρὸς οὓς ἀρκεῖ τὸ τοῦ ἀριστοτέλους εἰπεῖν. ὅτι, ἢ αἰσθήσεως, ἢ κολάσεως δέονται. οἱ μὲν γὰρ μὴ ἐφιστάνοντες φιλονεικοῦσιν, αἰσθήσεως. οἱ δὲ ἐφιστάνοντες μέν, ὑπὸ λόγων δὲ δυνάμει φιλοτιμοῦνται, κολάσεως. Δέκατον λοιπὸν ἦν τῶν προτεθέντων, πόσα χρὴ κεφάλαια, καὶ τίνα τῶν ἀριστοτέλους πραγματειῶν, διαρθροῦσθαι. καὶ ἔστι ταῦτα. ὁ σκοπός. τὸ χρήσιμον. ἡ αἰτία τῆς ἐπιγραφῆς. ἡ τάξις τῆς ἀναγνώσεως. εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον. ἡ εἰς τὰ κεφάλαια διαίρεσις. οὐκ ἄτοπον δὲ ἴσως αἰτεῖν, καὶ ὑπὸ ποῖον μέρος αὐτοῦ τῆς φιλοσοφίας ἀνάγεται. ὁ μὲν γὰρ σκοπὸς ὀρθῶς γνωσθείς, ὁρίζει καὶ κατευθύνει τὴν διάνοιαν ἡμῶν. ἵνα μὴ ἐπ' ἄλλα καὶ ἄλλα φερώμεθα μάτην, ἀλλὰ πρὸς αὐτὸν ἅπαντα ἀναφέρωμεν. τὸ δὲ χρήσιμον προφανὲς συντονωτέρους ἡμᾶς καὶ προθυμοτέρους ἐργάζεται. Ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς, ὅταν σαφὴς οὖσα τυγχάνῃ, οὔτε ἐνοχλεῖ προσφωνηθεῖσα, καὶ βεβαιοῖ τὸν σκοπόν. καὶ τὸ γνήσιον δὲ ὅπερ ὡς ἐμοὶ δοκεῖ, πρὸ πάντων ἔδει τῶν ἄλλων βασανίζεσθαι, ἀναγκαίως προλαμβάνεται. πάσχομεν γάρ τι καὶ ὑπὸ τῆς τῶν προσώπων δόξης. καὶ οὐκ ἀτόπως, διὰ τὸ μὴ πάντῃ παρεσκευάσθαι πρὸς τὴν τοῦ ἀληθοῦς διάκρισιν, ἀλλ' ἀγαπᾶν ἔτι τὸ τοῖς κρείττοσιν ἕπεσθαι. πολλὰ γὰρ ἐγράφη καὶ νόθα βιβλία κατ' ἐκεῖνον μάλιστα τὸν χρόνον. ὅτι πολλοὶ τῶν βασιλέων περὶ τὰς βιβλιοθήκας σπουδάζοντες, πολλοῦ χρυσίου τὰ ἀπεξενωμένα τῶν βιβλίων ὠνοῦντο. Ἡ δὲ εἰς τὰ κεφάλαια τῶν βιβλίων διαίρεσις, οἷον, κατ' ἄρθρα τέμνουσα, μιμεῖται τὴν ἀνατομικὴν παρὰ τοῖς ἰατροῖς θεωρίαν. ὡς γὰρ ἐκείνη τὴν εἰς τὸ ὅλον τείνουσαν χρείαν ἑκάστου τῶν μορίων διὰ τῆς ἀνατομῆς εὑρίσκει, καὶ γνῶσιν ἀκριβεστέραν τοῦ συνθέτου παρέχεται παραγυμνώσασα τὰ ἁπλᾶ, οὕτω καὶ αὕτη διελοῦσα τὸ ὅλον, ὑπ' ὄψιν ἄγει μᾶλλον. καὶ τὴν ἑκάστου παρίστησι χρείαν, πρὸς τὸν ὅλον σκοπόν. ἔτι τὸ δεῖξαι δὲ ὑπὸ ποῖον ἀνάγεται μέρος, τὴν τοῦ μέρους πρὸς τὸ ὅλον παρέχεται σύνταξιν. Ἰστέον δὲ ὅτι, οὐκ ἀεὶ ταῦτα πάντα δεῖται διαρθρώσεως. πολλάκις γὰρ τὸ χρήσιμον τῷ σκοπῷ συναναφαίνεται. καὶ ἡ ἐπιγραφὴ πάντῃ δήλη καθέστηκεν. ὡς ἡ περὶ ψυχῆς. καὶ

Universitäts- und
Landesbibliothek Düsseldorf

τὸ γνήσιον οὐκ αὐτοῦ πάντων δεῖται κατασκευῆς. ἀλλ᾽ ἐφ᾽ ὧν ἐστί τις ὅλως ἀντιλογίας ἀφορμή. ἴδωμεν οὖν καὶ περὶ τοῦ προκειμένου βιβλίου τῶν προβληθέντων κεφαλαίων ἕκαστον. καὶ πρῶτον, τίς ὁ σκοπὸς ὁρίσωμεν. ἐπειδὴ καὶ παρὰ τοῖς ἐλλογιμωτάτοις διαμφισβητούμενος φαίνεται. ὅτι μὲν γὰρ περὶ δέκα τινῶν ἁπλῶν ποιεῖται τὸν λόγον, ἃ καὶ γένη καλοῦσιν ὡς ὁλικώτατα, πρόδηλον. ταῦτα δὲ οἱ μὲν, φωνὰς εἶναι λέγουσι. καὶ περὶ φωνῶν ἁπλῶν εἶναι τὸν σκοπὸν φασί. καὶ ὅτι μέρος ἐστὶ τῆς λογικῆς τὸ παρόν. ὥσπερ οὖν τὸ περὶ προτάσεων βιβλίον περὶ φωνῶν ἐστι συνθέτων, ἀλλ᾽ οὐχὶ περὶ πραγμάτων, οὕτω καὶ τοῦτο περὶ τῶν μερῶν τῆς προτάσεως ὄν, περὶ φωνῶν ἂν εἴη. ἔτι δὲ ἀρχόμενος τοῦ λόγου ὁ ἀριστοτέλης, τῶν λεγομένων φησί, τὰ μὲν, κατὰ συμπλοκήν. τὰ δὲ, ἄνευ συμπλοκῆς λέγεται. καὶ πάλιν. τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι οὐσίαν σημαίνει. ὡς περὶ τῶν φωνῶν οὔσης τῆς προθέσεως τῶν σημαινουσῶν. καὶ μετὰ τὴν τῶν δέκα γενῶν ἀπαρίθμησιν, ἕκαστον φησὶ τῶν εἰρημένων, αὐτὸ μὲν καθ᾽ ἑαυτὸ, ἐν οὐδεμιᾷ καταφάσει λέγεται. τῇ δὲ πρὸς ἄλληλα συμπλοκῇ τούτων, κατάφασις γίνεται. ἡ γὰρ τῶν φωνῶν συμπλοκή, κατάφασις γίνεται, ἀλλ᾽ οὐχὶ ἡ τῶν πραγμάτων. ἄλλοι δὲ τοῦτον μὲν οὐκ ἀποδέχονται τὸν σκοπόν. οὐ γὰρ φιλοσόφου τὸ περὶ φωνῶν θεωρεῖν, ἀλλὰ γραμματικοῦ μᾶλλον. τά τε πάθη καὶ τοὺς σχηματισμοὺς αὐτῶν καὶ τὰς κυριότητας καὶ τὰς ἰδέας ἐπισκεπτομένου. περὶ δὲ τῶν ὄντων αὐτῶν τῶν ὑπὸ τῶν φωνῶν σημαινομένων εἶναι λέγουσι τὸν σκοπόν. καὶ ταῦτα εἶναι τὰ λεγόμενα. καὶ μάρτυρα καὶ „οὗτοι τὸν ἀριστοτέλη παρέχονται λέγοντα. Τῶν ὄντων, τὰ μὲν, καθ᾽ ὑποκειμένου „τινὸς λέγεται. ὡς περὶ τῶν ὄντων οὔσης τῆς διαιρέσεως. καὶ πάλιν. Οὐσία δέ ἐστιν, ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα λεγομένη. ὥστε περὶ τῆς οὐσίας καὶ τῶν ἄλλων τῶν ὄντων ὁ λόγος. ἀλλὰ καὶ τούτοις ἀντίκειται τὸ τῆς λογικῆς πραγματείας μέρος εἶναι τὸ προκείμενον βιβλίον. περὶ δὲ τῶν ὄντων ᾗ ὄντα ἐστί, τὴν μετὰ τὰ φυσικὰ καὶ ὅλως τὴν πρώτην πραγματεύεσθαι φιλοσοφίαν. ἄλλοι δὲ, οὔτε περὶ τῶν σημαινουσῶν φωνῶν, οὔτε περὶ τῶν σημαινομένων πραγμάτων εἶναι λέγουσι τὸν σκοπόν. ἀλλὰ περὶ τῶν ἁπλῶν νοημάτων. ἡ γὰρ περὶ τῶν δέκα γενῶν ἐν τούτοις ὁ λόγος. ταῦτα δὲ ὕστερον καὶ ἐννοηματικά, περὶ νοημάτων ἂν εἴη ὁ λόγος. ὅτι δὲ περὶ τῶν λεγομένων ἐστί, σαφῶς εἶπεν ὁ ἀριστοτέλης. τὰ δὲ λεγόμενα καὶ λεκτά, τὰ νοήματά ἐστιν, ὡς καὶ τοῖς στωϊκοῖς ἐδόκει. ἔδει δὲ τούτους ἐννοεῖν, ὅτι τὸ περὶ νοημάτων καθὸ νοήματα λέγειν, οὐ λογικῆς ἀλλὰ τῆς περὶ ψυχῆς ἐστι πραγματείας. ἀλλὰ τούτων μὲν ἕκαστος, ἀτελῶς ἀντελάβετο τοῦ σκοποῦ. διὸ καὶ πάντες τὸν ἀριστοτέλη μαρτύρονται. ὡς μερικῶς ἀληθεύοντες. καὶ κατηγοροῦσιν ἀλλήλων ἐνίοτε. καὶ αὐτοὶ πάλιν εὐθύνονται δικαίως. ἴδωμεν δὲ καὶ τοὺς τελεώτερον ἀντιλαμβανομένους, ὧν ἐν πρώτοις κατ᾽ ἐμήν ἐστι γνώμην, ὁ ἀφροδισιεὺς ἀλέξανδρος. ἀρχὴν εἶναι λέγων τῆς λογικῆς πραγματείας, τοῦτο τὸ βιβλίον. ἐπειδὴ φησὶν ὁ λόγος συμβαίνει, τῷ τὰ μόρια αὐτοῦ τὰ πρῶτα σημαίνειν. ἵνα δέ ἐστι τὰ ὑπὸ τῶν πρώτων

καὶ ἁπλῶν μορίων τοῦ λόγου σημαινόμενα. ὅτι νοήματά τε βουλόμενος δηλῶσαι, διαιρεῖ τὸ ὂν οὐκ εἰς τὰ καθ' ἕκαστα. ἀπερίληπτα γὰρ ταῦτα καὶ ἄγνωστα, διά τε τὸ πλῆθος καὶ τὴν παντοίαν μεταβολήν. ἀλλ' εἰς τὰ ἀνωτάτω γένη τὰ δέκα ταῦτα, ἅπερ κατηγορίας ἐκάλεσεν, ὡς γενικώτατα. καὶ αὐτὰ μὲν μηδενὶ ὑποκείμενα. κατηγορούμενα δὲ τῶν ἄλλων. ὥστε περὶ τῶν ἁπλῶν καὶ γενικωτάτων τοῦ λόγου μορίων εἶναι τὸν σκοπὸν, τῶν τὰ ἁπλᾶ πράγματα σημαινόντων. καὶ τὰ περὶ τῶν ἁπλῶν πραγμάτων ἁπλᾶ νοήματα. ταύτης δὲ αὐτῆς ἐγένετο δόξης, καὶ ὁ αἰγαῖος ἀλέξανδρος. ὁ δὲ πορφύριος, σκοπὸν εἶναι τοῦ βιβλίου φησὶν ἔν τε τῷ πρὸς γεδάλιον, καὶ ἐν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν, περὶ τῶν κατηγορουμένων. αὗται δέ εἰσιν αἱ ἁπλαῖ φωναὶ, αἱ σημαντικαὶ τῶν πραγμάτων, καθὸ σημαντικαί εἰσιν, ἀλλ' οὐ καθὸ λέξεις ἁπλῶς. καθὸ μὲν γὰρ λέξεις, ἄλλας ἔχουσι πραγματείας, ἃς ἐν τῷ περὶ τοῦ λόγου στοιχείω, ὅ, τε θεόφραστος ἀνακινεῖ, καὶ οἱ περὶ αὐτὸν γεγραφότες. οἷον, πότερον ὄνομα καὶ ῥῆμα τοῦ λόγου στοιχεῖα, ἢ καὶ ἄρθρα καὶ σύνδεσμοι καὶ ἄλλα τινά. λέξεως δὲ καὶ ταῦτα μέρη. λόγου δὲ, ὄνομα καὶ ῥῆμα. καὶ τίς ἡ κυρία λέξις, τίς δὲ ἡ μεταφορική. καὶ τίνα τὰ πάθη αὐτῆς. οἷον, τί ἀποκοπή. τί συγκοπή. τί ἀφαίρεσις. τίνες αἱ ἁπλαῖ. τίνες αἱ σύνθετοι. τίνες αἱ ὑπερσύνθετοι. καὶ ὅσα τοιαῦτα. καὶ ὅσα περὶ ἰδεῶν εἴρηται. τί τὸ σαφὲς ἐν ταῖς λέξεσι. τί τὸ μεγαλοπρεπές. τί τὸ ἡδὺ καὶ πιθανόν. καθὸ μέντοι σημαντική ἐστιν ἡ λέξις, κατὰ τὰ γένη τῶν ὄντων ἀφορίζεται. καὶ ἡ μὲν λέξις, κατηγορία λέγεται, ὡς κατὰ τοῦ πράγματος ἀγορευομένη. τὸ δὲ πρᾶγμα, κατηγόρημα. τῆς οὖν κατηγορίας ἤτοι πράγματος ὄντος, μετὰ τῆς σημαινούσης αὐτὸ λέξεως, ἢ τῆς σημαντικῆς λέξεως. καθόσον γάρ ἐστι σημαντική, ἑκατέρων ἔχεται καὶ τῶν λέξεων καὶ τῶν πραγμάτων ἡ κατηγορία. ἀπείρων δὲ ὄντων τῶν κατὰ μέρος καὶ ἀπεριλήπτων, εἰς δέκα γένη τὰ ἄπειρα ἀνήγαγεν ὁ ἀριστοτέλης. τὰς μὲν οὐσίας πάσας εἰς μίαν συνελὼν τὴν ἀνωτάτω οὐσίαν. ἧς ἐστι καὶ λέξις σημαντική. αὐτὴ ἡ οὐσία σύμβολον οὖσα τῆς ἐν τοῖς οὖσιν οὐσίας, εἴτε ὑποστάσεως οὔσης, εἴτε ἄχρι ἐπινοίας ὑφεστώσης. οὐδὲν γὰρ τοῦτο τῇ κατηγορίᾳ διενήνοχεν. οὐ γὰρ καθὸ ἐν ὑποστάσει ἐστὶ τὰ πράγματα δηλοῦται ὑπὸ τῆς κατηγορίας, ἀλλὰ καθὸ ἐπινοεῖται. ἤτοι ὄντα, ἢ ὡς ὄντα. ὁμοίως δὲ καὶ τῶν καθ' ἕκαστα ποσῶν ἐπὶ τὸ γενικώτατον ποσὸν ἀναγομένων, ἄλλη γίνεται κατηγορία, ἡ ἀνωτάτω λέξις τοῦ ποσοῦ, κατὰ τοῦ ἀνωτάτω πράγματος ἀγορευομένη. οὕτως δὲ καὶ τὸ ποιόν. ἕτερον δέ τι γένος ἐστὶ τὸ πρός τι, ὑφ' ὃ πάντα ἀνάγεται, τὰ πρὸς ἄλλο τι πῶς ἔχοντα. καὶ κατηγορία ἄλλη τῆς πρός τι λέξεως, ὑφ' ἣν τὸ διπλάσιον. τὸ ἥμισυ. δοῦλος. δεσπότης. πατήρ. υἱός. καὶ τὰ τοιαῦτα. τὸ δὲ καθῆσθαι, καὶ ἑστάναι, καὶ κατακεῖσθαι, ἄλλο ποιεῖ γένος τὸ κεῖσθαι. τὸ δὲ ἠμφιέσθαι καὶ ὡπλίσθαι, ὑπὸ τὸ ἔχειν ἀνάγεται. τὸ δὲ ἐν λυκείῳ καὶ ἐν ἀκαδημίᾳ, ὑφ' ἓν γένος τὸ ποῦ. καὶ τὸ ποτὲ, γένος ἐστὶν ἄλλο περιέχον τὰ τοῦ χρόνου εἴδη καὶ μέρη. τὸ δὲ τέμνειν, καὶ καίειν, εἰς τὸ ποιεῖν. ὥσπερ τὸ τέμνεσθαι καὶ καίεσθαι, εἰς τὸ πάσχειν. προστίθησι δὲ καὶ τὰ τοῦ βοηθοῦ ὁ πορφύριος, πολλῆς ἀγχινοίας γέμοντα, καὶ εἰς τὸ αὐτὸ

τείνοντα τοῖς εἰρημένοις. λέγει γὰρ καὶ ἐκεῖνος. ὅτι κατὰ μὲν τὸ ὄνομα καὶ τὸ ῥῆμα ἡ διαίρεσις εἰς τὰ τοῦ λόγου γίνεται στοιχεῖα. κατὰ δὲ τὰς κατηγορίας ἡ διαίρεσις γίνεται. καθὸ σχέσιν ἔχουσιν αἱ λέξεις πρὸς τὰ ὄντα σημαντικαὶ τούτων οὖσαι. διό φησιν οἱ σύνδεσμοι, ἐν μὲν τῇ λέξει εὑρίσκονται. τῶν δὲ κατηγοριῶν, ἐκτὸς πίπτουσιν. οὐδὲν γὰρ τῶν ὄντων δηλοῦσιν. οὔτε οὐσίαν. οὔτε ποιόν. οὔτε ἄλλο τι τοιοῦτον. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὔτε περὶ φωνῶν ψιλῶν, οὔτε περὶ αὐτῶν τῶν ὄντων ᾗ ὄντα ἐστίν, οὔτε περὶ τῶν νοημάτων μόνων οἱ ἄνδρες οὗτοι τὸν σκοπὸν ἀφορίζονται. ἀλλὰ περὶ φωνῶν μὲν ἁπλῶν καὶ λέξεων. διότι λογικῆς ἐστι πραγματείας προοίμιον. καθὸ δὲ σημαντικαὶ καὶ τῶν ὄντων εἰσὶ τῶν πρώτων καὶ ἁπλῶν. ἀλλ' οὐ καθὸ διασχηματίζονται. ἢ συσχηματίζονται. ἢ πάθη τοιάδε ἀναδέχονται, καὶ ἰδέας ἔχουσι τοιάσδε. ἅπερ ἡ περὶ τῶν λέξεων ὡς λέξεων ἐπίσκεψις πολυπραγμονεῖ. δῆλον δὲ ὅτι ἡ περὶ τῶν λέξεων καθὸ σημαίνουσιν, ἀνάγκη καὶ τὰ πράγματα συγκρίνεσθαι τὰ σημαινόμενα, καὶ τὰ νοήματα, τὰ κατὰ τὰς σημασίας γινόμενα. διὸ καὶ τί σημαίνει ἑκάστη λέξις, ἀναδιδάσκει. καὶ τὰ πράγματα καθ' ἑκάστην κατηγορίαν διορίζεται. καὶ τῇ διαιρέσει τῇ αὐτῇ χρῆται κἀνταῦθα, ὅπου περὶ τῶν σημαντικῶν λέξεων ἐστὶ προηγουμένως ὁ σκοπός. καὶ ἐν τῇ μετὰ τὰ φυσικά, ὅπου περὶ τῶν ὄντων ᾗ ὄντα ἐστὶ διδασκαλία. παραπλησίως δὲ καὶ ἐν τοῖς λογικοῖς. οἷον ἐν τοῖς τοπικοῖς. καὶ ἐν τοῖς νικομαχείοις ἠθικοῖς. καὶ ἐν ταῖς ἄλλαις πραγματείαις, τῇ εἰς δέκα ταύτῃ χρῆται διαιρέσει τῶν πρώτων γενῶν. ὡς πανταχοῦ μὲν τῆς αὐτῆς οὔσης διαιρέσεως. ἀλλ' ἐνταῦθα μὲν οἰκείως τῇ λογικῇ πραγματείᾳ κατὰ τὰς σημαντικὰς λέξεις λαμβανομένης. ἀλλαχοῦ δὲ οἰκείως τῇ περὶ τῶν ὄντων θεωρίᾳ κατὰ τὴν τῶν ὄντων ὑπόστασιν. οὔτε τῶν σημαντικῶν λέξεων πάντη κεχωρισμένων τῆς τῶν ὄντων φύσεως, οὔτε τῶν ὄντων ἀπηρτημένων τῶν σημαινόντων αὐτὰ πεφυκότων ὀνομάτων. ἀλλ' οὐδὲ τῶν νοημάτων ἔξω τῆς ἀμφοῖν ὄντων φύσεως. ἓν γὰρ ὄντα πρότερον τὰ τρία ταῦτα, διεκρίθησαν ὕστερον. ὁ μὲν γὰρ νοῦς, αὐτὰ τὰ πράγματα, ὧν καὶ αὐτή ἡ νόησις, ταὐτὸν ἔχει τά τε ὄντα καὶ τὰ τῶν ὄντων νοήματα διὰ τὴν ἀδιάκριτον ἕνωσιν. καὶ φωνῆς οὐδὲν ἐκεῖ χρεία. ψυχὴ δὲ πρὸς μὲν νοῦν ἐστραμμένη, τὰ αὐτὰ δευτέρως ἔχει. ὅτε καὶ γεννητικοὺς ἀλλ' οὐ γνωστικοὺς μόνον ἔχει τοὺς ἐν αὐτῇ λόγους. ἀποστᾶσα δὲ ἐκεῖθεν, καὶ τοὺς ἐν αὐτῇ λόγους τῶν ὄντων χωρίσασα, καὶ διὰ τοῦτο εἰκόνας αὐτοὺς ἀντὶ τῶν πρωτοτύπων ποιήσασα, διέστησεν ἀπὸ τῶν πραγμάτων τὴν νόησιν. καὶ τοσοῦτον μᾶλλον, ὅσῳ καὶ τῆς πρὸς τὸν νοῦν ὁμοιότητος ἀπέστη. καὶ λοιπὸν ἄλλα παρὰ σύμφωνα τοῖς πράγμασι προβάλλεσθαι τὰ νοήματα. πεσοῦσα δὲ εἰς γένεσιν καὶ λήθης ἀναπλησθεῖσα, ἐδεήθη μὲν ὄψεως. ἐδεήθη δὲ ἀκοῆς πρὸς ἀνάμνησιν. δεῖται γὰρ τοῦ ἤδη τεθεαμένου τῆς ἀληθείας διὰ φωνῆς, ἀπὸ τῆς ἐννοίας προσφερομένης. κινοῦντος καὶ τὴν ἐν αὐτῇ τέως ἀπεψυγμένην ἔννοιαν. καὶ οὕτως ἡ τῆς φωνῆς ἐγένετο χρεία. προσεχῶς μὲν τοῖς νοήμασιν ἐξομοιοῦσθαι σπευδούσης. δι' ἐκείνων δὲ καὶ τοῖς πράγμασιν ἐφαρμοττούσης καὶ συμφωνουμένης πρὸς ἄλληλα, ἵνα μὴ μάτην αἱ φωναὶ λέγοιντο,

ὥσπερ ἡ βλίτυρι. ἀλλὰ κινοῦσιν τῷ ἀκούοντι τὰς ἐννοίας, ταῖς κινητικαῖς νοήσεσιν. ἀπὸ γὰρ νοήσεων προϊοῦσαι νοήσεις, καὶ αὗται κινοῦσι προσεχῶς, καὶ συνάπτουσι τὰς τοῦ μανθάνοντος ταῖς τοῦ διδάσκοντος, μεσότητες ἀμφοῖν γινόμεναι. αἱ δὲ νοήσεις οἰκείως κινηθεῖσαι, ἐφαρμόττουσι τοῖς πράγμασι. καὶ οὕτως γίνεται ἡ τῶν ὄντων γνῶσις. καὶ ὁ αὐτοφυὴς ἔρως τῆς ψυχῆς ἀποπίμπλαται. καὶ ἔστιν ἡ φωνή, πέρας τῆς ψυχικῆς ἐνεργείας. τῶν δὲ περάτων ἐστί, τὸ ἐπιστρέφειν εἰς τὰς ἀρχάς. διὸ καὶ ἡ φωνὴ τὰς ἀποστάσας ἀπὸ νοῦ καὶ τῶν ὄντων ψυχάς, καὶ διακριθείσας ἀλλήλων, συνάγει τε εἰς ὁμόνοιαν. καὶ τοῖς πράγμασι συναρμόζειν ποιεῖ. καὶ πρὸς νοῦν ἀναπέμπει καὶ παρασκευάζει μὴ μόνον ἀφώνους ἐθέλειν εἶναι, ἀλλὰ μηδὲ ἐννοίας τῶν πραγμάτων ἑτέρας ἔχειν. οὕτως οὖν τὰ ἡνωμένως ἐν τῷ νῷ προειλημμένα ἐμέρισεν ἡ ψυχή. μετὰ μέντοι τοῦ φυλάξαι γε ἐν τῇ διαιρέσει τὴν ἀλληλουχίαν. ἔστιν οὖν ἐκ τῶν εἰρημένων δῆλον, ὅτι ἔστι μὲν ὁ σκοπὸς οἰκεῖος τῇ λογικῇ πραγματείᾳ. περὶ τῶν ἁπλῶν καὶ πρώτων καὶ γενικῶν φωνῶν. καθὸ σημαντικαὶ τῶν ὄντων εἰσί. συνδιδάσκεται δὲ πάντως καὶ τὰ σημαινόμενα ὑπ' αὐτῶν πράγματα καὶ τὰ νοήματα. καὶ καθὸ σημαίνεται τὰ πράγματα ὑπὸ τῶν φωνῶν, καὶ ταῦτα τοῖς περὶ ἀλέξανδρον καὶ ἑρμῖνον καὶ βοηθὸν καὶ πορφύριον δοκεῖ. καὶ ὁ θεῖος ἰάμβλιχος ἐπιψηφίζει. καὶ συριανὸς σαφηνίζει. καὶ οἱ ἡμέτεροι διδάσκαλοι ἀποδέχονται. ἀλλ' ἐπεὶ δέδεικται περὶ φωνῶν ὁ σκοπός, τῶν δὲ φωνῶν αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ σύνθετοι, περὶ τῶν ἁπλῶν ἐστὶ φωνῶν τῶν πρώτων. καὶ τὰ πρῶτα καὶ γενικώτατα τῶν ὄντων σημαινουσῶν, διὰ μέσων τῶν ἁπλῶν καὶ πρώτων νοημάτων. τὰ δὲ ἁπλᾶ εἰς δέκα συνήγαγον οἱ πυθαγόρειοι. ὡς ἀρχύτας. ᾧ καὶ πλάτων συγγέγονεν, ὡς ἐν τῷ περὶ τῶν καθόλου λόγων ἐδίδαξε βιβλίῳ, ᾧ καὶ ἀριστοτέλης κατηκολούθησε. καὶ μέχρι τῶν ὀνομάτων. κατὰ τοσοῦτον μόνον, ὡς δοκεῖ τισὶ παραλλάξας. καθόσον τὸ ἐν αὐτοῖς οὐ προλογίζεται τὸ τῶν δέκα περιεκτικόν. καὶ τὸ κατὰ φύσιν τῶν ὀνομάτων ἀπογινώσκει. Χρήσιμος δὲ ἡ τούτων διδασκαλία πρός τε τὴν τῆς ὅλης φιλοσοφίας καὶ πρὸς τὴν τῆς λογικῆς πραγματείας εἰσαγωγήν. δῆλον γὰρ ὅτι τὰ ἁπλᾶ πρὸς στοιχείωσιν ἐστὶν ἐπιτήδεια. διὸ καὶ ὁ γεωμέτρης, ἀπὸ τῶν ἁπλουστέρων ἀρχόμενος, περὶ τριγώνων πρώτων καὶ τετραγώνων ἐφεξῆς διδάσκει. καὶ τότε περὶ πενταγώνων καὶ τῶν ἐφεξῆς πολυγώνων. καὶ οἱ περὶ τοῦ ἀριθμοῦ ἐσπουδακότες τὸ ἄρτιον καὶ τὸ περιττόν. καὶ οὕτως, τὸ ἀρτιοπέριττον καὶ τὸ περισσάρτιον. πρὸς δὲ τὴν λογικὴν πραγματείαν, ὅτι χρήσιμος ἡ τῶν ἁπλουστάτων λέξεων ἀρχή, φανερὸν ἐντεῦθεν.

Ἡ θεωρία καὶ ἡ πρᾶξις, ἀνάπαλιν ὁδεύουσι. καὶ γὰρ ἡ μὲν θεωρία ἀπὸ τοῦ τέλους ἀρξαμένη, ὁδῷ πρόεισιν ἐπὶ τὴν ἀρχήν. ἡ δὲ πρᾶξις, ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ τέλος ὁδεύει. ὡς ἐπὶ οἰκίας. ἡ μὲν γὰρ θεωρία, αὐτῆς τὴν χρείαν εὐθὺς ἐννοεῖ, δι' ἣν ἔστιν ἡ οἰκία. ὅτι διὰ σκέπην ἀνέμων. καὶ ὄμβρων. καὶ καύματος. καὶ ἀρξαμένη ἀπὸ τοῦ τέλους, καὶ ὅπως ἂν τοῦτο περιγένοιτο θεωροῦσα, εὑρίσκει ὅτι σκέπην ἄνευ τοίχων ἐπικεῖσθαι, ἀδύνατον. τοὺς δὲ τοίχους ἄνευ θεμελίων, οὐχ οἷόν τε ἱδρύεσθαι. ἀλλ' οὐδὲ τοὺς τοίχους καταβληθῆναι, πρὸ τοῦ

γῆν ὀρυχθῆναι. καὶ ἐνταῦθα κατέληξεν, ὅθεν ἡ πρᾶξις ἀρξαμένη, πρῶτον μὲν ὀρύττει τὴν γῆν, εἶτα τοὺς θεμελίους καταβάλλεται. καὶ τούτοις ἐποικοδομεῖ τοὺς τοίχους. καὶ τελευταίαν τὴν ὀροφὴν ἐπιτίθησι. κἀνταῦθα τοίνυν μοι τὸ ὅμοιον παραφύλαττε. ὥσπερ γὰρ τῆς οἰκίας δεόμεθα, κωλυούσης τὴν ἀπ' ἀνέμων καὶ ὄμβρων καὶ καυμάτων γινομένην φθοράν, οὕτω καὶ τῆς ἀποδείξεως δεόμεθα, κωλυούσης τήν τε ἀπὸ τοῦ ψεύδους ἐν τῇ θεωρίᾳ, καὶ τὴν ἀπὸ τοῦ κακοῦ ἐν τῇ πράξει κυρίως ἂν καλουμένην φθοράν. καὶ γὰρ ὥσπερ ἐπὶ τῆς θεωρίας ἀντίκειται τῷ ἀληθεῖ τὸ ψεῦδος, οὕτω καὶ ἐν τῇ πρακτικῇ φιλοσοφίᾳ ἀντίκειται τῷ ἀγαθῷ τὸ κακόν. καὶ δεόμεθα τινὸς ὀργάνου τοῦ διακρίνοντος αὐτά. ἵνα μὴ τοῖς ψεύδεσιν ἀντὶ τῶν ἀληθῶν, καὶ τοῖς κακοῖς ἀντὶ τῶν ἀγαθῶν περιπίπτωμεν. τοῦτο δέ ἐστιν ἡ ἀπόδειξις, τὸ κριτήριον ἑκάστου, τὸ μὴ συγχωροῦν διὰ τὸ ἀμυδρὸν ἴσως ἴχνος τοῦ ἀληθοῦς, ἢ τοῦ ἀγαθοῦ ἀπατᾶν, ἀλλὰ γυμνοῦν πάντα καὶ βασανίζον. ὥσπερ οὖν τὴν οἰκίαν, ὅπως ἂν γένοιτο σκοποῦντες ἐπὶ τὴν ὄρυξιν τῆς γῆς καταλήγομεν, οὕτω καὶ τῆς ἀποδείξεως τὴν γένεσιν σκοποῦντες, ἐπειδὴ ἡ ἀπόδειξις λέγει, τί τινὶ ὑπάρχει, καὶ τί τινὶ οὐχ ὑπάρχει. οὐχ ἁπλῶς ἀλλὰ καὶ τὴν αἰτίαν προστιθεῖσα, διὰ τί ὑπάρχει, ἢ οὐχ ὑπάρχει. δῆλον ὅτι οὐκ ἔστιν ἁπλοῦς λόγος, ἀλλὰ συλλογὴ πλειόνων. τοῦ τε ὑπάρχοντος, καὶ ᾧ ὑπάρχει. καὶ τῆς αἰτίας εἰς δύο προτάσεις τοὐλάχιστον συναγομένης. ὁ γὰρ δεικνὺς ὅτι ἡ ψυχὴ ἀθάνατος, διὰ μέσου τοῦ αὐτοκινήτου, λέγει οὕτως. ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον, ἀθάνατον. καὶ οὕτως ἐπάγει τὸ συμπέρασμα. ὅτι ἡ ψυχὴ, ἀθάνατος. συλλογισμὸς οὖν ἀποδεικτικός ἐστιν ἡ ἀπόδειξις. πῶς δὲ ἂν μάθοιμεν τὸν ἀποδεικτικὸν συλλογισμόν, μὴ τὸν ἁπλῶς προμαθόντες συλλογισμόν. οὐδὲ γράφειν τόνδε τὸν τύπον ἢ τόνδε δυνησόμεθα, μὴ ἁπλῶς γράφειν μαθόντες. τὸν δὲ ἁπλῶς συλλογισμόν, πῶς ἔστι μαθεῖν, εἰ μὴ τὰ ἐξ ὧν συνέστηκε μάθοιμεν. αὗται δ' εἰσὶν αἱ προτάσεις. ἀλλὰ καὶ αὗται ἐξ ὀνομάτων εἰσὶ καὶ ῥημάτων. τῶν μὲν, ὑποκειμένων. τῶν δὲ, κατηγορουμένων. δεῖ οὖν καὶ τῆς τούτων γνώσεως. καὶ οὐδὲ μέχρι τούτων ἔχει τέλος ἡ ἀνάλυσις. προηγεῖται γὰρ καὶ τούτων ἡ τῶν ἁπλῶν φωνῶν θεωρία. καθ' ἣν πάντα ὀνόματά ἐστι. διότι ἡ πρώτη θέσις τῶν φωνῶν, ὡς ὀνομάτων μέν ἐστι. δεηθέντες γὰρ οἱ ἄνθρωποι σημαίνειν ἀλλήλοις τὰ πράγματα, διὰ τὸ τῆς κοινῆς ἀποστῆναι νοήσεως, ἔθεντο τῷδε μὲν, ὄνομα σῶμα. τῷδε δὲ, δεξιόν. τῷ δ' ἄλλῳ ποιεῖν ἢ πάσχειν. οὔπω διαφορᾶς οὔσης, καθ' ἣν τὰ μὲν, ὑπόκειται. τὰ δὲ, κατηγορεῖται. καὶ τὰ μὲν, προσσημαίνει χρόνον. τὰ δὲ, οὔ. προηγεῖται οὖν ἡ τῶν ἁπλῶν φωνῶν θεωρία. καὶ ἀπὸ ταύτης ἀρκτέον τῷ τὴν ἀπόδειξιν δημιουργοῦντι. εἰκότως οὖν ἀπὸ τῶν κατηγοριῶν ἀρχόμεθα. ἔπειτα δὴ δι' αὐτῶν, εἴς τε τὸν σημαντικὸν λόγον, εἰς τὰ σημαινόμενα πράγματα, εἰσαγόμεθα ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ συνθετώτερα. μετὰ γὰρ τὰς ἁπλᾶς φωνὰς, τί ὄνομα καὶ τί ῥῆμα μανθάνομεν. ἔπειτα, τί κατάφασις καὶ τί ἀπόφασις. καὶ τίνες αἱ τούτων διαφοραί. ἅπερ ἐν τῷ περὶ ἑρμηνείας διδασκόμεθα. εἶτα τί ὅρος καὶ τί πρότασις. καὶ τί συλλογισμός. καὶ τίνα τῶν συλλογισμῶν

εἴδη. καὶ πόσα καθ' ἕκαστον σχῆμα. καὶ καθ' ἕκαστον σχῆμα, πόσοι γίνονται τρόποι.
ἅπερ διὰ τῶν προτέρων ἀναλυτικῶν διδασκόμεθα. καὶ οὕτως εἰς τὴν ἀποδεικτι-
κὴν ἐρχόμεθα πραγματείαν, ἣν ὑστέρων ἀναλυτικῶν ὁ ἀριστοτέλης ἐπέγραψεν.
εἰκότως οὖν ἀπὸ τοῦ τῶν κατηγοριῶν βιβλίου, καὶ τῆς λογικῆς πραγματείας, καὶ
τῆς ὅλης ἀρχόμεθα φιλοσοφίας. καὶ ἔχομεν ἐκ τῶν εἰρημένων, καὶ τὴν τάξιν τῆς
ἀναγνώσεως τοῦ προκειμένου βιβλίου παραδεδομένην. Ἀλλὰ καὶ τίς ἡ τῆς ἐπι-
γραφῆς αἰτία ζητεῖν ἄξιον. Πρῶτον δέ, κατὰ πόσους ἐπιγέγραπται τρόπους. καὶ τίς
τῶν ἐπιγραφῶν ἡ δοκιμωτέρα. καὶ γὰρ οἱ μέν, πρὸ τῶν τοπικῶν ἐπέγραψαν τὸ βι-
βλίον. οἱ δέ, περὶ τῶν γενῶν τοῦ ὄντος. ἄλλοι δέ, περὶ τῶν δέκα γενῶν. ἄλλοι δέ, κατηγορί-
αι δέκα. ἄλλοι δέ, κατηγορίαι. ὥσπερ καὶ νῦν φέρεται. ἀλλ' οἱ μὲν πρὸ τῶν τοπικῶν ἐπι-
γράψαντες, καὶ ταύτην τῷ βιβλίῳ τὴν τάξιν ἀποδόντες, ἄτοποι. οὐ γὰρ τῶν το-
πικῶν προηγεῖται μόνον, ἀλλ' ἐν μὲν τοῖς λογικοῖς τῆς τε συλλογιστικῆς ἤτοι ἀναλυ-
τικῆς πάσης θεωρίας, καὶ τῆς περὶ προτάσεων, ἣν περὶ ἑρμηνείας ἐπιγράφουσιν.
ἐν δὲ τῇ περὶ τῶν ὄντων θεωρίᾳ, πάσης ἡγεῖται φιλοσοφίας ἡ τῶν ἁπλῶν παράδοσις.
ἅτε περὶ τῶν στοιχειωδεστάτων διδάσκουσα. ἐπειδὴ δὲ οὐχ ὁ τυχών ἐστιν ἀνὴρ ὁ μετὰ
τὰς κατηγορίας εὐθὺς τὰ τοπικὰ τάξας βιβλία, ἀλλ' ἄδραστος ὁ ἀφροδισιεύς,
ἀνὴρ τῶν γνησίων περιπατητικῶν γεγονώς, ἐν τῷ περὶ τῆς τάξεως τῆς ἀριστοτέλους
φιλοσοφίας, μετὰ τὴν τῶν κατηγοριῶν βίβλον, τὰ τοπικὰ βούλεται τετάχθαι.
τίνα ἂν σχοίη αἰτίαν πιθανὴν ἀνδρὸς ἐλλογίμου κρίσις. ἢ ὅτι προηγεῖσθαι μὲν δεῖ
πάντως τὴν τῶν ἁπλῶν φωνῶν γνῶσιν, διὰ τοῦ τῶν κατηγοριῶν βιβλίου. πρὸ δὲ
τῆς ἀποδεικτικῆς μεθόδου, ἐκ τῶν ἀναγκαίως αὐτῆς προηγουμένων συλλογισμῶν
καὶ προτάσεων, τὴν δὲ ἐξ ἐνδόξων καὶ πιθανῶν συλλογιζομένην παραδίδωσι μέθο-
δον. διὸ ἐπειδὴ κατὰ συλλογισμὸν καὶ αὕτη πρόεισι, προδιδάσκει καὶ αὐτὴ ταύτης,
τί ἐστι κοινὸς συλλογισμός. ὥσπερ καὶ αὐτὴ τῶν προτέρων ἀναλυτικῶν. εἰ γὰρ ἀπὸ
τῶν ἐνδόξων αὐτὰ τὰ ἀποδεικτικά, καὶ ἀπὸ τῶν πιθανῶν αὐτὰ τὰ πάντως ἀληθῆ
εἶναι χρή, εἰκότως φαίη ἂν ἄδραστος, ἡ τοπικὴ πραγματεία, τῆς τε ἀποδεικτικῆς προ-
ηγεῖται, καὶ τῶν ἀναγκαίως προλαμβανομένων τῆς ἀποδείξεως. ἀλλὰ ταῦτα μὲν
πιθανῶς. εἴπερ ἄρα καὶ πιθανῶς εἴρηται. ἄτοπος δὲ ὄντως ἡ πρὸ τῶν τοπικῶν
ἐπιγραφὴ τοῦ βιβλίου. αἱ γὰρ ἁπλαῖ φωναί, τῶν τε προτάσεων τῶν ἀπ' αὐτῶν ἡ-
γοῦνται προσεχῶς, καὶ τῶν δ' ἐξ ἐκείνων συλλογισμῶν. οἱ δὲ περὶ τῶν γενῶν τοῦ ὄν-
τος, ἢ περὶ τῶν δέκα γενῶν ἐπιγράφοντες, ὥσπερ καὶ πλωτίνῳ δοκεῖ, ἐν τῇ πρὸς αὐ-
τὰς ἀντιλογίᾳ, πρὸς τὰ πράγματα ἀφορῶσι μόνον, ἀλλ' οὐ πρὸς τὸν λογικὸν σκο-
πόν. τὰ γὰρ γένη τοῦ ὄντος, αὐτὰ τὰ πράγματά ἐστιν. ὅτι δὲ οὐ περὶ τῶν ὄντων ὁ σκοπός,
ἀλλὰ περὶ τῶν σημαινουσῶν αὐτὰ φωνῶν καθὸ σημαντικαί, εἴρηται μὲν καὶ πρότερον. σα-
φῶς δὲ καὶ αὐτὸς ἐνδείκνυται ἕκαστον τῶν εἰρημένων εἰπών, αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ
καταφάσει λέγεσθαι. τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ, κατάφασιν γίνεσθαι. εἰ δὲ ἡ
κατάφασις ἐν φωνῇ καὶ λόγῳ, οὐκ ἂν εἴη περὶ τῶν ὄντων ὁ σκοπός. οὐ γὰρ ἡ τῶν πραγμάτων

συμπλοκὴ κατάφασις γίνεται, ἀλλ' ἡ τῶν σημαντικῶν φωνῶν. εἰ δὲ καὶ ἑκάστου τῶν ἐνταῦ
θα παραδεδομένων, ἤτοι οὐσίαν σημαίνειν ἢ ποσὸν ἢ ποιὸν ἢ ἄλλο τι φησί, τὰ δὲ σημαίνον
τα οὐχὶ τὰ πράγματα ἐστί, σημαίνεται γὰρ ἐκεῖνα, ἀλλ' αἱ φωναί, δῆλον ὅτι οὐ περὶ
τῶν ὄντων, ἀλλὰ περὶ τῶν σημαινουσῶν τὰ ὄντα φωνῶν ἡ πραγματεία. ἀλλ' ἐπειδὴ
κατηγορίαι παρὰ τοῖς πλείστοις ἐπιγέγραπται, τὴν αἰτίαν τούτου ζητητέον. οὐ γὰρ δὴ
τὰς μετὰ αἰτίας ἐγκλήσεις ὅπως χρὴ ποιεῖσθαι διὰ τοῦδε τοῦ βιβλίου διδασκόμεθα. ῥη-
τόρων γὰρ ἀλλ' οὐ φιλοσόφων ἡ τοιαύτη σπουδή. καὶ ἀντίκειται τῷ τοιούτῳ κατηγορεῖν,
τὸ ἀπηγορεῖν. ὅπερ ἐστὶ τὸ ἀπολογεῖσθαι. ἀλλ' ὁ μὲν Πορφύριος ἁπλοϊκώτερον ἐξηγού-
μενος, τὸ ἀγορεύειν φησὶ τὰ πράγματα κατὰ τοῦ σημαινομένου κατηγορεῖν λέγεσθαι.
καὶ ὅλως τὸ, λέξιν σημαντικὴν κατὰ πράγματος λέγειν. ὥστε φησί, πᾶσα ἁπλῆ λέξις
σημαντική, ὅταν καθ' οὗπερ ἐστὶ πράγματος ἀγορευθῇ τε καὶ λεχθῇ, λέγεται κατηγο-
ρία, οὕτω καὶ τῆς ἐν ῥήμασι λέγων. καίτοι τούτῳ γε τῷ λόγῳ, καὶ ὁ Σωκράτης, καὶ ἡ τῶν με-
ρικῶν ἑκάστου σημαίνουσα ἁπλῆ λέξις κατηγορία ἂν ῥηθείη. καὶ οὕτως, οὐ περὶ τῶν γε-
νικωτάτων, ἀλλὰ περὶ τῶν ἁπλῶν λέξεων ἔσται ὁ λόγος. ἄμεινον οὖν οἱ ἄλλοι, κατηγο-
ρίας ἐπιγεγράφθαι φασί, διὰ τὸ περὶ τῶν γενικωτάτων εἶναι, ἅπερ ἀεὶ κατη-
γορεῖσθαι πέφυκε. τοῦ γὰρ ἀποφαντικοῦ λόγου, ἐν ᾧ τὸ ἀληθὲς συνίσταται καὶ τὸ
ψεῦδος, τὸ μὲν τί ἐστιν ὑποκείμενον περὶ οὗ ὁ λόγος. τὸ δέ, περὶ ἐκείνου λεγόμενον.
ὅπερ κατηγορούμενον ὡς κατὰ τοῦ ὑποκειμένου λεγόμενον καλεῖται. οἷον, Σω-
κράτης ἄνθρωπός ἐστιν. ὑπόκειται μὲν ὁ Σωκράτης. κατηγορεῖται δὲ ὁ ἄνθρωπος.
καὶ ὑπόκειται μὲν τὸ μερικώτερον. κατηγορεῖται δὲ τὸ καθολικώτερον. καὶ ἀδύνατον
ἐπὶ τῶν κυρίως κατηγορουμένων ἀντιστρέψαι. οὐ γὰρ δυνατὸν εἰπεῖν, ὅτι ὁ ἄνθρωπος
Σωκράτης ἐστίν, οὐδὲ ὅτι τὸ ζῷον ἄνθρωπος. ἔστι δὲ τὰ μὲν, μόνως κατηγορούμενα, ὡς καὶ
ἐν τῇ Πορφυρίου εἰσαγωγῇ εἴρηται τὰ γενικώτατα γένη. τὰ δὲ, μόνως ὑποκείμενα
τὰ ἄτομα. καὶ γὰρ ἐκείνων μὲν τὰ ἄλλα μετέχει. διὸ καὶ λέγεται κατὰ τῶν μετεχόντων.
ἐκεῖνα δὲ ἄλλων οὐ μετέχει. διὸ οὐδενὶ ἐκεῖνα πρὸς κατηγορίαν ὑπόκειται. τὰ δὲ ἄτο-
μα, μετέχει μὲν τῶν ὑπὲρ αὐτά. καὶ διὰ τοῦτο ὑπόκειται αὐτοῖς. ὑπ' οὐδενὸς
δὲ ὡς ὁλικώτερον μετέχεται. καὶ διὰ τοῦτο οὐδενὸς κατηγορεῖται. εἰ τοίνυν
περὶ τῶν ἀνωτάτων γενῶν ἐστιν ὁ τοῦ βιβλίου σκοπός, εἰκότως ἐπιγέγραπται κα-
τηγορίαι. καὶ γὰρ καὶ Ἀρχύτας τὸν αὐτὸν ἔχων σκοπόν, βιβλίον περὶ τῶν καθό-
λου λόγων ἐπέγραψε. τῶν καθόλου κατηγορουμένων ἀεὶ τῶν ὑφ' ἑαυτά, οὐδέ-
ποτε δὲ ὑποκειμένων. εἰ δὲ ξενίζει τὸ ὄνομα παρὰ τὴν συνήθειαν κείμενον, οὐδὲν
θαυμαστόν. ἐλλειπόντων γὰρ τῶν ὀνομάτων ὡς πρὸς τὰ πράγματα, οἱ φιλόσο-
φοι, οὐ μόνον γινώσκειν τὰ πράγματα βουλόμενοι τὰ τοῖς ἄλλοις ἀγνοούμενα,
ἀλλὰ καὶ ἐκφαίνειν τοῖς βουλομένοις μαθεῖν, ποτὲ μὲν ὀνοματοποιεῖν ἀναγκά-
ζονται, ὡς αὐτὸς Ἀριστοτέλης τὸ τῆς ἐντελεχείας ὄνομα τὸ ποιήσας. ἔστι δὲ ὅτε τοῖς
ἐπ' ἄλλων κειμένοις ἐπ' ἄλλων κατεχρήσαντο, οἰκείως μεταφέροντες. ὥσπερ νῦν
τὸ τῆς κατηγορίας. Κατηγορίαι δὲ ἐπιγέγραπται. καὶ οὐ περὶ κατηγοριῶν, διὰ τὸ σύνηθες

Universitäts- und
Landesbibliothek Düsseldorf

εἶναι πολλάκις τὸ ὄνομα περὶ οὗ ὁ λόγος ἐπ' εὐθείας πτώσεως προγράφειν τοῦ γράμμα-
τος. οὕτως ὁ περὶ θεμιστοκλέους λόγος, θεμιστοκλῆς ἐπιγέγραπται. καὶ ὁ περὶ πολιτείας,
πολιτεία. Ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, μάλιστα μὲν ἡ τῶν ἐννοιῶν πυ-
κνότης. καὶ τὸ συνεστραμμένον τῆς φράσεως δηλοῖ, κατὰ τὴν νοερὰν τοῦ ἀριστοτέλους
προϊοῦσα δύναμιν. καὶ αὐτὸς δὲ μέμνηται τοῦ βιβλίου ἐν ἄλλοις, δέκα κατηγορίας αὐτὸ
καλῶν. ἵνα μὴ ὑπονοήσωμεν, τοῦ ἀρχυτείου μνημονεύειν αὐτὸν ἄλλην ἐπιγραφὴν
ἔχοντος. κοινῶν καὶ ἐκεῖνα νοθεύειν χρὴ τὰ συγγράμματα, ἐν οἷς μέμνηται τούτου, ἢ μηδὲ
τοῦτο ἀθετεῖν. ἀλλὰ καὶ οἱ σπουδαιότεροι τῶν ἑταίρων αὐτοῦ, ὡς γνήσιον ἀπεδέξαν-
το τὸ βιβλίον. πρὸς δὲ τούτοις μὴ τούτου προγραφέντος τῷ ἀριστοτέλει τοῦ βιβλί-
ου ἄναρχος ἂν ἦν καὶ ἀκέφαλος. καὶ πᾶσα μὲν ἡ ἀριστοτέλους φιλοσοφία, ἐξαιρέ-
τως δὲ ἡ λογικὴ πραγματεία. Ἱστορεῖ δὲ ὁ ἄδραστος ἐν τῷ περὶ τῆς τάξεως τῶν ἀριστο-
τέλους συγγραμμάτων, ὅτι φέρεται καὶ ἄλλο τῶν κατηγοριῶν βιβλίον, ὡς ἀριστοτέ-
λους. καὶ αὐτὸ ὂν βραχὺ καὶ σύντομον κατὰ τὴν λέξιν, καὶ διαιρέσεσιν ὀλίγαις
διαφερόμενον. ἀρχὴν δὲ ἔχον, Τῶν ὄντων, τὸ μέν ἐστι. πλῆθος δὲ στίχων ἑκατέρου
τὸ αὐτὸ ἀναγράφει. ὥστε τὸ βραχὺ κατὰ τὴν λέξιν εἰπεῖν, ὡς συντόμως ἑκάστου τῶν
ἐπιχειρημάτων ἐκτιθεμένου. λοιπὸν δὲ, τὸ περὶ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως τοῦ
βιβλίου λέγειν ὑπολείπεται. ἀλλὰ τινὲς μὴ ἐπιστήσαντες, ὅπως τε κατὰ τὰ ἄρθρα διήρην-
ται, καὶ ὅπως τήν τε πρὸς τὸν ὅλον σκοπὸν χρείαν ἀποπληροῦσι καλῶς. καὶ τὴν
πρὸς ἄλληλα συνέχειαν διασώζουσι, στοιβηδὸν κεῖσθαι νομίζουσι τὰ κεφάλαια, κατὰ
τὸν ὑπομνηματικὸν τρόπον. καὶ δὴ ἀντιλέγουσιν αὐτῷ τινὲς, ἀθετοῦντες τὴν διαίρε-
σιν. οἱ μὲν, ὡς πλεονάζουσαν μάτην. οἱ δὲ, ὡς πολλὰ παριεῖσαν. ὡς κορνοῦτος καὶ ἀθη-
νόδωρος. οἵτινες περὶ λέξεων οἰόμενοι τὸν σκοπὸν εἶναι, καθὸ λέξεις εἰσὶ, πολλὰς
λέξεις προβάλλονται. τὰς μὲν, κυρίας. τὰς δὲ, τροπικὰς, ἐλέγχειν οἴονται τὴν δι-
αίρεσιν, ὡς οὐ πάσας λέξεις περιλαμβάνουσαν. οἳ καὶ διαίρεσιν τῶν ὀνομάτων οἴονται ποι-
εῖσθαι, εἴς τε ὁμώνυμα καὶ συνώνυμα καὶ παρώνυμα. καὶ εἶναι τὸ βιβλίον παντοδαπῶν θεω-
ρημάτων σωρείαν ὑπολαμβάνουσι. λογικῶν τε καὶ φυσικῶν, καὶ ἠθικῶν καὶ θεολογικῶν. εἶ-
ναι γὰρ τὰ μὲν, περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων σκέμματα λογικά. ἔτι
δὲ καὶ τὸ περὶ τῶν ἀντικειμένων. τὰ δὲ περὶ κινήσεως, φυσικά. ἠθικὰ δὲ, τὰ περὶ ἀρετῆς καὶ
κακίας. ὥσπερ θεολογικὰ, τὰ περὶ τῶν δέκα γενῶν φιλοσοφήματα. τὸ δὲ ἀληθὲς,
οὐχ οὕτως ἔχει. οὔτε γὰρ διαίρεσιν ποιεῖται τῶν ὀνομάτων, οὐ γὰρ ἂν τὰ ἑτερώνυμα
καὶ πολυώνυμα παρῆκεν. ἀλλ' ἔστιν ὡς εἰς μεγάλα μέρη διελεῖν, τριμερὲς τὸ βιβλίον. καὶ
ἐν μὲν τῷ πρώτῳ, διαρθροῖ ἅτινα πρὸς τὰς κατηγορίας ἐσόμενα χρήσιμα. τί ἐστιν ὁμώνυ-
μον. τί συνώνυμον. τί παρώνυμον. καὶ γὰρ ἔμελλεν ἐρεῖν, ὅτι τὰ μὲν, ἐν ὑποκειμένῳ ὁμω-
νύμως κατηγορεῖται. τὰ δὲ καθ' ὑποκειμένου, συνωνύμως. καὶ ὅτι παρωνύμως ἀπὸ
τῆς ποιότητος λέγεται τὰ ποιά. καὶ ἀπὸ τῆς ποσότητος, τὰ ποσά. ἵνα τοίνυν μὴ
διακόπτηται ἡ συνέχεια τῆς διδασκαλίας, περὶ τούτων αὐτῶν μεταξὺ διδάσκοντος, κἂν ἐρ-
μηνευόμενα τὸν ὅλον λόγον ἀσαφῆ ποιῇ, εἰκότως αὐτῶν προύλαβε τὴν διάρθρωσιν.

Universitäts- und
Landesbibliothek Düsseldorf

Τὸ δὲ δεύτερον κεφάλαιον, περὶ αὐτῶν τῶν δέκα γενῶν διεξέρχεται. τὸ δὲ τρίτον, περὶ τινῶν καὶ αὐτὸ διαλέγεται, ὧν ἐν τοῖς περὶ κατηγοριῶν ἐμνήσθη λόγοις. καὶ τούτων τὴν ἀκριβεστέραν ἔννοιαν παραδίδωσι. οἷον τὸ ἅμα λέγων. ἐπειδὴ τὰ πρός τι ἅμα εἶπεν ὑφεστάναι. καὶ ποσαχῶς λέγεται τὸ πρότερον. ἵνα μὴ νῦν μὲν αὐτοῦ τὴν δὲ τὴν οὐσίαν πρότερον λέγοντες, ἄλλοτε δὲ ἄλλην ἀντιφάσκειν αὐτὸν πρὸς ἑαυτὸν ὑπονοήσωμεν. ἀλλ' εἰδείημεν κατὰ ποῖον ἐκείνην τοῦ προτέρου σημαινομένου εἴρηται πρώτη. κατὰ ποῖον δὲ αὕτη. ἔτι περὶ κινήσεως δὲ λέγει μνησθεὶς αὐτῆς ἐν τῷ ποιεῖν καὶ πάσχειν. ἔτι τὰ ἀντικείμενα διαιρεῖται μνημονεύσας καὶ τούτων, ἔν τε τοῖς πρός τι, καὶ ἐπί τισι τῶν ποιῶν. Τί οὖν μὴ καὶ ταῦτα προύταξε τοῦ περὶ τῶν κατηγοριῶν λόγου, ἢ διὰ τί μὴ κἀκεῖνα μετὰ τὰς κατηγορίας ἐπήγαγεν. Ἀπορήσας ὁ Πορφύριος, λύει καλῶς τὴν ἀπορίαν. ὅτι ἐκεῖνα μὲν παντελῶς ἄγνωστα ἦν, ἀπὸ τῆς συνηθείας. τούτων δὲ ἐννοίας μὲν ἔχομεν τινάς. οὐ μὴν ἀκριβῆ διάκρισιν οὐδὲ αὐτῶν. μὴ βουλόμενος οὖν ἐπὶ πολὺ τὸν περὶ αὐτῶν τῶν κατηγοριῶν ἀναβάλλεσθαι λόγον, ὑπερέθετο ταῦτα ἐς ὕστερον. οὔτε προδιδάξαι αὐτὰ ἀναγκασθείς, διὰ τὸ ὁποιανοῦν προϋπάρχουσαν αὐτῶν ἔννοιαν. οὔτε ἀτεχνῆ τὴν περὶ αὐτῶν γνῶσιν καταλιπέσθαι τῷ ἀκροατῇ συγχωρῶν. εἰ γὰρ καὶ χρώμεθά πως ἀπὸ τῆς συνηθείας ὀνόμασιν, ἀλλ' οὐ γινώσκοντες αὐτῶν τὰς φύσεις ἀκριβῶς εἰς ἃς οἱ ὀνοματοθέται βλέποντες τεθείκασι. Ταῦτα μὲν οὖν εἰρήσθω περὶ τῆς τοῦ βιβλίου διαιρέσεως, εἰς τὰ οἰκεῖα κεφάλαια. εἰ δὲ καὶ ὑπὸ ποῖον μέρος τῆς Ἀριστοτέλους φιλοσοφίας ποθεῖ τις μαθεῖν, δῆλον ὅτι ὑπὸ τὸ ὀργανικόν. τῆς γὰρ λογικῆς πραγματείας δέδεικται τὸ πρῶτον ἐπέχουσα μέρος, ἡ περὶ τῶν ἁπλῶν φωνῶν διδασκαλία. ἡ δὲ λογικὴ πᾶσα, τὸ ὀργανικόν ἐστι μέρος τῆς φιλοσοφίας. ὥσπερ οἱ κανόνες τε καὶ αἱ στάθμαι, τῶν τεκτόνων τε καὶ οἰκοδόμων:~

## ΠΕΡΙ ΟΜΩΝΥΜΩΝ

Ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν. ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

Ἀποροῦσιν οἱ περὶ τὸν Νικόστρατον, τί δή ποτε περὶ τῶν κατηγοριῶν εἰπεῖν προθέμενος, οὐ περὶ αὐτῶν εὐθύς, ἀλλὰ περὶ τῶν ἄλλων διδάσκει. τῶν τε ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων. πρὸς οὓς καλῶς ὑπήντησεν ὁ Πορφύριος. ὅτι καθ' ἑκάστην σχεδὸν πραγματείαν θεωρητικὴν, προγράφεταί τινα πρὸς σαφήνειαν τείνοντα τῶν ἑξῆς. ὥσπερ ἐν γεωμετρίᾳ οἱ ὅροι καὶ τὰ ἀξιώματα. καὶ τὰ αἰτήματα. καὶ ἐνταῦθα οὖν ἐπειδὴ περὶ τῶν πρώτων λέξεων πρόκειται λέγειν. αἵτινές εἰσι τῶν πρώτων καὶ ἁπλῶν πραγμάτων δηλωτικαί. ὑφ' ἃς ἔδει καὶ τὰ ἄλλα πάντα συνάγεσθαι. εἰ μὲν ἑκάστου πράγματος ἓν ἦν ὄνομα ἴδιον, ὑπὸ μίαν ἕκαστον ἀνήγετο κατηγορίαν. εἰ δὲ τὸ αὐτὸ ὄνομα πλειόνων ἐστὶ πραγμάτων καὶ κατ' οὐσίαν διαφερόντων, διακρίσεως ἔδει. ποτὲ μὲν, δηλονότι ὑπὸ τὴν αὐτὴν ἀνάγεται κατηγορίαν. ποτὲ δὲ οὔ. ὥσπερ ζῷον ὅ τ' ἄνθρωπος καλεῖται καὶ ὁ ἵππος. καὶ πάλιν ζῷον, ὅ, τε σωκράτης, καὶ ἡ τοῦ σωκράτους εἰκών, χρωμάτων οὖσα σχηματισμός. τούτων γὰρ ὁ μὲν ἄνθρωπος καὶ ὁ ἵππος, τῆς αὐτῆς οὐσίας τοῦ ζῴου μετέχοντες, συνωνύμως αὐτῶν κατηγορουμένης, ὑπὸ μίαν ἀνάγονται κατηγορίαν. ὁ δὲ σωκράτης καὶ ὁ γεγραμμένος, ἅτε μὴ τῆς οὐσίας ἄμφω τοῦ ζῴου μετέχοντες, ἀλλ' ὁ μὲν, τῆς οὐσίας. ὁ δὲ, χρώματος καὶ σχήματος ἐπιπολαίου, οὐκέτι ὑπὸ τὴν αὐτὴν ἀνάγονται κατηγορίαν. ἀλλ' ὁ μὲν σωκράτης, ὑπὸ τὴν οὐσίαν. ὁ δὲ γεγραμμένος, ὑπὸ τὸ ποιόν. ἔδει τοίνυν προδιδάξαι περὶ τοῦ ὁμωνύμου καὶ συνωνύμου. ὅτι δὲ χρειώδης ἐστὶν ἡ τῶν ὁμωνύμων πρόληψις, ἐδήλωσεν ἀνδρόνικος προτάξας. τῶν λεγομένων, τὰ μὲν, ἄνευ συμπλοκῆς λέγεται. τὰ δὲ, μετὰ συμπλοκῆς. καὶ τῶν ἄνευ συμπλοκῆς, ὁμώνυμα μὲν λέγεται, ὧν ὄνομα μόνον κοινόν. ὥστε χρειώδης ἡ τῶν ὁμωνύμων φαίνεται πρόληψις. διά τε τὰ εἰρημένα, καὶ ὅτι πολλῆς οὔσης ἀμφιβολίας, εἴτε γένος τὸ ὄν, εἴτε μή, ἐκ τῶν ὁμωνύμων καὶ συνωνύμων γινώσκεται. ὁ δέ γε θεῖος ἰάμβλιχος δοκεῖ μοι φησὶ πάντων κάλλιστον, ἀπὸ τῶν ὁμωνύμων ἄρχεσθαι τὸν περὶ τῶν κατηγοριῶν πραγματευόμενον. αὗται γὰρ δή που εἰσὶν αἱ κατηγορίαι ὁμώνυμον ἔχουσι τὸ τῆς κατηγορίας ὄνομα. πράγμασι μὲν γὰρ καὶ τοῖς ὅλοις γένεσι διεστήκασιν. οὐδὲν δὲ ἄλλο, ἢ μόνον ὄνομα ἔχουσι κοινόν. καὶ αὐτὸ δὲ τὸ κατηγορεῖν ὁμωνύμως λέγεται. εἰ τοίνυν οὐκ ἔνεστιν, οὐδὲ αὐτὸ τοῦτο τὸ ἰδίωμα τῆς κατηγορίας συνιέναι, οὐδὲ ὅπως κοινὸν κατὰ πλειόνων ὑπάρχει, καὶ πρὸς πάντα τὰ ὄντα σχέσιν ἔχει, δίχα τοῦ ἂν εὕροι, εἰ μή τις τὰ ὁμώνυμα ἀφορίσαιτο, εἰκότως ἐν ἀρχῇ τὸν περὶ αὐτῶν ποιεῖται λόγον. καὶ ἄλλως δὲ πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις, οὐδέν ἐστιν οἷον τὸ διαστέλλεσθαι τὰ ὀνόματα. τοῦτο καὶ πλάτων ἐν τῷ εὐθυδήμῳ λέγει. συνομολογοῦσι δὲ καὶ οἱ ἄλλοι πάντες, ὅτι τὸ διττὸν ὁ εὐθύδημος τῶν ὀνομάτων, μεγάλην ἀφορμὴν εἰς διαλεκτικὴν παραδέδωκεν. ἀλλ' ἴδωμεν ὅπως τῶν ὁμωνύμων τὴν φύσιν ὁ ἀριστοτέλης ἐδήλωσεν, ὀλίγα πως αὐτοῦ τὴν λέξιν σαφηνίζοντες. τῶν πραγμάτων ἕκαστον,

καὶ διὰ τοῦ ὀνόματος δηλοῦται καὶ διὰ λόγου ὑπογραφικοῦ, ἢ ὁριστικοῦ. οἷον, ὁ ἄνθρωπος. καὶ διὰ τούτου τοῦ, ἄνθρωπος ὀνόματος, καὶ διὰ τοῦ ὁριστικοῦ λόγου τοῦ λέγοντος, ζῷον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. τοῦ μὲν ὀνόματος, κατὰ τὸ μονοειδὲς αὐτὸ δηλοῦντος. τοῦ δὲ λόγου, κατὰ τὸ πολυμερές. ἀλλὰ τὸ μὲν ὄνομα, σύμβολον ὑπάρχον δύναται καὶ ἄλλου τινὸς κατ' οὐσίαν διαφέροντος τὸ αὐτὸ εἶναι. οἷον, τοῦ γεγραμμένου ἀνθρώπου σύμβολον καὶ ἐκεῖνο γενόμενον. τὸν δὲ ἐξηγητικὸν τῆς οὐσίας λόγον, ἀδύνατον ἄλλου κατ' οὐσίαν διαφέροντος τὸν αὐτὸν εἶναι. Ἰστέον οὖν ὅτι ὅσα μὲν κατὰ τὸ ὄνομα κοινωνοῦντα διαφέρει κατὰ τὸν λόγον, ταῦτα καλεῖται ὁμώνυμα. ὅσα δὲ ἀνάπαλιν, κατὰ μὲν τὸν λόγον κοινωνεῖ, διαφέρει δὲ κατὰ τὸ ὄνομα, ταῦτα καλεῖται πολυώνυμα. οἷον, ὁ τοῦ ἀνθρώπου ὁρισμὸς εἷς. ὀνόματα δὲ, πλείονα. μέροψ. βροτός. καὶ ἔτι τοιοῦτον. τὰ δὲ κατ' ἄμφω κοινωνοῦντα τό, τε ὄνομα καὶ τὸν λόγον, καλεῖται συνώνυμα. ὡς ἄνθρωπος, καὶ ἵππος, κοινωνεῖ καὶ τοῦ ὀνόματος τοῦ ζώου, καὶ τοῦ ὁρισμοῦ. ζῷα γὰρ ἄμφω. καὶ οὐσία ἔμψυχος αἰσθητική. καὶ διὰ τοῦτο συνωνύμως ἀμφοῖν τὸ ζῷον κατηγορεῖται. τὰ δὲ μήτε κατὰ τὸ ὄνομα μήτε κατὰ τὸν λόγον κοινωνοῦντα, καλεῖται μὲν ἑτερώνυμα. ἔστι δὲ κατὰ τὸ ἀληθὲς ἕτερα. καὶ μάλιστα ὅταν μὴ δὲ ὑποκείμενον ἔχωσι κοινόν, ὡς ἡ ἀνάβασις καὶ ἡ κατάβασις τὴν κλίμακα. τὰ γὰρ τοιαῦτα, μᾶλλον ἂν ἑτερώνυμα λέγοιντο. ἔστι δὲ τινὰ, καὶ τὰ πῇ μὲν κοινωνοῦντα ἀμφοῖν, πῇ δὲ διαφέροντα, ὡς τὰ παρώνυμα λεγόμενα, ὅταν ἀπὸ τῆς λευκότητος λευκὸν λέγηται, καὶ ἀπὸ τῆς γραμματικῆς γραμματικόν. πέντε οὖν τούτων ἐκ τῆς διαιρέσεως ἀναφανέντων, ὁμωνύμων. συνωνύμων. πολυωνύμων. ἑτερωνύμων. παρωνύμων, τὰ τρία μόνα νῦν παρέλαβεν ὁ ἀριστοτέλης. τά, τε ὁμώνυμα. καὶ τὰ συνώνυμα. καὶ τὰ παρώνυμα. αἰτίαι δὲ δι' ἃς πέντε ὄντων ἐκ τῆς διαιρέσεως τῶν ὀνομάτων ἀναφανέντων ὁμωνύμων. πολυωνύμων. συνωνύμων. ἑτερωνύμων. παρωνύμων, μόνα τὰ τρία νῦν παρέλαβεν ὁ ἀριστοτέλης. τὰ δὲ πολυώνυμα παρῆκε καὶ τὰ ἑτερώνυμα, ὅτι τάχα μὲν καὶ τούτοις μόνοις ἐν τῷ περὶ τῶν κατηγοριῶν ἐχρήσατο λόγῳ. τάχα δὲ ὡς ἐκ τῶν δύο τούτων, ῥᾳδίας οὔσης τῆς τῶν ἀντικειμένων αὐτῶν γνώσεως. ὁ γὰρ τὰ ὁμώνυμα ἐγνωκώς, τὰ κατὰ μὲν τὸ ὄνομα κοινωνοῦντα, κατὰ δὲ τὸν λόγον διαφέροντα, εἴσεται καὶ τὰ πολυώνυμα. τὸν μὲν λόγον ἔχοντα κοινόν, διάφορα δὲ τὰ ὀνόματα. καὶ πάλιν ὁ τὰ συνώνυμα ἐγνωκώς, τὰ κατ' ἄμφω κοινωνοῦντα, εἴσεται καὶ τὰ ἑτερώνυμα διαφέροντα κατ' ἄμφω. καὶ οὕτως ἄν τις ὀρθῶς λέγῃ τῆς ἀριστοτελικῆς συντομίας στοχαζόμενος. ὀρθότερον δὲ, ὡς καὶ τῷ συριανῷ φιλοσόφῳ δοκεῖ. τὰ παραλειφθέντα δύο, τά τε πολυώνυμα καὶ ἑτερώνυμα, πρὸς διαλεκτικὴν παρασκευὴν ὁρᾶν, ἢ πρὸς αὐτὴν τὴν τῶν πραγμάτων ἐπίβλεψιν. διόπερ ἐν ῥητορικαῖς τέχναις ἢ ἄλλαις πραγματείαις, οἰκειότερον περὶ τούτων διαλέξεται. ἐν αἷς τό, τε αὐτὸ πολλαχῶς λέγειν, διὰ τῆς πολυωνυμίας διδάξει. καὶ τὰ ἕτερα τῇ φύσει, δι' ἑτέρων ὀνομάτων προφέρεσθαι, ἵνα σαφὴς καὶ ἀσύγχυτος ὁ λόγος φαίνηται. ἐνταῦθα δὲ περὶ ὁμωνύμων καὶ συνωνύμων διαλέγεται, πραγμα-

τει ὡς δὴ τὴν διαφορὰν ἐχόντων. καὶ πρῶτον περὶ τῶν ὁμωνύμων, ὡς ἁπλουστέρας δεομένων γνώσεως. καὶ κατὰ ἓν κοινωνούντων τὸ ὄνομα. εἶτα περὶ συνωνύμων κατὰ ἄμφω κοινωνούντων, τό, τε ὄνομα καὶ τὸν λόγον. καὶ ἐφεξῆς περὶ παρωνύμων. τελείως μὲν κατὰ οὐδὲν τούτων. λέγω δὴ ὀνόματος καὶ πράγματος κοινωνούντων. μέσων δὲ ὄντων ὁμωνύμων καὶ συνωνύμων. ὁ δὲ θεῖος ἰάμβλιχος, διὰ τοῦτο ὡς περὶ ἁπλουστέρων τὸν περὶ τῶν ὁμωνύμων λόγον προηγεῖσθαί φησι. διότι αἱ κατηγορίαι, ὁμωνύμως εἰσὶ κατηγορίαι. καίτοι τὴν φύσιν ἔχουσαι συνωνύμως κατηγορεῖσθαι τῶν ὑφ' αὐτάς. ἀλλὰ τῷ γε κατηγορίαι εἶναι καὶ γενικώτατα, οὐ μόνον μέχρι τοῦ ὀνόματος κοινὸν ἔχουσιν, ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ κατηγορεῖσθαι φύσις, τουτέστι τοῦ εἶναι γενικώτατα, κοινή ἐστιν.

Ἀποροῦσι δὲ καὶ διατί, καίτοι περὶ λέξεων προθέμενος εἰπεῖν, ἀλλ' οὐ περὶ αὐτῶν τῶν πραγμάτων, ὅμως περὶ ὁμωνυμίας μὲν οὐδὲν λέγει. περὶ δὲ τῶν ὁμωνύμων διδάσκει. καίτοι προηγουμένης τῆς κατὰ τὴν ὁμωνυμίαν ἐννοίας. εἴπερ ἀπ' ἐκείνης τὰ ὁμώνυμα.

Καὶ λύσιν ἐπάγουσι πρὸς τοῦτο καλῶς. ὅτι ἀπὸ τῶν πραγμάτων γίνεται δῆλα τὰ ὁμώνυμα, ὅταν τοῦ αὐτοῦ ὀνόματος ἐκτεθέντος, ἐγὼ μὲν ἄλλην ἔννοιαν, σὺ δὲ ἄλλην προβαλώμεθα. ὥσπερ τοῦ κύων ὀνόματος ἐκτεθέντος, ἐγὼ μὲν τὸν χερσαῖον, σὺ δὲ τὸν θαλάττιον ἐννοήσειας. διὸ καὶ ἐν τοῖς παρωνύμοις συλλογισμοῖς, ἡσυχάζειν οἱ διαλεκτικοὶ παρακελεύονται. ἕως ἂν ἐπὶ ἄλλο σημαινόμενον ὁ ἐρωτῶν ἐπαγάγῃ τὸ ὄνομα. οἷον εἴ τις ἐρωτᾷ εἰ ὁ χιτὼν ἀνδρεῖος, εἰ τύχοι ἀνδρεῖος ὤν, συγχωρήσομεν. καὶ εἰ ἐρωτᾷ εἰ ὁ ἀνδρεῖος εὔψυχος, καὶ αὐτὸ συγχωρησόμεθα. ἀληθὲς γάρ. εἰ δὲ συναγάγῃ, ὅτι ὁ χιτὼν εὔψυχος, ἐνταῦθα τὴν ὁμωνυμίαν τοῦ ἀνδρείου διαστείλασθαι. καὶ δεῖξαι τὴν ἀνδρείαν, ἤγουν τὴν εὐψυχίαν, ὅτι ἄλλως μὲν ἐπὶ τοῦ χιτῶνος, ἄλλως δὲ ἐπὶ τοῦ τὴν ἀνδρείαν ἔχοντος λέγεται. ὥστε τὰ πράγματα κυρίως οὐχὶ τὰ ὀνόματα ποιεῖ τὴν ὁμωνυμίαν. καὶ γὰρ αὐτὸς ἐπὶ τῶν ὁμωνύμων ποιεῖται τὴν διδασκαλίαν, συνακολουθῶν τῷ αὐτοῦ σκοπῷ εὐθύς, καὶ τοῦ περὶ τῆς ὁμωνυμίας αὐτοῦ. καὶ ὁ πλάτων δὲ ἐκ τῶν πραγμάτων δηλοῦσθαί φησιν, εἴτε ὁμωνύμως φέρεται κατὰ πλειόνων τὸ αὐτὸ ὄνομα, εἴτε συνωνύμως. λέγει γοῦν ἐν τῷ σοφιστῇ. Νῦν γὰρ δὴ σὺ κἀγὼ τούτου πέρι τοὔνομα ἔχομεν κοινῇ. τὸ δὲ ἔργον ἐφ' ᾧ καλοῦμεν ἑκάτερος, τάχ' ἂν ἰδίᾳ παρ' ἡμῖν αὐτοῖς ἔχοιμεν. ὥστε ὅταν γνωσθῇ ὅτι τοῦ κοινῇ λεγομένου ὀνόματος ἰδία ἐστὶν ἔννοια παρ' ἑκατέρῳ, τότε γίνεται δῆλον, ὅτι ὁμώνυμον τὸ ὄνομα. οὐ γάρ ἐστιν αὐτὰ ἐφ' ἑαυτῶν τὰ ὁμώνυμα καὶ τὰ συνώνυμα τοιαῦτα. ἀλλ' ἐν τῇ τῶν διαλεγομένων καὶ ὀνομαζόντων παρηλλαγμένῃ ἐννοίᾳ. ἢ συμφωνούσῃ ἡ τῶν ὁμωνύμων καὶ συνωνύμων ἐστὶ φύσις. καλῶς δὲ τὸ λέγεται εἶπεν, ἐπειδὴ μὴ περὶ τῶν πραγμάτων αὐτῶν ὁ λόγος ἐστίν, ἀλλὰ περὶ τῶν σημαντικῶν λέξεων. Ἀποροῦσι δὲ τοῦτο, πῶς ὁμώνυμα ἐκεῖνα μόνον εἶπεν, ὧν ὄνομα μόνον κοινόν. καίτοι τῆς ὁμωνυμίας καὶ ἐν ῥήμασιν οὔσης, ὡς ἐπὶ τοῦ ἠνδραποδίσαι. καὶ ἐν μετοχαῖς, ὡς ἐπὶ τοῦ ἠνδραποδισμένος. καὶ ἐν συνδέσμοις. καὶ γοῦν τὸ ἢ καὶ τὸ ἤτοι, πολλὰς διαφορὰς οἱ διαλεκτικοὶ παραδιδόασι. λέγουσι δὲ πρὸς τοῦτο, ὅτι τὸ ὄνομα διχῶς λέγεται. τὸ μὲν γοῦν, δηλοῖ τὸ κύριον.

τὸ δὲ, τὸ προσηγορικόν. τὸ δὲ, τὸ κοινῶς ἐπὶ πᾶν μέρος λόγου διατεῖνον. καθὸ Πλάτωνα μὲν καλοῖς, Ξενοφῶντα δὲ κοινοῖς κεχρῆσθαι φαμέν. οὐδὲν οὖν ἄτοπον ὄνομα νῦν λέγεσθαι, τὸ κοινῶς ἐπὶ πάντα τὰ μέρη τοῦ λόγου διατεῖνον. Βοηθὸς δὲ, διχῶς φησὶ τὸ ὄνομα λέγεσθαι. τό, τε πρόταξιν ἄρθρου λαμβάνον, ὃ καὶ ἰδίως ὄνομα λέγεται, καὶ τὸ, ἐφ᾽ ἅπαντα τοῦ λόγου στοιχεῖα διατεῖνον. ἐπειδὴ οὖν ἐν τῷ ἐπιπέδῳ ἐφ᾽ ὃ ποιασοῦν λέξεως τὸ ὁμώνυμόν ἐστι προτάττομεν τὸ ἄρθρον, ὁμοίως ἐπί τε τῶν κυρίων ὀνομάτων καὶ τῶν ἄλλων λέξεων λέγοντες, τὸ κύων, ὁμώνυμόν ἐστι, καὶ τὸ ἠνδραποδίσαι, ὁμώνυμόν ἐστι. σημαίνει γὰρ καὶ τὸ ληφθῆναι αὐτὸν αἰχμάλωτον, καὶ τὸ λαβεῖν ἄλλον, τούτως τὸ ὄνομα τῶν ὁμωνύμων κοινὸν εἶναί φησιν. διότι τὸ ἴδιον τοῦ ὀνόματος ἴσχουσι πάντα, τὸ προτάττεσθαι αὐτῶν ἄρθρον. ἔοικε γὰρ τὰ οὕτω προφερόμενα τοῖς μονοπτώτοις λεγομένοις ὀνόμασι. τὸ ἀνδραποδίζεσθαι. τοῦ ἀνδραποδίζεσθαι. τῷ ἀνδραποδίζεσθαι. καὶ ἑξῆς ἅμα, διὰ τὸ ὄνομα εἰπεῖν, ἐνεδείξατο πῶς δεῖ προφέρεσθαι τὴν τῶν ὁμωνύμων διαστολήν. ὅτι προτάττοντες τὸ ἄρθρον, καὶ λέγοντες τὸ ἠνδραποδίσθαι, σημαίνει μὲν τόδε. σημαίνει δὲ καὶ τόδε. ἡ γὰρ τοῦ ἄρθρου πρότασις, τὸν τῶν ὀνομάτων τόπον δίδωσιν αὐτοῖς. μόνον δὲ τὸ ὄνομα κοινὸν εἶναί φησι τοῖς ὁμωνύμοις. τοῦ μόνου ποτὲ μὲν τὸ ἓν σημαίνοντος, ὡς ὅταν μόνον εἶναι λέγωμεν τὸν κόσμον, ποτὲ δὲ, τὴν πρὸς ἕτερον ἀντιδιαστολήν, ὡς ὅταν ἱμάτιον μόνον ἔχειν λέγωμεν, ἀντιδιαστέλλοντες ὡς πρὸς χιτῶνα. κατὰ τοῦτο δὲ καὶ νῦν τὸ σημαινόμενον παρείληπται τὸ μόνον ὡς πρὸς τὸν τῆς οὐσίας λόγον ἀντιδιαστελλόμενον. ὅπερ καὶ σαφῆ ποιεῖ τὴν εὕρεσιν τῶν ὁμωνύμων. τὸ καὶ ἓν ἀφωρισμένον τι, τὸ ὄνομα μόνον εἶναι κοινόν, καὶ πρὸς ἓν ἀφωρισμένον τι, πρὸς τὸν ὁρισμὸν ἀντιδιαστέλλεσθαι. τὸ δὲ κοινὸν πάλιν καὶ αὐτὸ πολλαχῶς λέγεται. ἢ γὰρ τὸ εἰς μέρη διαιρετὸν, ὡς ἡ κληρουχουμένη γῆ, ἢ τὸ ἀδιαιρέτως εἰς κοινὴν μὲν χρῆσιν προκείμενον. οὐχ ἅμα δὲ ὡς ὁ δοῦλος ἢ ὁ ἵππος ὁ κοινός. ἢ τὸ ἐν προκαταλήψει μὲν ἰδιούμενον. αὖθις δὲ εἰς τὸ κοινὸν ἀναπεμπόμενον. ὡς τὸ θέατρον. ἢ τὸ ἅμα ἀδιαιρέτως εἰς χρῆσιν πολλῶν ἐρχόμενον, ὡς ἡ φωνή. οὕτως δὲ καὶ τὸ ὄνομα κοινὸν τοῖς ὁμωνύμοις ἅπασιν ὑπάρχον, καὶ ἄλλοις ἅμα δυνάμενον ὑπάρξαι, ἀδιαιρέτως τὸ αὐτό. διὸ καὶ Ἀνδρόνικος παραφράζων τὸ τῶν κατηγοριῶν βιβλίον, ὁμώνυμα φησὶ λέγεσθαι, ὧν ὄνομα ταὐτόν. καὶ γὰρ καὶ τὸ ὄνομα καὶ ὁ λόγος διὰ τὴν ἀσώματον φύσιν, ἀμερίστως πάρεστι τοῖς πολλοῖς. Ἀποροῦσι δὲ καὶ πρὸς τὸ κοινὸν ὄνομα τῶν ὁμωνύμων λέγεσθαι, οἱ περὶ τὸν Νικόστρατον. ὁ γὰρ εἰπὼν κύνα, ὅτι μὲν μὴ βοῦν μηδὲ ἵππον μηδὲ ἄλλο τι λέγει τῶν τοιούτων, ἐδήλωσεν. ὃ δὲ βούλεται σημᾶναι, οὔπω δεδήλωκε. τίνα γὰρ τῶν κυνῶν. πότερον τὸν ἀστρῷον, ἢ τὸν χερσαῖον. ἢ τὸν θαλάττιον. ἢ τὸ περὶ τὴν γνάθον συμβαῖνον σπασμῶδες πάθος, οὔπω δῆλον. εἰ οὖν μηδὲν σημαίνει, οὐδὲ ὄνομα ἂν εἴη. ὥστε οὐδὲ ὁμώνυμον. τὰ δὲ ὁμώνυμα, κοινὸν ἔχειν ὄνομα ἐλέγετο. εἰ δὲ προσθήκης δεῖται τινὸς πρὸς τὸ σημᾶναί τι τῶν πολλῶν, ἐκεῖνο ἀφ᾽ οὗ τὸ ῥηθὲν, οἷον ὅτι τὸν ἀστρῷον λέγει, ἢ ἄλλον τινὰ τῶν κυνῶν, οὐκέτι κοινὸν μένει τὸ ὄνομα. τῇ γὰρ προσθήκῃ καθ᾽ ἣν μάλιστα σημαίνει, ὃ βούλεται ἰδιωθήσεται. ὥστε εἰ μὲν μὴ σημαίνει τι, οὐκέτι ὄνομα

τὸ αὐτὸ τῶν ὁμωνύμων ἀπροσθέντων λεγόμενον. εἰ δὲ τῇ προσθήκῃ τῇ ἰδίου ἑκάστου ποιοῦσι τὸ ὄνομα ἴδιον, οὐκέτι καθὸ κοινοῦ ὀνόματος μετέχει, ὁμώνυμά ἐστιν. ὁπότε τὸ μετὰ τῆς προσθήκης οὐκέτι οὔτε ὄνομα μόνον ἐστὶν, ἀλλὰ λόγος. ὥστε κἂν μὴ ἴδιον ᾖ, οὐκέτι ἐστὶν ὄνομα. τὸ γὰρ ὄνομα, σημαντικὸν εἶναι βούλεται. κἂν σημαίνῃ μετὰ τῆς προσθήκης πάλιν, οὐκέτι ἐστὶν ὄνομα, ἀλλὰ λόγος διὰ τὴν τῆς διαφορᾶς προσθήκην. ἀλλ' οὐδὲ κοινόν ἐστι διὰ τὴν διαφοράν. ὅλως δὲ κατ' οὐδὲν τῶν τοῦ κοινοῦ σημαινομένων, εἴη ἂν κοινὸν τὸ τῶν ὁμωνύμων λεγόμενον ὄνομα. οὔτε γὰρ κατὰ τὸ διαιρετὸν κοινόν, ἄλλο γὰρ ἄλλης συλλαβῆς τοῦ ὀνόματος μετέχον, οὐκέτι ἂν εἴη ὁμώνυμον. οὔτε κατὰ τὸ ὅλου μὲν ἄλλοτε δὲ ἐν ἄλλου χρήσει γινόμενον. ἅμα γὰρ ἑκάστῳ τῶν ὁμωνύμων λεγομένων ὑπάρχει τὸ ὄνομα. οὔτε κατὰ τὸ ἐν προκαταλήψει ἰδιότητι ἅμα. καὶ διότι ἔμελλεν ἕκαστον ἄλλοτε ἄλλου μεταλαμβάνειν ὀνόματος, ὥσπερ ἐν τῷ θεάτρῳ τοὺς τόπους. καὶ οὐκέτι πάλιν ὁμώνυμα. ἀλλὰ μὴν, οὐδὲ ὡς ἡ φωνή. ἡ μὲν γὰρ φωνή, τὴν αὐτὴν πᾶσιν ἐμποιεῖ διάθεσιν τοῖς ἀκούουσι. τὸ δὲ ὁμώνυμον, ἄλλοτε ἄλλην ἄλλοις ἔννοιαν παρέχει. εἰ γὰρ ἄρα ἴδιον ᾖ. εἰ δὲ μὴ ἄλλην ἄλλοις, ἀσήμαντον μένει, καὶ οὐκέτι ἐστὶν ὄνομα. Τινὲς λύοντες τὴν ἀπορίαν φασὶν. ὅτι, οὐ πᾶν ὄνομα σημαντικόν ἐστι. διχῶς γὰρ τοῦ ὀνόματος λεγομένου. τοῦ μὲν κατὰ τὸν χαρακτῆρα, κἂν μὴ τεταγμένον ᾖ ἐπί τινος σημαινομένου, ὡς τὸ βλίτυρι. τοῦ δὲ, κατατεταγμένου μὲν, μηδένα δὲ χαρακτῆρα ἔχοντος ὀνόματος. ὡς ὁ ἀλλὰ μὴν σύνδεσμος ὄνομα τῷ οἰκέτῃ τεθεὶς ὑπὸ τοῦ Διοδώρου τοὺς τῆς γραμματικῆς διορισμοὺς διαπαίζοντος, καὶ τοὺς φύσει λέγοντας εἶναι τὰ ὀνόματα. τὸ δὲ καὶ χαρακτῆρα ἔχοντος ὀνοματικὸν, καὶ κατατεταγμένου, ὡς τὸ, Σωκράτης καὶ Πλάτων. καὶ τὰ ἄλλα τὰ ὀνόματα λεγόμενα, τί κωλύει τὸ ὁμώνυμον ἀκατάτακτον εἶναι χαρακτῆρα ἔχον ὀνόματος. δύναται γὰρ κοινὸν εἶναι χωρὶς τῆς κατατάξεως λαμβανόμενον. Ἀλλ' ἀδύνατον φασὶν ἂν τοιοῦτον εἶναι τὸ ἐν τῷ ὅρῳ τῶν ὁμωνύμων παρειλημμένον ὄνομα. τὸ γὰρ ὄνομα ἐνθέν, ἀφορίζει τινὰς εἰς οὓς κατετάχθη. τὸ δὲ τῷ χαρακτῆρι μόνον ὄνομα οὐ κατατέτακται. τὸ οὖν ἀκατάτακτον ὂν, οὐκ ἂν ὑπάγοιτο τῷ ὁρισμῷ. ἢ τὸ κατατεταγμένον εἴη, οὐκ ἂν εἴη κοινόν. οὐδὲ γὰρ κοινὴ εἶναι ἡ κατάταξις δύναται. ἀλλὰ καὶ τὸ, ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος, ὡς κατατεταγμένου πάντως ἐστί. τὸ γὰρ τὸν χαρακτῆρα μόνον ἔχον, οὐδὲ λόγον ἔχει τινά. τίς γὰρ ἂν εἴη λόγος τοῦ βλίτυρι, μηδὲν σημαίνοντος. εἰ δὲ κατατέτακται, οὐκέτι ἐστὶ κοινόν. ὥσπερ οὐδὲ οἱ ὅροι κατὰ τὴν διάφορον κατάταξιν, τὸ διάφορον ἔχοντες. Μήποτε οὖν τὸ ὁμώνυμον ὄνομα, ἅτε ὄνομα καὶ οὐ πρᾶγμα, πλείοσι καὶ διαφόροις ἐφαρμόζειν δύναται. καὶ διὰ τοῦτο ἐνθέντος, ἄδηλον ἐφ' ᾧ λέγεται ἕως ἂν διορισθῇ. διορισθὲν δὲ, οὐκέτι μόνον ἐστὶ τὸ κοινὸν ὄνομα, ἀλλὰ προσέλαβε καὶ διαφοράν, ὥστε σημαίνειν ἕν. τὸ δὲ κοινὸν καὶ ἀόριστον, σημαίνει τὸ ἐν πᾶσι τοῖς ὁμωνύμοις κοινῶς καὶ ἀδιαιρέτως κατατεταγμένον. ὅπερ μετὰ τοῦ διορισμοῦ ληφθὲν, καὶ ἰδιωθὲν, καὶ ἀπομεριθὲν, τὸ κοινὸν παρίστησιν. οὐ καλῶς οὖν λέγουσιν. ὅτι εἰ σημαίνει, οὐκέτι κοινόν. ἔστι γὰρ καὶ τοῦ κοινοῦ σημασία, καὶ κατάταξις, ὡς κοινοῦ. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι τὴν ὅλην τῶν ὁμωνύμων ὑπογραφὴν,

διὸ ὁμωνύμων ἐποιήσατο. καίτοι τό τε ὄνομα καὶ τὸ μόνον καὶ τὸ κοινόν, τῶν πολλαχῶς λε-
„γομένων ἐστί. καὶ μᾶλλον τῶν καθ' ὁμωνυμίαν ὑπαρχόντων. Ὁ δὲ κατὰ τοὔνομα λόγος
„τῆς οὐσίας ἕτερος. Τὸν ὁριστικὸν λόγον σύζυγον δεῖ πάντως εἶναι τῷ ὀνόματι. ὥστε
μήτε ὑπερβάλλειν τοῦ ὀνόματος, μήτε ἐλλείπειν. καὶ γὰρ τοῦ αὐτοῦ πράγματός ἐστι
καὶ τὸ ὄνομα καὶ ὁ ὁρισμός. ἀλλ' ὁ μὲν ὁρισμός, ἀναπληροῖ καὶ διεξοδικῶς τὸ πρᾶγμα,
κατὰ τὸ πολυμερὲς αὐτοῦ περιλαμβάνων. τὸ δὲ ὄνομα συναιρεῖ καὶ συμπτύσσει, καὶ κατὰ
τὸ μονοειδὲς αὐτοῦ παραδείκνυσι. δεῖ οὖν πάντα ὁρισμὸν σύζυγον εἶναι τῷ ὀνόματι.
καὶ μήτε ὑπερέχειν μήτε ἐλλείπειν. συμβαίνει δὲ ὑπερέχειν καὶ ἐλλείπειν, ἐὰν μὴ κατὰ
τοὔνομα γίνηται ὁ ὁρισμός. ὑπερέχειν μέν, ὅταν κατά τι γίνηται τῶν ἀνωτέρω. ὥσπερ ὅταν
τὸ ζῷον ὁρίσασθαι βουλόμενος, μὴ κατὰ τοὔνομα τοῦ ζώου τὸν ὁρισμὸν ἀποδῷς, ἀλλὰ
κατά τι τῶν ὁλικωτέρως ὑπαρχόντων τῷ ζώῳ. οἷον τὸ ἔμψυχον. τότε γὰρ ἀποδώ-
σεις ὅτι ἐστὶ τὸ ζῷον οὐσία ἔνδοθεν κινουμένη, ἢ τρεφομένη καὶ αὐξομένη καὶ ὅμοια
γεννῶσα, ἢ ὅπως ἄν τις ἄλλως τὸ ἔμψυχον ὁρίσαιτο. τότε γὰρ ἀληθεύσει μὲν ἐπὶ τοῦ
ζώου. οὐ μὴν καὶ ὅρος ἔσται. οὐ γὰρ ἐξισάζει. εἴ τι μὲν γὰρ ζῷον, καὶ τρέφεται καὶ αὔ-
ξεται, καὶ γεννᾷ ὅμοιον, οὐκ ἀνάπαλιν δέ. τὰ γὰρ φυτά, οὐκ ἔστι ζῷα. ἐλλείπειν δὲ συμ-
βαίνει τὸν ὁρισμὸν τοῦ ὀνόματος, ὅταν κατά τι τῶν μερικωτέρων τοῦ ὀνόματος λαμ-
βάνηται. ὥσπερ ὅταν τὸ ζῷον ὁριζόμενοι, οὐσίαν λογικὴν θνητὴν ὁριζόμεθα. ὅπερ
ἐστὶν ἄνθρωπος. καὶ γὰρ τὸ μὲν τοιοῦτον ζῷον ἐστίν, οὐκέτι δὲ τὸ ζῷον τοιοῦτον πᾶν. πᾶς
οὖν ὅρος κατὰ τὸ ὄνομα γίνεται, ἵνα καὶ ἀντιστρέφῃ πρὸς τὸ ὄνομα. τὰ μέντοι ὁμώνυμα,
κατὰ ἄλλο μὲν δύναται τὸν αὐτὸν ἔχειν ὁρισμόν. οἷον οἱ αἴαντες καθόσον εἰσὶν ἄνθρω-
ποι, ζῷα λογικὰ θνητά εἰσι. καθὸ δὲ αἴαντες, ὁ μέν ἐστιν ὁ Ἰλέως. ὁ δέ, Τελαμώνιος.
τὸ δὲ αἴας ἐστὶ τὸ ὁμώνυμον ὡς ὑποκείμενον. ἀπερισκέπτως δὲ ὥς φασιν ἀρκεῖ τὸ λέγειν,
ὁ δὲ λόγος ἕτερος. καίτοι εἴ τις οὕτως ἀποδῴη, καὶ τὰ συνώνυμα ὁμώνυμα ἔσται. καὶ
τὰ ὁμώνυμα, συνώνυμα. ἡ μὲν γὰρ καὶ τοῖς ἵπποις ὄνομα κοινὸν τὸ ζῷον. οἱ δὲ λό-
γοι, ἕτεροι. καθὸ ἄνθρωπος. καὶ ἵππος. ἔσται οὖν τὸ συνώνυμον ὁμώνυμον. καὶ πά-
λιν ὁ θαλάττιος κύων καὶ ὁ χερσαῖος κατὰ τὸ ζῷον, τὸν αὐτὸν ἔχουσι λόγον. καὶ ἔσται
τὰ ὁμώνυμα συνώνυμα. διότι οὐ καθὸ ἦν ὁμώνυμα κατὰ τὸν κύνα ἀπεδόθη αὐτῶν
ὁ ὁρισμός, ἀλλὰ κατὰ τὸ ζῷον. ἀναγκαία οὖν ἡ κατὰ τοὔνομα προσθήκη. ὁ δὲ λόγος, σημαίνει
μὲν καὶ τὸν ἐν τοῖς ψήφοις λογισμόν. σημαίνει δὲ καὶ τὸν ἐνδιάθετον κατὰ τὴν διάνοιαν. σημαίνει
δὲ καὶ τὸν προφορικόν, καὶ τὸν σπερματικόν. σημαίνει δὲ καὶ τὸν ἑκάστου δεικτικὸν
καὶ ὁριστικόν. λόγον δὲ αὐτὸν εἶπε καὶ οὐχ ὁρισμόν, ἵνα καὶ τὴν ὑπογραφικὴν ἀπόδο-
σιν περιλάβῃ. ἥτις καὶ τοῖς γένεσι τοῖς ἀνωτάτω καὶ τοῖς ἀτόμοις ἐφαρμόττει, ὁρι-
σμῷ μὴ δυναμένοις περιληφθῆναι. διότι οὔτε τῶν ἀνωτάτω γενῶν γένος ἐστὶ λαβεῖν,
οὔτε τῶν ἀτόμων διαφοράς. ἡ δὲ ὑπογραφὴ τὴν ἰδιότητα τῆς οὐσίας ἀποδιδοῦσα, καὶ
ἐπὶ ταῦτα φθάνει. διὸ οὐ δεῖ ἁπλῶς εἰπεῖν τὸν κατὰ τοὔνομα λόγον, ἀλλὰ τὸν τῆς οὐσίας
λόγον. διότι ὁ μὲν ὑπογραφικὸς λόγος, τὴν ἰδιότητα τῆς οὐσίας ἀφορίζει. ὁ δὲ ὁριστικός,
τὸ τί ἦν εἶναι ἑκάστου, καὶ τὴν οὐσίαν αὐτήν. ὁ οὖν λόγος τῆς οὐσίας, καὶ τὸν ὁριστικὸν λόγον

καὶ τὸν ὑπογραφικόν, παρείληφε. ὥστε μάτην ἐγκαλοῦσι πάλιν οἱ περὶ τὸν Νικόστρατον, ὡς ἐν μόνῃ τῇ οὐσίᾳ δοκοῦντι λέγειν τὴν ὁμωνυμίαν τῷ Ἀριστοτέλει. εἴπερ τὸν τῆς οὐσίας λόγον ἕτερον εἶπεν ἐν τοῖς ὁμωνύμοις. καίτοι καὶ ἐν ποιότησιν οὔσης ὁμωνυμίας. εἴπερ λευκὸν χρῶμα καὶ λευκὴν φωνὴν λέγομεν. καὶ ἐν τῷ κεῖσθαι, καὶ ἐν ἄλλαις κατηγορίαις. πρὸς γὰρ ταύτην τὴν ἀπορίαν ἀπαντῶν ὁ Πορφύριος, πρότερον μὲν φησὶ, μηδὲ ἐν πᾶσι τοῦτο γεγράφθαι τοῖς ἀντιγράφοις. μήτε γὰρ Βοηθὸν εἰδέναι ὥς φησι δεικνύναι τὸν Ἀριστοτέλην, εἰπόντα ἐστὶ τὰ ὁμώνυμα λέγοντα, Ὁμώνυμα λέγεται, ὧν ὄνομα μόνον κοινόν. ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος. καὶ ἐξηγούμενος δὲ ὁ Βοηθὸς καθ' ἑκάστην λέξιν, τὸ τῆς οὐσίας παραλέλοιπεν, ὡς οὐδὲ γεγραμμένον. καὶ ὁ Ἀνδρόνικος δὲ παραφράζων τὸ βιβλίον, φησί. τῶν ἄνευ συμπλοκῆς λεγομένων, ὁμώνυμα μὲν λέγεται, ὧν ὄνομα μόνον ταὐτόν. ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος. ἡμεῖς δὲ φησὶν ὁ Πορφύριος, ἐπεὶ δὴ καὶ Ἑρμῖνος καὶ σχεδὸν οἱ πλεῖστοι ὡς προκειμένου τῷ ὅρῳ ἐντετυχήκασι τοῦ τῆς οὐσίας ὀνόματος, καὶ ἀναγκαίαν λέγομεν τὴν προσθήκην. τοῦ γὰρ λόγου καὶ τὴν ἐπαγωγὴν σημαίνοντος καὶ τὸν συλλογισμόν, καὶ πᾶσαν κατάφασιν καὶ ἀπόφασιν, εἰ μὴ προσέκειτο τὸ τῆς οὐσίας, πῶς ἂν ἀπεκρίναμεν τὸ τοῦ ὁρισμοῦ καὶ τὸ τῆς ὑπογραφῆς, τὰ ἄλλα σημαινόμενα τοῦ λόγου. ἀντὶ οὖν τοῦ φάναι. ὁ δὲ ὅρος ἢ ὑπογραφὴ ἑτέρα, τὴν ἐξήγησιν τοῦ ὅρου καὶ τῆς ὑπογραφῆς περιέλαβεν εἰπών, ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος. καὶ γὰρ ὁ μὲν ὅρος, λόγος τῆς οὐσίας ἐστὶν, ὡς τὴν οὐσίαν δηλῶν. ἡ δὲ ὑπογραφή, ὡς τὴν ἰδιότητα τὴν περὶ τὴν οὐσίαν σημαίνουσα, καὶ τὴν ὕπαρξιν κοινὴν οὖσαν τῆς τε κυρίως οὐσίας καὶ τῆς ἄλλης ὑποστάσεως. Προσαπορεῖ δὲ ὁ Νικόστρατος περὶ τῶν ὁμωνύμων. καὶ ἔτι σαφέστερον ὁ Ἀττικὸς τὴν ἀπορίαν ἐξέθετο. εἰπών, εἰ γὰρ συνώνυμα ἐστὶν, ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ ὁρισμὸς κοινός. ἔχει δὲ καὶ τὰ ὁμώνυμα, τό, τε ὄνομα κοινὸν ὁμώνυμα καλούμενα, καὶ τὸν τοῦ ὁμωνύμου ὁρισμόν. ἐφ' ἑκάστου γὰρ ὁμωνύμου ἀληθὲς εἰπεῖν, ὅτι τὸ ὄνομα μόνον κοινόν. ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. τὰ ἄρα ὁμώνυμα, συνώνυμά ἐστιν. ἔστι δὲ καὶ τὰ συνώνυμα ὁμώνυμα. πάντα ἄρα τὰ τὸ αὐτὸ ὄνομα ἔχοντα, συνώνυμά ἐστι. Λύει δὲ καὶ ταύτην τὴν ἀπορίαν ὁ Πορφύριος λέγων, ὅτι οὐδὲν κωλύει τὰ αὐτὰ πράγματα κατὰ διαφόρους προσηγορίας, ὁμώνυμά τε εἶναι καὶ συνώνυμα, ὥσπερ οἱ Αἴαντες. καθὸ μὲν ἄνθρωποι, συνώνυμοι εἰσί. καθὸ δὲ Αἴαντες, ὁμώνυμοι. οὕτως οὖν οἱ ὁμώνυμοι Αἴαντες, καθὸ ἄνθρωποι μὲν συνώνυμοί εἰσι. καθὸ δὲ Αἴαντες, ὁμώνυμοι. ἀλλ' ἀντιλήψεταί τις ῥαδίως καὶ ἐρεῖ. καθὸ μὲν ὁμώνυμα τὰ ὁμώνυμα, μὴ εἶναι ὁμώνυμα, ἀλλὰ συνώνυμα. καθὸ δὲ οὐχ ὁμώνυμα ἀλλ' Αἴαντες, κατὰ τοῦτο ἐστὶν ὁμώνυμα. Καὶ ἴσως μὲν οὐδὲν ἄτοπον. κατὰ μὲν αὐτὴν τὴν τοῦ ὁμωνύμου φύσιν κοινὴν οὖσαν, τὰ μετέχοντα αὐτῆς συνώνυμα εἶναι, καθόσον ὁμώνυμα ἄμφω. κατὰ μέντοι τὸ ὄνομα, καθὸ οὐ φύσεως κοινῆς, ἀλλ' ὀνόματος μόνου κοινοῦ, τὰ μετέχοντα μετέχει. οἷον τὸ τοῦ Αἴαντος. κατὰ τοῦτο ὁμώνυμά ἐστιν. ὥσπερ οὖν τὸ δισύλλαβον καθὸ δισύλλαβον οὐκέτι δισύλλαβον, ἀλλὰ τετρασύλλαβον. καθὸ δὲ Δίων ἢ Κράτης, ἅπερ ἄλλα ἐστὶ παρὰ τὴν τοῦ δισυλλάβου φύσιν,

μετέχει δὲ αὐτῆς, καὶ τοῦτό ἐστι δισύλλαβον, καὶ οὐδὲν ἄτοπον, οὕτως καὶ τὰ ὁμώνυ-
μα. καθὸ μὲν φύσεως κοινῆς τῆς τοῦ ὁμωνύμου μετέχει, οὐκ ἔστιν ὁμώνυμα, ἀλλὰ συ-
νώνυμα. καθὸ δὲ οὐ φύσεως τῆς τοῦ ὁμωνύμου, ἀλλ᾽ ὀνόματος μόνου κοινοῦ μετέχει,
κατὰ τοῦτο ὁμώνυμά ἐστιν. εἰ δὲ λέγοι τις ὅτι τὸ τῆς φύσεως τοῦ ὁμωνύμου μετέχειν
οὐδὲν ἄλλο ἐστὶν ἢ ὀνόματος μόνου κοινοῦ μετέχειν, αὕτη γάρ ἐστιν ἡ τοῦ ὁμωνύμου φύ-
σις, εἴπερ οὗτος ὁ ὁρισμός. καὶ οὕτως πάλιν καθὸ ὁμώνυμον αὐτό, δείκνυσι συνώνυμον.
ῥητέον ὅτι τὰ μὲν ὀνόματα, τῶν πραγμάτων κατηγορεῖται προηγουμένως. καὶ τὰ
ἴδια, καὶ τὰ κοινά. τὸ δὲ ὁμωνύμως καὶ συνωνύμως κατηγορεῖσθαι, οὐ προηγουμένως
ὑπάρχει, ἀλλὰ διὰ τὴν τῶν ὀνομάτων τοιάνδε ἢ τοιάνδε κοινωνίαν. ὥστε ὅταν μὲν τὸ
ὄνομα τὸ τοῦ Αἴαντος οὕτως μετέχηται, ὥστε τὸ ὄνομα μόνον εἶναι κοινὸν τοῖς μετέ-
χουσιν, ὁμώνυμός ἐστιν ἡ τοιαύτη μέθεξις. ὅταν δὲ πάλιν ἡ ὁμωνυμία οὕτως μετέ-
χηται, ὥστε μὴ μόνον ὄνομα κοινὸν εἶναι τοῖς μετέχουσι καθὸ καλοῦνται ὁμώνυμα,
ἀλλὰ καὶ τῆς φύσεως αὐτῆς τῆς ὁμωνυμίας μετέχειν, τότε συνώνυμόν ἐστι τὸ τῆς με-
θέξεως εἶδος. αἱ μὲν οὖν πρὸς τὰ περὶ τῶν ὁμωνύμων ἀπορίαι καὶ τῶν ἀποριῶν λύ-
σεις, τοιαῦται. εἰώθασι δὲ ἐνταῦθα γινόμενοι οἱ ἐξηγηταί, τοὺς τρόπους τῶν ὁμωνύ-
μων ἀπαριθμεῖσθαι. καὶ λέγουσιν ὅτι κατὰ τοὺς ἀνωτάτω τρόπους, διχῶς λέγεται τὰ ὁμώ-
νυμα. τὰ μέν, γάρ ἐστιν ἀπὸ τύχης, ὡς Ἀλέξανδρος, ὅ, τε Πάρις καὶ ὁ Μακεδών. τὰ
δέ, ἀπὸ διανοίας. ὅταν διανοηθείς τις αἰτίας ἕνεκεν τινός, τὰ αὐτὰ ὀνόματα ἐπιθῇ.
ἀλλὰ τὰ μὲν ἀπὸ τύχης, ἅτε ὄντα ὡς ἔτυχε, καὶ ἀόριστα ὡς ἀδιαίρετα μένει. τὰ δὲ ἀπὸ
διανοίας, διαιρεῖται τετραχῆ. εἰσὶ γὰρ τὰ καθ᾽ ὁμοιότητα, ὡς καὶ Ἀριστοτέλης ἐν τῷ
τῶν ὁμωνύμων ἐχρήσατο παραδείγματι. ἐπὶ τῶν ζῷον, ὅ, τε ἄνθρωπος καὶ τὸ γεγραμ-
μένον. κοινὸν μὲν ἔχοντα τὸ ὄνομα τοῦτο. τὸν δὲ λόγον, ἕτερον. διότι ὁ μὲν ἄνθρωπος ζῷον
ἐστίν, ὡς οὐσία ἔμψυχος αἰσθητική. ἡ δὲ εἰκὼν τοῦ ἀνθρώπου ἢ ὁ ἀνδριάς, ζῷον οὕτως,
ὡς ὁμοίωμα ἔχον οὐσίας ἐμψύχου αἰσθητικῆς. Δεύτερος δὲ ἀπὸ διανοίας τρόπος, ὁ κατ᾽
ἀναλογίαν. ὅταν ἀρχὴ λέγηται ὁμωνύμως, τῶν μὲν ἀριθμῶν, ἡ μονάς. τῆς δὲ γραμ-
μῆς, ἡ στιγμή. τῶν δὲ ποταμῶν, ἡ πηγή. καὶ τῶν ζῴων, ἡ καρδία. ὡς γὰρ πρὸς ἀριθμὸν ἡ μο-
νάς, οὕτως καὶ τὰ ἄλλα ἔχει, ὅπερ ἐστὶν ἀναλογίας ἴδιον. Τρίτος δὲ ἀπὸ διανοίας τρόπος,
ὁ ἀπό τινος κοινῆς ἐν πολλοῖς καὶ διαφόροις πράγμασι γινέσθαι κατηγορίαν. ὡς ἀπὸ
τῆς ἰατρικῆς, ἰατρικὸν μὲν τὸ βιβλίον, ὅτι ἰατρικὴν ἔχει μαθημάτων παραγραφήν. ἰα-
τρικὸν δὲ τὸ σμιλίον, ὅτι ὄργανόν ἐστι τῶν κατὰ τὴν ἰατρικὴν τέχνην τομῶν. ἰατρικὸν
δὲ τὸ φάρμακον, ὅτι πρὸς ἴασίν ἐστι χρήσιμον. ὥστε τὸ μὲν ὄνομα, κοινόν. ὁ δὲ λόγος ἑκά-
στου, ἕτερος. Τέταρτος δέ, ὅταν διάφορα πρὸς ἓν ἀναφέρηται τέλος, ἀπ᾽ ἐκείνου
τῆς προσηγορίας τυγχάνοντα, ὥσπερ σιτίον ὑγιεινόν. καὶ φάρμακον ὑγιεινόν. καὶ γυ-
μνάσιον. καὶ τὰ ἄλλα ὅσα ἀπὸ τῆς ὑγείας ὡς ἀπὸ τέλους ὀνομάζεται. τούτοις δὲ τοῖς
δυσὶ τρόποις τινὲς συνάψαντες, ὡς ἕνα τὸν ἀφ᾽ ἑνὸς καὶ πρὸς ἓν κατηρίθμησαν. τι-
νὲς δέ, οὐδὲ ἐν τοῖς ὁμωνύμοις αὐτοὺς τεθείκασιν, οὐδὲ ἐν τοῖς συνωνύμοις, ἀλλ᾽ ἀμφοῖν
μεταξύ. διότι λόγου μέν τινος μετέχει. ἀπὸ μὲν τῆς ἰατρικῆς, τὰ ἰατρικά. ἀπὸ δὲ

τῆς ὑγείας, τὰ ὑγιεινά. οὐ γὰρ ὄνομα μόνον ἐστὶ κοινόν. καὶ διὰ τοῦτο τοῖς συνωνύμοις
ἔοικε. καθόσον δὲ οὐκ ἐπίσης μετέχει τὰ μετέχοντα. οὐδ' ὁμοίως ἰατρικὸν τό τε βι-
βλίον τὸ τὴν ἐπιστήμην τὴν ἰατρικὴν περιέχον, καὶ τὸ σμιλίον. οὐδ' ὁμοίως ὑγιεινὸν
φάρμακον, καὶ περίπατος. διὰ τοῦτο οὖν οὐκ ἔστι συνώνυμα. τινὲς δὲ ὧν καὶ ἀττικός ἐστι,
τὸν κατὰ μεταφορὰν τρόπον εἰσάγουσι, τὸν εἰσάγοντες τὸν κατὰ ἀναλογίαν, ἕνα τρόπον τῶν ὁμω-
νύμων τὸ συναμφότερον φασίν. ἐπισκέψεως δὲ ἄξιος ὁ λόγος ἐστί. λέγει γὰρ ὁ Πορ-
φύριος, ὅτι ὅταν μὲν τὸ πρᾶγμα ἔχῃ ἴδιον ὄνομα, ἄλλως δὲ καταχρήσηταί τις ἐπ' αὐ-
τοῦ ἄλλῳ ὀνόματι μεταφέρων, καὶ τούτῳ χρώμενος ὡς κειμένῳ ἐπ' αὐτοῦ, οὐκ ἂν εἴη ὁ-
μωνυμία τις ἐνταῦθα. οὐδὲ τὰ τροπικῶς ῥηθέντα, ὁμώνυμα ἂν εἴη τοῖς κυρίως λε-
γομένοις. ὅταν δὲ μὴ ἔχῃ ἄλλο, τότε γίνεται ὁμωνυμία. οἷον, τῶν ὀρῶν τὸ κάτω μέρος κα-
» λεῖται ὑπώρεια. Ἄλλ' οἳ ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης. ταύτας τὰς ὑπω-
» ρείας οἱ ποιηταὶ πόδας καλοῦσι. Πάντες δὴ σείοντο πόδες πολυπιδάκου Ἴδης. καὶ
κλίνης δὲ καὶ τραπέζης τὰ βαστάζοντα, πόδες καλοῦνται. καὶ τῆς νεὼς τὸ πηδάλιον.
» Αἰεὶ γὰρ πόδα νηὸς ἐνώμα φησὶν ὁ ποιητής. ἐπὶ τούτων οὖν φησὶν ὁ Πορφύριος,
τὸν μὲν τῆς νεὼς καὶ τοῦ ὄρους πόδα, οὐκ ἂν εἴποι τις ὁμωνύμως εἰρῆσθαι. διότι ἔχει
τὰ ἴδια ὀνόματα, τό τε ὑπώρεια καὶ τὸ πηδάλιον. ἐπὶ δὲ τῆς τραπέζης καὶ τῆς κλίνης,
οὐκ ἔστι μεταφορά, ἀλλ' ὁμωνυμία. οὐ γὰρ ἔχουσιν ἄλλο ὄνομα, ἀλλὰ πόδες λέγονται κατὰ
τὴν πρὸς τὸ ζῷον ὁμοιότητα. ὥστε ὄνομα μόνον κοινόν ἐστι τούτων. οἱ δὲ λόγοι, ἕτεροι.
ἐπὶ δὲ ὄρους καὶ νηός, ἄλλα ἐστὶ τὰ ὀνόματα. μετενήνεκται δὲ ἡ τῶν ποδῶν προσηγορία
κατὰ μεταφοράν, εἰ μὴ ἄρα καὶ ὁμοιότης ἐστί τις. καὶ ταύτῃ εἴη ἂν ὁμώνυμα. ὁ μέντοι
Πορφύριος, ἐν μὲν τοῖς κατὰ πεῦσιν καὶ ἀπόκρισιν, καὶ τὸν τῆς νηὸς πόδα κατὰ μετα-
φορὰν εἰρῆσθαί φησι, τὸ κύριον αὐτοῦ πηδάλιον καλεῖσθαι λέγων. ἐν δὲ τοῖς πρὸς Γε-
δάλιον, τὸν μὲν τοῦ ὄρους πόδα, κατὰ μεταφορὰν λέγεσθαί φησι. τὸν δὲ τῆς νηός, ὁ-
μωνύμως. οὐ γὰρ εἶναι ἄλλο τὸ ὄνομα ἐπὶ τούτου λεγόμενον, καίτοι ἐκεῖ πηδάλιον
εἰπὼν καλεῖσθαι. καὶ τάχα ἂν ἀμφότερα ἀληθῶς ἔλεγε τό, εἰ ἐκεῖ μέν, ποιῶν τὸ πηδάλι-
ον ἔλεγε τό. ἐνταῦθα δέ, τὸ τοῦ ἱστοῦ μέρος, οὐκ ἔχον ἄλλο ὄνομα. ἀλλ' ἔοικε καὶ ἐνταῦ-
θα τὸ πηδάλιον λέγειν. ἐπιτέθη γὰρ ὑπ' αὐτοῦ τό, αἰεὶ γὰρ πόδα νηὸς ἐνώμα, περὶ
» τοῦ πηδαλίου λεγόμενον. Συνώνυμα λέγεται, ὧν τό, τε ὄνομα κοινόν, καὶ ὁ κατὰ
» τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός. οἷον ζῷον, ὅ, τε ἄνθρωπος καὶ ὁ ἵππος. τούτων
» γὰρ ἑκάτερον κοινῷ ὀνόματι προσαγορεύεται ζῷον. καὶ ὁ λόγος δὲ ὁ τῆς οὐσίας ὁ αὐ-
» τός. ἐὰν γὰρ ἀποδιδῷ τις τὸν ἑκατέρου λόγον, τί ἐστιν αὐτῶν ἑκάτερον, τὸ ζῷον εἶναι,
» τὸν αὐτὸν ἀποδώσει λόγον. Περὶ τῶν ὁμωνύμων πρότερον εἰπών, διότι τὸ ὁμω-
νύμως ταῖς δέκα κατηγορίαις ὑπάρχειν δοκεῖ, ἑξῆς τὸν περὶ τῶν συνωνύμων ἐπά-
γει λόγον. χρεία γάρ ἐστι τῆς περὶ τῶν συνωνύμων γνώσεως. διὰ τὴν ἑκάστου λοιπὸν
τῶν γενῶν κατὰ τὴν ἑαυτοῦ κατηγορίαν συνωνύμως γινομένην. καὶ ὅτι τὰ συνώ-
νυμα ἀλλήλοις ὑπὸ τὴν αὐτὴν ἀνάγεται κατηγορίαν. τὸ δὲ συνώνυμον, κοινωνεῖ μὲν
τῷ ὁμωνύμῳ, καθόσον ὄνομα κοινόν ἐστι. καὶ ἐπὶ τῶν συνωνύμων, ὡς περὶ καὶ ἐπὶ τῶν

ὁμωνύμων. διαφέρει δὲ, ὅτι οὐ μόνον ὄνομα κοινὸν ἐπὶ τῶν συνωνύμων, ἀλλὰ καὶ ὁ λόγος ὁ κατὰ τοὔνομα. ὅ, τε ὁριστικὸς, καὶ ὁ ὑπογραφικὸς, κοινός ἐστι τοῖς συνωνύμοις. κἂν γὰρ μὴ πρόσκειται ἐνταῦθα τὸ κατὰ τὸ ὄνομα. ὁ γὰρ πορφύριος ἐν τῷ πρὸς γεδάλιον, οὕτως ἔγραψε. συνώνυμα δὲ λέγεται, ὧν τό τε ὄνομα κοινὸν, καὶ ὁ λόγος ὁ αὐτός. προσυπακουστέον δὲ αὐτὸ χρή. συζυγοῦν γὰρ δεῖ τῷ ὀνόματι τὸν λόγον τὸν ὁριστικὸν καὶ ὑπογραφικόν. ἔτι δὲ ἐπὶ μὲν τῶν συνωνύμων, τὸ ἓν ὄνομα, ἑνός ἐστι πράγματος δηλωτικόν. ἐπὶ δὲ τῶν ὁμωνύμων, τὸ ἓν ὄνομα πλείονα πράγματα σημαίνει. καὶ ὅπου μὲν ἓν ὄνομα κατηγορεῖται. ὅπου δὲ πολλά. καὶ ἔτι μέντοι τὸ μὲν ὁμώνυμον ἀντίφασιν ἐπιδέχεται. τὸ γὰρ γεγραμμένον ζῶον, ζῶον καὶ οὐ ζῶον ἐστί. καὶ ὁ κόραξ τὸ ὄρνεον, κόραξ καὶ οὐ κόραξ. οὐ γάρ ἐστι τὸ περὶ τὴν θύραν ὄργανον. τὸ δὲ συνώνυμον, οὐκ ἐπιδέχεται τὴν ἀντίφασιν. οὐ γάρ ἐστι τὸν ἄνθρωπον ζῶον ὄντα μὴ ζῶον εἰπεῖν. καὶ ἐν μὲν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν, τὸν τῆς οὐσίας λόγον χρὴ ἐξακούειν φησὶν ὁ πορφύριος. αὐτὸς γάρ ἐστιν ὁ ὁριστικός. ἐν δὲ τῷ πρὸς γεδάλιον, οὐκ ἔτι φησὶ προσυπακουστέον καὶ τὸν τῆς οὐσίας. οὐ γὰρ καθὸ ἕκαστόν ἐστιν ἐπὶ τῶν συνωνύμων, ὁ αὐτός ἐστιν αὐτῶν λόγος, ἀλλὰ καθὸ κοινοῦ τινὸς μετέχει πάντα. καὶ ἔοικε νῦν τὸ οὐσίαν μὴ συνάψαι τῷ λόγῳ. ὥστε τὸν λόγον τῆς οὐσίας, τὸν ὁρισμὸν εἶναι. ἀλλὰ κατὰ τὸ εἶδος ἀκοῦσαι καθ᾽ ὅ ἐστιν ἕκαστον. ἄνθρωπος γὰρ καὶ ἵππος, συνώνυμά ἐστι κατὰ τὸ ζῶον. καὶ ὁ λόγος δὲ ἦν αὐτῶν ὁ αὐτὸς κατὰ τοῦτο. οὐ μέντοι κατ᾽ ἐκεῖνα καθ᾽ ἃ μάλιστα οὐσιοῦνται κατὰ τὸν ἄνθρωπον, ἢ κατὰ τὸν ἵππον. ἄλλος γὰρ ἑκατέρου τούτων λόγος. καὶ αὐτὸς δὲ προελθὼν κἂν ὑπακούοις φησὶ τὸ τῆς οὐσίας, δῆλον ὡς τῆς οὐσίας ἀκουσόμεθα, οὐ τῆς ἰδίως ὀνομαζομένης, ἀλλὰ τῆς τὴν ἑκάστου ὕπαρξιν, οἷον ἂν εἴη κοινότερον δηλούσης οὐσίας. ἰστέον μέντοι ὅτι νῦν ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων, οὕτως ἡ γραφὴ φέρεται. συνώνυμα δὲ λέγεται, ὧν τό, τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός. καὶ ὁ πορφύριος δὲ ἐν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν οὕτως ἔγραψεν. ὁ δὲ ἰάμβλιχος χωρὶς τοῦ, τῆς οὐσίας οὕτως. συνώνυμα λέγεται, ὧν τό, τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα λόγος ὁ αὐτός. ἐπεσημήνατο δὲ, ὅτι ἐν ἐνίοις ἀντιγράφοις, οὐ φέρεται τὸ, καὶ ὁ κατὰ τοὔνομα λόγος. καὶ ὅτι προσυπακουστέον δεῖ. ἠκολούθησε δὲ καὶ τῇ ἰαμβλίχου γραφῇ ὁ συριανός. καὶ ὁ ἀλέξανδρος δὲ δεικνὺς ἔχει περὶ τὴν γραφὴν, οὕτω γράψας. συνώνυμα δὲ λέγεται, ὧν τό, τε ὄνομα κοινὸν, καὶ ὁ λόγος ὁ τῆς οὐσίας ὁ αὐτός. προσυπακουστέον δὲ καὶ αὐτός φησι δεῖ τὸ, ὁ κατὰ τοὔνομα. τὸ αὐτὸ δὲ παράδειγμα τοῦ ζώου καὶ ἐπὶ τῶν συνωνύμων παρείληφεν, ὅπερ καὶ ἐπὶ τῶν ὁμωνύμων. οὐκ ἀπορῶν ἄλλου παραδείγματος, ἀλλ᾽ ἐνδεικνύμενος ὅτι τὸ αὐτὸ ὄνομα, ἄλλων μὲν πραγμάτων ὁμωνύμως ἐστὶ δηλωτικόν, ὡς τὸ ζῶον τοῦ, τε ἀνθρώπου καὶ τοῦ ἀνδριάντος. ἄλλων δὲ συνωνύμως, ὡς ἀνθρώπου καὶ βοός. ἐνὶ γὰρ καὶ τῷ αὐτῷ λόγῳ, ζῶον ἑκάτερον. οὐσία γὰρ ἔμψυχος αἰσθητική, ἑκάτερον. τοῦτο μὲν οὐχ οὕτως θαυμαστόν. τὸ δὲ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ ὁμώνυμον εἶναι καὶ συνώνυμον, τοῦτο ἂν εἴη θαυμασιώτερον. ἐπιστῆσαι γὰρ ἄξιον, ὅτι τετραχῶς τὸ αὐτὸ ὁμώνυμόν τε καὶ συνώνυμον λέγεται. ποτὲ μὲν γὰρ, ἓν καὶ τὸ αὐτὸ πρᾶγμα κατ᾽ ἄλλο καὶ ἄλλο ἑαυτοῦ ὄνομα. πρὸς

ἄλλο καὶ ἄλλο πρᾶγμα ὁμώνυμόν τέ ἐστι καὶ συνώνυμον. οἷον, κόραξ ὁ ὄρνις. καθὸ μὲν κόραξ καλεῖται, πρὸς τὸν ἐν τῇ θύρᾳ ὄργανον ὁμωνύμως λέγεται. καθὸ δὲ ὄρνις, πρὸς τοὺς ἄλλους ὄρνιθας συνωνύμως. ποτὲ δὲ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ πρᾶγμα διαφόροις ἑαυτοῦ ὀνόμασιν, ὁμώνυμόν τε εὑρίσκεται καὶ συνώνυμον. ὡς σωκράτης ὁ φιλόσοφος, πρὸς σωκράτην τὸν θεαιτήτου συγγυμναστήν. ὁμώνυμος μέν, καθὸ σωκράτης. συνώνυμος δέ, καθὸ ἄνθρωπος. ἄλλα δέ ἐστιν ἃ καθ' ἓν τὸ αὐτὸ ὄνομα, ὁμώνυμά τε καὶ συνώνυμά ἐστι. πρὸς ἄλλο μέντοι καὶ ἄλλο, ὡς ὁ κόραξ ὁ ὄρνις. πρὸς μὲν τὸ ὄργανον, ὁμώνυμος. πρὸς δὲ τοὺς ἄλλους κόρακας, συνώνυμος. ἔστι δὲ ὅτε τὸ αὐτὸ πρᾶγμα ὁμώνυμόν ἐστι καὶ συνώνυμον. ὡς ὁ παρ' ὁμήρῳ μέλας ἄγριος ἢ δὲ μέλας. καθὸ μὲν τὸ κύριον τὸ μέλας, ὁμώνυμον ἂν εἴη τῷ κατὰ τὴν χρόαν μέλανι. εἰ δὲ τύχῃ ὁ οὕτω καλούμενος καὶ τὴν χρόαν εἶναι μέλας, συνώνυμος ἂν εἴη τῷ ὁμοίως μέλανι. οὕτως δὲ καὶ ὁ ἄγριος ὁ κύριον ἔχων τὸ ὄνομα, εἰ τύχοι καὶ τὸ ἦθος ἄγριος, ὁμώνυμός τε εἴη πρὸς τὸν ἄγριον τὸ ἦθος, καὶ συνώνυμος. πολλὰ δέ ἐστι καὶ ἄλλα τοιαῦτα ὀνόματα ἀπό τε τῶν ἀρετῶν ὡς κύρια λεγόμενα, ὡς ἐλευθέριος. καὶ σωφρόνιος. καὶ σεμνός. καὶ τὰ τοιαῦτα. καὶ ἀπὸ ἐθνικῶν, ὡς ἰταλός. καὶ κρητικός. καὶ ἐλευσίνιος. καὶ τὰ τοιαῦτα. ὅταν ὁ μέν, κύριον ἔχῃ τὸ ὄνομα. ὁ δέ, ἐθνικόν. ἐὰν δὲ ἄμφω καὶ κύρια ἔχωσι καὶ διάθεσιν τὴν αὐτήν. εἰ ἄμφω μέλανές τε λέγοιντο τῷ κυρίῳ ὀνόματι, καὶ μέλανες εἶεν τὴν χρόαν, κατὰ μὲν τὰ κύρια, ὁμώνυμοι εἰσί. τὸ γὰρ κύριον, τὸ ἰδίως ποιὸν δηλοῖ τοῦ καλουμένου. κατὰ δὲ τὴν κοινὴν τοῦ μέλανος διάθεσιν, συνώνυμοι. ὁ γὰρ αὐτὸς ἑκατέρου λόγος κατὰ τὴν αὐτὴν χρόαν. ἢ κατὰ τὴν τῆς ψυχῆς διάθεσιν, ἢ κατὰ τὴν αὐτὴν πατρίδα. ἄνευ δὲ τῶν τοιούτων, καὶ αὐτός τις πρὸς ἑαυτὸν ὁμώνυμος ἂν εἴη. εἰ γὰρ καλοῖτο μέλας, εἴη δὲ καὶ τὴν χρόαν μέλας, ὁμωνύμως ἂν ὑπάρχοι τὸ μέλας τῷ τε κυρίῳ, καὶ τῷ κατὰ τὴν χρόαν. τὸ δὲ ὑπόδειγμα τὸ ἀποδοθὲν, οἷον τὸ ζῷον, οὐ πρὸς τὰ συνώνυμα πράγματα ἀπεδόθη, ἀλλὰ πρὸς τὸ ὄνομα τοῦ συνωνύμου. ὁ γὰρ ἄνθρωπος φησὶ καὶ ὁ βοῦς, κοινῷ ὀνόματι προσαγορεύεται ζῷον. Οἰκειοτέρως δὲ ὁ ἀριστοτέλης συνώνυμα κέκληκε, τὰ σὺν τῷ ὀνόματι, καὶ τὸν ὁρισμὸν ἔχοντα τὸν αὐτόν. ἤπερ οἱ στωϊκοὶ τὰ πολλὰ ἅμα ἔχοντες ὀνόματα, ὡς πάρις καὶ ἀλέξανδρος ὁ αὐτός. καὶ ἁπλῶς τὰ πολυώνυμα λεγόμενα. τούτοις γὰρ ἡ σὺν πρόθεσις, οὐχ ἁρμόττει τοῦ αὐτοῦ κοινωνίαν σημαίνουσα, ὡς τὸ συμπεριπατεῖν καὶ συστρατεύεσθαι. ἀποδοτέον δὲ ἴσως εἰς τὸ τοῦ αὐτοῦ ὀνόματα εἶναι. καὶ γὰρ καὶ ὁ ἀριστοτέλης ἐν τῷ περὶ ποιητικῆς, συνώνυμα εἶπεν εἶναι, ὧν πλείω μὲν τὰ ὀνόματα, λόγος δὲ ὁ αὐτός. οἷα δή ἐστι τὰ πολυώνυμα. τό, τε λώπιον. καὶ ἱμάτιον. καὶ τὸ φάρος. ἀλλ' οὐδὲν ἄτοπον φησὶν ὁ πορφύριος, τῆς χρήσεως τὸ διττὸν ἐχούσης χρήσασθαι τὸν ἀριστοτέλην ἑκατέρῳ. ἐπειδὴ καὶ ἔχει τινὰ λόγον ἑκάτερον. καὶ γὰρ τὰ πλείω ὀνόματα πρὸς ἓν φερόμενα, ὡς ὁ κίων καὶ ὁ στύλος τὸν αὐτὸν ἔχοντα λόγον, συνώνυμα ἂν κληθείη. καὶ μέντοι ὅπου ὁ λόγος ὁ αὐτός, καὶ τὸ ὄνομα συνονομάζεται. ἔτι κυριώτερον ἂν κληθείη συνώνυμα. ὥς τε τὸ μέν, ἐστὶ συνώνυμον, ἐπεὶ πολλὰ ὀνόματα, ἕν τι πρᾶγμα συνονομάζει. τὸ δέ,

ἐπεὶ καὶ τὸν λόγον συνωνυμάζει, καὶ τοὔνομα. καὶ διὰ τοῦτο, ὅπου μὲν περὶ γενῶν, ἤτοι τῶν τὰ γενικὰ σημαινουσῶν φωνῶν, ἡ σπουδὴ χρεία τοῦ δευτέρου σημαινομένου. διότι τὰ γενικὰ κατὰ τοῦτο τὸ σημαινόμενον, συνωνύμως τῶν εἰδῶν κατηγορεῖται. ἔνθα δὲ περὶ τὰς πλείους φωνὰς ἡ σπουδὴ, καὶ τὴν πολυειδῆ ἑκάστου ὀνομασίαν, ὥσπερ ἐν τῷ περὶ ποιητικῆς καὶ τῷ τρίτῳ περὶ ῥητορικῆς, τοῦ ἑτέρου συνωνύμου δεόμεθα, ὅπερ πολυώνυμον ὁ Σπεύσιππος ἐκάλει. καὶ οὐ καλῶς ὁ Βοηθὸς παραλελεῖφθαι τῷ Ἀριστοτέλει φησὶ, τὰ παρὰ τοῖς νεωτέροις καλούμενα συνώνυμα. καὶ τὰ τοιαῦτα πολυώνυμα συνώνυμα καλούμενα, ἅπερ Σπεύσιππος ἐκάλει πολυώνυμα. οὐ γὰρ παραλέλειπται, ἀλλ' ἐν ἄλλαις πραγματείαις ἐν αἷς ἦν οἰκεῖος ὁ λόγος παρείληπται.

Παρώνυμα δὲ λέγεται, ἕως τοῦ, καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος. Τὰ παρώνυμα μέσα πώς ἐστι τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύμων. καὶ ἀμφοτέρων μετέχοντα, καὶ ἀμφοτέρων λειπόμενα. ἡ γὰρ γραμματικὴ καὶ ὁ γραμματικὸς, καὶ τὰ ὀνόματα καὶ τοὺς λόγους ἔχουσιν. οὔτε πάντη τὰ αὐτὰ, οὔτε πάντη ἕτερα. καὶ γὰρ γραμματικῆς μὲν λόγος, ἐπιστήμη τοῦ γράφειν καὶ ἀναγινώσκειν. Τριῶν δὲ δεῖν τῷ ἀπό τινος παρονομαζομένῳ φασί. τοῦ τε πράγματος τοῦ ἀφ' οὗ παρωνόμασται, καὶ τοῦ ὀνόματος. καὶ ἔτι μέντοι τοῦ ἀνομοίου τῆς καταλήξεως, ὅπερ καλεῖ πτῶσιν ὁ Ἀριστοτέλης. πτώσεις γὰρ τῶν ὀνομάτων ἐκάλουν οἱ παλαιοὶ, οὐ μόνον τὰς πέντε ταύτας τὰς νῦν λεγομένας, ἀλλὰ καὶ τὰς παρακειμένας ἐγκλίσεις, ὁποίους ἂν ἔχωσι σχηματισμούς. ὅθεν καὶ τὰς νῦν καλουμένας μεσότητας, πτώσεις ἐκάλουν. οἷον τὴν ἀπὸ τοῦ ἀνδρείου πτῶσιν, τὸ ἀνδρείως. καὶ ἀπὸ τοῦ καλοῦ, τὴν καλῶς. οὕτω δὲ καὶ ἀρρενικὴ τισὶν ἦν αὐτοῖς πτῶσις ἀπὸ ὀνόματος θηλυκοῦ. ὡς ἀπὸ τῆς γραμματικῆς, ὁ γραμματικός. καὶ θηλυκὴ ἀπὸ ἀρρενικοῦ. ὡς ἀπὸ τοῦ Ἀλεξάνδρου, ἡ Ἀλεξάνδρεια. πτώσεις δὲ καὶ ταύτας ἔλεγον, διὰ τὸ ταὐτὸν πεπονθέναι ταῖς κυρίως πτώσεσι, κατὰ τὸν μετασχηματισμὸν τῆς καταλήξεως. ὁποίου δὲ ἂν τῶν τριῶν ἐλλείπῃ, οὐ γίνεται παρώνυμον. γυνὴ γὰρ τῆς μουσικῆς τέχνης μετέχουσα καὶ μουσικὴ λεγομένη, καὶ τοῦ ὀνόματος καὶ τοῦ πράγματος μετέχει, ἐπειδὴ δὲ τὴν κατάληξιν ἔχει τὴν αὐτὴν, οὐ λέγεται παρώνυμος ἀπὸ τῆς μουσικῆς, ἀλλ' ὁμώνυμος αὐτῇ. καὶ εἴ τις ἀρετῆς μετέχων σπουδαῖος ἀπ' αὐτῆς καλοῖτο, τοῦ μὲν πράγματος μετέχει, καὶ τῇ πτώσει διαφέρει. τοῦ δὲ ὀνόματος μὴ μετέχων, οὐκ ἂν κληθείη παρώνυμος ἀπὸ τῆς ἀρετῆς. ἀλλ' οὐδὲ ἀπὸ τῆς σπουδῆς ὁ σπουδαῖος παρονομασθήσεται. σπουδαῖος μὲν γὰρ, ὁ τὴν ἀρετὴν ἔχων. σπουδάζομεν δὲ καὶ οἱ τυχόντες, περί τινα. ὁ μέντοι γε Ἀριστοτέλης, τὴν διαφορὰν τῆς πτώσεως, καὶ τὴν κατὰ τοὔνομα προσηγορίαν, τὰ δύο ταῦτα μόνα δοκεῖ τοῖς παρωνύμοις ἀποδιδόναι. ἀλλ' ἐκ τῶν παραδειγμάτων, δήλην ἐποίησε καὶ τὴν κατὰ τὸ πρᾶγμα μέθεξιν ἐν τοῖς παρωνύμοις. ὁ γὰρ γραμματικὸς, οὐκ ὀνόματος μόνου μετέχει τῆς γραμματικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς τέχνης. καὶ ὁ ἀνδρεῖος, τῆς ἀρετῆς. δεῖ δὲ ἐπὶ τῶν παρωνύμων ζητεῖν, τί τὸ πρότερον, καὶ τί τὸ ἀπ' ἐκείνου παρωνομασμένον. ὅτι πρότερον μὲν ὁ Ἀλέξανδρος. ἀπ' ἐκείνου δὲ ἡ Ἀλεξάνδρεια. καὶ ἀπ' ἐκείνης ὁ Ἀλεξανδρεύς. οὐ γὰρ ἔμπαλιν.

Universitäts- und
Landesbibliothek Düsseldorf

δῆλα δὲ ἔσται τὰ τῇ φύσει πρότερα. καθάπερ ὁ κτίστης τῆς κτισθείσης πόλεως. καὶ ἡ πόλις, τοῦ πολίτου. τῶν δὲ παρωνύμων ἂν εἴη φησὶν ὁ πορφύριος, καὶ τὰ πατρωνυμικὰ, καὶ τὰ συγκριτικὰ, καὶ τὰ ὑπερθετικὰ, καὶ τὰ ὑποκοριστικά. τὸ δὲ πασσάληφι, καὶ ξῖφι, καὶ τὸ βίηφι, ἅπερ παράγωγά τινες ἐκάλεσαν, οὐκ ἂν εἴη παρώνυμα. δεῖ γὰρ μὴ ταὐτὸ ἀπαραλλάκτως σημαίνειν τὰ παρώνυμα. ταῦτα δὲ οὐδὲν παρηλλαγμένον σημαίνει τοῦ ξίφους, τουτέστι τῆς ἑαυτοῦ. καὶ τοῦ βίη, καὶ τοῦ πασσάλου. τοιαῦτα μὲν οὖν ἐστι τὰ παρώνυμα. χρήσιμος δὲ αὐτῶν ἐστιν ἡ διδασκαλία, ἵνα γνῶμεν ὅτι τὰ παρώνυμα ὡς ἐπὶ τὸ πλεῖστον ὑπὸ τὴν αὐτὴν πίπτει κατηγορίαν τοῖς προηγουμένοις. οἷον τὸ ποιὸν, ὑπὸ τὴν ποιότητα. καὶ τό, τετάσθαι καὶ κεκλίσθαι, ὑπὸ τὴν τάσιν καὶ τὴν κλίσιν. ἅπερ ἐστὶν ὑπὸ τὸ κεῖσθαι. ἀρχικῶς τοίνυν ὁ ἀριστοτέλης περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων, παρῆκε τά τε ἑτερώνυμα, καὶ τὰ πολυώνυμα. τὰ μὲν πολυώνυμα, διότι οὐ παρίστησι μετὰ τὰ πράγματα. μόνον δὲ τὰς λέξεις πληθύνει. τὰ δὲ ἑτερώνυμα, διότι οὐ τὰς κατὰ ἀριθμὸν ἀπείρους, ἀλλὰ τὰς κατὰ γένος σημαινούσας τὰς λέξεις διαιρεῖται τανῦν. καὶ μέντοι ἄμφω ταῦτα παρῆκεν ὡς εἴρηται. διότι καὶ ῥητορικῆς μᾶλλον καὶ ποιητικῆς ἐστι περιεργείας. ἀλλ᾽ οὐ φιλοσόφου θεωρίας ὡς εἴρηται. πλὴν καλῶς ἔχει κἀκεῖνα τοῖς παραληφθεῖσιν εἰς μίαν διαίρεσιν συμπεριλαβεῖν. ὥσπερ οὖν τοίνυν ἱστορεῖ βοηθὸς, τοιαύτην διαίρεσιν παραλαμβάνειν, τὰ ὀνόματα πάντα περιλαμβάνουσαν. τῶν γὰρ ὀνομάτων φησὶ, τὰ μὲν, ταυτώνυμά ἐστι. τὰ δὲ, ἑτερώνυμα. καὶ τῶν ταυτωνύμων τὰ μὲν, ὁμώνυμά ἐστι. τὰ δὲ, συνώνυμα. κατὰ τὴν τῶν παλαιῶν συνήθειαν ἀκουόντων ἡμῶν τὰ συνώνυμα. τῶν δὲ ἑτερωνύμων πάλιν, τὰ μέν ἐστιν ἰδίως ἑτερώνυμα. τὰ δὲ, πολυώνυμα. τὰ δὲ, παρώνυμα. ἀλλὰ περὶ μὲν τῶν ἄλλων, ἀποδέδοται. πολυώνυμα δέ ἐστι, τὰ διάφορα καὶ πολλὰ λεγόμενα ὀνόματα καθ᾽ ἑνὸς πράγματος. ὅταν εἷς καὶ ὁ αὐτὸς αὐτῶν ἦ ὁ λόγος ὥσπερ ἄορ. ξίφος. φάσγανον. μάχαιρα. ἑτερώνυμα δέ ἐστι, τὰ καὶ



τοῖς ὀνόμασι καὶ τοῖς πράγμασι, καὶ τοῖς λόγοις ἕτερα. οἷον, γραμματική. ἄνθρωπος. ξύλον. διαφέρει δὲ ἀλλήλων. ταῦτα μὲν ἤτοι τὰ μὲν πολυώνυμα, κοινωνεῖ τοῦ αὐτοῦ λόγου καὶ τοῦ πράγματος. τὰ δὲ ἑτερώνυμα, κατ᾽ ἄμφω διέστηκε. πρὸς δὲ τὰ πρότερα, τὰ μὲν πολυώνυμα τοῖς ὁμωνύμοις ἀντιστρέφει. καθόσον ἐπὶ μὲν τῶν ὁμωνύμων, τὸ μὲν ὄνομα, κοινὸν ἦν. ὁ δὲ ὅρος, ἴδιος ἑκάστου. ἐπὶ δὲ τῶν πολυωνύμων, τὸ ἀνάπαλιν. τὸ μὲν πρᾶγμα καὶ ὁ ὅρος, κοινός. τὰ δὲ ὀνόματα, διάφορα. τὰ δέ γε ἑτερώνυμα, τοῖς συνωνύμοις ἀντίκειται. ἐκεῖνα μὲν γὰρ κατ᾽ ἄμφω κοινωνοῦσι, ταῦτα κατ᾽ οὐδέτερον κοινωνεῖ. δεῖ δὲ ἐπὶ τῶν πολυωνύμων παρατηρεῖν, μήποτε σφαλλώμεθα τὰ μὴ πολυώνυμα νομίζοντες εἶναι πολυώνυμα. οὐ γὰρ εἰ ἑνὸς πλείονα ὀνόματα κατηγορεῖται, ἤδη πάντως πολυώνυμά ἐστιν, ἀλλ᾽ εἰ καθ᾽ ἓν τὸ αὐτὸ λέγεται, ὡς ἀμερὲς καὶ ἐλάχιστον. δύο μὲν ἔστιν ὀνόματα καὶ καθ᾽ ἑνὸς λέγεται πράγματος. οἷον τὸ στοιχεῖον τὸ ἄλφα. ἢ τὸ βῆτα. καὶ τὸ κοῖλον καὶ τὸ κυρτὸν κατὰ τοῦ κύκλου. οὐ μήν ἐστι πολυώνυμον τό, καθ᾽ οὗ λέγεται. οὐ γὰρ κατὰ τὸ αὐτὸ ὑπάρχει αὐτῷ ἑκάτερον. ἄλλος γὰρ ἑκατέρου λόγος. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι καὶ ἐν τοῖς κυρίως πολυωνύμοις, ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου. ὅταν ὁ αὐτὸς μέροψ καὶ βροτὸς λέγηται, ἕκαστον τῶν ὀνομάτων κατ᾽ ἄλλην καὶ ἄλλην τοῦ ἀνθρώπου φύσιν ἀποδίδοται. τὸ μέν, κατὰ τὸ ἀναλογιστικόν. τὸ δέ, κατὰ τὴν τῆς διαλέκτου κατὰ τὰ ἔθνη διαφοράν. τὸ δέ, κατὰ τὸ θνητὸν τῆς συστάσεως. καὶ ἄλλος τούτων ἑκάστου λόγος. τί οὖν. οὐκ ἔστιν ὅλως τὰ πολυώνυμα, ἢ ἐκεῖνα μόνα πολυώνυμά ἐστιν, ἐφ᾽ ὧν οὐ κατὰ τὰς διαφόρους φύσεις διάφορα κεῖται ὀνόματα. ἄλλος κατὰ τὴν αὐτὴν ἄλλου ἄλλως κατὰ τὸ τυχὸν ὀνομάσαντες. ἢ κατὰ τὸ αὐτὸ τῶν διαφόρων ὀνομάτων ἀποδοθέντων, οὐκ ἐτυμολογικῶς, ἀλλὰ κατὰ τὴν ἐπιτυχοῦσαν τοῦ τεθεικότος ἄδειαν. δηλοῖ δὲ τὸ τὰ ἐπ᾽ ἄλλων κείμενα πολλάκις εἰς ἄλλων ὀνόματα μετατίθεσθαι. ὡς τὸ ἀγαμέμνων ἐπὶ τοῦ οἰκέτου. ἔξεστι γὰρ ἡμῖν, ὅσα ἂν βουλώμεθα καὶ οἷα τιθέναι, οὐκ ἐτυμολογίᾳ ἀκολουθοῦντες. δεῖ δὲ καὶ τοῦτο τοῖς πολυωνύμοις προσεῖναι τὸ κατὰ τὸ αὐτὸ ἔθνος, πλεοναχῶς ἐπονομάζεσθαι. εἰ γὰρ μὴ τοῦτο τό, ἡμέρα καὶ ἁμέρα, πολυώνυμον νομισθήσεται. καὶ τοῦτο δὲ ἐφιστῶμεν καλῶς. ὅτι ἐπὶ μὲν τῶν ὁμωνύμων, ἡ ὁμωνυμία καὶ τὸ ὄνομα τὸ ὁμώνυμον δηλοῖ καὶ τὴν σχέσιν αὐτήν. ἐπὶ δὲ τῶν πολυωνύμων, ἡ πολυωνυμία τὸ πρᾶγμα δηλοῖ μόνον, ἀλλ᾽ οὐχὶ τὸ ὄνομα. καὶ ὅτι μέντοι τὸ μὲν ὁμώνυμον, πρὸς ἄλλο λέγεται. Πάντων ὀλβίων ὁμώνυμε Δαρδανιδῶν. τὸ δὲ πολυώνυμον, οὐκ ἐν σχέσει τινὶ τὸ εἶναι ἔχει. διατί δὲ ὁ Ἀρχύτας παραλέλοιπε ταύτην τὴν περὶ τῶν ὀνομάτων διδασκαλίαν, ἐν τῷ περὶ τῶν καθόλου λόγων. ὅτι τὰ ὀνόματα φύσει καὶ οὐ θέσει λέγουσιν οἱ Πυθαγόρειοι. καὶ τὰ ὁμώνυμα καὶ τὰ πολυώνυμα παραιτοῦνται, ὡς ἑνὸς ὀνόματος πρὸς ἓν πρᾶγμα κατὰ φύσιν λεγομένου. διακρίνειν οὖν ἐκείνοις εἰκός, τὰ μὲν ὁμώνυμα τῇ προγονικῇ ἢ κατ᾽ ἐλπίδα ἀναφορᾷ. τὰ δὲ πολυώνυμα δείξουσιν, οὐ καθ᾽ ἓν λεγόμενα, ἀλλὰ κατὰ διαφόρους ἐτυμολογίας ἀποδιδόμενα, ὅταν ὄντως ὀνόματα ᾖ. τῶν δὲ παρωνύμων τὸ ἐν σχήματι σημαινόμενον, οἰκείως ἔχειν οἱ ταῖς κατὰ τὰ πράγματα συζυγίαις δεήσονται.

Τῶν λεγομένων, τὰ μὲν, κατὰ συμπλοκὴν λέγεται. ἕως τοῦ, ἔχει. νικᾷ.

Μετὰ τὴν τῶν ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων διδασκαλίαν, τὴν εἰς τὰς κατηγορίας εἰσβολὴν, διὰ τῆς οἰκείας τῇ πραγματείᾳ διαιρέσεως ποιεῖται. ἐπειδὴ γὰρ περὶ τῶν ἁπλῶν φωνῶν λέξεων ὁ σκοπὸς καθὸ σημαντικαί εἰσι, διαίρεσιν ποιεῖται τῶν λεγομένων, εἴς τε τὰ κατὰ συμπλοκὴν λεγόμενα, περὶ ὧν οὐ πρόκειται νῦν εἰπεῖν, ἀλλ᾽ ἐν τῷ περὶ τῶν προτάσεων λόγῳ, καὶ εἰς τὰ ἄνευ συμπλοκῆς. καὶ ταῦτα λοιπὸν εἰς τὰς κατηγορίας διαιρεῖται. καὶ ὅτι τοῦτον ἔχει τὸν σκοπὸν ἡ διαίρεσις, αὐτὸς ἐδήλωσεν ἀριστοτέλης ὀλίγον προελθών. ἐν οἷς φησι, τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι οὐσίαν σημαίνει, ἢ ποσὸν. ἢ ποιόν. ἢ πρός τι. ἀνελλιπὴς δὲ ἡ διαίρεσις πάντα περιλαβοῦσα τὰ λεγόμενα καὶ τὰ ὄντα. ὠνόμασε δὲ πρότερον τὰ κατὰ συμπλοκὴν, ὅτι πρότερον ἐντυγχάνομεν τοῖς αἰσθητοῖς. ἅπερ ἐστὶ σύνθετα. ὕστερον δὲ, ταῖς τούτων ἀρχαῖς, αἵτινές εἰσιν ἁπλούστεραι. ἢ ὅτι διὰ τῆς ἀποφάσεως τῶν κατὰ συμπλοκὴν, ἔμελλε τὰ ἁπλᾶ δηλοῦν. οὐκ ἂν δὲ γνωσθείη καλῶς ἀπόφασις, μὴ πρότερον ἐκείνου γνωσθέντος, οὗπέρ ἐστιν ἀπόφασις. καὶ ἐκεῖνο δὲ ἀληθὲς εἰπεῖν, ὅτι ὅταν διελόντες τι, τὸ μὲν πρότερον τμῆμα τῆς διαιρέσεως καταλείπωμεν, τὸ δὲ ἕτερον ἐπιδιαιρῶμεν. καὶ πρότερον μὲν, τάττομεν τὸ ὑποτιθέμενον. ὕστερον δὲ, τὸ διαιρούμενον. τὸ μὲν διαιρούμενον, ἵνα μὴ ἀναλαμβάνειν αὐτὰ δεηθῶμεν, ἅπερ ὑπεθέμεθα. πάλιν δὲ ταῦτα πρότερον τὰ ὑποτιθέμενα, ἵνα κατὰ σειρὰν ἡ διαίρεσις ἡμῖν προΐῃ. εἴγε καὶ οἱ παλαιοὶ κυρίως μὲν λεγόμενα, τὰ διὰ λόγου σημαινόμενα ἔλεγον. καταχρηστικῶς δὲ, καὶ τὰ δι᾽ ἁπλῆς λέξεως. ὁ δὲ λόγος, ἐπεὶ κατὰ συμπλοκὴν λέξεων προφέρεται, εἰκότως τὰ λεγόμενα διαιρῶν, τῶν κυρίως λεγομένων πρῶτον ἐμνήσθη. Ἰστέον δὲ ὅτι λεγόμενά ἐστι καὶ τὰ πράγματα περὶ ὧν ὁ λόγος, καὶ τὰ νοήματα τὰ περὶ τῶν πραγμάτων. διὸ ὅταν οἰώμεθα μὴ νενοηκότα λέγειν τὸν λέγοντα, λέγομεν οὐδὲν λέγεις. κἂν προφέρῃ τινὰ λόγον ἢ λέξιν κατὰ μέτρον σημαινόμενον, καὶ αὐτὴ ἡ λέξις ἡ σημαντικὴ καὶ ὁ λόγος, λεγόμενόν ἐστι. λέγει γάρ τις τὴν λέξιν καὶ τὸν λόγον. καὶ κατὰ τέταρτον, καὶ ἡ ἄσημος λέξις, οἷον τὸ βλίτυρι. καθ᾽ ὅσον ὅλως προφέρεται, τῶν λεγομένων ἐστίν. ἀλλ᾽ ὅγε βοηθὸς ἐπὶ μὲν τῶν ἀσυμπλόκων, τετραχῶς τὸ λεγόμενον ἀκούειν ἀξιοῖ. ἐπὶ δὲ τῶν κατὰ συμπλοκὴν, τριχῶς μόνον. οὐ γὰρ εἶναι τὰ συμπεπλεγμένα πράγματα. οἷον, τὸ ἡμέρα ἐστὶ λεγόμενον. οὐχ ὅτι οὐδὲν σημαίνει ὁ λόγος, ἀλλ᾽ ὅτι οὐκ ἔστι τοῦ πράγματος ὄνομα ὥσπερ τὸ ἡμέρα. ἀλλ᾽ οὐκ ἔστι μὲν τοῦ πράγματος. περὶ δὲ τοῦ πράγματος, τετραχῶς διαιρεθέντος τοῦ λεγομένου καὶ τοῦ λέγεσθαι, ζητεῖν ἄξιον, τί τούτων τῶν σημαινομένων εἰς τὴν διαίρεσιν παραλαμβάνει. ὁ μὲν γὰρ θεῖος ἰάμβλιχος, τὸν ἀλέξανδρον φησὶ τὰ λεγόμενα τὰ σημαινόμενα ὑποθέσθαι πράγματα, τὰ ἁπλούστατα καὶ γενικώτατα. ἐγὼ δὲ εὑρίσκω τὸν ἀλέξανδρον εἰπόντα αὐταῖς λέξεσιν, ὅτι νῦν οὐ τὰ σημαινόμενα λεγόμενα λέγει, ἀλλὰ τὰ σημαίνοντα καὶ προφερόμενα. πῶς γὰρ ἂν καὶ ἔλεγε περὶ τῶν πραγμάτων νῦν. ὅτε προελθὼν, τῶν δὲ κατὰ μίαν φησὶ συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι οὐσίαν σημαίνει, ἢ ποσόν.

οὐ γὰρ τὰ πράγματα ἐστὶν οὐσία καὶ ποσόν. ἀλλ' ἐστὶν οὐσία καὶ ποσόν. αἱ δὲ περὶ τῶν πραγμάτων λέξεις εἰσίν, αἱ σημαίνουσαι. ὁ δὲ Βοηθὸς μόνα λεγόμενα καὶ σημαινόμενα, τὰς νοήσεις εἶναί φησι, παρὰ τοῖς ἀρχαίοις. οὐ γὰρ εἶναι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν διανοίαις καὶ ταῖς τοῦ νοῦ διεξόδοις, ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ περὶ ψυχῆς διδάσκει. ἀλλὰ καὶ ἡ διάνοια διὰ τοῦ λόγου σημαίνεται. οἰκειότερον οὖν λεγόμενα τὰς λέξεις λέγειν τὰς σημαντικάς, καθὸ σημαντικάς. διότι καὶ αἱ κατηγορίαι οὔτε τὰ πράγματα ἦσαν ὡς ἐδείκνυτο, οὔτε τὰ νοήματα. οὔτε αἱ λέξεις ἁπλῶς καθόσον φωναί. ἀλλ' αἱ λέξεις αἱ σημαντικαὶ τῶν πραγμάτων, διὰ μέσων τῶν νοημάτων καθ' ἕκαστον γένος διακρινόμεναι, αὗται τὰς κατηγορίας παρέχουσι. καὶ τὰ λεγόμενα νῦν κατὰ τὰς λέξεις τὰς σημαντικὰς ἀκουστέον. ὧν αἱ μὲν, κατὰ συμπλοκὴν λέγονται. αἱ δὲ, ἄνευ συμπλοκῆς. πλεοναχῶς οὖν καὶ ἡ συμπλοκὴ λέγεται. συμπλέκεσθαι γάρ φησιν ἢ διὰ συναπτικοῦ συνδέσμου, ἢ κατὰ τὴν τῶν πραγμάτων συγγένειαν. καὶ διὰ συναπτικοῦ συνδέσμου, ἢ ἁπλῶς ὅταν λέγωμεν, εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν. ἢ διὰ συμπλεκτικοῦ συνδέσμου, ὡς ὅταν εἴπωμεν, καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστι. κατὰ συγγένειαν δὲ ἡ συμπλοκὴ, ὅταν τὰ συμβεβηκότα κατὰ τῶν οὐσιῶν λέγηται. ἐπειδὴ φύσιν ἔχει ἐν αὐταῖς ὑπάρχειν. εἴτε ὡς ποιὰ συμβεβηκότα εἴτε ὡς πῶς ἔχοντα. ὥσπερ τὸ δεξιὸν καὶ τὸ ὑποδεδέσθαι. καὶ γὰρ οὐσία μέν ἐστι, τὸ καθ' αὑτὸ ὅλον ὑπάρχον. συμβεβηκὸς δὲ, τὸ ἐν ἄλλῳ γινόμενον. ἡ οὖν τοῦ συμβεβηκότος πρὸς τὴν οὐσίαν συμπλοκὴ, τόν τε ὑποκείμενον ὅρον ὁρίζει ἐν τῇ προτάσει, καὶ τὸ, συμβεβηκὸς ὅπως ἔχει πρὸς αὐτὸ ἐστί. ἐπειδὴ γὰρ ἰδίᾳ μὲν καὶ καθ' αὑτὸ λαβεῖν τὸ συμβεβηκὸς, ἰδίᾳ δὲ καὶ τῷ ὑποκειμένῳ συντιθέναι, ἀμφοτέρως αἱ κατηγορίαι γίνονται. ὅταν μὲν γὰρ λέγω τὸ λευκὸν εἶναι, καθ' ἑαυτὸ περιλαμβάνω τὸ λευκόν. ὅταν δὲ λέγω, ὅτι τόδε λευκόν ἐστιν, οὐδὲν ἕτερον λέγω, ἢ ὅτι τόδε λευκότητα ἔχει. τὸ οὖν εἶναι καὶ τὸ ἔχειν, συνδέσμων ἔχει δύναμιν. ἀλλὰ καὶ ὅταν τὰ γένη κατὰ τῶν ὑποκειμένων κατηγορῆται, τοῖς γενικοῖς ὡς συμβεβηκόσι προσχρώμεθα. διόπερ συντιθέμενα διὰ τοῦ εἶναι ἢ τοῦ ἔχειν, ὡς διὰ συνδέσμων τούτων συμπλέκεται. Τρίτη δέ τις ἐστὶ συμπλοκὴ, κοινῶς πᾶσα τῶν τοῦ λόγου στοιχείων ἡ σύνθεσις. ὁποία ποτ' ἂν ᾖ αὕτη. ἐάν τε ὀνόματα συντιθῶμεν, οἷον, ζῷον λογικὸν θνητόν, ἐάν τε ῥήματα, οἷον, περιπατεῖ καὶ διαλέγεται. ἐάν τε ἐλλιπῆ, ὥσπερ τὸ Σωκράτους προϊόντος. ἐάν τε αὐτοτελῆ, ὥσπερ τὸ πῆ, δή, καὶ πόθεν. ἐάν τε τὴν πρώτην τοῦ ῥήματος πρὸς τὸ ὄνομα σύζευξιν ποιώμεθα, ὡς τὸ Σωκράτης περιπατεῖ. ὅπερ γὰρ αὐτὸ τῶν γενῶν τοῦ ὄντος εἶπεν ὁ Πλάτων, ὅτι τὰ μὲν, κοινωνεῖν ἐθέλει πρὸς ἄλληλα, τὰ δὲ οὐδαμῶς συμμίγνυται, τοῦτο καὶ αὐτὸ τῶν τοῦ λόγου μορίων ἀληθές ἐστιν εἰπεῖν τῶν σημαντικῶν. ὅτι συμπλέκεται μὲν τὰ τῶν συνηρμοσμένων πραγμάτων δηλωτικά. οὐ συμπλέκεται δὲ τὰ σημαντικὰ τῶν κεχωρισμένων. ἐπεὶ δὲ καὶ τῆς κοινωνίας τῶν ὄντων, ἡ μὲν, ἐστὶ σύμφυτος, ἡ δὲ, ἐπίκτητος, καὶ συμπλοκῆς διττὰ εἴδη ἔσται τὰ ἀνωτάτω. τό, τε τῶν συμβεβηκότων ὡς ἐν ὑποκειμένῳ ὑπαρχόντων, καὶ τῶν διὰ συνδέσμων λεγομένων. ὡς ἔξωθεν τὸ ἐνεχόντων. τὸ δὲ ὡς συμβεβηκὸς συντεταγμένον, ἢ ῥῆμα ὄν, ὡς τὸ τρέχει. νικᾷ. ἢ μετὰ τοῦ ῥήματος κατηγορούμενον,

ὡς τὸ ἄνθρωπός ἐστι. ὁ γὰρ ὁ τρέχει, εἰς τὸ τρέχων ἐστὶν ἀναλύεται. πανταχοῦ οὖν ῥήματος ἐνόντος, ὁ χρόνος προδηλοῦται. οὐ σημαίνει ὅτι ἄμφω ἐν ἑνὶ χρόνῳ. οὐδὲ ὅτι πρότερον τὸ ἕτερον, ἀλλὰ τὴν τοῦ συμβεβηκότος μόνην πρός τε τὸ ὑποκείμενον καὶ τὸν χρόνον σχέσιν παρίστησι. τοῦτο δὲ ἐπειδὴ κατὰ χρόνον παραγίνεται καὶ ἀπογίνεται τὰ κυρίως συμβεβηκότα, ὡς εἴγε ἦν ἀχώριστα πρὸς τὴν οὐσίαν, καὶ ἀϊδίως ὑπάρχοντα, οὐκ ἂν χρόνος προεσημαίνετο. κἂν γὰρ λέγωμεν ὅτι ὁ νοῦς νοεῖ, τὸ χρονικὸν ἡμεῖς προστίθεμεν. τὰ δὲ κατὰ συμπλοκὴν λεγόμενα καὶ τὰ ἄνευ συμπλοκῆς, ἀνερευνήσομεν τῇ φύσει τῶν πραγμάτων ἀκολουθοῦντες, καὶ τῇ τῶν νοημάτων διαφορᾷ. ὅταν μὲν γὰρ ἓν ᾖ τὸ πρᾶγμα, καὶ τὸ νόημα ἕν, ἁπλοῦν ἔσται τὸ λεγόμενον. καὶ ἄνευ συμπλοκῆς κἂν πλείονες αἱ λέξεις δηλῶσιν. ὡς ὅταν τὸ νεάπολις, ἢ ἀγαθοδαίμων. ἓν γὰρ τὸ σημαινόμενον. ὅταν δὲ καὶ τὰ πράγματα πλείω καὶ τὰ νοήματα, κἂν μία ᾖ λέξις ᾖ, μετὰ συμπλοκῆς εἶναι φήσομεν αὐτά. ὡς τὸ φῶ. προσεπινοεῖται γὰρ τὸ ἐγώ. καὶ τὸ ὕει. δηλοῦται γὰρ ὅτι ὁ Ζεύς. ἀρχύτας μέντοι τοῦ τῶν κατηγοριῶν βιβλίου ἀρχόμενος, ἤτοι τῶν καθόλου λόγων, περὶ λόγου διδάσκει πρῶτον. καὶ τοῦτον ἐν διανοίᾳ καὶ λέξει περιέλαβε. καὶ τὴν μὲν σημαίνουσαν, εἶπε λέξιν εἶναι. τὴν δὲ σημαινομένην, διάνοιαν. τά τε ἁπλᾶ καὶ τὰ σύνθετα καὶ τέλεια καὶ ἐλλιπῆ διωρίσατο. καὶ ἀφ' ὧν δεῖ τά τε κατὰ συμπλοκὴν καὶ ἄνευ συμπλοκῆς δοκιμάζειν ἐδίδαξε.

„Τῶν ὄντων τὰ μὲν, καθ' ὑποκειμένου τινὸς λέγεται. ἕως τοῦ, ἡ γὰρ τὶς γραμματικὴ, τῶν ἐν ὑποκειμένῳ ἐστί. Τισὶν ἔδοξε τοῦτο τοῖς προειρημένοις μὴ ἀκολουθεῖν. διὸ καὶ ὑπομνηματικὸν ἔδοξε τὸ σύγγραμμα. τὸ δὲ, οὐχ οὕτως ἔχει. ἀλλ' ἐπειδὴ περὶ τῶν ἁπλῶν καὶ γενικῶν λέξεων ἦν ὁ σκοπὸς τῶν τὰ ἁπλᾶ καὶ γενικὰ πράγματα σημαινουσῶν, πρὸ τοῦ τὴν εἰς τὰ πλεῖστα διαίρεσιν αὐτῶν ποιήσασθαι, φημὶ δὴ τὴν εἰς δέκα, ὧν οὐκ ἦν πλείονα εὑρεῖν τὴν εἰς τὰ ἐλάχιστα προλαβεῖν ἐδοκίμασεν. ὧν οὐκ ἦν εἰς ἐλάττονα συστεῖλαι. καὶ γὰρ ἐπιστημονικὸν ἦν τοῦτο. καὶ ἡ δεκὰς ἐν τῇ τετράδι περιέχεται. τὰ γὰρ ἓν. δύο. τρία. τέσσαρα συντεθέντες, τὸν δέκα ποιοῦμεν. καὶ τὴν τετράδα πάλιν εἰς δυάδα συνεῖλε. τὰ δὲ τέσσαρα ταῦτά ἐστιν, οὐσία. συμβεβηκός. ὁ τὸ καθόλου. καὶ τὸ κατὰ μέρος. ταῦτα γὰρ ὄντα διαιρεῖται διχῶς. εἴς τε τὰ καθ' αὑτὰ εἶναι δυνάμενα καὶ μηδενὸς ἑτέρου δεόμενα πρὸς ὑπόστασιν. ἅπερ καὶ οὐσία καλοῦνται, διὰ τὸ ἐξαρκεῖν ἑαυτοῖς πρὸς τὸ εἶναι, ὁ εἰς τὰ ἐν ἑτέροις ὑφεστῶτα. ἅπερ καὶ συμβεβηκότα λέγεται, διὰ τὸ ἐν ἑτέροις συμβεβηκέναι. καὶ ἔχομεν εἰς δύο τῶν δέκα κατηγοριῶν τὴν διαίρεσιν. αἱ γὰρ ἐννέα συναιροῦνται ἐν τῷ συμβεβηκότι. καὶ οὐσία πρώτη τῶν ἄλλων ἀπηρίθμηται. καὶ τούτων δὲ ἑκάτερον ἢ εἰς πλείονα τὰ ὑφ' ἑαυτὸ τοῦτο δίδωσιν ἑαυτὸ, ἢ εἰς ἓν μόνον. καὶ διὰ τοῦτο ἄλλη γίνεται συζυγία. καὶ αὕτη λογικὴ τοῦ καθόλου, καὶ τοῦ κατὰ μέρος. ὧν συμπλεκομένων ἀλλήλοις, ἓξ μὲν αἱ πᾶσαι γίνονται συμπλοκαί. δύο δὲ ἐν αὐταῖς ἀσύστατοι οὖσαι τῶν τὰ ἀντιφάσκοντα συναγουσῶν, τῆς τε ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ, καὶ τῆς καθ' ὑποκειμένου καὶ οὐ καθ' ὑποκειμένου, τὰς λοιπὰς τέσσαρας ὁ ἀριστοτέλης ἐκτίθεται. ἢ γὰρ καθόλου οὐσία ἐστὶν, ἢ συμβεβηκὸς μερικόν. ἢ καθόλου συμβεβηκός, ἢ μερικὴ οὐσία.

ἀλλ' ἐπειδὴ ὁ Ἀριστοτέλης διὰ ὀνομάτων ἀσυνηθεστέρων τὰ εἰρημένα ἐδήλωσε, δεῖ ταῦτα μεταλαβεῖν, εἰς τὰ ὑπὸ τοῦ φιλοσόφου λεγόμενα. τὸ μὲν οὖν συμβεβηκός, ἐν ὑποκειμένῳ ἐκάλεσε. διότι μὴ ὂν αὐτοκρατές, ἑτέρου δεῖται πρὸς τὸ ἐν αὐτῷ εἶναι. τὴν δὲ οὐσίαν, κατὰ τὴν τοῦ συμβεβηκότος ἀπόφασιν. ἐπειδὴ γὰρ ἀληθὲς εἰπεῖν, ὅτι τὰ ὄντα ἢ αὐτοκρατῆ ἐστιν, ἢ ἐν ἑτέροις ὑποκειμένοις τοῖς αὐτοκρατέσιν ἔχει τὸ εἶναι. ταυτὸν δὲ εἰπεῖν, ἢ οὐσίας εἶναι, ἢ συμβεβηκότα. ὅσα μὴ εἰσὶ συμβεβηκότα, πάντως οὐσίαι εἰσί. καὶ ὅσα παρὰ τὰ ἐν ὑποκειμένῳ, οὐκ ἐν ὑποκειμένῳ εἰσί. πάλιν δέ, ἐπεὶ τὰ μὲν καθόλου εἰσί, τὰ δὲ μερικά, καὶ οὐδὲν τῶν ὄντων ἐκφεύγει τὴν διαίρεσιν. καθόλου δέ ἐστι τὰ πλειόνων κατηγορούμενα συνωνύμως, ὅπερ καθ' ὑποκειμένου καλεῖ. τὸ γὰρ κατηγορούμενον οὕτως, τοῦ οὐσιωδῶς ὑποκειμένου κατηγορεῖται. μερικὸν δὲ τὸ μὴ τοιοῦτον, εἰκότως τῇ ἀποφάσει τοῦ καθ' ὑποκειμένου τὸ μερικὸν ἐσήμανε. καίτοι ἐν ἄλλοις ἐπὶ συμβεβηκότος χρῆται τῷ καθ' ὑποκειμένου. ἀλλ' ἐπειδὴ τεσσάρων ὄντων τῶν συμπλεκομένων ἓξ λέγομεν τὰς συμπλοκὰς γίνεσθαι, τὴν κοινὴν ἰστέον μέθοδον, καθ' ἣν δυνατὸν εὑρίσκειν ὁσωνοῦν ὅρων δοθέντων πόσαι γίνονται αἱ σὺν δύο αὐτῶν συμπλοκαί. δεῖ γὰρ τὸν τῶν ἐκτεθέντων ὅρων ἀριθμόν, ἐπὶ τὸν μονάδι ἐλάττονα πολλαπλασιάζειν. καὶ τοῦ λεγομένου τὸ ἥμισυ συλλαβόντα, τοσαύτας λέγειν εἶναι τὰς συμπλοκάς. καὶ ἡ αἰτία τῆς μεθόδου δήλη. ἐπειδὴ γὰρ ἕκαστον πρὸς τὰ λοιπὰ πάντα σχέσιν ἔχει, καὶ εἰσὶν αἱ σχέσεις μονάδι ἐλάττονες τῶν ὅρων, ἅτε μεταξὺ τῶν ὅρων οὖσαι, διὰ τοῦτο τὸν τῶν ἐκτεθέντων ὅρων ἀριθμὸν ἐπὶ τὸν μονάδι ἐλάττονα πολλαπλασιάζομεν. ἵνα δὲ μὴ δὶς τὰς αὐτὰς σχέσεις λαμβάνωμεν, τήν τε τῆς οὐσίας τυχόν, πρὸς τὸ συμβεβηκὸς καὶ τοῦ συμβεβηκότος πρὸς τὴν οὐσίαν, τὸ ἥμισυ τῶν γενομένων λαμβάνομεν. Τί δήποτε δὲ μὴ κατὰ τὸ σύνηθες ἐχρήσατο τοῖς σημαινομένοις καθόλου οὐσίαν λέγων καὶ μερικὸν συμβεβηκός, καὶ τὰ λοιπά. Ἢ ὅτι δι' ἐμφαντικωτέρων ὀνομάτων ὑπογραφὴν ἑκάστου παρέδωκε. τὸ γὰρ ἐν ὑποκειμένῳ εἶναι, τὴν οὐσίαν τοῦ συμβεβηκότος παρίστησιν, ὥσπερ τὸ καθ' ὑποκειμένου τὴν τοῦ καθόλου. καὶ εἰκότως δι' ὑπογραφῆς αὐτὰ δεδήλωκεν. οὐ γὰρ ἦν γένη τῶν γενικωτάτων ἀποδοῦναι. ὥστε οὐδὲ ὁρισμούς. οἰκείως δὲ τῷ μὲν συμβεβηκότι, τὸ ἐν ὑποκειμένῳ εἶναι ἀποδέδωκε. καὶ τῇ οὐσίᾳ τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ. τῷ δὲ καθόλου οὐκέτι τὸ εἶναι καθ' ὑποκειμένου, ἀλλὰ τὸ λέγεσθαι. λέγεται γὰρ κατὰ τοῦ ὑποκειμένου, εἴτε ἔστιν ἐν ὑποστάσει, εἴτε μὴ ἔστι. καίτοι καὶ ἀλλαχοῦ ὡς μὴ ὄντων τῶν καθόλου διαλέγεται, ἐν τούτοις ὡς ὄντα διαιρεῖται. τῶν γὰρ ὄντων φησίν. οὐκ ἔστι δὲ κυρίως διαίρεσις ἡ εἰς τὰ τέσσαρα, ἀλλὰ ἀπαρίθμησις μᾶλλον. ὥσπερ εἴ τις δει κυνῶν πλείονας ἀνθρώπους λέγοι, τουτέστιν οἱ μὲν εἰσὶ λακεδαιμόνιοι. οἱ δέ, ἀργεῖοι.

» Ἐν ὑποκειμένῳ δὲ λέγω, ἕως τοῦ, οὔτε ἐν τῷ ὑποκειμένῳ ἐστίν, οὔτε καθ' ὑποκει-
» μένου τινὸς λέγεται.

Αὐτὸς θεὶς τὸν ὅρον τοῦ ἐν ὑποκειμένῳ, εἰκότως ὃ λέγω προσέθηκε. καὶ γένος μὲν τοῦ ἐν ὑποκειμένῳ, τὸ ἔν τινι παρέλαβε. τὰς δὲ ἐφεξῆς διαφορὰς τῶν ἔν τινι τῶν λοιπῶν χωριζούσας.

πολλαχῶς γὰρ λέγεται τὸ ἔν τινι. καὶ τό, γε ἐλάχιστον, ἑνδεκαχῶς. ἢ γὰρ ὡς ἐν τόπῳ ὡς τὸ ἐν λυκείῳ, ἢ ὡς ἐν ἀγγείῳ, ὡς οἶνος ἐν τῷ ἀμφορεῖ. ἢ ὡς ἐν χρόνῳ, ὡς ἐν τῇδε τῇ ὀλυμπιάδι τὰ πελοποννησιακά. ἢ ὡς μέρος ἐν ὅλῳ, ὡς ἡ χεὶρ ἐν τῷ ὅλῳ σώματι. ἢ ὡς ὅλον ἐν τοῖς μέρεσιν. ἢ ὡς ἐν τῷ γένει τὸ εἶδος. οἷον, ἐν τῷ ζώῳ ὁ ἄνθρωπος. περιέχεται γὰρ ἐν αὐτῷ. ἢ ὡς ἐν τῷ εἴδει τὸ γένος. μετέχει γὰρ τὸ εἶδος τοῦ γένους. οἷον, ὁ ἄνθρωπος τοῦ ζώου. ἢ ὡς ἐν τέλει, ὡς ἐν τῷ οἰκείῳ ἀγαθῷ πάντα. ἢ ὡς ἐν ὕλῃ τὸ εἶδος, ὡς ἐν τῷ χαλκῷ ἡ τοῦ ἀνδριάντος μορφή. ἢ ὡς ἐν τῷ κινοῦντι. ἢ ὡς ἐν τῷ ἄρχοντι τὰ τῶν ἀρχομένων. πάντων οὖν τοῦ ἔν τινι σημαινομένων ἐφαρμόζει τῷ ἐν ὑποκειμένῳ. ὡς μὲν οὖν ὁ θεῖος ἰάμβλιχος δοκεῖ λέγειν, τό, ὡς ἐν ὕλῃ οἰκειότερον ἐστὶ τῷ ἐν ὑποκειμένῳ. λέγει δὲ τοῦτο, τῷ ἀριστοτέλει κατακολουθεῖν δοκῶν. αὐτὸς γὰρ ἐν τῷ τετάρτῳ τῆς φυσικῆς ἀκροάσεως δηλῶν τὰ τοῦ ἔν τινι σημαινόμενα, τό, ὡς ἐν ὕλῃ, καὶ τό, ὡς ἐν ὑποκειμένῳ συνῆψεν εἰς ἕν. εἰπών, ἔτι ὡς ἡ ὑγεία ἐν θερμοῖς καὶ ψυχροῖς. καὶ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. κατὰ τὴν κοινὴν ὡς ἔοικε μίαν τὴν μορφωτικὴν τοῦ ὑποβεβλημένου φύσιν. ὡς ἓν αὐτὴν λαβών. καὶ ἔστι τὸ ἐν ὑποκειμένῳ ἑνδέκατον τῶν ἔν τινι σημαινομένων. πολλὴ γὰρ διαφορά ἐστι τοῦ ἐν ὑποκειμένῳ πρός τό, ὡς ἐν ὕλῃ. τὸ μὲν γὰρ ἐν ὑποκειμένῳ, ἐν οὐσίᾳ ἐστί. καὶ ὡς ἐν οὐσίᾳ. σύνθετος δὲ ἐξ ὕλης καὶ εἴδους, ἡ γε φυσικὴ οὐσία. τὸ δὲ ἐν ὕλῃ εἶδος, ὡς ἐν ἐνδεεστέρῳ καὶ μέρει οὐσίας. καὶ τὸ μὲν ἐν ὑποκειμένῳ, τὸ εἶναι παρὰ τοῦ ὑποκειμένου λαμβάνει. τὸ δὲ εἶδος, δίδωσι τῇ ὕλῃ τὸ εἶναι. καὶ τὸ μὲν ἐν ὑποκειμένῳ, οὐ συμπληροῖ τὴν τοῦ συνθέτου οὐσίαν, ὡς δηλοῖ ὁ ὁρισμὸς αὐτοῦ. τὸ δὲ ἐν ὕλῃ, συμπληροῖ. ἔτι δὲ λέγω ὅτι τὸ μὲν ἐν ὑποκειμένῳ συμβεβηκός ἐστι. καὶ ὑπὸ μίαν τινὰ τῶν ἐννέα κατηγοριῶν τελεῖ. τὸ δὲ εἶδος ἀκούσομεν σύνθετον καὶ τὸ ὑποκείμενον. ἀριστοτέλης δὲ ἐνταῦθα τὸ ἁπλούστερον λαβών, καὶ τὸ τί, οὐκ ἂν ἐν ὑποκειμένῳ τὸ ἐν τῇ ὕλῃ λέγοι. τὸ γὰρ τί καὶ τὸ τόδε, οὐδὲ προσήκειν ὅλως τῇ ὕλῃ νομίζει. κἂν λέγῃ γὰρ καὶ τὴν ὕλην οὐσίαν ἐν τῇ φυσικῇ ἀκροάσει, ἀλλ' οὐ τὴν κυρίως οὐσίαν ἐκείνην φησίν. ἐν δὲ τούτοις, τὴν πρώτην οὐσίαν καὶ σύνθετον καὶ ὑποκειμένην καλεῖ. καὶ αὐτὸς δὲ ὁ ἰάμβλιχος προελθών, ἐπέστησεν, ὅτι ἄλλο τὸ ὡς ἐν ὕλῃ, καὶ ἄλλο τὸ ὡς ἐν ὑποκειμένῳ. ἰστέον δὲ ὅτι, ἐν τῷ τετάρτῳ τῆς φυσικῆς ἀκροάσεως τὸ ἔν τινι, εἰς ὀκτὼ διεῖλεν ὁ ἀριστοτέλης. τοῦ μὲν ἐν χρόνῳ, μηδὲ μνησθεὶς ὅλως. ἴσως μέν, διὰ τὸ μήπω τι περὶ τοῦ χρόνου εἰπεῖν. τὸ δὲ ἐν ὑποκειμένῳ συνάψας τῷ ἐν ὕλῃ. καὶ τὸ ἀγγεῖον δὲ καὶ τὸν τόπον συνῆψε, διὰ τὸ μήπω τότε τὴν διαφορὰν εἰρηκέναι. ἐπειδὴ οὖν τοῦ ἔν τινι τὰ ἄλλα τὰ μέν, ἔστιν ὡς μέρη ἐκείνου τοῦ ἐν ᾧ ἐστιν, ὡς τὸ κυρίως μέρος τοῦ ὅλου, καὶ τὸ εἶδος τοῦ γένους. ἢ γὰρ μέρος καὶ τοῦτο, ἢ ὡς μέρος. ἀνεῖλε δὲ καὶ τὸ ὡς μέρος ὁ ἀριστοτέλης ἀπὸ τοῦ ἐν ὑποκειμένῳ. ἀλλ' οὐχὶ τὸ μέρος μόνον, ἀλλὰ καὶ τὸ κατατεταγμένον γένος τοῦ εἴδους. συμπληροῖ γὰρ αὐτοῦ τὴν οὐσίαν ἀλλ' οὔτινος τοῦ συνθέτου. ὡς τὸ εἶδος μετὰ τῆς ὕλης μέρος γίνεται τοῦ συνθέτου. τὰ δέ, μέρη μὲν οὐκ ἔστι. χωρίζεται δὲ τῶν ἐν οἷς ἐστιν. ὡς τὰ ἐν τόπῳ, καὶ ἐν ἀγγείῳ, καὶ ἐν χρόνῳ, καὶ τὰ ἐν τέλει. ἀποπίπτοντα γὰρ τοῦ ἐν ᾧ ἐστιν ἀγαθοῦ, οὐκ ἔχει ἐν ᾧ ὑπόστασιν. ἔστι δ' ὅμως τινὰ ὡς τὸ κινοῦν καὶ κινούμενον. καὶ γὰρ ὑπόστασιν ἔχοντος χωρίς, τὰ ἀρχόμενα.

διὰ τοῦτο τῶν μὲν προτέρων ἐχώρισεν αὐτὸ τῶν μὴ ὡς μέρος ὄντων. τῶν δὲ δευτέρων, διὰ τὸ ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν. ἀλλ' εἴποι τις ἂν ἴσως, ὅτι τὸ ὅλον ἐν τοῖς μέρεσιν ὄν, οὐκ ἔστιν ὡς μέρος. οὐδὲ χωρίζεται αὐτοῦ τῶν μερῶν. καὶ εἴη ἂν τὸ ἐν ὑποκειμένῳ ἢ ἐν ἑνὶ ἢ πλειόνων, ἀλλ' οὐκ ἐν τισιν, ἐχώρισεν αὐτὸ κατὰ τοῦτο τοῦ ὅλου. τὸ γὰρ ὅλον τὸ ἐν τοῖς μέρεσιν, οὐκ ἔν τινι, ἀλλ' ἐν τισίν ἐστιν. Ἀποροῦσι δὲ οἱ περὶ τὸν Λούκιον καὶ τοῦτο, πρὸς τῷ μὴ ὡς μέρος λέγεσθαι τὸ ἐν ὑποκειμένῳ. εἰ γὰρ τὰ συμπληρωτικά φασι τῆς οὐσίας μέρη αὐτῆς εἶναι λέγομεν, συμπληροῖ δὲ ἁπλῶς μὲν τοῦ σώματος τοῦ αἰσθητοῦ τὸ εἶναι χρῶμα. σχῆμα. μέγεθος. καὶ ἁπλῶς ποιότης. καὶ ποσότης. ἄχροουν γὰρ καὶ ἀσχημάτιστον οὐκ ἂν εἴη σῶμα. τοῦδε δὲ τοῦ σώματος, οἷον χιόνος, λευκότης καὶ ψυχρότης. ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ μὴ λέγειν ταῦτα ἐν ὑποκειμένῳ, ἢ μὴ καλῶς ἀποφάσκεσθαι τῶν ἐν ὑποκειμένῳ, τὸ μὴ ὡς μέρη εἶναι. πῶς δὲ καὶ ἐν ὑποκειμένῳ ὅλως τὰ συμπληρωτικὰ δύναται λέγεσθαι. οὐ γὰρ ἡ σωκράτους μορφὴ ἐν ὑποκειμένῳ ἐστὶ τῷ σωκράτει. ἀλλ' εἴπερ ἄρα τὰ τοῖς ἤδη τελείοις ἔξωθεν ἐπεισιόντα, ταῦτα ἂν εἴη ἐν ὑποκειμένοις αὐτοῖς. Ταύτην δὴ τὴν ἀπορίαν λύων ὁ πορφύριος, διττόν φησιν ἐστὶ τὸ ὑποκείμενον. οὐ μόνον κατὰ τοὺς ἀπὸ τῆς στοᾶς, ἀλλὰ καὶ κατὰ τοὺς πρεσβυτέρους. ἥ τε γὰρ ἄποιος ὕλη, ἣν δυνάμει καλεῖ ὁ ἀριστοτέλης, πρῶτον ἐστὶ τοῦ ὑποκειμένου σημαινόμενον. καὶ δεύτερον, ὁ κοινῶς ποιὸν. ἢ ἰδίως ὑφίσταται. ὑποκείμενον γὰρ καὶ ὁ χαλκός ἐστι καὶ ὁ σωκράτης τοῖς ἐπιγινομένοις ἢ κατηγορουμένοις κατ' αὐτῶν. πολλὰ οὖν φησι τῶν ἐπιγινομένων. ὡς μὲν πρὸς τὸ πρῶτον ὑποκείμενον, ἐν ὑποκειμένῳ ἐστίν. οἷον, πᾶν χρῶμα. καὶ πᾶν σχῆμα. καὶ πᾶσα ποιότης, ἐν ὑποκειμένῳ ἐστὶ τῇ πρώτῃ ὕλῃ. οὐχ ὡς μέρη αὐτῆς ὄντα, καὶ ἀδύνατα χωρὶς αὐτῆς εἶναι. ἐπὶ δὲ τοῦ δευτέρου ὑποκειμένου, οὐ πᾶν χρῶμα. οὐδὲ πᾶσα ποιότης ἐν ὑποκειμένῳ. ἀλλ' ὅταν μὴ συμπληρωτικὰ ᾖ τῆς οὐσίας. τὸ γοῦν λευκόν, ἐπὶ μὲν τοῦ ἐρίου, ἐν ὑποκειμένῳ. ἐπὶ δὲ τῆς χιόνος, οὐκ ἐν ὑποκειμένῳ. ἀλλὰ συμπληροῖ τὴν οὐσίαν, ὡς μέρος. καὶ ὑποκείμενον μᾶλλον ἐστὶ μετὰ τῆς οὐσίας. ὁμοίως δὲ καὶ ἡ θερμότης. τῆς μὲν τοῦ πυρὸς οὐσίας μέρος ἐστίν. ἐν ὑποκειμένῳ δὲ γίνεται τῷ σιδήρῳ. ἐπειδὴ καὶ γίνεται καὶ ἀπογίνεται ἐν τῷ σιδήρῳ, ἄνευ τῆς τοῦ σιδήρου φθορᾶς. ὁ γοῦν ἀριστοτέλης τὸ δεύτερον ῥηθὲν ὑποκείμενον ἐνταῦθα λαβών, τὸ κατὰ τὸ σύνθετον καὶ τὴν ἄτομον οὐσίαν, ὅπερ μήτε ἐν ὑποκειμένῳ εἶναί φησι, μήτε καθ' ὑποκειμένου τινὸς λέγεσθαι, εἰκότως πᾶν τὸ μὴ οὐσιωδῶς ἐπ' αὐτοῦ λεγόμενον, ἀλλὰ κατὰ τὸ συμβεβηκέναι ἐν ὑποκειμένῳ τοῦτο εἶναί φησιν. ὥσπερ τὴν θερμότητα ἐν τῷ σιδήρῳ. τὰ δὲ συμπληρωτικά, ὡς τὴν τοῦ πυρὸς θερμότητα. τοῦ μὲν πυρὸς μέρος ἂν εἴποι. ἐν ὑποκειμένῳ δέ, τῇ ἀποίῳ ὕλῃ. πρὸς δὲ ταύτην οἶμαι τὴν λύσιν, εἰπεῖν εὔλογον. ὅτι εἰ τὸ ἐν ὑποκειμένῳ τοῦτο μόνον ἐστί, τὸ γινόμενον καὶ ἀπογινόμενον, οὐκέτι ἐν δύο τούτοις, τῷ τε ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ περιείληφε πάσας τὰς κατηγορίας. εἰ γὰρ τὸ οὐκ ἐν ὑποκειμένῳ τὴν οὐσίαν δηλοῖ, τὸ δὲ ἐν ὑποκειμένῳ μὴ πᾶσαν ποιότητα, ἀλλὰ τὴν ἐπείσακτον μόνην, οὐ πάντα ἂν εἴη τὰ γένη περιειλημμένα. ἐχρῆν λέγειν, ὅτι αἱ μὲν ἐπεί-



Universitäts- und
Landesbibliothek Düsseldorf

σαρκὶ ποιότητες, ἀλλὰ συμπληρωτικαὶ τῆς οὐσίας, μέρη τῆς οὐσίας οὖσαι, καὶ αὐταὶ οὐσίαι εἰσί. καὶ τῇ οὐσίᾳ συμπεριλαμβάνονται. τὰ γὰρ μέρη τῆς οὐσίας, οὐσίαι κατὰ τὸν Ἀριστοτέλην. καὶ ἴσως διὰ τοῦτο τὴν οὐσίαν οὐκ εἴρηκεν ὑποκείμενον, ἀλλ' οὐκ ἐν ὑποκειμένῳ. ἵνα καὶ τὰς τοιαύτας περιλάβῃ ποιότητας. Ἀποροῦσι δέ τινες καὶ περὶ τῆς εὐωδίας τοῦ μήλου, καὶ τῶν ἐξατμιζομένων θυμιαμάτων. ἡ γὰρ εὐωδία συμβεβηκὸς οὖσα, μεταβαίνει ὅμως ἐκ τοῦ μήλου καὶ τῶν θυμιαμάτων, εἴς τε τὸν ἀέρα καὶ τὰ ἱμάτια. καὶ ἡ τοῦ μέλιτος γλυκύτης, εἰς ὅλον τὸ μελίκρατον. καὶ σκορόδου καὶ ῥαφανίδος ἀλλοιωθέντων ἤδη ἐν τῇ γαστρί, ἡ δυσωδία δήλη γίνεται τοῖς ὁμιλοῦσιν. Ἀλλ' ἐπιστῆσαι χρή, ὅτι οὐκ εἴρηκεν Ἀριστοτέλης ἀδύνατον αὐτὸ χωρισθῆναι τοῦ ἐν ᾧ ἦν, ἀλλὰ τοῦ ἐν ᾧ ἐστι. καὶ γὰρ τὸ πρός τι ὑποκείμενον ἀπολείπει συνεχοῦς ὄντος τοῦ παντός, ἢ κατὰ ἁφήν, ἢ κατὰ ἕνωσιν, δύναται ἐφ' ἑτέροις μεταβαίνειν, μὴ ὄντος μεταξὺ κενοῦ. καὶ πῶς ποιότης τῆς ἐκτὸς οὐσίας μεταβήσεται. ἔσται γὰρ οὕτω χωρὶς ἡ τὴν φύσιν καὶ ἐν ἄλλῃ γίνεται μεταβαίνουσα. μήποτε οὖν ἄμεινον λέγειν, ὅτι πᾶσα μὲν εὐωδία καὶ πᾶν τοιοῦτον συμβεβηκός, μετὰ τῆς οἰκείας οὐσίας ἐστί. καὶ οὐδέποτε ταύτης ἀποσπᾶται. ἡ δὲ οὐσία, ποτὲ μὲν ἐξαπλοῦται μανουμένη, καὶ ταῖς ἄλλαις οὐσίαις ἐγκατασπείρεται. ποτὲ δὲ μεταβάλλει εἰς ἑαυτὴν τὰ συνεχῆ, καὶ πεφυκότα πάσχειν, ὥσπερ ἐπὶ τοῦ πυρὸς ἐναργῶς ὁρᾶται. οὐ γὰρ ὁ ἐξ ἀρχῆς σπινθήρ ἐστιν, ὁ πᾶσαν τὴν ὕλην ἐπινεμόμενος, ἀλλὰ τὸ ἐξ ἐκείνου κατὰ τὸ ὀλίγον πολλαπλασιασθὲν πῦρ. μήποτε δὲ ἐκ τῶν προειρημένων, δῆλον ὅτι ἡ εὐωδία τοῦ μήλου καὶ τῶν θυμιαμάτων συμπληρωτικαὶ τοῦ εἴδους οὖσαι, οὐδὲ ἐν ὑποκειμένῳ ἂν λέγοιντο τῷ συμπληρουμένῳ. ὅτι δὲ οὐσία τις συνδιαφορεῖται ταῖς τοιαύταις εὐωδίαις, δηλοῖ ῥυτιδούμενον τὸ μῆλον, καὶ δαπανώμενα τὰ θυμιάματα. Ἀλλὰ πῶς φησὶν οὐχὶ καὶ αἱ ἄτομοι οὐσίαι, οἷον, Σωκράτης, καὶ Πλάτων, τῷ λόγῳ τῶν ἐν ὑποκειμένῳ ὑπαχθήσονται, καὶ ἔσονται συμβεβηκότα, εἴπερ καὶ ἔν τινι ἐστὶν ὁ Σωκράτης. ἐν τόπῳ γὰρ καὶ χρόνῳ. καὶ οὐχ ὡς μέρος. καὶ ἀδύνατον χωρὶς εἶναι τόπου καὶ χρόνου. κἂν γὰρ τοῦδε μεταστῇ τοῦ τόπου, πάντως ἐν ἄλλῳ ἔσται, ὡς καὶ ἐπὶ τῆς εὐωδίας ἐλέγετο. ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ τόπου λύειν ὁ Βοηθὸς ἔδοξεν ἐκ τῶν τὰ κινούμενα μὴ ὅλως εἶναι ἐν τόπῳ. δηλαδὴ τηνικαθὸ κινοῦνται, ἐν ἀτόμοις αὐτῶν γέγονε. τὸ δὲ οὐ γέγονεν, οὐκ ἔστιν ἐν τόπῳ. οὐδὲ ὡς ὅλον ἐν ὅλῳ τῷ περιέχοντι τὸ περιεχόμενον. ἐπεί τοί γε κατὰ τὰ μέρη, ἐν τόπῳ μεριστῶς ὑπάρχει. οὐδὲ γὰρ ἐστὶν ἔξω. τοῦτο γὰρ ἐν τῷ περὶ κινήσεως δέδεικται. τῷ δὲ αὐτῷ λόγῳ, οὐδὲ ἐν χρόνῳ εἴη ἂν μερικῷ. ἔσοιτο γὰρ συνεχῶς τοῦ χρόνου, ἀλλὰ ἀεὶ καὶ ἄλλως ἐστίν. ὥστε εἴπερ ἄρα ἐν τῷ καθόλου χρόνῳ ἐστίν. ἀλλὰ καὶ τοῦτο λύων ὁ Βοηθός, πρῶτον μὲν οὐδὲ εἶναι τὸ καθόλου ἐν ὑποστάσει κατὰ τὸν Ἀριστοτέλην φησίν. εἰ δὲ καὶ εἴη, οὐ τί εἶναι. ὁ δὲ Ἀριστοτέλης ἔν τινι τῷ εἶναι εἴρηκεν. ὥστε οὐ δύναται τὸ ἔν τινι ὂν ἐν τῷ καθόλου εἶναι. ῥᾳδίως δ' ἂν αἱ τοιαῦται ἀπορίαι διαλύοιντο, εἰ τὸ ἐν τῷ ὑπάρχον συντάξομεν. τὸ γὰρ συμβεβηκὸς ἐν ὑπάρχει τῷ ὑποκειμένῳ. οὔτε δὲ τὰ ἐν τόπῳ. οὔτε τὰ ἐν χρόνῳ λέγοιτο.




ἢ δέ τις τὸ ἔν τινι, ὡς ἐν ὕλῃ εἶδος περιλαμβάνεσθαι νομίζοι τῷ λόγῳ, διότι καὶ τοῦτο ἐν τῇ ὕλῃ ἐστὶν, οὐχ ὡς μέρος αὐτῆς καὶ ἀχώριστον ἐστὶν ἀπ᾽ αὐτῆς. εἴρηται γὰρ πρότερον, ὅτι τὸ ἔν τινι νῦν, ὡς ἐν συνθέτῳ οὐσίᾳ φησὶν. ἐφ᾽ ἧς καὶ ἡ οὐσία καὶ τὸ εἶδος ἐπαληθεύεσθαι δύναται. Ζητεῖν δὲ ἄξιον διὰ τί μετὰ τὴν καθόλου οὐσίαν τὸ μερικὸν συμβεβηκὸς ἔταξε, καὶ οὔτε καθόλου τι, οὔτε οὐσίαν. καὶ γὰρ τετραγωνικῶς αὐτὰ καταγράψῃς, ἄνω μὲν τὰ καθόλου τάξας, κάτω δὲ τὰ μερικὰ, οὔτε τὰ κατὰ τὸ μῆκος, οὔτε τὰ κατὰ τὸ πλάτος εὑρήσεις συντεταγμένα, ἀλλὰ τὰ διαγώνια. τούτου δὲ αἴτιον, τὸ καὶ πᾶσαν μὲν διαίρεσιν ἀμέλει τὸ ἀπαράλειπτον ἔχειν, κατὰ ἀντίφασιν ὀφείλειν γίνεσθαι. ἐν ταύταις δὲ ἐστὶ μᾶλλον οἰκειοτέρα ἡ λῆψις. ὡς τὸ καταφατικὸν, τῷ ἀποφατικῷ. καὶ τὸ καθ᾽ ὑποκειμένου, τῷ οὐ καθ᾽ ὑποκειμένου. καὶ τὸ ἀποφατικὸν τῷ καταφατικῷ, ἀντιτίθεσθαι τὸ οὐκ ἐν ὑποκειμένῳ τῷ ἐν ὑποκειμένῳ. τὸ δὲ καθ᾽ ὑποκειμένου τε λέγεται καὶ ἐν ὑποκειμένῳ ἐστίν. ὅτι μὲν τὸ καθόλου συμβεβηκὸς οὕτως ὀνομάζει, δῆλον ἂν ἐκ τῶν εἰρημένων εἴη. Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι ἐν τούτοις πάντα τὰ καθόλου καὶ γενικὰ, ὡς ἐν ὑποστάσει ὄντα τίθησιν. ὡς περὶ τῆς καθόλου ἐπιστήμης. καὶ δῆλον ὅτι αὕτη, ἐν τῇ καθόλου ψυχῇ ἐστι. καὶ πρὸ ὀλίγου δὲ τὰ ὄντα διεῖλεν εἰς τὰ καθόλου καὶ εἰς τὰ κατὰ μέρος. καὶ ἴσως τοῖς πυθαγορείοις ἀκολουθῶν. ἀφ᾽ ὧν τὴν περὶ τῶν δέκα γενῶν διδασκαλίαν παρέλαβεν.

» Ἁπλῶς δὲ τὰ ἄτομα καὶ ἓν ἀριθμῷ. ἕως τοῦ, οὐδὲν κωλύεται εἶναι.

Καὶ τὸ ἐν ὑποκειμένῳ καὶ τὸ καθ᾽ ὑποκειμένου αὐτὸς ὀνομάσας, πρῶτος ἐδεῖτο σαφηνίσαι, τί ποτε βούλεται αὐτῷ τὰ ὀνόματα. πρότερον οὖν τὸ ἐν ὑποκειμένῳ ἐξηγησάμενος, νῦν τί δηλοῖ τὸ καθ᾽ ὑποκειμένου παρίστησι. μᾶλλον δὲ πρότερον, τί οὐ σημαίνει παραδίδωσιν. ἔπειτα οὕτως τίνα ἔχει δύναμιν. λέγει οὖν ὅτι τὰ ἄτομα. ταῦτα δέ ἐστι τὰ μὴ τεμνόμενα διαφοραῖς. καὶ διὰ τοῦτο, μήτε γένει μήτε εἴδει ἓν ὄντα, ἀλλὰ ἀριθμῷ μόνον. ὡς ἐν τῷ ἀριθμεῖσθαι τὸ ἓν ἔχοντα. ταῦτα οὖν κατ᾽ οὐδενὸς ὑποκειμένου λέγεται. οὐ γὰρ ἔχει τι μερικώτερον ἑαυτῶν, οὗ κατηγορηθήσεται ὡς καθ᾽ ὑποκειμένου. εἰ δὲ τὸ ὄνομα τοῦ σωκράτους, αὐτοῦ τοῦ σωκράτους κατηγορεῖται ὡς ὑποκειμένου αὐτοῦ, οὐ περὶ τῆς τοιαύτης κατηγορίας ὁ λόγος ἐστὶν, ἀλλὰ τῆς ἄλλου κατ᾽ ἄλλων συνωνύμως γινομένης. ὅπερ τοῖς ἀτόμοις οὐχ ὑπάρχει. εἰπὼν δὲ τὸ κοινὸν περὶ τὰ ἄτομα ὅτι οὐκ ἔστι καθ᾽ ὑποκειμένου, καὶ τὴν διαφορὰν προστίθησι. δύναται γὰρ τὸ μέν τοι ἐν ὑποκειμένῳ εἶναι. τουτέστι συμβεβηκὸς εἶναι. τὸ δὲ, δῆλον ὅτι οὐκ ἐν ὑποκειμένῳ. ὅπερ ἐστὶν

οὐσία. μήποτε δὲ ἐπειδὴ αὐτὸς πρῶτος ταῦτα τέθεικε τὰ ὀνόματα, ἵνα μή τις ἀκού-
σας τὸ μὴ καθ' ὑποκειμένου εὐθὺς αὐτὸ καὶ μὴ ἐν ὑποκειμένῳ ὑπολάβῃ, ταὐτὸν ἐν ἑκα-
τέρῳ τὸ ὑποκείμενον ἡγούμενος, διὰ τοῦτο τὸ μὴ καθ' ὑποκειμένου, οὐδέν φησι κωλύει ἐν
ὑποκειμένῳ εἶναι. ἄλλο γὰρ καὶ ἄλλο τὸ ὑποκείμενον. εἰ δὲ μηδὲν κωλύει ἐν ὑποκειμένῳ
εἶναι, δῆλον ὅτι οὐδὲν κωλύει καὶ μὴ εἶναι ἐν ὑποκειμένῳ. τὸ γὰρ μερικὸν, οὐδὲν κω-
λύει καὶ συμβεβηκὸς εἶναι καὶ οὐσίαν. Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται.
ἕως τοῦ, ὁ γὰρ τὶς ἄνθρωπος, καὶ ἄνθρωπός ἐστι καὶ ζῷον. Εἰπὼν τί οὐκ ἔστι καθ' ὑποκει-
μένου, νῦν τί ἐστι λέγει. ὅτι τὸ συνωνύμως καὶ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, τοῦτό ἐστι τὸ καθ'
ὑποκειμένου λέγεσθαι. τοῦτο δέ ἐστιν, ὅταν τὸν λόγον τὸν ὁριστικὸν ἀποδιδόντες τοῦ
ὑποκειμένου, διὰ τοῦ κατηγορουμένου ἀποδιδῶμεν. ἐὰν γὰρ ἀποδιδῷ τίς τί ἐστιν ἄνθρωπος,
ζῷον ἐρεῖ. ὅταν οὖν ὡς καθ' ὑποκειμένου κατηγορῇ τοῦ, οἷον ὁ ἄνθρωπος τοῦ Σωκράτους, καὶ τοῦ κατη-
γορουμένου ἄλλο τι κατηγορεῖται. καὶ αὐτὸ μὴ ὡς ἔτυχεν, ἀλλ' ὡς καθ' ὑποκειμένου καὶ
συνωνύμως. οἷον τὸ ζῷον τοῦ ἀνθρώπου, καὶ τοῦ Σωκράτους τὸ ζῷον κατηγορηθήσεται. ἔσται
γὰρ ὁ παρὼν τρόπος τοῦ πρώτου σχήματος οὗτος. τοῦ μέσου ἐν ὅλῳ μὲν ὄντος τῷ μείζονι
ἄκρῳ. κατὰ παντὸς δὲ τοῦ ἐλάττονος λεγομένου. Τινὲς δὲ ἀποροῦσι, πῶς τοῦ ζῴου κα-
θ' ὑποκειμένου τοῦ ἀνθρώπου λεγομένου, τοῦ δὲ γένους κατὰ τοῦ ζῴου, οὐκέτι τὸ γένος κατὰ τοῦ
ἀνθρώπου κατηγορεῖται. ἀλλὰ πρόχειρος ἡ λύσις. Ὅτι τὸ γένος κἂν κατηγορῆται
τοῦ ζῴου, ἀλλ' οὐχ ὡς καθ' ὑποκειμένου. ἦ γὰρ ἂν κατὰ παντὸς ζῴου κατηγορεῖτο. νῦν δὲ ζῷον
μέν ἐστι Σωκράτης. οὐ μέντοι γένος. οὐ γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖται τοῦ ζῴου τὸ γένος.
ἐρωτηθέντες γοῦν τί ἐστι ζῷον, οὐχὶ γένος, ἀλλ' οὐσίαν ἔμψυχον λέγομεν τὸ ζῷον εἶναι.
οὐ γὰρ τὸ ὁπωσδήποτε κατηγορούμενον, ὡς καθ' ὑποκειμένου κατηγορεῖται. ἐν γοῦν τῷ Σω-
κράτης περιπατεῖ, κατηγορεῖται μὲν τὸ περιπατεῖν, οὐ καθ' ὑποκειμένου δέ. δεικνῦσι μὲν
οὖν ὅπερ εἶπον, διὰ τῶν προρρηθέντων, καὶ τί ἐστι τὸ καθ' ὑποκειμένου λέγεσθαι. ὅτι τὸ συνωνύ-
μως κατηγορεῖσθαι. καὶ ἐκεῖνο δὲ μάλιστα διδάσκει. ὅτι οὗτινος ἂν καθ' ὑποκειμένου λέγη-
ταί τι, καὶ ἡ κατηγορία εἰς ἣν ἀνάγεται τὸ κατηγορούμενον, λέγεται κατ' αὐτοῦ. εἰ γὰρ τὸ ζῷον καθ'
ὑποκειμένου λέγεται τοῦ ἀνθρώπου, ἀνάγεται δὲ τὸ ζῷον εἰς τὴν οὐσίαν, καὶ ὁ ἄνθρωπος εἰς τὴν οὐσίαν ἀνα-
χθήσεται. καὶ διὰ τοῦ τοιούτου θεωρήματος, τὰ καθ' ἕκαστα καὶ ἀπερίληπτα τῷ λογισμῷ, διὰ
τῶν οἰκείων ἐπαναβιβασμῶν, εἰς τὰς δέκα κατηγορίας συναιρεῖται. ὅτι γὰρ οὐσία ἐστὶν ὁ
Σωκράτης, οὐκ ἔστι γνῶναι σαφῶς, μὴ διὰ πολλῶν τῶν συνωνύμως ἀεὶ τῶν ὑφ' ἑαυτὰ
κατηγορουμένων ὁδεύσαντα, τί ἐστι τῶν καθ' ὑποκειμένου λεγομένων. εἰ γὰρ ἄνθρωπος ὁ Σωκράτης, καὶ
τὸ τοῦ ἀνθρώπου συνωνύμως κατηγορούμενον. ὥστε καὶ ζῷον καὶ τὸ τοῦ ζῴου συνωνύμως κατη-



γορούμενον. ὥστε καὶ ἔμψυχον καὶ οὐσία. ἀλλὰ καὶ τὸ καθ' ὑποκειμένου λέγεσθαι, ταὐτόν ἐστι τῷ συνωνύμως κατηγορεῖσθαι, ἐπειδὴ καὶ ὁ ὁρισμὸς συνωνύμως κατηγορεῖται τοῦ κεφαλαιώδους. ὁ γὰρ ἄνθρωπος, ζῷον λογικὸν θνητόν ἐστιν. εἰ καὶ ἄλλως καὶ ὁ ὁρισμὸς τοῦ ἀνθρώπου, καθ' ὑποκειμένου τοῦ ἀνθρώπου λεγόμενος. εἰ δὲ τοῦτο, οὐκέτι τὸ καθόλου σημαίνεται ὑπὸ τοῦ καθ' ὑποκειμένου. Ἤδη καὶ τοῦτο ὁ Ἀριστοτέλης οὐχ ἁπλῶς εἶπεν, ὅταν κατηγορῆταί τι ὡς καθ' ὑποκειμένου, ἀλλ' ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου. τὰ δὲ ὑπὸ τοῦ ὁριστικοῦ λόγου σημαινόμενα, οὐκ ἔστιν ἕτερα τοῦ ὁριστοῦ. τινὲς δὲ αὐτὸ τοῦτο αἰτιῶνται, τὸ ἕτερον εἰρῆσθαι τὸ καθ' ὑποκειμένου κατηγορούμενον, τοῦ οὗ κατηγορεῖται. καὶ γὰρ τοῦ ἀνθρώπου κατηγορεῖται τὸ ζῷον ὡς ζῴου. καὶ τὸ χρῶμα τοῦ λευκοῦ ὡς χρώματος. καί φησιν ὁ Πορφύριος, ὅτι διττὴ ἡ ἐπίνοια τοῦ ζῴου. ἡ μὲν, τοῦ κατατεταγμένου. ἡ δὲ, τοῦ ἀκατατάκτου. κατηγορεῖται οὖν τὸ ἀκατάτακτον τοῦ κατατεταγμένου. καὶ ταύτῃ ἕτερόν ἐστιν. ὁ μέντοι Ἰάμβλιχος, οὐ τὰ γένη φησὶ τῶν ὑποκειμένων κατηγορεῖται, ἀλλ' ἕτερα διὰ ταῦτα. ὅταν γὰρ λέγωμεν Σωκράτην ἄνθρωπον εἶναι, οὐ τὸν γενικὸν αὐτὸν φαμὲν ἄνθρωπον εἶναι, ἀλλὰ μετέχειν τοῦ γενικοῦ. ὥσπερ τὸ λευκὴν εἶναι τὴν ἄμπελον, ταυτόν ἐστι τῷ λευκοὺς τοὺς βότρυας φέρειν, κατὰ ἀναφορὰν τὴν αὐτῆς τῶν καρπῶν, οὕτως αὖ τῆς καλουμένης. περὶ δὲ τούτου ἐν τοῖς μετὰ τὰ φυσικὰ ἀκριβῶς διώρισεν Ἀριστοτέλης. νῦν δὲ κοινότερον κέχρηται ταῖς σημασίαις. ὡς καὶ ἡμεῖς ὅταν λέγωμεν τοὺς ὁρισμοὺς ἐκ γενοῦς εἶναι καὶ διαφορῶν, οὐ κυρίως ἐνταῦθα τὸ γένος λαμβάνοντες, ἀλλ' ἀντὶ τῆς πτώσεως ἧς δεκτικόν ἐστι τὸ μετέχειν τοῦ γενικοῦ. ἀλλ' ὅτι μὲν καθόλου βούλεται εἶναι τὸ καθ' ὑποκειμένου, ἐδήλωσεν εἰπὼν, τὰ ἄτομα μὴ λέγεσθαι καθ' ὑποκειμένου. ὅτι δὲ συνωνύμως αὐτὸ δεῖ κατηγορεῖσθαι, ἐδήλωσε διὰ τοῦ καὶ τὸ ὑπὸ αὐτὰ κατηγορεῖσθαι. τοῦτο γὰρ ὑπάρχει τοῖς ἐν τῷ τί ἐστι κατηγορουμένοις. τὸ δέ γε ἐν ὑποκειμένῳ, ἔστι μὲν ἐν τῷ ὑποκειμένῳ. οὐ μέντοι συνωνύμως κατηγορεῖται τοῦ ὑποκειμένου. οὐ γὰρ λέγεται ἡ ψυχὴ ἐπιστήμη. ὅταν οὖν τὸ αὐτὸ ἐν ὑποκειμένῳ τε ᾖ καὶ καθ' ὑποκειμένου, τουτέστιν ὅταν ᾖ καθόλου συμβεβηκὸς, δύο ὑποκείμενα θεωρητέον. τὸ μὲν, ἐν ᾧ ἐστι. τὸ δὲ, καθ' οὗ λέγεται. καὶ τῷ μὲν ἐν ὑποκειμένῳ, τὸ ἐστὶν ἀποδέδοται. τῷ δὲ καθ' ὑποκειμένου, τὸ λέγεται. εἴτε γάρ ἐστι τὰ καθόλου, εἴτε ἐπινοίᾳ μόνῃ τὸ εἶναι ἔχει, ἄλλης ἂν εἴη πραγματείας ζητεῖν. ὅτι μέντοι λέγεται κατὰ τοῦ ὑποκειμένου, δῆλον. νῦν δὲ καὶ ὡς οὖσιν Ἀριστοτέλης ἐχρήσατο. καὶ πρόδηλον μὲν ἐκ τῶν εἰρημένων, τίνι διαφέρει τὰ ἐν ὑποκειμένῳ τῶν καθ' ὑποκειμένου. λεγέσθω δὲ καὶ νῦν, ὅτι ἄλλο τὸ καθόλου ἐστὶ καὶ ἄλλο τὸ ἐν ἑτέροις ἐγγινόμενον. καὶ μέντοι καὶ τῶν μὲν καθ' ὑποκειμένου, καὶ τὸ ὄνομα καὶ ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου. τῶν δὲ ἐν ὑποκειμένῳ, ὁ μὲν λόγος οὐδέποτε. τὸ δὲ ὄνομα, πολλάκις κατηγορεῖται. καὶ μέντοι ἑκάτερον αὐτῶν, ποτὲ μὲν συνδυάζεται τῷ ἑτέρῳ. ποτὲ δὲ οὔ. τὸ γὰρ καθ' ὑποκειμένου, ποτὲ μὲν ἐν ὑποκειμένῳ ἐστὶ, ποτὲ δὲ οὔ. καὶ τὸ ἐν ὑποκειμένῳ, ποτὲ μὲν καθ' ὑποκειμένου. ποτὲ δὲ οὔ. καθόλου δὲ, καὶ τὰ γένη καὶ τὰ εἴδη. ἐάν τε ἐπὶ οὐσιῶν ᾖ, ἐάν τε ἐπὶ συμβεβηκότων, κυρίως καθ' ὑποκειμένου λεχθήσεται. ἐδήλωσε δὲ τοῦτο, καὶ αὐτὸς εἰπὼν. ὅτι τὰ ἄτομα καὶ ἓν ἀριθμῷ, οὐκ ἔστι καθ' ὑποκειμένου. Ἰστέον δὲ ὅτι καὶ Ἀνδρόνικος καὶ ἄλλοι τινὲς, οὐ μόνον τὰ ἐν τῷ

τὰ ἐστι κατηγορούμενα καθ' ὑποκειμένου κατηγορεῖσθαι φασίν, ἀλλὰ καὶ ἄλλα. οἷον τὸ μουσικὸν κατὰ ἀριστοξένου. καὶ τὸ ἀθηναῖος κατὰ σωκράτους. καὶ ἴσως ἐκεῖνα ὅσα κατηγοροῦντες τινός, ἐκεῖνο εἶναι λέγομεν αὐτὸ ὅπερ κατηγοροῦμεν. βαδίζειν μὲν γὰρ λέγοντες τὸν σωκράτην, οὐ λέγομεν βαδίζειν εἶναι τὸν σωκράτην. ἀθηναῖον δὲ εἶναι λέγομεν καὶ φιλόσοφον. καὶ ὅσα δὴ τοῦ κατηγορουμένου κατηγορεῖται λεγόντων ἡμῶν, ταῦτα ἐκεῖνα εἶναι, καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. εἰ γὰρ ὁ σωκράτης φιλόσοφός ἐστιν, ὁ δὲ φιλόσοφος ἐπιστήμων, ἔσται καὶ ὁ σωκράτης ἐπιστήμων. πάλιν δέ φησιν εἰ τὸ σῶμα λευκόν, καὶ τὸ λευκὸν χρῶμα, ἔσται καὶ τὸ σῶμα χρῶμα. ἢ τὸ λευκὸν διττόν· τήν τε ποιότητα, καὶ τὸ κεχρωσμένον. καὶ τοῦ μὲν σώματος, τὸ κεχρωσμένον κατηγορεῖται. οὐ γάρ ἐστι τὸ σῶμα λευκότης. τῆς δὲ ποιότητος, οὐ τὸ χρῶμα, ἀλλ' ἡ λευκότης. ὥστε οὐ τὸ χρῶμα κατηγορηθήσεται τοῦ σώματος, ἀλλὰ τὸ κεχρωσμένον.

» Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, ἕως τοῦ, καὶ
» τοῦ ὑποκειμένου ἔσονται.

Ἐν τούτοις δέον εἰπεῖν, τί γένος. καὶ τί εἶδος. καὶ τί διαφορά. καὶ τίνα σχέσιν ἔχουσι πρὸς ἄλληλα. εἴς τε ἑτερότητα καὶ κοινωνίαν. τὸ τοίνυν γένος λέγεται μὲν πολλαχῶς, ὡς καὶ ἐν τῇ εἰσαγωγῇ ἐδήλωσε καὶ ἐδίδαξεν ὁ πορφύριος. τὸ δὲ νῦν παραληφθέν, γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. εἶδος δέ, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορούμενον. διαφορὰ δέ, ἡ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν εἶναι κατηγορουμένη. ἀλλὰ τῷ μὲν εἴδει διαφέρει, ὅσα τῷ λόγῳ τῆς οὐσίας ἀλλήλων κεχώρισται. τῷ δὲ ἀριθμῷ διέστηκεν, ὅσα συνδρομῇ συμβεβηκότων τὴν ἰδιότητα τῆς οἰκείας ὑποστάσεως ἀφώρισται. καὶ ἐν μὲν τῷ τί ἐστι κατηγορεῖται, ὅσα ἐν τῷ λόγῳ τῷ τί ἦν εἶναι λέγονται περιέχεσθαι, τὸ οὐσιῶδες καὶ κοινὸν ἐν τῷ πράγματι δηλοῦντα. ἐν δὲ τῷ ὁποῖόν τί ἐστιν, ὅσα τὸ οὐσιῶδες μετὰ τῆς ποιότητος συνείληφε. τὸ γὰρ λογικόν, οὐχ ἁπλῶς ποιότης ἐστίν, ἀλλὰ ζωώδης ποιότης. καὶ δεῖ τὴν διαφορὰν οὐσιωδῶς καὶ κατὰ τὸ εἶναι χωρίζειν, ἀλλ' οὐ κατὰ τὸ συμβεβηκός. κἂν γὰρ ἀνθρώπου τὸ πλευστικόν ἐστιν, οὐκ ἔστιν αὐτοῦ οὐσιώδης διαφορά. δεῖ δὲ τὴν διαφορὰν μέρος τῆς οὐσίας εἶναι. περὶ γὰρ τοῦ οὐσίαν τὴν κεχωρισμένην ἰδιότητα ἀφορίζει. διαφέρουσι δὲ ἀλλήλων εἶδος καὶ διαφορά, ὡς ὅλον καὶ μέρος. περιέχεται γὰρ ὑπὸ τοῦ ὅλου εἴδους ἡ συστατικὴ τοῦ εἴδους διαφορά, ὡς ὑπὸ τοῦ ἀνθρώπου τὸ λογικόν. ποτὲ δὲ καὶ ἀνθ' ὅλου εἴδους ἡ διαφορὰ λέγεται. ὥσπερ τὸ ἀθάνατον καὶ τὸ θνητόν, ἀντὶ θεῶν καὶ ἀνθρώπων. τῶν δὲ διαφορῶν αἱ μέν, γενῶν εἰσιν. αἱ δέ, εἰδῶν. τοῖς μὲν οὖν γένεσιν, αἱ μὲν συστατικαί, ὅσαι κατὰ παντὸς λέγονται. αἱ δὲ διαιρετικαί, ὅσαι διῃρημένως μὲν κατ' αὐτοῦ οὐ λέγονται. ὁμοῦ δὲ πᾶσαι. τοῖς δὲ εἴδεσιν εἰσὶν αἱ εἰδοποιοὶ καὶ μόναι ὧν ἑκάστη κατὰ τὸ ἀντιδιῃρημένον πρὸς ἕκαστον τῶν εἰδῶν ἀφορίζεται, ἀλλ' οὐχ ἅμα πᾶσαι. ὥσπερ δὲ εἴδη πλείονα πρὸς ἓν γένος, οὕτω καὶ πολλαὶ διαφοραὶ πρὸς ἓν εἶδος συντελοῦσιν. ὁ δὲ ἑρμῖνος, τὰς συμπληρωτικὰς οὐκ ἀξιοῖ διαφορὰς καλεῖν, ἀλλὰ μόνας τὰς διαιρετικάς. ἀλλὰ πῶς τὴν διαφορὰν κατὰ διαφερόντων τῷ εἴδει λέγομεν. καὶ τὸ εἶδος κατὰ διαφερόντων τῷ ἀριθμῷ. ἰδοὺ γάρ τινες διαφοραὶ καθ' ἑνὸς εἴδους λέγονται, ὡς τὸ κοῦφον κατὰ τοῦ πυρός. καὶ γὰρ τὰ ἄλλα κοῦφα διὰ τὸ πύριον. καὶ τὸ βαρὺ κατὰ τῆς γῆς. καὶ ὅλως αἱ ἔσχαται διαφοραί, καθ' ἕκαστον εἶδος. ὡς ἐπὶ ἀνθρώπου, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. αἵτινες καὶ ἀντιστρέφουσι πρὸς τὸ ὁριστόν.

ἀλλὰ καὶ εἴδη τινά ἐστι μοναδικά. καὶ ἐν τοῖς αἰσθητοῖς, τὰ μὲν ἀΐδια πάντα, ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ τῶν ἄλλων ἕκαστον. ἐν τοῖς γεννητοῖς δέ, ὡς ἱστοροῦσιν, ὁ φοῖνιξ τὸ ὄρνεον. πῶς οὖν τὸ εἶδος κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ λέγεται. ἢ τοῦτο μὲν κἂν μὴ ἅμα τῶν ἀτόμων ὄντων, ἀλλὰ κατὰ διαδοχήν, πολλῶν κατηγορεῖται φοινίκων. ἐν δὲ τοῖς ἀϊδίοις εἰ καὶ μὴ κατὰ πλειόνων λέγεται, οὐδέ ἐστι τοῦτο τὸ εἶδος ὃ νῦν ζητοῦμεν, τὸ ἀκατάτακτον καὶ ἐν πολλοῖς θεωρούμενον, ἀλλὰ τὸ ἐν ὕλῃ καταταττόμενον μοναδικόν. ἐκεῖνο γὰρ κἂν εἰ πολλὰ εἴη τὰ αὐτά, πᾶσιν ὑπάρχει. καὶ ἔοικε τὸ τοιοῦτον εἶδος μέσον εἶναι τῶν τε ἀτόμων καὶ τῶν κυρίως εἰδῶν. τῷ μὲν μοναδικῷ, τῶν ἀτόμων ὑπερέχον. τῷ δὲ ἐν ὕλῃ γίνεσθαι, ὑφειμένον τῶν κυρίως εἰδῶν. τὰς δὲ διαφορὰς ὁ μὲν Πορφύριός φησιν, ὡς ἐπὶ τὸ πολὺ κατὰ πλειόνων εἰδῶν λέγεσθαι. οὐ γὰρ ἀεί. ὁ δὲ Ἰάμβλιχος κἄν τινες διαφοραὶ μὴ κατὰ πλειόνων εἰδῶν λέγωνται, ἀλλ᾽ οὕτως ἔχουσαι φησὶ καὶ αὗται, ὥστε ὅσον ἐφ᾽ ἑαυταῖς κατὰ πλειόνων ἂν ῥηθῆναι. ἰδικωτέρα δέ φησιν ἐστὶ διαφορὰ καὶ τῇ ἐνύλῳ φύσει συγγενεστέρα, ἡ καθ᾽ ἑνὸς εἴδους μεμερισμένη. ἀλλ᾽ ὅμως εἰ καὶ οὕτως διακειμένη, δύναμιν ἔχει κατὰ τὸν ἑαυτῆς λόγον, πλείοσιν εἴδεσιν ἑαυτὴν ἐνδιδόναι. εἰ δὲ ἄλλη τις συντυχία πραγμάτων τῶν ὑποδεχομένων εἰς πλῆθος διάστασιν οὐκ εἴασε γενέσθαι, οὐδὲν ἐμπόδιόν ἐστι τοῦτο πρὸς τὸν οἰκεῖον τῆς διαφορᾶς λόγον. ἕτερα δὲ γένη ἐστὶ καὶ εἴδη καὶ διαφοραί, τὰ ταῖς κατηγορίαις διαφέροντα. ὥστε καθ᾽ ἑκάστην κατηγορίαν καὶ γένη καὶ εἴδη εἶναι καὶ διαφοράς. καὶ ὑπάλληλα δὲ γένη, ὧν θάτερον ὑπὸ θάτερόν ἐστιν, ὡς ὑπὸ τὸ ζῷον τὸ πτηνόν. οὐχ ὑπάλληλα δέ, ὧν μηδέτερόν ἐστιν ὑπὸ τὸ ἕτερον, ὡς ζῷον καὶ ἐπιστήμη. ἐπειδὴ γὰρ τῶν γενῶν καὶ τῶν εἰδῶν, τὰ μέν ἐστι γένη μόνον, ὡς μὴ ἔχειν ὑπὲρ ἑαυτὰ γένος ὥσπερ ἡ οὐσία, τὰ δὲ εἴδη μόνον, ὡς μὴ ἔχειν μεθ᾽ ἑαυτὰ εἶδος, ὥσπερ ὁ ἀετός. τὰ δὲ μεταξὺ τούτων, οἷον ζῷον καὶ ὄρνεον. ἃ καὶ εἴδη καὶ γένη ἐστίν. εἴδη μέν, ὡς πρὸς τὰ πρὸ ἑαυτῶν. γένη δέ, ὡς πρὸς τὰ μετ᾽ αὐτά. τὸ γὰρ ὄρνεον, εἶδος μέν ἐστι τοῦ ζῴου. γένος δὲ τοῦ ἀετοῦ. ὑπάλληλα δὲ λέγεται οὐχ ὅτι ἑκάτερον ὑπὸ θάτερόν ἐστιν. ἐπεὶ οὕτω γε, καὶ γένος ἔσται καὶ εἶδος τὸ αὐτὸ τοῦ αὐτοῦ, ἀλλ᾽ ὅτι θάτερον μόνον ὑπὸ τὸ ἕτερον. ὅταν δὲ μηδέτερον ὑπὸ θάτερον ᾖ, τότε οὐκ ἔστιν ὑπάλληλα. ὡς ζῷον καὶ ἐπιστήμη. ἑκάτερον μὲν γάρ, γένος ἐστίν. οὔτε δὲ ἡ ἐπιστήμη τοῦ ζῴου εἶδός ἐστιν, οὔτε τὸ ζῷον τῆς ἐπιστήμης. ὄντων οὖν ἑτέρων γενῶν καὶ τῶν μεταξύ, τοῦ, τε ἀνωτάτω γένους καὶ τοῦ κατωτάτω εἴδους. καὶ μέντοι τῶν ἀνωτάτω τῶν κατὰ τὰς κατηγορίας, ὅταν λέγῃ τῶν ἑτέρων γενῶν, καὶ τὰ ἀνωτάτω ληπτέον, ὡς ὄντα ἕτερα γένη. καὶ τὰ μεταξὺ ὄντα μὴ ὑπάλληλα ᾖ, ὡς ζῷον καὶ ἐπιστήμη. καὶ γὰρ τὸ ζῷον, μετὰ τὴν οὐσίαν τέτακται. καὶ ἡ ἐπιστήμη μετὰ τὴν ποιότητα. τῶν οὖν ἑτέρων καὶ μὴ ὑπάλληλα γενῶν, ἑτέρας εἶναι διαφοράς φησι καὶ τὰς διαιρετικάς, καὶ τὰς συστατικάς. ζῴου γὰρ διαφοραὶ διαιρετικαί, τὸ λογικὸν καὶ τὸ ἄλογον. ἢ πτηνὸν καὶ πεζόν. συστατικαὶ δέ, τὸ αἰσθητικόν. τῆς δὲ ἐπιστήμης, οὐκ εἰσὶν αὗται διαφοραί. τῶν δὲ ὑπάλληλα, αἱ μὲν τῶν ἀνωτέρω, πάντως εἰσὶ συστατικαὶ καὶ τῶν κατωτέρω. συνωνύμως γὰρ κατηγορεῖται. τῶν δὲ τοῦ ἀνωτέρω διαιρετικῶν, τινὲς μὲν συστατικαί εἰσι τῶν κατωτέρω, ὡς τοῦ ζῴου τὸ πτηνὸν συνίστησι τὸ ὄρνεον. οὐκέτι μέντοι καὶ τὸ πεζόν. εἰσὶ δέ τινες αἱ αὐταὶ διαιρετικαὶ καὶ συστατικαὶ

ἀμφοῖν. τῶν γὰρ ζώων τὰ μέν ἐστι ποηφάγα. τὰ δὲ, σπερμοφάγα. τὰ δὲ, σαρκοφάγα. καὶ τῶν ὀρνέων δὲ, αἱ αὐταὶ ἂν εἶεν διαφοραί. ἑτέρας δὲ οὐχ ἁπλῶς εἶπε τὰς διαφορὰς, ἀλλὰ τῷ εἴδει ἑτέρας. ἐπειδὴ πολλάκις καὶ τῶν ἑτέρων γενῶν, οἷον ζώου καὶ σκεύους, αἱ αὐταὶ δοκοῦσι διαφοραί. καὶ γὰρ τῶν ζώων τὰ μὲν, ἐστὶν ὑπόποδα. τὰ δὲ, ἄποδα. καὶ τῶν σκευῶν ὁμοίως. ὑπόποδα μὲν, κλίνη. τράπεζα. τρίπους. καὶ τὰ τοιαῦτα. ἄποδα δὲ, τὰ πολλά. ἀλλ' οὐκέτι τῷ εἴδει αἱ αὐταὶ διαφοραί εἰσιν, ἀλλὰ κατὰ ὁμωνυμίαν. οὐ γὰρ ταυτόν ἐστι τῷ εἴδει ζώου πούς, καὶ κλίνης. κατὰ μεταφορὰν γὰρ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου λέγεται, τῷ ὀνόματι μόνον, ἀλλ' οὐχὶ καὶ τῷ πράγματι κοινωνούντων. χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τῶν ἑτέρων γενῶν, ἀλλ' οὐ τῶν ἑτερογενῶν δεῖ ὑπαναγινώσκειν. ἑρμῖνος δὲ, ἑτέρας τῷ εἴδει βούλεται εἶναι τὰς διαφορὰς, τῶν μὴ ὑπάλληλα γενῶν, ἀλλ' ἑτέρων. διότι φησὶν, ἔστι τινὰ γένη, οὐχ ὑπάλληλα μὲν, ἄμφω δὲ ὑπὸ ἓν ἀναγόμενα. ὥσπερ τὸ πτηνὸν καὶ τὸ πεζὸν, ἄμφω ὑπὸ τὸ ζῶον. καὶ τούτων εἰσί τινες αἱ αὐταὶ διαφοραί. καὶ γὰρ τοῦ πτηνοῦ, τὸ μὲν, δίπουν ἐστί. τὸ δὲ, τετράπουν. ὥσπερ γρὺψ ἱστορεῖται, καὶ σφίγξ. καὶ τοῦ πεζοῦ ὁμοίως. ἀλλ' οὐχὶ τῷ εἴδει αἱ αὐταί εἰσιν αὗται διαφοραὶ, ἀλλὰ γένει. ζῶα γάρ εἰσι πρώτως διαφοραί. διὰ τοῦτό φησι τῶν μὴ ὑπάλληλα. οὐχ ἁπλῶς ἑτέρας, ἀλλὰ τῷ εἴδει ἑτέρας εἶπε τὰς διαφοράς. καὶ γὰρ αὗται τῶν μὴ ὑπάλληλα οὖσαι, κἂν αἱ αὐταὶ δοκῶσιν, ἀλλ' οὐ τῷ εἴδει εἰσὶν αἱ αὐταὶ, ἀλλὰ τῷ γένει. ὁ μέντοι ἀριστοτέλης ἕτερα γένη καὶ μὴ ὑπάλληλα τίθεται, οὐ μόνον ὧν μὴ ἔστι θάτερον ὑπὸ τὸ ἕτερον, ἀλλὰ καὶ ὅσα μὴ ἄμφω ὑφ' ἓν ἀνάγεται. ταῦτα γὰρ τὰ ἕτερα γένη, ὅσα μηδὲν ἔχει κοινὸν γένος. ὥσπερ καὶ ἑτεροειδῆ, τὰ μὴ ἔχοντα κοινὸν εἶδος. ὡς δῆλον ἐκ τῶν παραδειγμάτων, οὐ χρεία τῆς τοιαύτης ἀπολογίας. καὶ γὰρ εἰ ὁμογενῆ ἐστιν ὧν τὸ αὐτὸ γένος, ἑτερογενῆ ἂν εἴη, ὧν ἕτερα τὰ γένη ἐστίν. ὁ μέντοι πορφύριος, τῶν ἑτέρων γενῶν ἑτέρας τῷ εἴδει τὰς διαφορὰς εἰρῆσθαι φησί. διότι τῶν ὑπὸ τὰ ἕτερα γένη εἰδῶν, ἕτεραί εἰσιν αἱ διαφοραί. ἕτερα γὰρ γένη, ζῶον καὶ ἐπιστήμη. καὶ τοῦ μὲν ζώου, εἶδός ἐστιν ὁ ἄνθρωπος. τῆς δὲ ἐπιστήμης, ἡ μουσική. καὶ εἰσὶν ἕτεραι τούτων αἱ διαφοραί. ὥστε εἴη ἂν λέγων, ὅτι τῶν ἑτέρων γενῶν καὶ μὴ ὑπάλληλα τεταγμένων, αἱ κατὰ τὰ εἴδη διαφοραὶ, ἕτεραι. κάλλιον δὲ ἴσως τὰς εἰδοποιοὺς ἀκούειν, ὥσπερ καὶ αὐτὸς ὁ πορφύριος προϊὼν ἀξιοῖ. οἱ δὲ περὶ τὸν νικόστρατον, ματαιολογίαν ἐγκαλοῦσιν ἐν τούτοις. τίς γάρ φησιν ἀγνοήσει, ὅτι ἐπιστήμη ἐπιστήμης, οὐκ ἄν ποτε τῷ δίποδι διοίσειεν, ἢ τετράποδι. ὥσπερ τὸ ζῶον. ἀλλὰ πρὸς τοῦτον μὲν κἂν τοῦτο σαφές ἐστιν, οὐκέτι καὶ ἐκεῖνο ὁμοίως δῆλον. ὅτι τῶν ὑπάλληλα, οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς. ἔδει δὲ περὶ ἀμφοῖν ἅμα τῶν ἀντικειμένων εἰπεῖν. ἔπειτα ὁρᾷς ὅτι οἱ περὶ τὸν ἑρμῖνον τὰ ἕτερα καὶ μὴ ὑπάλληλα οὐ καλῶς ἐξελέξαντο, νομίσαντες καὶ μὴ ὑπάλληλα ὄντα, δύνασθαι εἶναι ὑφ' ἓν ἀνάγεσθαι γένος. οὕτως οὐκ ἦν πρόχειρος ὁ λόγος, κἂν τὰ παραδείγματα καλῶς ληφθέντα σαφῆ τὸν λόγον ποιῇ. αἰτιῶνται δὲ καὶ ἐν τοῖς ὑπάλληλα γένεσιν. ὅσαι τοῦ κατηγορουμένου φησὶ διαφοραὶ, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται. ὄντων γὰρ ὑπαλλήλων, τοῦ ζώου καὶ τοῦ λογικοῦ ζώου, ἐπειδὴ τοῦ ζώου διαφοραί εἰσι τό, τε λογικὸν καὶ τὸ ἄλογον, πῶς οἷόν τε τοῦ λογικοῦ ζώου, τὸ μὲν, εἶναι λογικόν. τὸ δὲ, ἄλογον. ἀλλ' ὁ μὲν βοηθὸς ἐνδοὺς τῇ ἀπορίᾳ, μετα-

γράφειν ἠξίου τὴν λέξιν οὕτως. ὥστε ὅσαι τοῦ ὑποκειμένου διαφοραί, τοσαῦται καὶ τοῦ κατηγορουμένου ἔσονται. αἱ γὰρ τοῦ μερικωτέρου διαφοραί, καὶ τοῦ ὁλικωτέρου ἔσονται, ἅτε τὸ μερικώτερον τοῦ ὁλικωτέρου περιέχοντος. εἰ καὶ μὴ ὁμοίως καθόλου αὐτοῦ τοῦ κατηγορουμένου, ὡς αὐτοῦ τοῦ ὑποκειμένου λέγονται. τὸ γὰρ λογικὸν ἀνθρώπου μὲν παντὸς κατηγορεῖται. ζώου δέ, οὐκέτι παντός. ἀλλὰ τῶν ζώων τὰ μὲν ἐστι, λογικά. τὰ δέ, ἄλογα. εἰ δὲ μένει φησὶν ἡ αὐτὴ γραφή, προσεκτέον τῷ οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς. συμπίπτει γάρ ποτε τοῦτο. τὸ γὰρ θνητόν, καὶ τοῦ ζώου διαφορά ἐστι, καὶ τοῦ ἀνθρώπου. καὶ χάρις τῷ βοηθῷ τὴν ἀρχὴν τῆς λύσεως ὑποδείξαντι. ἐπειδὴ γὰρ τοῦ ζώου αἱ μέν, εἰσὶ διαιρετικαὶ διαφοραί, ὡς τοῦ ζώου τὸ μέν, λογικόν. τὸ δέ, ἄλογον. καὶ θνητὸν καὶ ἀθάνατον. αἱ δέ, συστατικαί, ὡς τοῦ ζώου τό, τε αἰσθητικόν, καὶ τὸ ἀφ' ἑαυτοῦ κινητόν. αἱ μὲν γὰρ διαιρετικαὶ τοῦ κατηγορουμένου διαφοραί, οὐ πᾶσαι τῷ ὑποκειμένῳ ὑπάρχουσιν. οὐ γὰρ δὴ καὶ αἱ ἀντικείμεναι. εἰ γὰρ τὸ λογικὸν ὑπάρχει τῷ ἀνθρώπῳ, οὐ δήπου καὶ τὸ ἄλογον. αἱ μέντοι συστατικαὶ τοῦ κατηγορουμένου διαφοραί, καὶ τῷ ὑποκειμένῳ πᾶσαι ὑπάρχουσι. τὸ γὰρ αἰσθητικὸν καὶ τὸ ἔνδοθεν κινούμενον, καὶ ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζώοις ὑπάρχει. τὸ οὖν οὐδὲν κωλύει εἴρηται, διὰ τὸ μὴ πάσας ὑπάρχειν, ἀλλὰ τὰς συστατικάς. καὶ τῶν διαιρετικῶν τὰς οἰκείας τῷ μερικωτέρῳ. ὡς τὸ λογικὸν καὶ τὸ θνητόν, διαιρετικὰ ὄντα τοῦ ζώου, τῷ ἀνθρώπῳ ὑπάρχει. οὐ μὴν καὶ τὰ ἀντικείμενα αὐτοῖς. εἰσὶ δὲ διαιρετικαὶ ἀμφοῖν διαφοραί, αἱ αὐταὶ τῶν ὑπάλληλα γενῶν, ὡς εἴρηται πρότερον. καὶ γὰρ τοῦ ζώου τὸ μέν ἐστι, ποηφάγον. τὸ δέ, σπερμοφάγον. τὸ δέ, σαρκοφάγον. καὶ τοῦ ὀρνέου ὑπὸ τὸ ζῷον ὄντος, αἱ αὐταὶ διαφοραί εἰσιν. ὁ μέντοι ἀριστοτέλης αἰτίαν εἰπὼν τοῦ τὰς αὐτὰς διαφορὰς εἶναι, τῷ τὰ ἐπάνω τῶν ὑπ' αὐτὰ γενῶν κατηγορεῖσθαι, ἔοικε τάς, τε συστατικὰς τῶν ἀνωτέρω διαφορὰς τὰς αὐτὰς λέγειν, καὶ τῶν κατωτέρω. καὶ τῶν διαιρετικῶν ὡς εἶπον τὰς οἰκείας. ἐπιστῆσαι δὲ ἄξιον. ὅτι, ὅταν μὲν λέγῃ τῶν ὑπάλληλα γενῶν μηδὲν κωλύειν τὰς αὐτὰς εἶναι διαφοράς, ὡς περὶ ἐνίων ἀποφαίνεται. καὶ οὐχ ἁπλῶς περὶ πασῶν. ὅταν δὲ προσδιορίζηται τὰ ἐπάνω τῶν ὑπ' αὐτὰ κατηγορεῖσθαι, καὶ ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, τοσαύτας εἶναι δεῖ καὶ τοῦ ὑποκειμένου, ὡς περὶ πασῶν καθόλου ἀποφαίνεται, μηδεμίαν αὐτῶν ὑπεξαιρούμενος. αὐτὸς δὲ τὴν ἀπορίαν ἔλυσε ταύτην ὡς εἶπον. εἰ γὰρ διότι τὰ ἐπάνω τῶν ὑποκάτω κατηγορεῖται, διὰ τοῦτο ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, καὶ τοῦ ὑποκειμένου ἔσονται. δῆλον ὅτι, οὐ πᾶσαι αἱ τοῦ ἐπάνω ἔσονται τοῦ ὑποκάτω, ἀλλ' αἱ συστατικαὶ μάλιστα, καὶ τῶν διαιρετικῶν τινές. καλεῖ δὲ ὁ ἰάμβλιχος τὰς μὲν συστατικὰς τοῦ γένους, γενικάς. τὰς δὲ διαιρετικάς, εἰδικάς. ὥστε εἰ μηδαμῶς αἱ αὐταὶ εἶεν διαφοραὶ τινῶν γενῶν, μηδὲ τὰ αὐτὰ εἴδη, δῆλον ὅτι ἕτερά ἐστιν ἐκεῖνα τὰ γένη ἀλλήλων καὶ οὐχ ὑπάλληλα. ἐὰν οὖν τῶν δέκα κατηγοριῶν ἕτεραι δειχθῶσι διαφοραί, καὶ ἕτερα τὰ εἴδη ἐκ τῆς ἑκάστου διαιρέσεως, δῆλον ὅτι ἕτερα γένη ἐστὶ καὶ οὐχ ὑπάλληλα. χρήσιμος οὖν ἡ τοῦ θεωρήματος τούτου προδιάρθρωσις, πρὸς τὸν περὶ τῶν κατηγοριῶν λόγον. δηλοῦσι δὲ καὶ αἱ πρὸς τὰς κατηγορίας ἐνστάσεις, ἃς φέρειν εἰώθασιν, ὅτι τὰ ὑπὸ τὸ αὐτὸ γένος δοκεῖ, ὡς τὸ ποιεῖν καὶ πάσχειν,

ὑπὸ τὸ κινεῖσθαι ὄντα. ἢ ὅτι παρελείφθη τινὰ γένη, ὡς τὸ νοητὸν γένος. καὶ μὲν ὅτι, τὸ μηδὲν κοινὸν ἔχοντα φαμὲν τὰ γένη ταῦτα πρὸς ἄλληλα, δῆλον ὅτι οὔτε τὸ ὄν, οὔτε τὸ ἕν, οὔτε τὸ τί, ὡς γένος κατηγορεῖται κατὰ τῶν δέκα γενῶν. εἴγε πάντα πᾶσι παραλλάττει ταῦτα, καὶ μηδὲν ἔχει κοινὸν πρὸς ἄλληλα. Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἕως τοῦ, οἷον, ἄνθρωπος. λευκόν. τρέχει. νικᾷ.

Ταῦτα ἕπεται μὲν καὶ τῇ πρότερον παραδοθείσῃ διαιρέσει. ἐν ᾗ, ὅτι τὰ κατὰ συμπλοκὴν καὶ ἄνευ συμπλοκῆς διῄρηται τὰ λεγόμενα. μετὰ γὰρ τὸ διελέσθαι τὰ σύνθετα καὶ ἁπλᾶ μόρια τῆς λέξεως, εἴπερ διδάσκειν εἰς πόσα καὶ τίνα γένη τὰ ἁπλᾶ ἀναφέρεται. κατὰ ἄλλον δὲ τρόπον ἀκολουθεῖ ταῦτα τῇ προσεχῶς εἰς ἐλάχιστα γενομένῃ τῶν ὄντων διαιρέσει. μετὰ γὰρ τὸ εἰς ἐλάχιστα τεμεῖν ὧν οὐκ ἦν ἐλάττω λαβεῖν, ἔδει τὸ εἰς τὰ πλεῖστα παραδοῦναι. ἧς οὐκ ἦν ἔτι πλείονα διελεῖν. ἐπεὶ μὲν οὖν ἐκείνοις. προηγεῖται δὲ τῶν ἐκτεθησομένων. διότι τὴν ἐν τύποις γνῶσιν, ἀεὶ δεῖ τῆς ἀκριβοῦς προσλαμβάνεσθαι. καὶ τὴν ἐν κεφαλαίοις προσειλημμένην, τῆς κατὰ διέξοδον παραδιδομένης. ὁ γὰρ ὁλοσχερῆ τὴν ἔννοιαν προλαβών, ῥᾷον κατακολουθήσει ταῖς κατὰ διέξοδον ἀνελίξεσι. τριχῶς δὲ τῆς σημασίας αὐτῶν τῶν ἄνευ συμπλοκῆς γινομένης, ἢ κατὰ τὴν ὀνομασίαν μόνην, ὅταν οὐσίαν λέγωμεν. ἢ ἀπὸ τῶν ὑποδειγμάτων, ὅταν λέγωμεν, οἷον, ἄνθρωπος. ἢ ἵππος. τοῦτο γὰρ τὸ ὡς ἐν τύποις καὶ δι᾽ αἰσθήσεως φαινομένην ὑπογραφὴν δηλοῖ. καὶ τρίτον κατὰ τὰς προχείρους ἐννοίας καὶ μηδέπω τεχνικάς, σπευδούσας δὲ ἤδη πρὸς τὴν ἀκριβῆ τελειότητα. ὁ μὲν Ἀριστοτέλης ἐνταῦθα μὲν διά τε τοῦ ὀνόματος καὶ ὑποδείγματος ἐδήλωσε τὰ γένη λέγων. ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν, οἷον, ἄνθρωπος. ἵππος. ποσὸν δέ, οἷον δίπηχυ τρίπηχυ. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ἐν δὲ τοῖς περὶ ἑκάστου λόγοις, καὶ τὴν ἔννοιαν τὴν περὶ αὐτῶν ἀνεγείρειν πειρᾶται. ὁ δὲ Ἀρχύτας, καὶ ἐν τῇ πρώτῃ εὐθὺς διδασκαλίᾳ εἰπὼν τὸ ὄνομα καὶ τὸ ὑπόδειγμα, προσθεὶς ἐφ᾽ ἑκάστου, ἐπήγαγε καὶ τὴν κατὰ ἔννοιαν ἰδιότητα. ὥσπερ ἐπὶ τῆς οὐσίας τὸ ὄνομα εἰπὼν καὶ τὸ ὑπόδειγμα, προσέθηκεν ἁπλῶς πάντα ὅσα καθ᾽ ἑαυτὰ ὑφέστηκεν. ἡ γὰρ πρώτη ἔννοια τῆς οὐσίας οὕτως προσπίπτει, ὡς καθ᾽ ἑαυτὴν οὔσης, πάλιν τῆς ποιότητος τὸ ὄνομα καὶ τὰ ὑποδείγματα ἐκθέμενος. καὶ ταῦτα διττά. τὰ μὲν, περὶ ψυχήν. τὰ δὲ περὶ σῶμα, οὐ παραλείπει τὴν κατὰ ἔννοιαν ἰδιότητα λέγων ἁπλῶς, ὅσα συνυπάρχει τισί. μετὰ γὰρ τῆς ποιότητος, αὕτη ἡ ἔννοια ἡμῖν συμπροσπίπτει, ὡς συνυπαρχούσης τῆς ποιότητος, καὶ τελειούσης τὴν οὐσίαν. τῆς δὲ ποσότητος κατὰ πάντα τὰ γένη τὰ ὀνόματα καὶ τὰ ὑποδείγματα ποιησάμενος. οἷον, κατὰ τὸ πηλίκον. κατὰ τὸ ὁπόσον. κατὰ τὸ διωρισμένον. προσέθηκε δὲ τὴν πρόχειρον ἔννοιαν, εἰπὼν, ὅσα περὶ ἀριθμὸν ἢ κατὰ ἀριθμὸν τί σημαίνει. τῶν δὲ πρός τι, τὸ ἁπλῶς πρὸς ἄλληλα λέγεσθαι. καὶ ἄνευ ἀλλήλων μὴ πεφυκέναι σημαίνεσθαι. τοῦ δὲ ποιεῖν, τὸ ἁπλῶς ἐνέργειαν περί τι σημαίνειν γινομένην. τοῦ δὲ πάσχειν, τὸ ἁπλῶς ὑπό τινος ἕτερον πεφυκέναι μεταβάλλειν. τοῦ δὲ ἔχειν, τὸ ἁπλῶς τὰ μὴ συνυπάρχοντα μὴ δὲ συμπεφυκότα. ἐπιτηδειότητα δὲ ἔχοντα. τοῦ κεῖσθαι, τὸ ἁπλῶς σώματος πῶς ἔχοντος σχηματισμὸν σημαίνει. τοῦ δὲ ποῦ, τὸ ἁπλῶς τόπον ἀφορίζει. τοῦ ποτὲ δέ, τὸ ἁπλῶς χρόνον σημαίνει. δῆλον οὖν ὅτι οὐ τὴν κατὰ τὰς αἰσθήσεις μόνην οὕτως

παράδειξιν ἐποιήσαντο, ἀλλὰ καὶ τὴν κατὰ τὰς ἐννοίας ὑπογραφήν. ἀλλὰ τὴν τομὴν ταύτην τὴν εἰς τὰ γενικὰ γένη γενομένην, τί φήσομεν. ἆρα διαίρεσιν; καὶ πῶς ἂν εἴη διαίρεσις, εἰ μήτε ὡς γένος εἰς εἴδη διαιρεῖται, μήτε ὡς ὅλον εἰς μέρη. οὔτε γάρ ἐστί τι κοινὸν τῶν δέκα κατηγοριῶν. ὁποῖον τὸ ὂν οἴονταί τινες, ἢ τὸ τί. εἴπερ μὴ ἐπίσης πάντων κατηγορεῖται. γένους δὲ μὴ ὄντος, οὐδὲ διαφορὰς εἶναι δυνατόν, καθ' ἃς τὸ γένος διαιρεθήσεται. ἀλλ' οὐδὲ ὅλως εἰς μέρη διαιρεῖται. οὐ γάρ ἐστί τι κοινὸν σύγκριμα, τὸ τὸν ὁρισμὸν τούτων ὑπομένον. καὶ ὅλως οὔτε ὡς ὁμοιομερῆ εἴη ἄν τινος μέρη ἀνόμοια ὄντα, οὔτε ὡς ἀνομοιομερῆ. εἴτε γὰρ τὸ ὄν τις, τὸ ὅλον φησίν, εἴτε τὸ τί, ὁμοίως ἕκαστον ὂν καὶ τί λέγεται. καίτοι τοῖς ἀνομοιομερέσιν, οὐχ ὑπάρχει τὸ τὰ μέρη καλεῖσθαι τῷ τοῦ ὅλου ὀνόματι. διὸ οὖν τοῖς τῆς στρατιᾶς ἔοικεν ἡ διαίρεσις, τοῖς κατὰ λόχους συντεταγμένοις. ὥστε ὥσπερ λόχου λοχαγόν, οὕτως τὴν μὲν οὐσίαν ἐξηγεῖσθαι τῶν οἰκείων. τῶν δὲ ἄλλων ἑκάστην τοῦ καθ' ἑαυτὴν πλήθους. ἀλλὰ τοῦτο τὴν συνέχειαν καὶ ἀλλήλων χρείαν ἀναιρεῖ τῆς διακοσμήσεως. εἴπερ μηδεμίαν κοινότητα τῶν πρώτων γενῶν ἀπολείπομεν. βέλτιον οὖν τὰς μὲν διαφορὰς τῶν γενῶν ἀφορίζεσθαι, κατά τινας πρώτας ἰδιότητας. καθόσον δὲ περὶ τὴν οὐσίαν ἐστὶ τὰ συμβεβηκότα, καὶ ἐν τῇ οὐσίᾳ ὑφίσταται καὶ συντέτακται πρὸς αὐτήν, κατὰ τοσοῦτον ἀφομοιωτέον αὐτὰ τοῖς ἀφ' ἑνὸς καὶ περὶ ἓν συντεταγμένοις. ταῦτα μὲν ὁ ἰάμβλιχος ἀξιοῖ. ὁ δὲ ἑρμῖνος, ἀπαρίθμησις οὖν ἐστι φησί. καὶ οὔτε διαίρεσις, οὔτε μερισμός. οὐδὲν γὰρ ὅλον ἐπ' αὐτῶν οὔτε ὡς γένος, οὔτε ἄλλον τρόπον ὅλον. ἀλλὰ πρὸς μὲν τὰ τοῦ θείου ἰαμβλίχου, ἐκ τῶν αὐτοῦ ῥητέον, ὅτι τὸ ἀφ' ἑνός, οὐκ ἀπὸ τῆς οὐσίας ληπτέον. οὕτως γὰρ οὐ τῶν δέκα τὴν ἀπαρίθμησιν, ἀλλὰ τῶν ἐννέα ποιησόμεθα. μᾶλλον δὲ ἀπὸ τοῦ ὄντος. ὅπερ ἐνταῦθα μὲν πολλαχῶς λεγόμενον, εἰς τὰς δέκα κατηγορίας ἀριστοτέλης διαιρεῖσθαι βούλεται. καὶ εἰκότως. ἐπειδὴ περὶ λέξεως σημαντικῆς ἐν τούτοις ὁ σκοπός. ἐν δὲ τῇ μετὰ τὰ φυσικά, ὡς ἀφ' ἑνὸς τοῦ ὄντος τὰ δέκα ἐν τάξει προάγεσθαι φησί. πρώτην ἐχούσης τάξιν τῆς οὐσίας. καὶ περὶ αὐτὴν τῶν ἄλλων συντεταγμένων. ὁ δὲ ἑρμῖνος, ἀμφιβάλλοντι ἔοικεν, εἰ τοσαῦτα ἐστὶ τὰ γένη. γράφει δὲ οὕτως. διὸ εἰ μὲν μόνων τῶν λεχθησομένων εἰσὶν αἱ σημασίαι, τοσαῦτα ἂν εἴη τὰ πρῶτα γένη. τοσαῦται δὲ καὶ αἱ κατηγορίαι. εἰ δὲ καὶ ἄλλα παρ' αὐτά, οὐδὲ ὁ λόγος ἐκεῖνα διωθεῖται. καίτοι τοῦ ἀριστοτέλους πανταχοῦ τῷ πλήθει τούτῳ χρωμένου τῶν γενῶν, καὶ οὔτε προστιθέντος, οὔτε ἀφαιροῦντος, ἀλλ' ἐγκρίνοντος ἀεὶ τὴν εἰς δέκα διαίρεσιν. ὥσπερ καὶ εἰς τέσσαρα τὴν τούτων συναίρεσιν ἐποιήσαντο. ἄλλοι δὲ πολλοὶ πρὸς αὐτὴν ἀμφισβήτησαν, αὐτόθεν κατηγοροῦντες τῆς εἰς τοσοῦτον πλῆθος διαιρέσεως. ὥσπερ ἀθηνόδωρος ἐν τῷ πρὸς τὰς ἀριστοτέλους μὲν κατηγορίας ἐπιγεγραμμένῳ βιβλίῳ. μόνην δὲ τὴν εἰς τοσοῦτον πλῆθος διαίρεσιν ἐξετάζοντι. καὶ κορνοῦτος δὲ ἐν οἷς πρὸς ἀθηνόδωρον καὶ ἀριστοτέλην ἐπέγραψε. καὶ οἱ περὶ τὸν λούκιον δὲ καὶ τὸν νικόστρατον ὥσπερ πρὸς τὰ ἄλλα πάντα σχεδόν, οὕτω καὶ πρὸς τὴν διαίρεσιν ἀντειρήκασι. ληπτέον δὲ ἐν ὅροις ὡρισμένοις τὰς ἀντιλογίας τριχῇ διαστειλαμένους αὐτάς. καὶ γὰρ οἱ μέν, ὡς πλεονάζουσαν αἰτιῶνται τὴν διαίρεσιν. ἄλλοι δέ, ὡς ἐλλιπῆ καταμέμφονται. τρίτοι δ' εἰσίν, οἱ ἄλλα ἀντ' ἄλλων εἰσῆχθαι γένη νομίζοντες. γεγόνασι δέ τινες καὶ πλείονα ἄλλα εἰσ-

καλοῦντες. οἱ μὲν, ἔλλειψιν ἅμα καὶ πλεονασμόν. οἱ δὲ, πρὸς τούτοις καὶ ἐναλλαξιν τῶν
γενῶν. λεγέσθωσαν δὲ ἐφ' ἑκάστου γένους ἀπορίαι τινές. καὶ πρὸς αὐτὰς λύσεις. δι' ὧν
τὸν τύπον τῆς ἀντιλογίας ἐστὶ καταμαθεῖν. ἵνα μὴ πρὸς πάσας τιθέντες μηκύνωμεν. λέγουσι τοίνυν οἱ πλεονασμὸν ἐγκαλοῦντες, ὡς οὐ καλῶς τῷ ποιεῖν τὸ πάσχειν
ἀντέταξεν. ἔχειν γὰρ ἀμφοῖν ἓν κοινὸν γένος ἀφορίσασθαι τὸ κινεῖσθαι. πρὸς οὓς ῥη-
τέον, ὅτι τὸ ποιοῦν, καθὸ ποιεῖ οὐ κινεῖται. ἀλλὰ κινεῖσθαι ποιεῖ, ἀκίνητον ὂν αὐτό.
ἀμέλει δὲ τῶν ποιούντων ἐν τοῖς αἰσθητοῖς, κατὰ συμβεβηκὸς κινεῖται, διὰ τὸ συνδραμεῖν
εἰς ταὐτὸ τὰς δύο ἀρχάς. τήν τε τοῦ ποιεῖν, καὶ τὴν τοῦ πάσχειν. ἀλλ' ἴσως ἐχρῆν περὶ τοῦ
ποιεῖν καὶ πάσχειν ἀπορεῖν, πῶς οὐχ ὑπὸ τὰ πρός τι ἀνάγεται. τὸ γὰρ ποιοῦν, εἰς πά-
σχον ποιεῖ. καὶ τὸ πάσχον ὑπὸ ποιοῦντος πάσχει. ἢ κατὰ μὲν τὴν συνάρτησιν ταύτην, ὑπὸ
τὸ πρός τι ἀναχωρήσει. κατὰ μέντοι τὴν ἐνέργειαν καὶ τὸ πάθος ἄλλην ἔχοντα φύσιν, ἄλλα
ποιεῖ γένη. καὶ γὰρ καὶ τῶν ἄλλων πρός τι, οἷον πατρὸς καὶ υἱοῦ. τὰ αὐτὰ ὡς μὲν καθ' αὑτὰ ὑ-
φεστῶτα, ὑπὸ τὴν οὐσίαν ἀνάγεται. κατὰ δὲ τὴν σχέσιν, ὑπὸ τὰ πρός τι. ἀλλὰ πῶς τὸ κεῖσθαι
οὐκ ἔστι πάσχειν. πῶς δὲ τὸ ἔχειν οὐκ ἔστι ποιεῖν. ἢ τὸ κεῖσθαι μὲν, οὐδὲν μᾶλλον πάθος ἐστὶν ἢ
ἐνέργεια. κεῖσθαι γάρ ἐστι τὸ καθῆσθαι. τὸ ἑστάναι. λαμβάνεται δὲ ἐν τῇ κατηγορίᾳ οὐ κατὰ
τὸ πάσχειν ἢ ποιεῖν, ἀλλὰ κατὰ τὴν ἐν ἄλλῳ ἵδρυσιν. οὕτως δὲ καὶ τὸ ἔχειν, οὐ κατὰ τὸ ποιεῖν.
οὐδὲν γὰρ ἧττον πάσχειν ἐστὶ, τὸ ὁπλίζεσθαι, ἢ ὑποδέδεσθαι. ἀλλὰ κατὰ τὸ περικεῖσθαι. ἄλλοι
δὲ κατ' ἄλλον τρόπον αἰτιῶνται τὴν περὶ ποσότητα. οἱ γὰρ περὶ Ξενοκράτην καὶ Ἀνδρόνικον,
πάντα τῷ καθ' αὑτὸ καὶ τῷ πρός τι περιλαμβάνειν δοκοῦσιν. ὥστε περιττὸν εἶναι κατ'
αὐτοὺς, τοσοῦτον τῶν γενῶν πλῆθος. ἄλλοι δὲ εἰς οὐσίαν καὶ συμβεβηκὸς διατέμνουσι.
καὶ οὗτοι δὲ ταὐτόν πως δοκοῦσι τοῖς προτέροις λέγειν, τοῖς τὰ συμβεβηκότα πρός τι
λέγουσιν ὡς ἄλλων ἀεὶ ὄντων. καὶ τὴν οὐσίαν καθ' αὑτό. ῥητέον οὖν κοινῇ πρὸς ἀμφότερα.
ὅτι οἱ τὴν εἰς τὰ ἐλάχιστα τομὴν τοῦ ἀριστοτέλους ζηλώσαντες, ἀτελῶς αὐτῆς ἥψαν-
το, τὸ καθόλου καὶ τὸ μερικὸν παραλιπόντες. καὶ μέντοι τὰ συμβεβηκότα πολλὰ ὄν-
τα γένη, ἀποστεροῦσιν εἰς ἓν τῶν συμβεβηκότων τὸ πρός τι. διὰ τί φασιν ἄλλου ἐστὶ τὰ
συμβεβηκότα. καίτοι κυρίως μὲν ἄλλου μόνα τὰ πρός τι ἐστίν. εἰ δὲ ὅτι ὁ ποσὸς τινός
ἐστι, καὶ τὰ καθόλου τοῖς ἄλλοις ἐστίν. ὁ γὰρ σωκράτης, σωφρονίσκου ἐστί. καὶ ὁ ἀγρὸς, τοῦ κτή-
τορος. εἰ οὖν οὕτως καὶ τὸ συμβεβηκὸς ἀναφέροιμεν πρὸς τὸ ὑποκείμενον, οὐδὲν θαυμα-
στόν. ἐπεὶ αὐτὸ καθ' αὑτὸ φύσις ἰδία ἐστί. καὶ ἡ ὕλη δὲ καὶ τὸ ὑποκείμενον αὐτὸ, κατὰ
τοῦτον τὸν λόγον πρός τι ἐστί. καθὸ δὲ ἀρχὴ καθ' αὑτό ἐστιν. οὕτως μὲν οὖν οἱ περὶ
τὸν ἰάμβλιχον καὶ πορφύριον διατάττονται. μήποτε δὲ τῷ ἄλλου εἶναι, τοῦτο καὶ
τὸ πρός τι, τὸ τοιοῦτον τῷ συμβεβηκότι ὑπάρχει. καθ' ὅσον ἀντίκειται πρὸς τὴν οὐ-
σίαν, καθ' αὑτὸ οὖσαν, καὶ ἑαυτῆς οὖσαν. τῷ γὰρ καθ' ἑαυτὸ, τὸ πρός τι. καὶ τῷ ἑαυτοῦ, τὸ
ἄλλου ἀντίκειται. δηλοῖ δὲ καὶ ὁ ἀριστοτέλης, τὴν εἰς δύο ταύτην τομὴν παραλαβών. ἐκεῖ-
νος δὲ ὀρθῶς ἴσως ἔχει λέγειν. ὅτι καλῶς ἀριστοτέλης τὰς τῶν συμβεβηκότων πολλὰς
ἰδιότητας διεῖλεν. οὐδὲ τὴν μίαν αὐτοῦ παράλειψιν παραλιπών. ὥστε καὶ εἰς ὑποκείμε-
νον καὶ τὰ περὶ τὸ ὑποκείμενον διαιρεῖ. ὅπερ εἴλοντό τινες. καὶ οὕτως πρὸς ὡρισμένον τὸ ὑπο-
κείμενον, ἀόριστα τὰ περὶ τὸ ὑποκείμενον ἀντιτίθησιν. οἱ δὲ ἔλλειψιν ἀποφαινόμενοι τὴν διαί-

ρεσιν ὥσ οἱ περὶ τὸν Νικόστρατον, διαφέρει φασὶ, τοῦ μὲν ποιεῖν, τὸ πάσχειν. τοῦ δὲ ἔχειν, οὐκ ἀντέθηκε τὸ ἔχεσθαι. ἢ ἐχρῆν ἐφιστάνειν τοὺς ταῦτα λέγοντας. ὅτι τὸ ἔχεσθαι, εἰς τὴν τοῦ κεῖσθαι κατηγορίαν ἐν ἐκείνοις ἤδη διωρισμένην. ἔχει μὲν γάρ τις τὴν ἀσπίδα. ἔχεται δὲ ἡ ἀσπὶς ἐν τῷ οὑτωσὶ περικεῖσθαι. θέσις οὖν ἐστι τοῦτο. ἀλλὰ διαφέρουσιν οἱ περὶ τὸν Λούκιον τοὺς συνδέσμους παραλιπόντας, εἰ λέξεις καὶ οὗτοι σημαντικαί. οὐ γὰρ δὴ ἄσημοι. ἢ ὅτι οὔτε προηγουμένη αὐτῶν ἐστιν ἡ σημασία, ἀλλὰ συσσημαίνουσιν. ὥσπερ τὰς διπλᾶς εἰώθαμεν παραγράφειν καὶ τὰς κορωνίδας, αἵτινες μετὰ τῶν γεγραμμένων σημαίνουσί τι. αὐταὶ δὲ καθ' ἑαυτὰς, οὐδὲν σημαίνουσι. καὶ οἱ σύνδεσμοι γὰρ μετὰ τῶν ἄλλων μερῶν τοῦ λόγου, κόλλῃ ἐοικότες σημαίνουσι. βίβλου δὲ οὐδὲ λόγου στοιχεῖά εἰσιν οἱ σύνδεσμοι. ἀλλ' εἴπερ ἄρα λέξεως μέρη. οὐδὲ γὰρ ἡ κόλλα τοῦ χάρτου, μέρος ἐστίν. οὐδὲ λέγονται οὖν. ἀλλ' εἴπερ ἄρα ἐκφωνοῦνται μόνον. καὶ ἔτι μέντοι ῥητέον ὅτι κἂν σημαίνωσιν οἱ σύνδεσμοι καὶ λεκτικῶς σημαίνειν συγχωρηθῶσι, κατὰ σύνταξιν σημαίνουσι καὶ κατὰ συμπλοκήν. νῦν δὲ περὶ τῶν ἄνευ συμπλοκῆς ὁ λόγος. ἐπιζητοῦσι δὲ καὶ τὰ ἄρθρα ποῦ ταχθήσεται. καὶ περὶ τούτων δὲ ὁ αὐτὸς λόγος. καὶ γὰρ ταῦτα, οἷον σύνδεσμοί εἰσι τὰ γένη προσσημαίνοντες, τό, τε ἄρρεν καὶ τὸ θῆλυ ἀορίστως. οὐ γάρ τί ἐστι δηλοῦσι. διὸ καὶ ἀόριστα καλεῖται παρ' ἐνίοις. ἀλλ' αἱ ἀποφάσεις καὶ αἱ στερήσεις, αἵ τε διάφοροι τῶν ῥημάτων ἐγκλίσεις, ἐν τίνι ταχθήσονται. ἢ πρὸς τοῦτο αὐτὸς Ἀριστοτέλης ἐν τοῖς ὑπομνήμασιν ἀπεκρίνατο. καὶ γὰρ ἐν τοῖς μεθοδικοῖς καὶ ἐν τοῖς ὑπομνήμασι καὶ ἐν ταῖς διαιρέσεσι καὶ ἐν ἑτέρῳ ὑπομνήματι οὐκ ἐπιγράφεται παρὰ τὴν λέξιν. ὅπερ εἰ καί τισιν οὐ δοκεῖ γνήσιον Ἀριστοτέλους, ἀλλά τινός ἐστι πάντως τῶν ἀπὸ σχολῆς. ἐν τούτοις προσθεὶς τὰς κατηγορίας ἐπάγει. λέγω δὲ ταύτας, σὺν ταῖς πτώσεσιν αὐτῶν ἤτοι ἐγκλίσεσι ταῖς τε ἀποφάσεσι, καὶ ταῖς στερήσεσι καὶ τοῖς ἀορίστοις συνέταξεν αὐτῶν τὴν διδασκαλίαν. ἔστι γοῦν τὸ ἀνυποδετεῖν τῆς αὐτῆς κατηγορίας, ἧς καὶ τὸ ὑποδεδέσθαι. καθόλου γὰρ ἐν τούτοις ἔχουσι τὸ εἶναι αἱ ἀποφάσεις καὶ αἱ στερήσεις ἐν τῷ τὰ ὄντα ἀναιρεῖν, εἰ καὶ πῶς ἐπ' ἐκεῖνα ἀναπέμπονται, ἐν οἷς αἱ ἕξεις εἰσὶ καὶ αἱ καταφάσεις. ἀλλὰ τὸ ἐν φάσει καὶ ἡ μονὰς καὶ τὸ σημεῖον πῶς οὐκ ἔξω πίπτει τῶν κατηγοριῶν. οὔτε γὰρ ποσόν ἐστιν ὡς αὐτῷ δοκεῖ, οὔτε συνεχές ἐστιν ἅτε ἀμερὲς ὄν, οὔτε διωρισμένον. πᾶν δὲ ποσὸν ἢ συνεχὲς, ἢ διωρισμένον εἶναι προσήκει. καὶ εἰ διωρισμένον, ἔστιν ἢ περιττὸν ἢ ἄρτιον. ἢ καὶ ὡς ἀρχὴ τῶν ἀριθμῶν, καὶ ὡς μέτρον, ἐν τῷ πρός τι καταταχθήσεται. ὡς καὶ τῷ Ἀλεξάνδρῳ δοκεῖ. εἰ δὲ διττὸς ὁ ἀριθμός, ὁ μὲν, ἀσώματος. ὁ δὲ σωματικός, ἔσται ὡς καὶ ὁ Βοηθὸς ἂν φαίη, καὶ ἡ μονὰς διττή. ἡ μὲν οὐσία, ἐν τῷ νοητῷ ἀριθμῷ. τοῦτο δὲ καὶ Ἀριστοτέλει δοκεῖ. ἡ δὲ, πρός τι. ἢ ποσόν. ὕστερον δέ φησιν ὁ Βοηθὸς, μήποτε ἄμεινον εἶναι ποσὸν φάναι. ὡς γὰρ λευκότης ἔχει πρὸς λευκόν, οὕτω καὶ ἡ δυὰς πρὸς τὰ δύο. εἰ οὖν ἐκεῖνα ἄμφω ποιόν, καὶ ταῦτα ποσόν. ἀντιλέγουσι δὲ τῷ Ἀλεξάνδρῳ, δυνατὸν λέγοντι καὶ μέρος τοῦ ποσοῦ τὴν μονάδα τιθέναι. καὶ διὰ τοῦτο ἐν τῷ ποσῷ καταριθμοῦντι αὐτήν. ἀριθμὸς γάρ ἐστι, τὸ ἐκ μονάδων συγκείμενον πλῆθος. λέγουσιν οὖν ἀρχὴν εἶναι ἀριθμοῦ ἀλλ' οὐ χρὴ μέρος ἀριθμοῦ τὴν μονάδα. πανταχοῦ δὲ ἕτερον εἶναι τὴν ἀρχὴν καὶ τὸ οὗ ἐστιν

ἀρχή. ὥσπερ καὶ τὸ σημεῖον διαστήματος ἀρχὴ ὂν, οὐκ ἂν εἴη διάστημα. ἀλλ' εἰ καὶ ἀρχὴ
καὶ πρός τι ταῦτα, ἐπειδὴ πάντα τὰ πρός τι φύσιν ἔχοντα ἰδίαν, οὕτως ἔχει καὶ τὸ
πρός τι εἶναι ὡς ὁ πατὴρ ἄνθρωπος ὢν καὶ οὐσία, πρός τι ἐστὶ κατὰ τὸ πατήρ. ἔδει οὖν καὶ
ἐπὶ τούτων εἰπεῖν, ὅτι ὄντα ἀρχαὶ, καὶ πρός τι εἰσὶ καθὸ ἀρχαί. μήποτε οὖν διὰ τῆς
οὔσης τῆς ἀρχῆς, τῆς μὲν, συντεταγμένης, τῆς δὲ, ἐξῃρημένης, ἡ συντεταγμένη
ἐν τῷ αὐτῷ γένει ἐστίν. ὥσπερ καὶ τὸ μέσον. καὶ τὸ πέρας. τάχα δὲ καὶ ἐξῃρημένη ἐν τῷ
αὐτῷ γένει ἐστίν. εἴτε δὴ καὶ ἡ ἐξῃρημένη τοῦ ἀριθμοῦ μονάς, συγκριμένη ἐστὶν ἀριθμός, ἐν τῷ αὐτῷ
ἂν εἴη γένει, τό, τε συγκεκριμένον, καὶ τὸ διωρισμένον. καὶ γὰρ τοῦ εἴδους συγκριμένου καὶ δια-
κεκριμένου ὄντος, καὶ τοῦ μὲν ὀνόματος, τὸ συγκριμένον. ἢ ὥς οἱ στωϊκοὶ φασί, τὸ κεφαλαι-
ῶδες δηλοῦντος, τοῦ δὲ ὁρισμοῦ τὸ διακεκριμένον, ἐν τῷ αὐτῷ ἂν εἴη γένει, τό, τε ὄνομα
καὶ ὁ ὁρισμός. καὶ ἡ ὕλη δὲ καὶ τὸ εἶδος ἀρχαὶ οὖσαι τῆς συνθέτου οὐσίας, οὐσίαι καὶ αὗταί
εἰσι, κἂν μὴ ἐν ταύτῃ παρελήφθησαν. καὶ περὶ τοῦ σημείου δὲ τὰ αὐτὰ καὶ ἀποδοῦναι
ἔξεστι καὶ ἐπιλύεσθαι. βέλτιον δὲ φασὶν οἱ καινότεροι τῶν ἐξηγητῶν, ὁμώνυμον τὸ ἓν
ἀπολείπειν κατὰ τὰς δέκα κατηγορίας, ὥσπερ καὶ τὸ ὄν. τῶν δὲ ὁμωνύμων, οὔτε διαί-
ρεσις ἀφωρισμένη ἐστίν, οὔτε εἰς ἓν γένος ἀναγωγή. οἱ δέ γε περὶ πλωτῖνον, οἱ ἀνταλλα-
γὴν αἰτιώμενοι, καὶ λέγοντες ἀλλὰ ἀντὶ τῶν ἄλλων παρειλῆφθαι γενῶν, τὴν κίνησιν φασὶ δεῖν,
ἀντὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν παραλαμβάνειν. οὔτε γὰρ εἰς ἄλλο γένος τὴν κίνησιν ἀνάγειν ἐστὶ
δυνατὸν, οὔτε ἄλλο ὅτι γένος αὐτῆς, ἐν τῷ τί ἐστι κατηγορεῖται. ἀλλ' οὐδὲ εἰς τὸ ποιεῖν ἀνά-
γειν. πολλαὶ γὰρ εἰσὶν ἐν τῷ πάσχειν κινήσεις. ἀλλ' οὐδὲ εἰς τὸ πάσχειν. πολλαὶ γὰρ αἱ ἐν τῷ
ποιεῖν κινήσεις κατὰ τὰ χρήσιμα, πρὸς οὓς ῥητέον, ὅτι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, ἐν
πάσαις θεωρεῖται ταῖς κατηγορίαις ὁμωνύμως ὑπάρχον αὐταῖς. διό, ἐν οὐδεμιᾷ
ἀφωρισμένως κατατέτακται. καὶ ἡ κίνησις τοίνυν ὁδὸς οὖσα ἀπὸ τοῦ δυνάμει εἰς ἐντε-
λέχειαν, ἄλλως μὲν ἐν τῇ οὐσίᾳ θεωρεῖται, γένεσις οὖσα καὶ φθορά. ἄλλως δὲ ἐν τῷ ποσῷ,
αὔξησις καὶ μείωσις λεγομένη. ἄλλως δὲ ἐν τῷ ποιῷ, ὅταν ἀλλοίωσιν αὐτὴν ὀνομάζω-
μεν. καὶ ἄλλως ἐν τῷ ποῦ. καὶ καθ' ἑκάστην κατηγορίαν ἄλλως. πῶς οὖν οἷόν τε μίαν εἶναι
κατηγορίαν τὴν κίνησιν, ὁμωνύμως καὶ αὐτὴν ὑπάρχουσαν. καὶ περὶ τῆς στάσεως δὲ
τῆς ἀντικειμένης τῇ κινήσει, τὰ αὐτὰ ῥητέον. εἰ γάρ τις εἴη τῶν ὄντων στάσις, οὐκ ἐν τοῖς
αἰσθητοῖς, ἀλλ' ἐν τοῖς νοητοῖς ἐκείνην ζητεῖσθαι προσήκει. οἱ δέ γε στωϊκοὶ, εἰς ἐλάττονα
συστέλλειν ἀξιοῦσι τὸν τῶν πρώτων γενῶν ἀριθμόν. καὶ τινὰ ἐν τοῖς ἐλάττοσιν ὑπηλ-
λαγμένα παραλαμβάνουσι. ποιοῦνται γὰρ τὴν τομὴν εἰς τέσσαρα. εἰς ὑποκείμενα. καὶ
ποιά. καὶ πὼς ἔχοντα. καὶ πρός τι πὼς ἔχοντα. καὶ δῆλον ὅτι πλεῖστα παραλείπουσι.
τό, τε γὰρ ποσὸν ἄντικρυς. καὶ τὰ ἐν χρόνῳ. καὶ ἐν τόπῳ. εἰ γὰρ τὸ πὼς ἔχον νομίζουσιν
αὐτοῖς τὰ τοιαῦτα περιλαμβάνειν, ὅτι τὸ περυσινὸν, ἤτοι ἐν λυκείῳ, ἢ τὸ καθῆσθαι,
ἢ τὸ ὑποδεδέσθαι, διάκειταί πως κατὰ ταῦτα. πρῶτον μὲν πολλῆς οὔσης τῆς ἐν τούτοις
διαφορᾶς, ἀδιαρθρώτως ἡ τοῦ πὼς ἔχειν κοινότης ἐκφέρεται κατ' αὐτῆς. ἔπειτα τὸ κοι-
νὸν τοῦτο πὼς ἔχειν, καὶ τῷ ὑποκειμένῳ ἁρμόσει. καὶ τῷ ποσῷ μάλιστα. καὶ ταῦτα γὰρ
διάκειταί πως. ταῦτα μὲν οὖν πρὸς ἑκάστην τῶν ἀντιλογιῶν ἐστὶν ἰδίως ἀπολογούμενα

εἰπεῖν. κοινὴ δὲ πρὸς πάντας λέγειν· ὅτι τὰς εἰσαγωγικὰς πραγματείας, οὐκ ἔδει πρὸς ἀκρίβειαν διακειμένας ἀπαιτεῖν. οὐ γὰρ ὑποφέρουσι τὴν ἀκρίβειαν αἱ τῶν πρωτοπείρων ἀκοαί. δεύτερον δὲ, ὅτι δύσκολος ἡ ἐπιχείρησις τὰς γενικωτάτας τῶν ὄντων διαφορὰς, ἤτοι τὰς σημαντικὰς αὐτῶν λέξεις διελέσθαι. καὶ διὰ τοῦτο χρὴ μᾶλλον συναγωνίζεσθαι τῇ χαλεπότητι τῆς ἐπιχειρήσεως, ἀλλὰ μὴ κακοσχόλως αὐτῇ προσφιλονεικεῖν. τρίτον δὲ, ἂν λέγοιμεν, ὅτι καὶ πάντες οἱ ἄλλως διελόμενοι, μείζοσιν ἂν ὑπάγοιντο τοῖς ἐγκλήμασιν. ὧν οἱ ἀκριβέστεροι δοκοῦντες οἱ στωϊκοί, τὴν εἰς τέσσαρα τομὴν ποιησάμενοι, εἰς ὑποκείμενα καὶ ποιὰ καὶ πὼς ἔχοντα καὶ πρός τί πως ἔχοντα. οἷα παραλείπουσιν εἴρηται πρότερον. εἰ δὲ καὶ νεώτεροι οἷς εὐκολώτερον ἦν τὸ προσθεῖναι τὸ λεῖπον, καὶ αὐτοὶ ὅμως πολλὰ φαίνονται σφαλλόμενοι, πῶς οὐχὶ χρὴ τοῖς πρώτως ἐπιβάλλουσι συγγνώμην ἔχειν, εἰ καὶ τῆς ἀκριβείας τι παραλιμπάνουσιν. ὅλως δὲ ὁ πρὸς τὴν διαίρεσιν καὶ ἀπαρίθμησιν ταύτην ἀντιλέγων, ἴσως μὴ πρὸς ἀριστοτέλην ταύτην πρώτως, ἀλλὰ πρὸς τοὺς πυθαγορείους καὶ ἀρχύταν τὴν ἀντιλογίαν ποιούμενος. ὃς πρὸ τοῦ ἀριστοτέλους τὴν εἰς δέκα γένη διαίρεσιν ἐποιήσατο. εἰ δέ τις ἐπιθυμεῖ περιληπτικήν τινα διαίρεσιν ἀκοῦσαι τὰ δέκα γένη ταῦτα περιλαμβάνουσαν, τάχα ἂν ἐν ταύτῃ. ἐπειδὴ τὰ ὄντα πάντα ἢ ὑπάρξεις εἰσὶ καὶ δυνάμεις, ἢ ἐνέργειαι. αἱ δὲ δυνάμεις μέσαι οὖσαι, ταῖς ὑπάρξεσι μᾶλλον συνθεωροῦνται, διχῇ τὴν πρώτην διαιρετέον. εἴς τε τὰς ὑπάρξεις αὐτὰς τὰς ἐνεργούσας ἢ πασχούσας, καὶ εἰς τὰς ἐνεργείας. καὶ τὰς μὲν ἐνεργείας πάσας, ἡ τοῦ ποιεῖν κατηγορία περιέχει. τὰ δὲ πάθη, ἡ τοῦ πάσχειν. τῶν δὲ ὑπάρξεων αὐτῶν, αἱ μὲν, καθ' ἑαυτὰς ἔχουσι τὸ εἶναι, ἃς ἡ οὐσία πάσας συμπεριείληφεν. αἱ δὲ, ἐν ἄλλοις ὑφεστήκασι. καὶ τούτων αἱ μὲν, κατὰ σχέσιν θεωροῦνται. αἱ δὲ, ἄσχετοί εἰσι. καὶ τῶν ἀσχέτων, αἱ μὲν, κατὰ τὸν χαρακτῆρα καὶ τὴν οἷον μορφὴν τῶν σωματικῶν ὑπάρξεων θεωροῦνται. ὥσπερ αἱ κατὰ τὸ ποιὸν ἀφοριζόμεναι πᾶσαι. αἱ δὲ, κατὰ τὴν διάστασιν καὶ τὸν πληθυσμόν. ὥσπερ αἱ κατὰ τὸ ποσόν. δύο γὰρ αὗται ἄσχετοι διαφοραὶ τῶν ἐν ἄλλοις ὑφεστηκότων κατὰ ὕπαρξιν γενικῶν θεωροῦνται. τῶν δὲ κατὰ σχέσιν, αἱ μὲν, πρὸς ἀντιστρέφοντα λέγονται. ἃς πάσας ἡ τοῦ πρός τι περιέχει κατηγορία. αἱ δὲ, οὐ πρὸς ἀντιστρέφοντα. καὶ τούτων αἱ μὲν, κατὰ τὴν πρὸς τὰ σώματα σχέσιν θεωροῦνται. αἱ δὲ, κατὰ τὴν πρὸς τὰ ἀσώματα. καὶ τούτων ἡ μὲν, κατὰ τὴν πρὸς τόπον. ἅπερ ἡ τοῦ ποῦ περιέχει κατηγορία. ἡ δὲ, κατὰ τὴν πρὸς χρόνον. ἅπερ ἐν τῇ ποτὲ περιέχεται. τῶν δὲ κατὰ τὴν πρὸς σώματα σχέσιν, ἡ μὲν, κατὰ τὴν πρὸς ἐκεῖνα ἐφ' ὧν ἱδρύμεθα, ἢ ἑστῶτες, ἢ καθήμενοι, ἢ ἀνακείμενοι, ἅπερ πάντα ὑπὸ τὴν τοῦ κεῖσθαι κατηγορίαν ἀνάγεται. ἡ δὲ, κατὰ τὴν πρὸς τὰ περικείμενα, ὅσα ἡ τοῦ ἔχειν κατηγορία περιείληφε. τὰ γὰρ σώματα πρὸς ἃ ἡ σχέσις ἡ τοιαύτη πως ἔχει, ὡς ἢ ἡμᾶς ἐν ἐκείνοις, ἢ ἐκεῖνα ἐν ἡμῖν ἱδρύσθαι. τοιαύτη γὰρ ἄν τις εἴη καὶ παρ' ἡμῶν ἡ παραμυθία πεπορισμένη τοῖς ἐκ διαιρέσεως ἀνελλιποῦς ἐπιθυμοῦσι τὰ δέκα γένη λαβεῖν. καὶ αὕτη πολλὰς εὖ οἶδα, ὅτι τοῖς ἀκριβολογεῖσθαι βουλομένοις εὐθύνας ὑφέξουσα. ὁ μέντοι θεῖος ἰάμβλιχος, καὶ αὐτὸς ἀπαράλειπτον τὴν τῶν γενῶν ἀπαρίθμησιν ἐπιδείκνυσι. πρῶτον μὲν ὑπόκειται τοῖς πᾶσιν,

ἐφ' οὗ προϋπάρχοντος, ἐγίνετο ἐν αὐτῷ τὰ μόνως ὑφιστάμενα. ἔπειτα τὰ συνυπάρχοντα τῷ ὑποκειμένῳ συνθεωρεῖται. ταῦτα δέ ἐστι, ποιότης τε καὶ ποσότης. ἡ μὲν, πληθύνουσα. ἡ δὲ, εἰδοποιοῦσα τὸ ὑποκείμενον. αἱ δὲ σχέσεις θεωροῦνται περὶ τὸ ὑποκείμενον, καθ' ἃς θεωροῦνται αἱ ἄλλαι κατηγορίαι. ἀρχύτας δὲ πυθαγορικῶς ἐπιχειρῶν, ἐπειδὴ τὰς ἀρχὰς ἄγει πάσας τῶν ὄντων, τὴν αἰτίαν τοῦ τῶν δέκα ἀριθμοῦ. τέχνην γὰρ πᾶσαν καὶ ἐπιστήμην φησὶ, τεταγμένον δεῖ εἶναι καὶ ὡρισμένον πρᾶγμα. τὸ δὲ τοιοῦτον, ἐν ἀριθμῷ ἀφορίζεσθαι. τὸν δὲ σύμπαντα ἀριθμὸν, δεκάδας εἶναι. καὶ εἰκότως ἄρα τὰ πάντα εἰς δέκα διῃρῆσθαι. καὶ τὰ εἴδη πάντα δέκα εἶναι. καὶ τοὺς ἤδη τινοὺς ἀριθμοὺς, δέκα ὑπάρχειν. ἔτι δὲ καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἔχειν δέκα μέρη. καὶ τὰ στοιχεῖα τοῦ παντὸς λόγου, δέκα εἶναι. ἀλλὰ καὶ διὰ τῆς ἐπαγωγῆς δύναταί τις τὸ αὐτὸ παραμυθήσασθαι. ἔξεστι γὰρ προχειριζομένοις ὁτιοῦν τῶν ὄντων, ὁρᾶν ὅπως εἰς ἕν τι τούτων πάντως τῶν γενῶν ἀναφέρεται. ἀλλ' ἐπειδὴ ταῦτα μετρίας ἔτυχε διαρθρώσεως, τὴν λέξιν λοιπὸν ἐπελθεῖν εὔκαιρον. καὶ ὅτι μὲν περὶ φωνῶν σημαντικῶν ἐστιν ὁ σκοπὸς ὡς πολλάκις ἐλέγετο καθὸ σημαντικαί εἰσιν, ἐδήλωσεν εἰπών. τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι οὐσίαν σημαίνει, ἢ ποσὸν καὶ τὰ ἑξῆς. τὰ γὰρ πράγματα οὔτε λεγόμενά ἐστιν, οὔτε σημαίνει, ἀλλὰ σημαίνεται. κἂν τῶν ὄντων δὲ αὐτῶν λέγῃ τις αὐτῶν ποιεῖσθαι τὴν διαίρεσιν ἢ τὴν ἀπαρίθμησιν, ἀλλ' οὐχ ᾗ ὄντα. ᾗ δὲ σημαίνεται ὑπὸ τοιῶνδε φωνῶν. ἀλλά γε μόνον κατὰ τὴν πρὸς ἄλληλα σύνταξιν τῶν τε φωνῶν καὶ τῶν ὄντων γινώσκονται. εἰ μὲν δή φησι καὶ τὰ σημαινόμενα δέκα τὸν ἀριθμὸν, καὶ τὰ σημαίνοντα ἴσα τούτοις, καὶ δῆλον ὅτι καὶ ἡ τῶν ἐννοιῶν τῶν περὶ αὐτῶν τῶν πραγμάτων διαίρεσις συμπεριλαμβάνεται. ἑνὶ γὰρ τῶν τριῶν διαιρεθέντι, συνδιαιρεῖται καὶ τὰ λοιπὰ διὰ τὴν τῶν τριῶν πρὸς ἄλληλα συνάρτησιν. ἤρτηται γὰρ ἀπὸ μὲν τῶν πραγμάτων τὰ νοήματα. ἀπὸ δὲ τῶν νοημάτων, αἱ φωναί. ὥστε εἴ τις λέγοι τὴν φωνὴν τοῦ ὀνόματος μόνου σημαντικὴν, ἔλαθεν αὐτὸν ἀτιμότερα τὰ κοινὰ τῶν ἀτόμων ἀποφαίνων. καὶ γὰρ τὸ μὲν σωκράτης, ἕτερον εἶναι ὁμολογεῖ. τόν, τε φιλόσοφον αὐτὸν, καὶ τὴν περὶ αὐτοῦ ἔννοιαν. καὶ τὸ ὄνομα τὸ τρισύλλαβον. τῶν δὲ γενῶν ἕκαστον, διχῶς ἀξιοῖ θεωρεῖν. κατὰ τὸ ὄνομα, καὶ κατὰ τὸ νόημα μόνον. καί τοι καὶ ἡ φωνὴ μάταιος ἂν εἴη, καὶ τὸ νόημα κενὸν, εἰ μηδὲν τῶν ὄντων εἴη τὸ σημαινόμενον καὶ νοούμενον. οἱ δὲ, ἀναιροῦσι μὲν τὴν τῶν κοινῶν φύσιν. ἐν δὲ τοῖς καθ' ἕκαστα αὐτὰ μόνοις ὑφεστάναι νομίζουσιν, αὐτὰ καθ' αὑτὰ μηδαμοῦ θεωροῦντες. καὶ περὶ μὲν τῆς κατατεταγμένης κοινότητος, ὀρθῶς λέγουσιν. εἰδέναι δὲ καὶ τὴν ἐξῃρημένην ἔννοιαν, ἀφ' ἧς ἐστιν ἡ κατατεταγμένη. πρὸ γὰρ τοῦ κατεταγμένου τὸ ἐξῃρημένον. καὶ πρὸ τοῦ ἄλλου ὄντος, τὸ ἑαυτοῦ ὄν. εἰ μὴ ἄρα ἐκεῖνο τὸ ἐξῃρημένον καὶ τῶν μεθ' ἑαυτοῦ πάντων αἴτιον, οὐ κατὰ τὴν κοινότητα μόνην θεωρητέον. οἷον, τὸ πάντων αἴτιον τῶν ζώων, ἀνθρώπων λέγω καὶ ἵππων, καὶ τῶν λοιπῶν. ἢ οὐρανίων. καὶ ἀερίων. καὶ ἐνύδρων. καὶ χθονίων. εἰ κατὰ μόνην ἐθεωρεῖτο τὴν τοῦ ζώου φύσιν, μόνην ἂν τὴν κοινότητα τῶν ζώων περιεῖχεν. ἐπειδὴ δὲ καὶ τὰ εἴδη πάντα περιέχει

τῶν ζώων, δηλονότι, οὐ τῆς κοινότητος μόνης, ἀλλὰ καὶ τῶν διαφόρων εἰδῶν ἐστὶν ἕνωσις συνῃρημένως προϋπάρχουσα. καὶ ἔστι πάντα πρὸ πάντων. καὶ τὴν κοινότητα καὶ τὰς διαφορὰς περιάγων, κατὰ τὴν ἀμφοῖν συνῃρημένην ὑπεροχήν. μήποτε δὲ ἐν τοῖς παραγομένοις, ὅλως ἐστὶν ἡ κοινότης τοιαύτη, οἵαν ἡμεῖς ἐννοοῦμεν ἀδιάφορον. ὅταν γὰρ οὐσίαν καὶ τὴν ψυχὴν λέγωμεν καὶ τὸ σῶμα, τί ἂν εἴη παντὶ κοινὸν καὶ ἀδιάφορον ἔν τε ψυχῇ καὶ ἐν σώματι. ἀλλὰ καὶ τὸ κοινὸν δῆλον, ὅτι διαφορεῖται μετὰ διαφόρων ὑφιστάμενον. ἵνα καὶ σύμμετρον γένηται πρὸς τὰς διαφοράς. οὐ γὰρ ἂν ἡ τῆς ψυχῆς οὐσία ταῖς τοῦ σώματος διαφοραῖς συμπλακείη ποτέ. καὶ τὸ διάφορον μέντοι κεκοινώνηται, κατὰ τὴν ἀπὸ τοῦ ἑνὸς ἐνδοθεῖσαν ἕνωσιν τοῖς πᾶσιν. ἵνα μὴ διεσπασμένα πάντα ᾖ τὰ ἀφ' ἑνὸς παραγόμενα. ἀλλ' ἡμεῖς πολλοῦ μετέχοντες τοῦ συμπεφυρμένου τε καὶ τοῦ διεσπασμένου, τήν τε κοινότητα αὐτὴν καθ' ἑαυτὴν ὡς διάφορον ἐξαιροῦμεν ταῖς ἐννοίαις. ἥτις οὔτε ἐν τοῖς ἀτόμοις ἐστὶ, διαφορεῖται γὰρ αὐτῇ, οὔτε ἐν τοῖς πρὸ τῶν ἀτόμων. ἐκεῖ γὰρ οὐ τὸ κοινὸν μόνον, ἀλλὰ καὶ τὸ διάφορον ἐν ἀμηχάνῳ τινὶ φύσει προείληφεν, ἡμῖν μᾶλλον κατὰ ἀλήθειαν ἀγνώστῳ. αἰτία δὲ τῆς διαφορουμένης ταύτης κοινότητος καὶ τῆς κεκοινωνημένης διαφορότητος, τὸ συναμφότερον ἅμα περιάγει. ὅταν οὖν Σωκράτης διαλεγόμενος τὸ ἐν πᾶσι καλὸν καὶ τὸ ἐν πᾶσιν ἴσον, προφέρειν δοκεῖ οὐχ ὅτι ἐστὶ τὸ ἐν τοῖς πολλοῖς καλὸν παντελῶς ἀδιάφορον, ἀλλ' ὅτι συμπεφυρμένην τέως ἡμῶν τὴν ἔννοιαν, καὶ μὴ δυναμένην τὸ κοινὸν ἀπὸ τοῦ ἰδίου διϊστάναι, ἡ διαλεκτικὴ μέθοδος διακρίνει. καὶ τότε λοιπὸν, τὰς διακεκριμένας ἐννοίας εἰς ἕνωσιν ἀντὶ τῆς συγχύσεως περιάγει. τοῦτο γάρ ἐστι τὸ τῆς διαλεκτικῆς τέλος. ὡς καὶ ἐν πολιτείαις Σωκράτης ἐδήλωσε. μήτε οὖν τῷ Πλάτωνι, ἤτοι τῷ Πλάτωνος διδασκάλῳ Σωκράτει μεμφώμεθα τὰ κοινὰ εἴδη πανταχοῦ διαλεκτικῶς ἀποδεικνύντι τὰ ἐν μεθέξει καὶ τὰ πρὸ τῆς μεθέξεως. ἔδει γὰρ τοὺς μόνας τὰς τῶν ἀτόμων διαφορὰς ἐννοοῦντας, οὕτως τῆς τε ἐν τοῖς ἀτόμοις κοινότητος καὶ τῆς κοινῆς αἰτίας ὑπομιμνήσκειν. μήτε δὲ τὸν Ἀριστοτέλην διαπαίξωμεν, ὡς ἀγνοοῦντα τὰς κοινὰς φύσεις καὶ τὰς προϋπεχούσας αἰτίας. τὸν λέγοντα μὴ γίνεσθαι ὅλως ἀπόδειξιν ἄνευ καθολικῆς προτάσεως. ἀλλ' ἐπαινῶμεν μᾶλλον ὡς θαυμαστῶς κατανοήσαντα, ὅτι τὰ κοινὰ ταῦτα καὶ πάντη ἀδιάφορα, αὐτὰ καθ' αὑτὰ οὐκέτι εἰσὶν ἐν ὑποστάσει τῶν ὄντων. ἀλλ' ἡμεῖς ἀφελόντες αὐτὰ ἐν ταῖς ἡμετέραις ἐννοίαις, καθ' ἑαυτὰ ὑπεστήσαμεν. ἀλλὰ ταῦτα μέν μοι καὶ πλείονα τοῦ δέοντος εἴρηται, διὰ τοὺς μάτην διϊστάναι τοὺς κλεινοτάτους τῶν φιλοσόφων φιλονεικοῦντας. ἐπειδὴ δὲ καὶ τῶν ἁπλῶν φωνῶν εἰσί τινες, αἵτινες καὶ ἁπλαῖ εἰσὶν, ἀλλ' οὖν οὐδὲ σημαίνουσί τι ἄνευ τῆς πρὸς ἄλληλα συμπλοκῆς. ὥσπερ οἱ σύνδεσμοι καὶ τὰ ἄρθρα καὶ αἱ προθέσεις. διὰ τοῦτο εἶπε, τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι οὐσίαν σημαίνει, ἢ ποσὸν, ἢ ποιόν. ἵνα μὴ μόνον ἐκείνης τῆς κατὰ συμπλοκὴν σημασίας τῆς καταφάσεις ποιούσης καὶ ἀποφάσεις εἰσὶ κεχωρισμέναι αἱ τῶν γενῶν σημαντικαὶ φωναὶ, ἀλλὰ καὶ τῶν ἁπλῶν μὲν, κατὰ συμπλοκὴν δὲ μόνην σημαινουσῶν, ὡς τῶν εἰρημένων. ἀλλὰ πῶς τὸ ἀσύμπλεκτον δεῖ θεωρεῖν. πότερον τῇ φωνῇ, ἢ τῇ δυνάμει καὶ τῷ σημαινομένῳ. εἰ μὲν γὰρ τῇ



Universitäts- und
Landesbibliothek Düsseldorf

φωνή, συμβήσεται μὴ πᾶσαν ἁπλῆν φωνὴν μίαν μόνην δηλοῦν κατηγορίαν. τὸ γὰρ ζῷον ὡς εἴρηται πρότερον καὶ τὸ ἐγὼ προσημαίνον, οὐσίαν ἅμα καὶ ἐνέργειαν, ἢ πάθος δηλοῖ. καὶ τὸ ὑγιὲς δὲ, ἐπειδὴ καὶ ὅ τι ὁ ζῶν σημαίνει, εἴς τε οὐσίαν καὶ εἰς τὸ ποιεῖν ἀναχθήσεται. εἰ δὲ πρὸς τὴν δύναμιν τὸ ἀσύμπλεκτον ὑποθώμεθα, τὴν αὐτὴν λέξιν διαφόρους ἔχουσαν δυνάμεις, ὑπὸ διαφόρους κατηγορίας ἀνάξομεν. ὡς τὸ αἰκίζομαι, ὑπὸ τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ πάντα τὰ μέσα ῥήματα. καὶ τὸ βορέας δὲ, τό, τε πνεῦμα δηλοῦν καὶ τὸ κλίμα, ὑπὸ τὴν οὐσίαν ἀναχθήσεται καὶ τὸ ποῦ. μήποτε οὖν πρὸς μὲν τὰς δυνάμεις ἀφορᾶν δεῖ τὰς σημαντικάς. διελομένου δὲ αὐτὰς, οὕτως ἑκάστην ὑπὸ τὴν οἰκείαν ἀνάγειν κατηγορίαν. κἂν ἡ αὐτὴ λέξις ᾖ, μὴ διαφερομένου. καὶ γὰρ καὶ αἱ λέξεις καθὸ σημαντικαί εἰσι, παραλαμβάνονται. εἰ δὲ τὰ ἄνευ συμπλοκῆς ταῦτά ἐστι, δηλονότι, κατὰ συμπλοκὴν ἐστὶ τὰ τούτοις ἀντικείμενα. τὰ ἐκ δυοῖν ἢ καὶ πλειόνων τελείων κατηγοριῶν συγκείμενα, καὶ λόγον ποιοῦντα. ὡς τὸ, ἄνθρωπος περιπατεῖ. οὔτε οὖν τὰ ὁμώνυμα, οὔτε τὰ συνώνυμα, οὔτε τὰ παρώνυμα, κἂν πλειόνων ἐφάπτηται, κατὰ συμπλοκὴν λέγεται. ἀλλ' οὐδὲ τὰ ὑπὸ σύνθεσιν γινόμενα, κατὰ συμπλοκὴν ἂν εἴη. ὡς τὸ λιθοβολεῖ. ψευδολογεῖ. βουκολεῖ. οὐδὲ γὰρ ταῦτα, ἐκ τελείων σύνισταται κατηγοριῶν. ἀλλ' οὐδὲ τὸ ἐκ πλειόνων λέξεων, ὅταν ἓν ᾖ, καὶ τὸ αὐτὸ σημαινόμενον ὡς αὐτοὶ τῶν ὁρισμῶν. τὸ γὰρ ζῷον λογικὸν θνητὸν, λόγος μέν ἐστιν, ἀλλ' οὔτε πλείονα σημαίνων, ἀλλ' ἓν μόνον τὸν ἄνθρωπον, οὔτε ἐκ πλειόνων κατηγοριῶν συγκείμενος. οὐσίαι γὰρ καὶ τὸ γένος, καὶ οὐσιώδεις διαφοραί. δεῖ οὖν καὶ τὸ κατὰ συμπλοκὴν τῇ δυνάμει λαμβάνειν, ἀλλὰ μὴ τῇ λέξει. ὥστε ἐνίοτε μὲν ἁπλᾶς φωνὰς κατὰ συμπλοκὴν ῥητέον, ὅταν συμπεπλεγμένον ᾖ νόημα ἐν αὐταῖς, ὡς αὐτὸ τὸ ζῶ, καὶ ὑγ. ἐνίοτε δὲ καὶ συνθέτους φωνὰς ἄνευ συμπλοκῆς ῥητέον, ὡς αὐτοὶ τῶν ὁρισμῶν εἴρηνται. εἰ δὲ ταῦτα ἀληθῆ λέγομεν, ἐπιστῆσαι χρὴ, πῶς ὁ φιλόσοφος Συριανός, τὴν εἰς τέσσαρα γινομένην πρότερον τῶν ὄντων διαίρεσιν, τῶν κατὰ συμπλοκὴν εἶναί φησιν. ὅταν ἔλεγε τὰ μὲν, καθ' ὑποκειμένου λέγεσθαι, ἐν ὑποκειμένῳ δὲ μηδενὶ εἶναι, καὶ τὰ ἑξῆς. τῶν δὲ εἰς δέκα τῶν ἄνευ συμπλοκῆς γράφει ὁ Συριανὸς οὕτως, ἀνελὼν τὰς σημαντικὰς φωνὰς, εἴς τε τὰς μετὰ συμπλοκῆς λεγομένας, καὶ εἰς τὰς ἄνευ συμπλοκῆς, κατ' ἀμφότερα τὰ τμήματα ταύτης τῆς διαιρέσεως, τὴν τῶν ὄντων τομὴν ἐποιήσατο. τὴν μὲν γὰρ εἰς τέσσαρα κατὰ τὰς συμπεπλεγμένας φωνάς. ἑκάστη γὰρ ἐκείνων κατὰ συμπλοκὴν ἐδήλου τῶν φωνῶν. τὴν δὲ, εἰς τὸν σύμπαντα ἀριθμόν. ἣν νῦν παραδίδωσι κατὰ τὰς ἁπλᾶς φωνάς. πῶς οὖν τὴν τετραδικὴν ταύτην συμπλοκὴν τῷ τῶν δέκα ἀσυμπλόκῳ ἀντέθηκε. καίτοι τοῦ Ἀριστοτέλους τὴν κυρίως οὐσίαν, ἥτις ἐστὶ τῶν ἀσυμπλόκων διὰ μιᾶς τῶν τεσσάρων τούτων συμπλοκῆς, ὑπογράψαντος ὡς μαθησόμεθα. οὐσία γάρ ἐστι φησὶν, ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη. ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν. ὅλως γὰρ τὸ καθόλου καὶ τὸ μερικὸν, κἂν δοκῇ τοῦ ποσοῦ εἶναι, ἀλλ' εἰς πάσας ἀνάγεται τὰς κατηγορίας. ὥσπερ τὸ ἑνικὸν καὶ τὸ πληθυντικόν. διὸ ὅταν ἄνθρωπος εἴπω, κἂν ἕνα λέγω, οὐ γίνεται σύνθεσις. οὐδὲ λόγος. ἀμείνονοῦν αὐτοῦ τοῦ Ἀριστοτέλους ἀκούειν, τίνα βούλεται εἶναι τὰ κατὰ συμπλοκήν. ὅτι ταῦτα

ὅσα κατάφασιν ποιεῖ, ὥσπερ ἄνευ συμπλοκῆς. οὐχ ὅτι τὸ καθ' ὑποκειμένου, καὶ ἐν ὑποκειμένῳ, καὶ τὰ τούτοις ἀντικείμενα, ἀλλ' ὅσα κατάφασιν οὐ ποιεῖ. μετὰ γοῦν τὸ ἐν τύποις παραδειγματικοῖς τὰ δέκα γένη παραδοῦναι, ἐπάγει. ἕκαστον δὲ τῶν εἰρημένων, ἐν οὐδεμιᾷ καταφάσει λέγεται. τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ, κατάφασις γίνεται. ἡ δὲ μερικὴ οὐσία, καὶ τὸ καθόλου συμβεβηκὸς, καὶ ὅλως ἕκαστον τῶν τεσσάρων ἐκείνων, οὔτε κατάφασιν, οὔτε ἀπόφασιν καθ' αὑτὸ ποιεῖ, ἀλλ' οὐδὲ ἀλήθειαν ἢ ψεῦδος σημαίνει. ὅπερ ἐστὶ τεκμήριον παρέλαβεν ὁ ἀριστοτέλης τοῦ τὰ ἁπλᾶ καθ' αὑτὰ μὴ ποιεῖν ἀποφαντικὸν λόγον. συνελογίσατο δὲ ὅτι αἱ ἁπλαῖ φωναὶ, οὐκ εἰσὶν ἀποφαντικὸς λόγος. ὃν κατὰ συμπλοκὴν εἶπε γίνεσθαι, μέσον λαβὼν τὸ ἀληθεύειν καὶ τὸ ψεύδεσθαι. τῷ μὲν ἀποφαντικῷ λόγῳ ὑπάρχειν. ταῖς δὲ ἁπλαῖς φωναῖς μὴ ὑπάρχειν. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι τῆς καταφάσεως μόνης ἐχώρισε τὰς ἁπλᾶς φωνὰς, ἀλλ' οὐχὶ καὶ τῆς ἀποφάσεως. εἰπών, ἕκαστον δὲ τῶν εἰρημένων, ἐν οὐδεμιᾷ καταφάσει λέγεται. τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ, κατάφασις γίνεται. τοῦτο δὲ ἐποίησε, διότι αἱ ἁπλαῖ φωναὶ καταφάσεως ἂν μᾶλλον φαντασίαν ποιήσαιεν, ἢ ἀποφάσεως. θέσιν γὰρ καὶ αὗται σημαίνουσιν ὥσπερ αἱ καταφάσεις, ἀλλ' οὐκ ἄρσιν ἢ ἀναίρεσιν, ὥσπερ αἱ ἀποφάσεις. οὐ γὰρ πρόσκειται τὸ ἀρνητικόν. εἰκὸς οὖν ἦν αὐτὸς καὶ αὐτὰς συντάττεσθαι διὰ τὴν ὁμοιότητα, τούτων αὐτὰς διακρίνει. ἐν οὐδεμιᾷ δὲ καταφάσει λέγεσθαι τὰς ἁπλᾶς φωνὰς εἶπεν, ὑποσημαίνων τὰς τῶν καταφάσεων διαφοράς. τῶν γὰρ καταφάσεων καὶ ἀποφάσεων, αἱ μὲν, εἰσὶ καθόλου. αἱ δὲ, ἐν μέρει. αἱ δὲ, ἀδιόριστοι. ταῦτα μὲν οὖν ἐστι περὶ τῆς λέξεως εἰρήσθω. εἰ δέ τις ἀπορεῖ, πότερον τὰ αἰσθητὰ μόνα ἐστὶ γένη ἃ διεῖλεν ἐν τούτοις ὁ ἀριστοτέλης καὶ ἀπηριθμήσατο, ἢ πάντα τὰ ὁπωσοῦν ὄντα. καὶ ὅλως, πότερον, ἀλλ' ἄρα ἐστὶ τὰ νοητὰ γένη, ἢ τὰ αἰσθητά. ἢ τινὰ μὲν τὰ αὐτὰ, τινὰ δὲ τὰ ἕτερα. εἰ γὰρ εἴη μὲν ἄλλα, παραλέλειπται πάντη ἐκεῖνα. εἰ δὲ τὰ αὐτὰ, συνώνυμα ἔσται τὰ νοητὰ τοῖς αἰσθητοῖς. καὶ πῶς ἔσται κοινωνία τῆς αὐτῆς οὐσίας, ἐν οἷς τὸ πρότερον ἐστὶ καὶ τὸ ὕστερον. καὶ τὸ μὲν, παράδειγμα. τὸ δὲ, εἰκών. εἰ δὲ ὁμωνύμως λέγονται ἀπὸ τῶν νοητῶν αἱ δέκα κατηγορίαι, οὐκ ἔσονται αἱ αὐταί. εἰ γὰρ ὀνόματος μόνον τοῦ αὐτοῦ κοινωνοῦσιν. ἀλλὰ πλείω ἔσται τὰ γένη, οὐ περιληφθέντων τῶν νοητῶν. ἔτι δὲ, πῶς οὐκ ἀπίθανον ἐν ἐκείνοις ἀτελέστοις οὖσιν, εἶναι τὸ πάσχειν καὶ τὰ πρός τι. παραφυλάξει ἐοικότα ἐν τοῖς κατὰ τὰ αὐτὰ προηγουμένως ἔσεσθαι. εἰ δὲ τὰ






Universitäts- und
Landesbibliothek Düsseldorf

μὲν ἐστὶ κοινὰ νοητοῖς τε καὶ αἰσθητοῖς, τὰ δὲ ἴδια, παραλέλειπται ἡ τούτων διάρθρωσις. ταῦτα μὲν οὖν καὶ ὁ θειότατος Πλωτῖνος ἀπορεῖ. καὶ οἱ περὶ τὸν Λούκιον καὶ Νικόστρατον. οἱ δὲ ταῦτα ἀποροῦντες, ὑπαλλάττειν ἐοίκασι τὴν ὑπόθεσιν. ὡς γὰρ περὶ τῶν ὄντων προηγουμένως τοῦ φιλοσόφου διδάσκειν ἐπαγγελλομένου, οὕτως προάγουσι τὴν ἀπορίαν. λέγομεν δὲ ὅτι οὐ περὶ τῶν ὄντων ᾗ ὄντα ποιούμενος τὸν λόγον, ἀλλ' εἴπερ ἄρα ᾗ, ὑπὸ τοιῶνδε σημαίνεται φωνῶν. προηγουμένως μὲν περὶ τῶν τῇδε διαλέγεται. ταῦτα γάρ ἐστι τὰ προσεχῶς ὑπὸ τῶν φωνῶν σημαινόμενα. διότι ταῦτα καὶ ἐγνώσθη πρῶτα, καὶ πρῶτα τῶν ὀνομάτων τετύχηκε. τὰ δὲ νοητὰ, ἀθέατα. καὶ οἱ θεασάμενοι δὲ ἀπὸ τῶν αἰσθητῶν ὁρμηθέντες, ὅτι ἄρρητα ἐκεῖνα κατέλαβον. διὸ καὶ παρεγκλίνοντες ἔλεγον, ἀνθρωπότητα καὶ αὐτοάνθρωπον. ἢ πρώτως ἄνθρωπον. ὁ οὖν τῶν ὄντων φιλοθεάμων, ἀπὸ τούτων μεταβαίνοι ἂν ῥᾳδίως ἐπὶ τὰ νοητὰ τῇ ἀναλογίᾳ προσχρώμενος. ἐπεὶ δὲ περὶ τῶν αἰσθητῶν διαλέγεται, περὶ ὧν καὶ ὁ πολὺς ἄνθρωπος τὴν ἐπίσκεψιν ποιεῖται, δῆλον ἐστί. πρῶτον μὲν ἐκ τοῦ τὴν παρὰ πᾶσι λεγομένην οὐσίαν προχειρίσασθαι. ἔπειτα δὲ ὧν δυοῖν οὐσιῶν μνημονεύσας, αἰσθητῆς τε καὶ διανοητῆς. τῆς δὲ τοῦ ὑπὲρ ταύτας μηδὲ ὅλως ἀναδραμὼν, τὴν αἰσθητὴν κυριωτέραν εἶναι τῆς διανοητῆς φησίν. ὥστε ἐν τῷ περὶ τῶν αἰσθητῶν σκέμμα τὸ προηγούμενον ἔχουσαν λόγον. ἐν ᾧ καὶ ἡ διανοητὴ οὐσία, οὐ κατὰ τὴν αὐτῆς φύσιν θεωρεῖται, ἀλλὰ κατὰ τὴν σχέσιν ἣν ἔχει πρὸς τὴν αἰσθητήν. καθ' ἣν καὶ ἡμεῖς ἀπὸ μὲν τῆς αἰσθητῆς, ἐπὶ τὴν διανοητὴν ἀναβαίνειν δυνάμεθα. ἀπὸ δὲ τῆς διανοητῆς, ἐπὶ τὴν αἰσθητήν. καὶ τὴν πολλῆς ἀπειρίας καὶ ἀοριστίας ἀναπλησθεῖσαν ὅρῳ περιλαμβάνομεν. οὐ μόνον δὲ ἐπὶ τῆς οὐσίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν, τὰ αἰσθητὰ καὶ μερικὰ τῶν καθόλου καὶ διανοητῶν προτάττει. καὶ τοῦτο εἰκότως ποιεῖ, κατὰ τὰς σημαντικὰς φωνὰς τὴν διαφορὰν μετιὼν αἳ πρώτως καὶ κυρίως ἐπὶ τῶν αἰσθητῶν ἐτάχθησαν, καὶ τοῖς πολλοῖς ἀνθρώποις εἰσὶ γνώριμοι. καὶ διὰ τοῦτο ὡς ἔοικε καὶ τοῖς ἄλλοις τριττὴν οὐσίαν εἰπών. τὴν μὲν, κατὰ τὴν ὕλην. τὴν δὲ, κατὰ τὸ εἶδος. τὴν δὲ, κατὰ τὸ συναμφότερον, ἐν τούτοις παρῆκεν. ἐπειδὴ κατὰ τὰς σημαντικὰς λέξεις τὰς τοῖς πολλοῖς γνωρίμους μέτεισι τὴν θεωρίαν. ἡ δὲ ὕλη φιλοσόφου δεῖται διανοίας. καὶ τὸ εἶδος τὸ τοιοῦτον ὡς συμβεβηκὸς δοκεῖ τοῖς πολλοῖς. ὅτι δὲ ἡ κατὰ ἀναλογίαν αὕτη μετάβασις ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ ταῦτα προσήκει τῷ Ἀριστοτέλει, δῆλον εἴπερ ὕλην καὶ εἶδος προυποθέμενος, ἀρχὰς ἐν τοῖς νοητοῖς καὶ αἰσθητοῖς, πάλιν κατὰ ἀναλογίαν τὰς αὐτὰς ἀποφαίνεται εἶναι. καὶ ἑτέρας δὲ τῷ τρόπῳ τῆς ὑποστάσεως διαφερούσας. τί οὖν κωλύει ἐπὶ τῶν δέκα γενῶν τὴν κατὰ ἀναλογίαν ταυτότητα, ἐπί τε τῶν νοητῶν καὶ τῶν αἰσθητῶν μετὰ τῆς ἑτερότητος διασώζεσθαι. εἰ οὖν δέκα μὲν ἐνταῦθα γένη, δέκα δὲ καὶ ἐν τῷ νοητῷ τὰ αὐτὰ, ἆρα ὁμώνυμος ἢ συνώνυμός ἐστιν ἡ κοινωνία τῶν τῇδε πρὸς ἐκεῖνα. ἢ οὔτε ὁμώνυμος, οὔτε συνώνυμος ἁπλῶς, ἀλλ' ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν. τῇ γὰρ διὰ τῶν μέσων ἐπιπλοκῇ, συνέχειά μία συνάγεται τῶν πρώτων τε καὶ τελευταίων γενῶν. ἥτις οὔτε συγχεῖ τὰ ἔνυλα τοῖς αὔλοις. πεπέρασται γὰρ ἐν τοῖς ἰδίοις ὅροις ἑκάτερα. οὔτε διασχίζει αὐτὰ ἀπ' ἀλλήλων, διὰ τὸ κοινοῖς συνδέσμοις συνέχεσθαι καὶ ἐξηρτῆσθαι ἀεὶ τῶν κρειττόνων τὰ καταδεέστερα. ἀλλ' ἀντὶ τούτων, τὴν αὐτὴν κοινωνίαν καὶ συνέχειαν

τῶν γενῶν διατείνει. πάντα τοῖς ἀλύτοις δεσμοῖς τῆς ὁμοιότητος τὰ ὅλα συμπεραίνουσα. διὰ τοῦτο καὶ Πλάτων ἐν τῷ Παρμενίδῃ, τὸ ἓν διὰ πασῶν μὲν διατείνει τῶν ὑποθέσεων. εἴτε περὶ θεοῦ, εἴτε περὶ νοῦ, εἴτε περὶ ψυχῆς καὶ σώματος ὁ λόγος γένοιτο, κατὰ τὴν διὰ πάντα προϊοῦσαν διαφορουμένην κοινότητα. ἀλλὰ πῶς ἐκεῖ τὸ πάσχειν καὶ τὰ πρός τι καὶ τὸ κεῖσθαι καὶ τὰ τοιαῦτα. ἢ δύναται τὸ μὲν καὶ ταῦτα κατ' ἀναλογίαν ἐκεῖ θεωρεῖν. εἰ γὰρ μεθέξεις ἀπ' ἀλλήλων καὶ ἱδρύσεις ἐν ἀλλήλοις καὶ ἐπ' ἐκείνων εἶναι λέγομεν. καὶ τὰ μὲν, αἴτια. τὰ δὲ αἰτιατὰ, ὑμνοῦμεν. εἰ δέ τις ἄλλως ἀκούων τὸ πάσχειν καὶ τὸ πρός τι μὴ ἀξιοῖ θεωρεῖν αὐτὰ ἐν τοῖς νοητοῖς, οὐκ ἀπίθανον λέγειν, ὅτι δέκα ὄντων τῶν ὅλων γενῶν, ἐν μὲν τοῖς συνθέτοις, πάντα ἐστί. καὶ ἐν τούτῳ τὴν σύνθεσιν ἐνδεικνυμένοις. καὶ γὰρ ἐν τοῖς μερικωτέροις, ἀεὶ πλείονα ἐστὶ τὰ ὑπάρχοντα κατὰ μερισμὸν πλεοναζομένοις. διὸ καὶ ἐν τῷ Σωκράτει τὰς δέκα κατηγορίας ὁ Ἀρχύτας ἐνδείκνυται. οὐ μέντοι τῶν οὕτως ὂν πάντα ὑπάρχει, ἀλλὰ μόνα τὰ τοῖς ἁπλουστέροις ἁρμόζοντα γένη. καὶ οὐκ ἂν εἴη διὰ τοῦτο ἡ διαίρεσις ἐλλείπουσα τῶν γενῶν. οὐ γὰρ εἴ τινα μὴ μετέχει τῶν ὅλων γενῶν ἐλλιπὴς ἡ διαίρεσις δείκνυται, ἀλλ' ἐάν τι τῶν προτεινομένων ἔξω πίπτῃ τῆς εἰς τὰ δέκα γένη ἀναγωγῆς, τότε ὁ καθόλου λόγος τῶν κατηγοριῶν ἐνδεὴς ἔσται.

## ΠΕΡΙ ΟΥΣΙΑΣ

Οὐσία δέ ἐστιν, ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη. ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστι. οἷον ὁ τὶς ἄνθρωπος, ἢ ὁ τὶς ἵππος.

Πρότερον μὲν ἐν τάξει πάντα τὰ γένη κατηριθμήσατο, ὑποτυπωτικὴν αὐτῶν τὴν διδασκαλίαν διὰ παραδειγμάτων ποιησάμενος. νῦν δὲ ἕκαστον προχειριζόμενος, τὴν ἀκριβεστέραν ὡς οἷόν τε παράδοσιν αὐτοῦ ποιεῖται. τήν τε ἔννοιαν διὰ τῆς ὑπογραφῆς ἐπιδεικνύων καὶ τὰ παρακολουθοῦντα καὶ τὰ ἴδια ἀνακαθαιρόμενος. οὕτως δὲ καὶ Ἀρχύτας ἐποίησε. προτάττει δὲ τῶν ἄλλων τὴν οὐσίαν. καὶ τὴν αἰτίαν αὐτὸς προϊὼν ἐρεῖ. πάντα γὰρ τὰ ἄλλα, ἢ οὐσίαι εἰσίν, ἢ ἐν ταῖς οὐσίαις τὸ εἶναι ἔχει. εἰ οὖν αὕτη μὲν καθ' αὑτὴν ὑφεστῶσα ἡ οὐσία οὐδενὸς δεῖται τῶν ἄλλων, τὰ δὲ ἄλλα δεῖται τῆς οὐσίας, καὶ τὸ εἶναι ὅλως καὶ τοῖς ἄλλοις ἡ οὐσία μεταδίδωσιν, εἰκότως προτετίμηται τῶν ἄλλων ἡ οὐσία. καὶ γὰρ τὰ μὲν ἄλλα τὰ περὶ οὐσίαν συμβεβηκέναι λεγόμενα, αὐτῆς ἐστι τῆς οὐσίας. ἡ δὲ οὐσία, οὐδενὸς τῶν ἄλλων ἐστὶν, ἀλλ' ἑαυτῆς. διὸ καὶ καθ' ἑαυτὴν ὑφεστάναι δύναται μόνη τῶν ἄλλων. καὶ συναναιρεῖ μὲν ἑαυτῇ τὰ ἄλλα. οὐ συναναιρεῖται δὲ ὑπ' ἐκείνων. καὶ Ἀρχύτας δὲ περὶ τῆς τάξεως τάδε γέγραφεν. ἡ δὲ τάξις αὐτῶν, ὧδε ἔχει. Πρώτα μὲν γὰρ τέτακται ἡ οὐσία, διὰ τὸ μόναν ταύταν ὑποκεῖσθαι τοῖς ἄλλοις, καὶ αὐτὰν καθ' ἑαυτὰν δύνασθαι νοεῖσθαι. τὰς δὲ ἄλλας, μὴ ἄνευ ταύτας. ἢ γὰρ κατ' ταύτας, ἢ ἐν αὐταῖς ὑποκείμεναι καθηγοροῦνται. Ἀπορούσι δὲ καὶ πρὸς τὸν περὶ τῆς οὐσίας λόγον, ὅ, τε Πλωτῖνος, καὶ οἱ περὶ τὸν Νικόστρατον, πῶς ἓν γένος ἡ οὐσία. εἰ γὰρ κοινόν τι καὶ τῆς νοητῆς καὶ τῆς αἰσθητῆς εἴη, πρὸ ἀμφοῖν ἔσται, καὶ ἀμφοῖν κατηγορηθήσεται.

καὶ δῆλον ὅτι, οὔτε σῶμα, οὔτε ἀσώματόν ἐστι. ἵνα μὴ τὸ σῶμα καὶ ἀσώματον γένηται, καὶ τὸ ἀσώματον καὶ σῶμα. πρὸς δὴ ταῦτα, δυνατὸν μὲν καὶ τὰ πρότερον εἰρημένα λέγειν. ὅτι περὶ τῆς αἰσθητῆς καὶ φυσικῆς οὐσίας ὁ λόγος. καὶ τῆς ἐν ταύτῃ διανοητῆς. ὡς καὶ » Ἀρχύτας ὁ ταύτης ἄρξας τῆς διδασκαλίας, διορίζεται σαφῶς λέγων. Πᾶσα οὐσία » φυσικά τε καὶ αἰσθητὰ, ἤτοι ἐν τούτοις, ἢ διὰ τούτων, ἢ οὐκ ἄνευ τούτων πέφυκε τᾶ » διανοίᾳ τῶν ἀνθρώπων ὑποπίπτειν. Οὐκ ἔστιν οὖν τοῦ παρόντος λόγου περὶ τῆς κοινῆς οὐσίας τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν ἀπορεῖν. πλὴν ἐπειδὴ καὶ καθ' αὑτὸ γνώσεως ἄξιον, εἴ τις ἐστὶ κοινὴ οὐσία τῆς τε νοητῆς καὶ τῆς αἰσθητῆς. καὶ ὁ Πλάτων δὲ, νοητὸν γένος τῆς οὐσίας ὑποτίθεται. ἰστέον δὲ, ὅτι ἡ πρώτη καὶ νοητὴ οὐσία, πάσας τὰς οὐσίας τάς τε νοητὰς ὑφίστησι, καὶ τὰς αἰσθητάς. τὰς μὲν, προσεχῶς ἑαυτῇ. τὰς δὲ, πορρωτέρω. καὶ δῆλον ὅτι, οὐ γένος μόνον, ἀλλὰ καὶ ἀρχὴ τῶν μεθ' ἑαυτὴν ἐστὶν οὐσιῶν. καὶ οὐ δὲ ἐπίσης πάντα ταύτης μετέχει. ὥστε οὔτε γένος κυρίως ἡ τοιαύτη οὐσία, ὅπερ ὡς ὁμολογούμενον ἀπορῶν προελάμβανε. καὶ ὁ Ἀριστοτέλης δὲ ἐν τοῖς μετὰ τὰ φυσικὰ δύο οὐσίας εἰπὼν, τήν τε νοητὴν καὶ αἰσθητὴν. καὶ τρίτην, τὴν μαθηματικὴν, ἢ τὴν ψυχικὴν. ἣν κοινὴν τοῦ λόγου θεωρίαν διὰ πασῶν χωροῦσαν ἀπέδειξε. καὶ Ἀρχύτας τὴν πᾶσαν οὐσίαν, φυσικήν τε καὶ αἰσθητικὴν καὶ κινητικὴν ἀποκαλεῖ. φυσικὴν μὲν, τὴν κατὰ τὴν ὕλην καὶ τὸ εἶδος λέγων. αἰσθητὴν δὲ, τὸ σύνθετον. κινητικὴν δὲ, τὴν νοερὰν καὶ ἀσώματον. ὡς αἰτίαν οὖσαν κινήσεως τῆς κατὰ ζωὴν εἰδοποιουμένης. καὶ δῆλον ὅτι καὶ αὐτὴ τὰς πολλὰς οὐσίας εἰς μίαν σύνταξιν περιέλαβεν. εἰ οὖν μὴ ὡς γένος ἁπλῶς ἀλλ' ὡς ἀρχὴ πασῶν θεωρεῖται τῶν οὐσιῶν ἡ πρώτη οὐσία, οὐ καλῶς ἀναγκάζουσι, μήτε ἀσώματον εἶναι μήτε σωματικήν. ἡ γὰρ ἀσώματος ἀρχὴ τῶν οὐσιῶν, προσεχῶς μὲν τὰς ἀσωμάτους παράγει. πορρωτέρω δὲ ἔτι καὶ τὰς σωματικάς. κἂν τοίνυν καὶ γένος ᾖ ἡ πρώτη οὐσία τῆς τε ἀσωμάτου καὶ σωματικῆς, οὐ καλῶς οἶμαι ἀναγκάζουσιν. εἰ μὲν ἀσώματος, καὶ τὸ σῶμα ἀσώματον εἶναι. διότι μετέχει τῆς πρώτης οὐσίας. εἰ δὲ σῶμα, καὶ τὸ ἀσώματον σῶμα γίνεσθαι διὰ τὴν αὐτὴν αἰτίαν. τούτῳ γὰρ τῷ λόγῳ, ἐπειδὴ τὸ ζῷον γένος ἐστὶ τοῦ λογικοῦ καὶ ἀλόγου, καὶ θνητοῦ καὶ ἀθανάτου, ἔσται καὶ τὸ ἄλογον λογικόν. ἢ τὸ λογικὸν ἄλογον. καὶ τὸ θνητὸν ἀθάνατον. ἢ ἀνάπαλιν. ἀλλ' ἐξήρηται τὸ γένος τῶν ἀντικειμένων διαφορῶν, ὡς ἄμφω περιέχον, καὶ ὡς ἑκατέρῳ οἰκείως ἐπιβάλλον, κατὰ τὴν ἐξῃρημένην ὑπεροχήν. εἰ γὰρ διαιρετικὰ τῆς οὐσίας ἐστὶ τὸ



σῶμα ἐστὶ τὸ ἀσώματον, καὶ τοῦ ζώου τὸ λογικὸν καὶ τὸ ἄλογον, ἀλλ' οὐχ ὡς συστατικά, οὐδὲν γὰρ ὑπὸ τῶν ἀντικειμένων συνίσταται, δῆλον ὅτι προϋπάρχει τῆς ἀντιθέσεως τὸ γένος. ποσοῦν. οὐκ ἀνάγκη πᾶσαν οὐσίαν, ἢ σῶμα εἶναι ἢ ἀσώματον. ἐστὶ πᾶν ζῶον, ἢ θνητὸν ἢ ἀθάνατον. ἢ διττόν τὸ ἀσώματον. τὸ μὲν, ὡς φύσις ὡρισμένη, καὶ ἀντικειμένη τῇ σωματικῇ. τὸ δὲ, ὡς ἀποφάσεως αἰτία καὶ τῆς σωματικῆς καὶ τῆς ἀσωμάτου τῆς ἀντικειμένης αὐτῇ. οὕτως δὲ ἐστὶ τὸ ἀθάνατον ἐστὶ τὸ ἄλογον, διττόν. διὸ καὶ οὐκ ἀνάγκη τὸ ζῶον ἢ λογικὸν λέγειν ἢ ἄλογον, ἄλογον μᾶλλον ἐρητέον. ὡς κατὰ ἀπόφασιν, ἀλλ' οὐχ ὡς τῷ λογικῷ ἀντικείμενον. ὁ μέντοι βοηθός, ταῦτα μὲν παρέλκειν ἐνταῦθα τὰ ζητήματα βούλεται. μὴ γὰρ εἶναι περὶ τῆς νοητῆς οὐσίας τὸν λόγον. μᾶλλον δὲ ἔδει φησὶ προσαπορεῖν, ὅτι ἐν ἄλλοις τὴν οὐσίαν διελόμενος τριχῶς, ἄλλως μὲν τὴν ὕλην. ἄλλως δὲ τὸ εἶδος. ἄλλως δὲ τὸ συναμφότερον, οὐσίαν λέγεσθαι εἰπὼν. ἐνταῦθα δὲ μίαν τίθεται κατηγορίαν τὴν οὐσίαν. ἵνα οὖν ταύτην καὶ πῶς αὐτῇ τὰς τρεῖς ὑποτάξῃ τὰς μὴ καθ' ἕνα λόγον λεγομένας. ἀπαντῶν δὲ πρὸς ταῦτα ὁ βοηθὸς, τὸν τῆς πρώτης οὐσίας λόγον καὶ τῇ ὕλῃ καὶ τῷ συνθέτῳ ἐφαρμόττειν φησίν. ἑκατέρῳ γὰρ αὐτῶν ὑπάρχει, τὸ μήτε καθ' ὑποκειμένου τινὸς λέγεσθαι, μήτε ἐν ὑποκειμένῳ τινὶ εἶναι. οὐδέτερον γὰρ αὐτῶν ἐν ἄλλῳ ἐστίν. ἀλλὰ τὸ μὲν σύνθετον κἂν μὴ ἐν ἄλλῳ ἐστὶν, ἔχει τὸ εἶδος τὸ ἐν αὐτῷ ἐν ἄλλῳ ὂν τῇ ὕλῃ. ἡ δὲ ὕλη, οὐδὲ ἔχει τι ὃ ἐν ἄλλῳ ἐστίν. κοινὸν οὖν τι ἔχουσι καὶ διάφορον. καθόσον ἡ μὲν ὕλη, τινός ἐστιν ὕλη καθὸ ὕλη, ὥσπερ καὶ ὑποκείμενον. ἡ δὲ σύνθετος οὐσία, οὐκ ἔστι τινός. ἀλλ' οὕτω μὲν φησὶν ὁ βοηθός. ἡ ὕλη ἐστὶ τὸ σύνθετον, ὑπαχθήσονται τῇ τῆς οὐσίας κατηγορίᾳ. τὸ δὲ εἶδος, τῆς μὲν οὐσίας ἐκτὸς ἔσται. ὑφ' ἑτέραν δὲ πεσεῖται κατηγορίαν. ἤτοι τὴν ποιότητα. ἢ ποσότητα. ἢ ἄλλην τινά. ταῦτα δὲ λέγοντα τὸν βοηθὸν, σφάλλεσθαί φησιν ὁ πορφύριος. ὅτι τὸ ἀντιδιαιρεθὲν τῇ ὕλῃ εἶδος καὶ οὐσία οἰηθὲν ὑπὸ ἀριστοτέλους, τοῦτο ποιότητα, καὶ ἄλλο τι τῶν συμβεβηκότων φησί. τὸ γὰρ ποιητικὸν οὐσίας, οὐσιῶδες, καὶ διὰ τοῦτο οὐσία. καὶ γὰρ τὸ σύνθετον κατὰ τὸ εἶδος μάλιστα οὐσία. ὅλως δὲ ἡ ὕλη καὶ τὸ σύνθετον, οὐσίαι εἰσί. διὸ τι κοινὸν αὐταῖς τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, οὐδὲ τὸ εἶδος ἐν ὑποκειμένῳ ἐστίν. οὐ γὰρ ὡς τὸ λευκὸν ὑπάρχει τῷ συνθέτῳ, οὕτω τὸ εἶδος τῇ ὕλῃ. ἐὰν γάρ τι μετ' ἄλλου ἀπαρτίζῃ, ἕν τι ὡς τὸ εἶδος μετὰ τῆς ὕλης τὸ σύνθετον, οὐκ ἔστι τὸ ἕτερον ἐν ὑποκειμένῳ τῷ ἑτέρῳ. ἐν ὑποκειμένῳ γὰρ ἦν, ὃ ἐν τινὶ μὴ ὡς μέρος ἦν. διὸ καὶ ὁ ἀριστοτέλης τὸ σύνθετον οὐσίαν ὁρισάμενος, καὶ ταύτας ὡς μέρος αὐτῆς συμπαρέλαβε. προελθὼν γὰρ ἐπιδείξει, ὅτι τὰ μέρη τῶν οὐσιῶν, οὐσίαι. ἐστὶ διὰ τοῦτο ἴσως, οὐδὲ ἐμνημόνευσε τῶν ἄλλων. ἔστι τοίνυν παρ' αὐτοῦ καὶ ἐκείνων μνημονεύσαντος. δύναται δὲ τὸ μὴ μνημονεῦσαι τοῦ εἴδους καὶ τῆς ὕλης αἴτιον λέγειν, καὶ τὸ τὴν τῶν κατηγοριῶν πραγματείαν, κατὰ τὸ πρόχειρον καὶ κοινὴν τοῦ λόγου χρῆσιν ποιεῖσθαι. τὸ δὲ τῆς ὕλης καὶ τοῦ εἴδους ὄνομα καὶ τὰ ὑπὸ τούτων σημαινόμενα, οὐκ ἦν τοῖς πολλοῖς συνήθη. ἀλλ' οἱ μὲν, τὴν ὕλην. οἱ δὲ, τὸ εἶδος μᾶλλον οὐσίαν λέγουσι. Πῶς οὖν φησὶν ὁ πλωτῖνος, τὰ τρία ἐπίσης λέγονται οὐσίαι. πρὸς ὃ ῥητέον. ὅτι πρῶτον μὲν ὁ κοινὸς χαρακτὴρ τῆς οὐσίας ὁμοίως ἐφαρμόττει τοῖς τρισὶ, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἔπειτα, οὐδὲν θαυμαστὸν, εἰ διὰ τὸ ἔσχατον τῆς οἰκείας ὑποστάσεως, καὶ ἡ ὕλη ἐστὶ τὰ ἔνυλα τοῦ μᾶλλον ἐστὶ τὸ ἧττον μετα-

Δ 2

λαμβάνει. καὶ δεῖ ὡς πέφυκεν ἕκαστα, οὕτως αὐτὰ παραδεικνύναι. καὶ μὴ τὰς ἐσχάτας οὐσίας ζητοῦντα. κατὰ τὰς τῶν πρώτων καὶ νοητῶν οὐσιῶν ἐννοίας αὐτὰς μεταδιώκειν. ἀλλ' ἔσω φησὶ τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὸ ἐξ αὐτῶν σύνθετον, ἐν τῇ πρώτῃ οὐσίᾳ περιέχεσθαι. διότι κοινὸν αὐτοῖς ὑπάρχει, τὸ μήτε καθ' ὑποκειμένου τινὸς λέγεσθαι, μήτε ἐν ὑποκειμένῳ τινὶ εἶναι. περὶ δὲ τῶν δευτέρων οὐσιῶν, τί ἐροῦμεν. τί κοινὸν ἔχουσι καὶ αὗται πρὸς τὴν πρώτην οὐσίαν. εἰ γὰρ αἱ δεύτεραι παρὰ τῶν προτέρων ἔχουσι τὸ λέγεσθαι οὐσίαι. ἢ τοῦτο, ὅπερ ὁ ἀριστοτέλης εἶπε, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ὅπερ κυρίως οὐσίας ἐστί. διαφέρουσι γὰρ καὶ αὗται τῷ καθ' ἑαυτὴν εἶναι τὴν οὐσίαν ἐχαρακτήρισεν. εἰ οὖν αὐτὰ ἡ ὕλη καὶ τὰ εἴδη ὡς μέρη συντελεῖ εἰς τὴν τῆς ἀτόμου σύστασιν, οὐκ ἂν εἴη ὡς ἐν ὑποκειμένῳ τῷ ἀτόμῳ. οὐ χρὴ δὲ οὐδὲ ἐνταῦθα τοῦτο τὸ ἀπαράλλακτον ζητεῖν, διὰ τὴν τῶν ἐσχάτων ἀοριστίαν. Ἀλλ' εἰ καθ' ὑποκειμένου φασὶ λέγονται αἱ δεύτεραι οὐσίαι, ἐν ἄλλῳ ἔσονται ἐκείνων, τῶν καθ' οὗ λέγονται. ἢ οὐδαμῶς τοῦτο. οὐ γὰρ ὡς τὸ ἐν ὑποκειμένῳ, οὕτως καὶ τὸ καθ' ὑποκειμένου λέγεται, ἀλλ' ὡς τὸ ἀκατάλλακτον καὶ κατὰ τοῦ κατατεταγμένου κατηγορεῖται. τὸ γὰρ τινὰ ἄνθρωπον λέγειν, οὐδὲν διαφέρει τοῦ τὸν σωκράτην σωκράτην λέγειν. ὥσπερ οὖν τινὰ αὐτὸς περὶ αὑτοῦ λέγεται. καὶ οὔτε κατ' ἄλλου κατηγορηθήσεται, οὔτε ἐν ἄλλῳ ἔσται. οὕτως μὲν οὖν καὶ ὁ πορφύριος λύει τὴν ἀπορίαν. καὶ ὁ ἰάμβλιχος ἑπόμενος αὐτῷ τῶν λέξεων τούτων ἀκολουθῶν. Μήποτε δὲ ὅταν τὸν σωκράτην ἄνθρωπον καὶ ζῷον λέγομεν, εἰ μὲν ὡς αὐτὸ περὶ αὑτοῦ λέγομεν, ταυτὸν ἔσται τό, τε ἄτομον καὶ τὸ εἶδος καὶ τὸ γένος. καὶ ἔσται ματαία ἡ τοιαύτη κατηγορία. εἰ δὲ ὡς εἶδος ἢ ὡς γένος ἀτόμου κατηγοροῦμεν, ἢ τὸ συμπλήρωμα τινὸς τοῦ ἀτόμου κατηγορήσομεν, ἢ τὸ ἐξῃρημένον. οὐδέτερον δὲ τούτων τὸ ἄτομον ἐστίν. ἀλλὰ τὸ μὲν, ὡς μέρος ἐνυπάρχει τῷ ἀτόμῳ. τὸ δὲ, αἴτιον ἐστιν αὐτοῦ. βέλτιον οὖν λέγειν, ὅτι τὸ ἐνυπάρχον μέν, ἐστὶ τὸ κατηγορούμενον. κατὰ δὲ τὴν πρὸς τὸ ἐξῃρημένον ὁμοιότητα καθ' ἣν καὶ γένος λέγεται, τὸ ἐκ γένους καὶ διαφορᾶς συνεστάναι τὸ εἶδος φαμέν. ἔτι τὸ γένος κοινότερον ὄν, καὶ περιεκτικώτερον τοῦ εἴδους, μέρος γίνεσθαι τοῦ εἴδους, ἄτοπον. ἀλλὰ καὶ ἡ διαφορά φησιν, οὐκ ἐν ὑποκειμένῳ ἐστίν. εἰ γὰρ συμπληρωτική τῆς οὐσίας ἐστίν. οὐκ ἄρα ἴδιον τοῦτο τῆς οὐσίας. ἢ ὅτι ἡ διαφορὰ κατὰ τὸ οὐσιῶδες συμπληρωτική τῆς οὐσίας ἐστί, καὶ μέρος τῆς οὐσίας ἐστίν. ἐπεὶ ὡς ποιότης θεωρουμένη, οἷον ὡς λογικότης, ὡς ἐν ὑποκειμένῳ καὶ αὐτὴ ἔσται. ζητηθήσεται δὲ περὶ τῆς διαφορᾶς ὀλίγον ὕστερον. νῦν δὲ τὴν λέξιν αὐτὴν τοῦ ἀριστοτέλους ἐπισκεπτέον. Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη. ἕως τοῦ, τινί ἐστι. Τριχῶς τῆς οὐσίας ὡς εἴρηται λεγομένης, κατά τε τὴν ὕλην, καὶ κατὰ τὸ εἶδος, καὶ κατὰ σύνθετον, πρώτην οὐσίαν φησὶ τὸ σύνθετον καὶ ἄτομον. μνημονεύσει δὲ καὶ τῶν ἄλλων δύο, ὅταν τὰ μέρη τῆς οὐσίας καὶ αὐτὰ οὐσίας εἶναι λέγῃ. μάλιστα δὲ ὅτι τὸ μὲν ἐν ὑποκειμένῳ εἶναι, πάσῃ οὐσίᾳ προσήκει. αὕτη γὰρ ὑπόκειται τοῖς ἄλλοις. καὶ ἄνευ αὐτῆς, οὐδὲ τὰ ἄλλα ἐστί. τὸ δὲ μὴ καθ' ὑποκειμένου λέγεσθαι, οἰκειότατον ἐστὶ τῆς ἀτόμου οὐσίας. τῷ γὰρ εἶναι ἀδιαίρετος, αὕτη μὲν κατ' οὐδενὸς ὑποκειμέ-



ὕλη λέγεται. καθ' ὑποκειμένου δὲ αὐτῆς, αἱ δεύτεραι οὐσίαι κατηγοροῦνται. ἡ οὖν καὶ αὐταῖς ταῖς οὐσίαις ὑποκειμένη, αὕτη προηγουμένως ἂν εἴη καὶ κυρίως οὐσία. εἰ γὰρ ταύτης μὴ οὔσης, οὐδεμία τῶν ἄλλων εἶναι δύναται. δεύτερον νῦν τὰς οὐσίας, καθόσον αἱ μὲν, πρῶται. αἱ δὲ, δεύτεραι λέγονται, πρώτας μὲν τὰς ἀτόμους οὐσίας ἔθετο. δευτέρας δὲ, τὰς κοινὰς καὶ ἁπλᾶς. διότι πρώτοις τοῖς συνθέτοις καὶ ἀτόμοις, ἔπειτα τοῖς ἁπλοῖς κοινοῖς ἐπιβάλλομεν. καὶ ὅτι ἐν τῇ ἀτόμῳ καὶ τὸ κοινὸν ἔχειν τὸ εἶναί φησι. πρώτως μὲν οὖν οὐσία διὰ τοῦτο ἡ ἄτομος λέγεται. κυριώτατα δὲ, ὅτι καθ' αὑτὴν αὕτη ἐστὶν ἡ οὐσία. αἱ δὲ ἄλλαι, καθ' ὑποκειμένης αὐτῆς λέγονται. μάλιστα δὲ ἐστὶν αὕτη οὐσία, ὅτι κατὰ τὸ ὑποκεῖσθαι ἡ οὐσία χαρακτηρίζεται. αὕτη δὲ ὑπόκειται τοῖς μὲν, ὡς καθ' ὑποκειμένου αὐτῆς λεγομένοις τοῖς εἴδεσι καὶ γένεσι. τοῖς δὲ, ὡς ἐν ὑποκειμένῳ αὐτῇ οὖσι τοῖς συμβεβηκόσι. καὶ ἄλλως δὲ αὐτὸ τὸ κυριώτατα καὶ πρώτως καὶ μάλιστα τῇ ἀτόμῳ καὶ συνθέτῳ οὐσίᾳ ἐφαρμόττειν λέγοις. τὰ γὰρ τοῦ αὐτοῦ ὀνόματος μετέχοντα, ἢ ὁμωνύμως μετέχει, ἢ συνωνύμως. ἢ κατὰ μεταφοράν. εἴτ' οὖν ὁμωνύμως λέγοιντο οὐσίαι, ἥ τε νοητὴ καὶ ἡ αἰσθητή, πρώτως αὕτη οὐσία ὡς πρὸς ἡμᾶς λέγεται. εἴτε κατὰ μεταφορὰν ἡ νοητὴ ἀπὸ τῆς αἰσθητῆς, ὡς ἀπὸ τῶν τοῦ ζώου ποδῶν οἱ τοῦ ὄρους λέγονται, κυρίως μὲν ἔσται οὐσία ἡ αἰσθητή. κατὰ μεταφορὰν δὲ, ἡ νοητή. εἴτε συνωνύμως οὐσίαι λέγονται τό, τε εἶδος καὶ τὸ γένος καὶ τὸ ἄτομον, μάλιστα οὐσία ἡ ἄτομος, τῷ καθ' αὑτὸ εἶναι καὶ τῷ ὑποκεῖσθαι μάλιστα παραδεικνύουσα. ἀλλ' ἐπεὶ καὶ πρὸς τὰ περὶ τῆς πρώτης οὐσίας εἰρημένα πολλά ἐστι τὰ ἀπορούμενα, ἴδωμεν πάλιν τίνα ταῦτά ἐστι. καὶ τίνες αἱ προσφόρως αὐτοῖς ἐπαγόμεναι λύσεις. οὐ διδάσκει διὰ τούτων φασὶ τί ἐστιν οὐσία, ἀλλὰ τί οὐκ ἔστιν. ὥσπερ εἴ τις τὸν ἄνθρωπον ἀποδιδοὺς, μήτε ἵππον εἴπῃ, μήτε κύνα. ἀλλ' ἰστέον, ὅτι πρῶτον μὲν οὐκ ἔστιν ὅρος τὸ τοιοῦτον, ἀλλ' ὑπογραφή. ἔπειτα καὶ ὅροι τινὲς δι' ἀποφάσεως ἀποδίδονται. ἀλλ' οὐ καλῶς τὸ παράδειγμα ἐπήγαγεν ὁ ἀπορῶν λόγος. εἰ μὲν γὰρ τρία ταῦτα μόνα τὰ εἴδη, ἵππος. καὶ κύων. καὶ ἄνθρωπος, ἀληθὲς τὸ εἰπεῖν ὅτι, ὃ μή ἐστι κύων, μηδὲ ἵππος, τοῦτο ἄνθρωπός ἐστι. καὶ εἰ γνωσόμεθα τῶν δύο, εἰ γνώσκετο καὶ τὸ τρίτον. ὥστε ἐπειδὴ τρία ταῦτά ἐστι, τὸ ἀγαθὸν, καὶ τὸ κακόν, καὶ τὸ ἀδιάφορον, ἀληθὲς τὸ ἀδιάφορον σημαίνοντα εἰπεῖν. ὃ μήτε ἀγαθόν, μήτε κακόν ἐστι. καὶ εἰ γνωσόμεθα τῶν δύο, γνώσκεται καὶ τὸ ἀδιάφορον. καὶ ἐνταῦθα οὖν τριῶν τούτων ταῦτα περιειληφότων, τοῦ, τε ἐν ὑποκειμένῳ, καὶ τοῦ καθ' ὑποκειμένου, καὶ τοῦ μηδέτερα ἔχοντος, διὰ τοῦτο προεδίδαξε περὶ τοῦ ἐν ὑποκειμένῳ καὶ καθ' ὑποκειμένου, ἵνα διὰ τῆς ἀποφάσεως αὐτῶν, τὴν κυριωτάτην οὐσίαν σημάνῃ. καὶ οὐδὲ ἠρκέσθη μόνῃ τῇ ἀποφάσει, ἀλλὰ καὶ παράδειγμα προσέθηκεν. ὥσπερ εἴ τις λέγων τὸν ἄνθρωπον, μήτε ἵππον μήτε βοῦν εἶναι, προσθείη ἐφεξῆς, οἷον Σωκράτην. Ἀλλὰ διὰ τί φησιν ἐνταῦθα μὲν πρώτην οὐσίαν τὴν αἰσθητὴν λέγει, ἀλλαχοῦ δὲ δευτέραν, ὡς μετὰ τὴν ἀσώματον τεταγμένην. Ἢ ὅτι οὐ πρόκειται αὐτῷ περὶ τῶν νοητῶν οὐσιῶν νῦν εἰπεῖν, ἀλλὰ τῶν αἰσθητῶν τὴν φύσιν καὶ τάξιν παραδοῦναι. ὅπερ καὶ διὰ τοῦ λεγομένης ἐνεδείξατο. οὐ γὰρ λέγεται ἐν τῇ συνηθείᾳ. οὐδὲ ἔγνωσται τοῖς πολλοῖς ἐκείνη, ἀλλ' αὕτη μᾶλλον ἡ αἰσθητή. ὁ μέντοι Ἀλέξανδρος, καὶ τὸ νοητὸν καὶ χωριστὸν εἶδος, ἄτομον οὐσίαν λέγεσθαί φησι.

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ ἴσως οἰκεῖον τοῦτο τῷ περιπάτῳ. εἴπερ τὰ κοινὰ, οὐδὲ ἔστιν ὅλως καθ' ἑαυτὰ ἐν ὑποστάσει, ἀλλ' ἐν τοῖς ἀτόμοις ἔχει τὸ εἶναι. τὰ οὖν τὰ χωριστὰ εἴδη πάντων μάλιστα ἔστιν ἐν ὑποστάσει, ἄτομα ἂν εἴη καὶ οὐ κοινά. ὁ μέντοι Ἰάμβλιχος ἐπισκήπτει τῷ Ἀλεξάνδρῳ, ὡς ἀγνοοῦντι πῶς λέγεται ἐνταῦθα ἄτομα οὐσία. δῆλον γὰρ ὅπου οὕτως φησὶν, ὡς ἀδιαίρετα εἰς ἄλλα εἴδη. εἴπερ οἶδ' ἂν οἶμαι Ἀλέξανδρος, ὅτι καὶ ἡ χωριστὴ καὶ ἡ νοητὴ οὐσία εἴπερ μὴ ἔστι κοινὴ, ἀδιαίρετός ἐστιν εἰς ἄλλα εἴδη. περὶ δὲ τὸ αὐτὸ ζήτημα καὶ ἐκεῖνος στρέφεται. Διὰ τί ἐν μὲν τοῖς φυσικοῖς τὰ κοινὰ προτάττει, ἐνταῦθα δὲ τὰ καθ' ἕκαστα.

Ἢ ὅτι διχῶς λέγεται τὸ πρότερον καὶ τὸ δεύτερον, ἤτοι τῇ φύσει, ἢ ὡς πρὸς ἡμᾶς καὶ τοὺς μηδέτερα ἔχοντας. διὰ τοῦτο προεδίδαξε περὶ τῶν ὑποκειμένων. καὶ καθ' ὑποκειμένου μὲν γὰρ, τὰ καθ' ἕκαστον πρότερα. πρώτοις γὰρ τούτοις προσβάλλομεν. τῇ φύσει δὲ τὰ κοινὰ πρότερα. ὑπὸ γὰρ τὰ καθόλου τέτακται τὰ καθ' ἕκαστα. ὥστε εἰ μὲν ἀπὸ τῆς φύσεως ἄρχοιτό τις, τὰ ἁπλᾶ, τὰ αἴτια, τὰ καθόλου, τὰ ἄϋλα, τὰ ἀμέριστα, καὶ τὰ τοιαῦτα, προτάξει. ἐπειδὴ δὲ ἀπὸ τῆς σημαντικῆς σχέσεως ἡ τάξις εἴληπται νῦν, ὡς πρὸς ἡμᾶς τὸ πρῶτον ληφθήσεται. Ὁ μέντοι Ἀλέξανδρος ἐνταῦθα καὶ τῇ φύσει ὕστερα τὰ καθόλου τῶν καθ' ἕκαστα εἶναι φιλονεικεῖ. ἀπόδειξιν μὲν οὐδεμίαν κομίζων σχεδόν. τὸ δὲ ἐν ἀρχῇ λαμβάνων, ὅταν λέγῃ τὸ εἶναι καὶ τὴν οὐσίαν, τὰ κοινὰ παρὰ τῶν καθ' ἕκαστα λαμβάνειν, μηδεμίαν τούτου προστιθεὶς ἀπόδειξιν. αἱ δὲ ἀποδείξεις σαθραί. κοινοῦ γὰρ ὄντος φησὶν, ἀνάγκη καὶ τὸ ἄτομον εἶναι. ἐν γὰρ τοῖς κοινοῖς τὰ ἄτομα περιέχεται. ἀτόμου δὲ ὄντος, οὐ πάντως τὸ κοινόν. εἴγε τὸ κοινὸν ἐν πολλοῖς. ἀγνοοῦντες γὰρ ὅτι καὶ πᾶν ἄτομον, ὑπὸ τοῦ κοινοῦ συμπληροῦται. ὁ γάρ τις ἄνθρωπος, καὶ ἄνθρωπος φησὶν Ἀριστοτέλης. ὥστε καὶ ἐκεῖνο ψευδῶς ἔλαβεν εἰς δεῖξιν, τοῦ πρότερα εἶναι τῇ φύσει τὰ ἄτομα. ὅτι τοῦ κοινοῦ ἀναιρουμένου, οὐ πάντως ἀναιρεῖται τὸ ἄτομον. εἰ γὰρ καὶ τὸ κοινὸν ἐν τούτῳ ἔχει τὴν οὐσίαν ἐν τῷ διατείνειν ἐφ' ὅλα τὰ ἄτομα καὶ συμπληροῦν αὐτὰ, καὶ τὸ ἄτομον ἐν τῷ συμπληροῦσθαι ὑπὸ τοῦ κοινοῦ, πῶς ἀναιρουμένου τοῦ κοινοῦ, οὐκ εὐθὺς ἀναιρεθήσεται τὸ ἄτομον. μήποτε οὖν τριττὸν ληπτέον τὸ κοινόν. τὸ μὲν, ὑπεξῃρημένον τῶν καθ' ἕκαστα, καὶ αἴτιον τῆς ἐν αὐτοῖς κοινότητος, κατὰ τὴν μίαν ἑαυτοῦ φύσιν. ὥσπερ καὶ τῆς διαφορότητος κατὰ τὴν πολυειδῆ πρόληψιν. τὸ γὰρ πρῶτον, ζῷον. καὶ αὐτοζῷον. κατὰ μὲν τὴν μίαν τοῦ ζῴου φύσιν τὴν πρὸς ἄλληλα κοινότητα, πᾶσι τοῖς ζῴοις ἐνδίδωσι καθὸ ζῷα. κατὰ δὲ τὴν τῶν διαφόρων εἰδῶν πρόληψιν, τὰ διάφορα εἴδη τῶν ζῴων ὑφίστησι. δεύτερον δὲ ἐστὶ τὸ κοινὸν, τὸ ἀπὸ κοινοῦ αἰτίου τοῖς διαφόροις εἴδεσιν ἐνδιδόμενον καὶ ἐνυπάρχον αὐτοῖς. ὥσπερ τὸ ἐν ἑκάστῳ ζῴῳ. τρίτον δὲ, τὸ ἐν ταῖς ἡμετέραις διανοίαις ἐξ ἀφαιρέσεως ὑφιστάμενον, ὑστερογενὲς ὄν, καὶ τὴν τοῦ κοινοῦ μάλιστα καὶ διαφόρου ἔννοιαν ἐπιδεχόμενον. τὸ μὲν γὰρ κοινὸν αἴτιον, ὑπεξῃρημένον ἐστὶ τῶν αἰτιατῶν. καὶ ἄλλο πάντη παρ' αὐτά. καὶ ὡς αἴτιον κοινόν, ἀλλ' οὐχ ὡς κοινὴ φύσις. ἡ δὲ συμπληρωτικὴ τῶν καθ' ἕκαστα κοινότης, μετὰ τοῦ κοινοῦ καὶ τὸ διάφορον ἔχει. οὐ γάρ ἐστί τι μόνως κοινὸν, ἐν τῇ θνητῇ καὶ τῇ ἀθανάτῳ οὐσίᾳ. ἀλλὰ καὶ τὸ κοινὸν διαφορεῖται. καὶ ἡ διαφορὰ κοινοῦται. μόνον οὖν τοῦτο τὸ ἐξ ἀφαιρέσεως, ὅπερ ἡμεῖς τὰς διαφορὰς ἀφαιροῦντες ἀπολείπομεν, τὴν τοῦ κοινοῦ ὡς κοινοῦ ἔννοιαν ἔχει.

καὶ πρὸς τοῦτο ἴσως ὁ Ἀλέξανδρος ἀφορῶν, ὕστερον αὐτὸ τῶν ἀτόμων οἴεται. πλὴν ὅτι οὐ σώζει τὴν πρὸς ἑαυτὸν ἀκολουθίαν. ὅταν ἐκ τοῦ κοινοῦ καὶ τῶν διαφορῶν ὑφεστάναι λέγῃ τὰ καθ' ἕκαστα. εἰ μὴ ἄρα καὶ τὴν ὑπόστασιν κατὰ τὴν ἡμετέραν ἐπίνοιαν θεωρεῖ, τὴν τὸν ὁρισμὸν συνάγουσαν καὶ ἀπογυμνοῦσαν τὸ κοινόν. ἐγκαλεῖ δὲ τῷ Ἀλεξάνδρῳ ὁ Ἰάμβλιχος, καὶ ὅτι ὡς μίαν οὐσίαν διαιρεῖ τὴν σωματικὴν καὶ ἀσώματον. ἐφ' ὧν οὐδέν ἐστι κοινόν. ἐναντίον γὰρ τοῦτο φησὶ καὶ πρὸς Ἀριστοτέλην. εἴ γε ἄρα οὐδὲ αὐτῶν τῶν αἰσθητῶν κοινότητα ἐκεῖνος τίθεται. ἀλλ' εἰ μὲν ὡς κατὰ μίαν ἰσοστοιχοῦσαν τὴν διαίρεσιν εἰλήμμεθα τούτων, καὶ τὸ κοινὸν ὡς παντῇ ἀδιάφορον λαμβάνειν ἄτοπον. εἰ δὲ ὡς οὔσης τινὸς καὶ ἐν τῇ ὑφέσει κοινότητος, καθ' ἣν συνδεδεμένα ἅπαντα, καὶ μετὰ τὴν διάκρισιν ἡνωμένα μένει τί, ἄτοπον. καὶ γὰρ καὶ Πλάτων τὰ γένη τῶν ὄντων, οὐκ εἰς ἀσώματα ἢ εἰς σώματα μόνον διέτεινεν, ἀλλὰ διὰ πάντων χωρεῖν ἀπεφήνατο, ὧν ἓν ἦν ἡ οὐσία.

Δεύτεραι δὲ οὐσίαι λέγονται. ἕως τοῦ. οἷον, ὅ, τε ἄνθρωπος καὶ τὸ ζῷον.

Τὰς οὐσίας διελὼν εἰς πρώτας καὶ δευτέρας, καὶ περὶ τῶν πρώτων εἰπών, ἑξῆς περὶ τῶν δευτέρων ἐπάγει, ἃς ἐν εἴδεσι καὶ γένεσιν ἀφορίζεται. εἴδεσι μέν, τοῖς τῶν ἀτόμων περιεκτικοῖς. ταῦτα γὰρ ἦσαν αἱ πρῶται οὐσίαι. γένεσι δέ, τοῖς τούτων τῶν εἰδῶν ἀκριβῶς ταῦτα προσθείς. ἵνα μὴ πολλαχῶς τῶν εἰδῶν καὶ γενῶν λεγομένων, εἰς ἄλλα σημαινόμενα ἀπενεχθῶμεν. καὶ γὰρ καὶ ὁ Πορφύριος ἐν τῇ εἰσαγωγῇ, πολλὰ σημαινόμενα τοῦ εἴδους καὶ τοῦ γένους ἀπελογίσατο. ὧν ἓν εἶναι εἶδος εἶπε, τὸ τῶν ἀτόμων περιεκτικόν. καὶ γένος, τὸ τῶν τοιούτων εἰδῶν. ἐπειδὴ δὲ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις ἐστὶν εἴδη καὶ γένη, ἵνα μὴ δευτέρας οὐσίας ἐκεῖνα καὶ τὰ εἴδη νομίσωμεν, ἀσφαλῶς εἶπεν, ὅτι ἐν οἷς αἱ ἄτομοι οὐσίαι, ταῦτα λέγει εἴδη καὶ γένη τὰ τῶν τοιούτων εἰδῶν. σαφὲς δὲ τοῦτο καὶ διὰ τῶν παραδειγμάτων ἐποίησε. παράδειγμα δὲ τῶν μὲν εἰδῶν, ὁ ἄνθρωπος. ἐν ᾧ, ὁ τὶς ἄνθρωπος ὑπάρχει. τοῦ δὲ ἀνθρώπου, τὸ ζῷον. ἐν ᾧ ὅ, τε ἄνθρωπος, καὶ ὁ τὶς ἄνθρωπος περιέχεται. ἀλλ' εἰ ἀνθρώπου μὲν ἀναιρεθέντος, ἀνῄρηνται οἱ ἄτομοι ἄνθρωποι. καὶ ζῴου ἀναιρεθέντος ὁ ἄνθρωπος, οὐ μέντοι ἀνάπαλιν. πρῶτα δὲ τῇ φύσει τὰ συναναιροῦντα μέν, μὴ συναναιρούμενα δὲ ἐλέγομεν, πῶς πρῶται μὲν αἱ ἄτομοι οὐσίαι λέγονται, δεύτεραι δὲ τὰ εἴδη, καὶ τρίται τὰ γένη. καὶ γὰρ ἐφεξῆς τὰ εἴδη, τῶν γενῶν μᾶλλον οὐσίας ἐρεῖ. ἢ δεύτεραι λέγονται αὗται, καθόσον ὡς μέρη συμπληροῦσι τὰς ἀτόμους οὐσίας. τὰ δὲ μέρη τοῦ ὅλου, δεύτερα. καὶ ὡς κατὰ τὴν ἐνέργειαν ἐν τῷ ἀτόμῳ γενόμενα. καὶ τοῦτο ὃ πρότερον ἦσαν καθ' ἑαυτὰ δυνάμει. τὸ δὲ ἐνεργείᾳ, πρότερον. ὕστερον δέ, τὸ δυνάμει. καὶ ὁ ἀπὸ τοῦ συναναιρεῖν μέν, μὴ συναναιρεῖσθαι δὲ λόγος, οὐκ ἀκριβῶς ἠρώτηται. οὐ γὰρ ὁ εἷς ἄτομος, οἷον ὁ Σωκράτης, ἡ πρώτη ἐστὶν οὐσία, ἀλλ' οἱ ὑπὸ τὸν ἄνθρωπον πάντες. διότι καὶ ἕκαστος. πάντων δὲ τῶν ἀτόμων ἀναιρεθέντων, ἀνῄρηται καὶ ὁ ἄνθρωπος ὁ καθόλου. ἀλλὰ καὶ ἐπινοεῖται ἐκ τῶν ἀτόμων τὰ κοινά. ἀπὸ διαλαμβανόντων ἡμῶν ἀεὶ τὸ κοινόν, ἐν τοῖς κατά τινα διαφέρουσι. Σωκράτης γὰρ καὶ Δίων, κἂν πολλοῖς ἰδιώμασιν ἀλλήλων διεστήκασιν, ἓν ἔστιν ὅμως τις μία ἀδιάφορος οὐσία. καθ' ἣν ἐν αὐτοῖς τὸ κοινὸν θεωρεῖται. ἤ τις περὶ τὰ καθ' ἕκαστον καὶ ἐν τοῖς κατὰ μέρος ἔχει τὸ ἐπινοεῖσθαι. ἔτι τρίτον αἰτία τοῦ εἶναι ἐστὶ τοῖς κοινοῖς τὰ καθ' ἕκαστα. ταῦτα γὰρ ἐν τῷ τάδε τινὰ εἶναι, προϋπάρχει. τὰ δὲ κοινὰ ἐπιγίνεται. ἄτοπον οὐκ ἔστι τά δέ τινα νοούμενα.

ἀλλὰ ποῖα δεῖ εἴδη τὰ καθ' ἕκαστον ἀναιρεθείη. οὐ γὰρ ἂν τὸ κοινὸν εἴη. συμπληρωτικὴν γὰρ ἔχει τοῦτο τὴν φύσιν τῶν ἀτόμων οὐσιῶν. ἔτι δὲ τὰς κατηγορίας περὶ τῶν σημαντικῶν λέξεων εἶναι φαμέν. αἱ δὲ σημαντικαὶ λέξεις, ἐπὶ πρότερα τὰ ἄτομα φέρονται. τούτοις γὰρ πρώτοις κατὰ αἴσθησιν ἐντυγχάνομεν. ἔπειτα δὲ μεταβαίνομεν ἐπὶ τὰ εἴδη καὶ τὰ γένη ἀπὸ τῆς αἰσθήσεως, ἐπὶ νόησιν ποδηγούμενοι. ὅλως δὲ εἰ μὴ τὰ καθ' αὑτὰ εἴδη καὶ γένη, ἀλλὰ τὰ ἐν τοῖς ἀτόμοις κατὰ τὴν περιστατικὴν συνήθειαν παραλαμβάνομεν, πῶς οὐκ ἂν εἴη ταῦτα δεύτερα ἐν οὐσίας λόγῳ μέρη τῶν ἀτόμων ὄντα. καὶ κατὰ τοῦτο ἔχοντα τὸ οὐσίαι εἶναι. ὅτι μέρη οὐσιῶν εἰσιν. ἐπεὶ ὡς μὴ καθ' ἑαυτὰς ὑφεστῶσαι, οὐδ' ἂν εἶεν ὅλως οὐσίαι. ὁ μὲν τοίνυν Ἀλέξανδρος, οὐκ ἂν ἀναγκασθείη τοῖς τοιούτοις ἀπὸ λογισμοῦ. καὶ τῇ φύσει προτέρας βουλόμενος εἶναι τὰς ἀτόμους οὐσίας τῶν κοινῶν. μὴ οὐσῶν γὰρ τῶν ἀτόμων, οὐδὲν εἶναι δύνασθαι φησὶ τῶν ἄλλων. οὐχ ὑγιῶς τοῦτο νομίζων. κἂν γὰρ ἐν τοῖς ἀτόμοις ἔχῃ τὸ εἶναι ἡ κοινὴ οὐσία, ἀλλὰ καθ' ἑαυτήν οὖσα, συντελεῖ εἰς τὴν οὐσίαν τῶν ὑποκειμένων. ἄμεινον δὲ λέγειν ὡς τὸ καθόλου καθ' ἑαυτὸ τὴν κυριωτάτην οὐσίαν ἔχον, μεταδίδωσι καὶ τοῖς καθ' ἕκαστα ἑαυτοῦ. καὶ οὕτως κυριώτερόν ἐστι τῶν ἀτόμων, κατὰ τὸν τῆς φύσεως λόγον. Ἀλλὰ κοινὸν φησὶν οὐδὲν εἶναι δύναται χωρὶς ἀτόμου. ἄτομον δὲ ἐστι χωρὶς κοινοῦ, οἷον ὁ ἥλιος. καὶ ἡ σελήνη. καὶ ὁ κόσμος. πρὸς ὃ ῥητέον. ὡς δι' ἄλλην συντυχίαν τοῦτο γέγονε, τὸ ἅπαξ δέξασθαι τούτων ἕκαστον, τὴν ὕλην. τὸ εἶδος. ἐστὶ μὲν τοίνυν οὕτως παρεσκευασμένος ὁ λόγος. ὥστε εἰ καὶ πολλοὶ πεφυκότες ἦσαν αὐτὸν δέχεσθαι, δύνασθαι ἑαυτὸν διδόναι εἰς τὸ πλῆθος. εἰσὶ δὲ ὅλως οὐσίαι αἱ δεύτεραι κἂν μὴ καθ' ἑαυτὰς ὑφεστήκασιν. ἐπειδὴ μόναι τῶν κατηγορουμένων τὴν οὐσίαν δηλοῦσιν. αἱ μὲν γὰρ ἀπὸ τῶν συμβεβηκότων πᾶσαι κατηγορίαι, ἀλλότριαι εἰσὶ τῆς οὐσιώδους σημασίας. οὐ τὸ τί ἕκαστον δηλοῦσαι, ἀλλὰ τὸ συμβεβηκός. αὗται δὲ καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λεγόμεναι, τὴν οὐσίαν τῶν ὑποκειμένων σημαίνουσι. τὸν γὰρ Σωκράτην εἰ ἀποδιδῷ τις τί ἐστι, τὸ μὲν εἶδος καὶ τὸ γένος ἀποδιδούς, οἷον ἄνθρωπον ἢ ζῷον εἰπών, οἰκειότερον ἀποδώσει καὶ γνωριμώτερον ποιήσει. τῶν δὲ ἄλλων ἐννέα κατηγοριῶν ἀποδιδούς τι, οἷον λευκὸν ἢ τρίπηχυ, ἀλλοτριώτερον ἀποδώσειν. ἅτε ἀπὸ συμβεβηκότος, καὶ οὐ τὸ τί ἐστι δηλοῦντος, ποιούμενος τὴν ἀπόδοσιν. καὶ ἄλλως δέ, ὅμοιαί εἰσι ταῖς πρώταις οὐσίαις αἱ δεύτεραι. ὡς γὰρ ἐκεῖναι πᾶσι τοῖς ἄλλοις ὑπόκεινται, οὕτως αἱ δεύτεραι πρὸς τὰ ἄλλα πάντα ἔχουσι. κατὰ ταύτην γὰρ λέγονται παρωνύμως. οἷον γραμματικός, οὐ μόνον ὁ τὶς ἄνθρωπος, ἀλλὰ καὶ ὁ ἄλλος. ἢ ὁμωνύμως. οἷον, τὸ λευκόν. οὐ γὰρ τὸ λευκὸν μόνον σῶμα, ἀλλὰ καὶ τὸ σῶμα ἁπλῶς οὕτως ἐπικαλεῖται. διὰ ταῦτα οὖν οὐκ ἀπὸ τρόπου
» καὶ αὗται οὐσίαι, ἀλλὰ δεύτεραι οὐσίαι προσηγορεύθησαν. Φανερὸν δὲ ἐκ τῶν εἰρημένων,
» ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων. ἕως τοῦ, τὸν δὲ λόγον ἀδύνατον. Θαυμαστὸν πῶς ἐκ τῶν εἰρημένων φανερὰ λέγει γίνεσθαι τὰ νῦν παραγραφέντα. πῶς γὰρ εἰ δεύτεραι οὐσίαι τὰ εἴδη καὶ τὰ γένη, ἐκ τούτου φανερόν. τὸ τὰ μὲν καθ' ὑποκειμένου, συνωνύμως κατηγορεῖσθαι. τὰ δὲ ἐν ὑποκειμένῳ, ὁμωνύμως. ἵνα δὲ καὶ χρεῖαν ταῦτα τοῖς νῦν λεγομένοις παρέχῃ. ἆρα οὖν μὴ ἐπὶ τὰ πρὸ τούτων ἀναφέρει τὸν λόγον ἐν οἷς ἔλεγεν,

ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, καὶ τὰ ἑξῆς. αὕτη γὰρ τῶν
τοιούτων, συνωνύμως ἡ κατηγορία ἐστίν. ἡ δὲ ἀπὸ τῆς διαιρέσεως τῶν πρώτων καὶ δευ-
τέρων οὐσιῶν τοῦτο ἀποδείκνυται. ἔστι γὰρ κοινὸν μὲν ἀμφοῖν τὸ μὴ ἐν ὑποκειμένῳ, ἴδιον
δὲ τῶν μὲν, τὸ καθ' ὑποκειμένου. τῶν δὲ, τὸ μὴ καθ' ὑποκειμένου. εἰσὶν δὲ δεύτεραι οὐ-
σίαι τὰ γένη καὶ τὰ εἴδη. ταῦτα δὲ τῶν ὑπ' αὐτὰ συνωνύμως κατηγορεῖται. τῶν δὲ συ-
νωνύμων, καὶ τοὔνομα καὶ ὁ λόγος τοῦ ὑποκειμένου κατηγορεῖται. οὐ μὴν οὐδὲ τοὔνομα
οὐδὲ ὁ λόγος τῶν ἐν ὑποκειμένῳ λέγεται κατὰ τοῦ ὑποκειμένου. ἔστι γὰρ οὐδεμία οὐσία ἐν ὑποκει-
μένῳ, οὐδὲ τὰ ἐν ὑποκειμένῳ εἶεν ἂν οὐσίαι. οὐδὲ μέρη συμπληρωτικὰ τῆς οὐσίας.
οὐδὲ ὁ λόγος οὖν τοῦ ἐν ὑποκειμένῳ ἐκδέχεσθαι κατὰ τοῦ ὑποκειμένου. οἷον οὔτε ἐπιστήμη ἡ ψυχὴ
λέγεται, ἀλλὰ παρωνύμως ἀπ' αὐτῆς, οὔτε ὁ λόγος τῆς ἐπιστήμης κατὰ τῆς ψυχῆς λέγεται. οὐ γὰρ
ἐστὶν ἕξις θεωρητικὴ ἡ ψυχή. ἀλλ' οὐδὲ τὸ χρῶμα κατὰ τοῦ σώματος. οὐδὲ ὁ λόγος αὐτοῦ.
ὥστε ἐκ τῶν εἰρημένων ταῦτα φανερά. μέλλων δὲ τὴν αἰτίαν ἀποδιδόναι, τοῦ τὰς ἀτό-
μους οὐσίας πρώτας εἶναι, ἐπεὶ πάντα ἢ καθ' ὑποκειμένων αὐτῶν λέγεται, ἢ ἐν ὑποκει-
μέναις αὐταῖς ἐστιν. μέλλων δὲ καὶ ἀπολογισμὸν ποιήσασθαι, τοῦ τὰς δευτέρας οὐσίας
εὐλόγως οὐσίας εἶναι, ὅτι δηλοῦσι τὴν πρώτην οὐσίαν καθ' ὑποκειμένης αὐτῆς λεγόμε-
ναι, ὑπομιμνήσκει διὰ τούτων ἡμᾶς, πῶς τὰ καθ' ὑποκειμένου κατηγορεῖται. διὰ
τοῦτο γάρ τοι καὶ τῆς συνωνυμίας ἐδεήθη αὐτῶν, διὰ τὰ καθ' ὑποκειμένου κατηγορού-
μενα. τῆς δὲ ὁμωνυμίας, καὶ παρωνυμίας, διὰ τὰ ἐν ὑποκειμένῳ συμβεβηκότα.
ταῦτα γὰρ κατὰ μὲν τὸν λόγον, οὐδέποτε ἂν ταῖς οὐσίαις συναρμοσθείη. οὐ γὰρ τὸ σῶμα τις
εἴποι χρῶμα διακριτικὸν ὄψεως, καίτοι ἐπονομάζων αὐτὸ λευκόν. τὰ πολλὰ δὲ, πα-
ρωνύμως λέγεται ἀπὸ τῶν τοιούτων. ὡς ἀπὸ τῆς γραμματικῆς, γραμματικός. ταύτην
οὖν τὴν χρείαν ἡ μετάληψις ἡ νῦν προκειμένη παρέχεται. ἐφεξῆς δὲ τὰ τοιαῦτα προσ-
„τίθησι. Τὰ δὲ ἄλλα πάντα, ἤτοι καθ' ὑποκειμένων λέγεται τῶν πρώτων οὐσιῶν, ἢ ἐν ὑποκει-
„μέναις αὐταῖς ἐστι. τοῦτο δὲ φανερὸν ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων. Εἰπὼν τίνες αἱ
πρῶται καὶ τίνες αἱ δεύτεραι οὐσίαι, δοκεῖ μὲν τὰ ὑπάρχοντα ταῖς πρώταις οὐσίαις
παραδιδόναι κατὰ τὸ προφανές. λέγει γὰρ ὅτι ὑποβάθρα πάλιν εἰσὶν αἱ πρῶται οὐ-
σίαι. τοῖς μὲν, ὡς καθ' αὐτῶν λεγομένοις ὑποκείμεναι, ὥσπερ ταῖς δευτέραις οὐσίαις.
τοῖς δὲ, ὡς ἐν αὐταῖς τὸ εἶναι ἔχουσιν, ὥσπερ τοῖς συμβεβηκόσιν. Ἀπορίαν δὲ λύει
νῦν περὶ τῶν πρώτων οὐσιῶν. εἰ γὰρ μήτε ἐν ὑποκειμένῳ εἰσὶ, μήτε καθ' ὑποκειμέ-
νου τινὸς λέγονται, διαμφισβητήσειεν ἄν τις, μήποτε οὐδέ εἰσιν ὅλως. πόθεν γὰρ αὐταῖς
τὸ εἶναι. Τοῦτο δὲ λύων φησίν. ὅτι οὐ μόνον αὐταὶ παρ' ἑαυτῶν ἔχουσι τὸ εἶναι, ἀλλὰ καὶ
τοῖς ἄλλοις πᾶσι παρέχουσι τὴν ὑπόστασιν. τά τε γὰρ καθ' ὑποκειμένου λεγόμενα,
καὶ τὰ ἐν ὑποκειμένῳ ὄντα, ἀπὸ τοῦ ὑποκειμένου ἔχει τὸ εἶναι. ταῦτα δὲ κατα-
σκευάζων, τὸ μὲν εἶδος ἐν τοῖς ἀτόμοις ἔχειν τὸ εἶναι, ὡς γνωριμώτερον παρῆκεν.
οἷον τὸν ἄνθρωπον ἐν τοῖς κατὰ μέρος ἀνθρώποις. τὸ δὲ γένος, καίτοι δοκοῦν κατὰ
τοῦ εἴδους μάλιστα κατηγορεῖσθαι, οὐδὲν ἧττον ἐν ταῖς ἀτόμοις οὐσίαις ἔχειν τὸ
εἶναι τοῦτο ἀπέδειξεν. ὡς καὶ προερρέθη δοκοῦν μᾶλλον, καὶ ὡς ἅμα, καὶ τὸ ἕτερον

συναποδεικνύουσιν. ἔστι δὲ ἡ ἀπόδειξις τοιάδε. εἰ γὰρ κατὰ μηδενὸς τῶν τινῶν ἀνθρώπων, οὐδὲ κατὰ ἀνθρώπου ἁπλῶς ὥσπερ τὸ πτηνόν. εἰ δὲ κατὰ μηδενὸς τῶν κατὰ μέρος ἀετῶν, οὐδὲ ἁπλῶς κατὰ ἀετοῦ. διὰ τὴν ἄτομον ἄρα οὐσίαν, ὑπόκειται καὶ τὸ εἶδος τῷ γένει. ὁμοίως δὲ καὶ τὸ ἐν ὑποκειμένῳ, ἐν πρώτῳ τῷ ἀτόμῳ μέν ἐστιν. εἶτα διὰ τούτου καὶ τῷ εἴδει ἐνυπάρχει. οἷον, ἡ γραμματική, τῷ Ἀριστάρχῳ πρώτως ἐγγίνεται. εἶτα διὰ τούτου, καὶ τῷ ἀνθρώπῳ. αἰτία δ' ἄρα ἡ ἄτομος οὐσία ἐστὶ τοῖς ἄλλοις τοῦ εἶναι. καὶ τοῖς καθ' ὑποκειμένου λεγομένοις, καὶ τοῖς ἐν ὑποκειμένῳ οὖσιν. ὅταν δὲ λέγωμεν ἐν ὑποκειμένοις ταῖς πρώταις οὐσίαις τὰ ἄλλα εἶναι, οἷον, ποσόν. ποιόν. πρός τι. καὶ τὰ λοιπὰ, τοιαῦτα εἶναι καὶ τὰ ὑπάρχοντα νοητέον, οἷα ἐστὶ τὰ πρῶτα. ἀλλ' οὐχὶ τὰ πεπονθότα ἤδη καὶ διακείμενα. οἷον, λευκότητα καὶ θερμότητα. τὰ γὰρ πεπονθότα ἤδη διακείμενα, καὶ κατὰ ταῦτα λεγόμενα, καὶ αὐτὰ λόγῳ καὶ ὀνόματι ἀληθεύεται. ἀληθὲς οὖν τὸν κύκνον λευκὸν εἰπόντες, ἀποδοῦναι ὅτι λευκότητα ἔχει. λόγος δὲ καὶ οὗτος τοῦ ὡς πεπονθότος λευκοῦ. τουτέστι τοῦ λελευκωμένου. μέρος γὰρ ἐστὶ τοῦ εἴδους ἤδη τὸ τοιοῦτον. ὥσπερ οὖν τὸ εἶδος τοῦ ὑποκειμένου μέρος, οὕτως καὶ τὸ συντελοῦν εἰς τὸ εἶδος, ἔσται τοῦ αὐτοῦ μέρος. καὶ ὁ λόγος οὖν ὁ τούτου ἐπαληθεύεται κατὰ τοῦ ὑποκειμένου. διὰ ταῦτα οὖν ὁ τῶν ἤδη πεπονθότων καὶ τῶν ἁπλῶς λεγομένων, διάφορος ἐστὶ τῆς κατηγορίας ὁ τρόπος. ἀλλ' εἰ ἡ τομή φασι τῆς οὐσίας ὡς γένους εἰς εἴδη γέγονεν εἰς τὰς πρώτας καὶ δευτέρας οὐσίας. αὗται δὲ εἰσὶν αἱ παραδοθεῖσαι, περίεσται ἡ κοινὴ οὐσία καὶ ἰδική. ἡ καὶ αὐτὴ λέγεται ἐν τῷ μὴ ἐν ὑποκειμένῳ. ἴδιον γὰρ τοῦτο πάσης οὐσίας. διό τι αὐτῷ ὑπόκειται καὶ ὥρισται. ὥστε πᾶσαι κατὰ τοῦτο ἀφορίζεται. ἴδιον δὲ καὶ τῆς μὲν δευτέρας, πρὸς τῷ κοινῷ τὸ καθ' ὑποκειμένου λέγεσθαι. τῆς δὲ πρώτης, πρὸς τῷ κοινῷ τὸ μὴ καθ' ὑποκειμένου. ὥστε πασῶν τῶν οὐσιῶν ἡ ὑπογραφὴ γέγονεν ἀπόδοσις. Ἀλλὰ πᾶσα τομὴ γένους φασὶν εἰς εἴδη ἐστίν. ἡ δὲ πρώτη οὐσία, οὐκ εἶδος. μία γὰρ ἀριθμῷ ἡ αὐτή. πολλὰ δὲ ἀριθμῷ τὸ εἶδος. λύσις δὲ τούτου, ὅτι αὐτὸ τὸ μίαν εἶναι ἀριθμῷ, κοινός ἐστι λόγος. ἴδιον δὲ ἐστιν εἴδους, καὶ τὸ μήτε καθ' ὑποκειμένου, μήτε ἐν ὑποκειμένῳ λέγεσθαι. ὡς μὲν οὖν κοινὸς λόγος, κοινοποιεῖται. ὅτῳ μόνῳ δὲ συμβέβηκεν ὁ λόγος, οὐκ ἔστιν εἶδος. ἓν γὰρ ἐστιν ἀριθμῷ. ἀλλ' εἰς ἄνισα φησὶν ἡ διαίρεσις γέγονεν. ὅπερ ἀλλότριόν ἐστι τῆς εἰς εἴδη διαιρέσεως. ἢ οὐ δὲ τοῦτο ἀληθές. ἀντίρροπα γάρ ἐστι τὰ καθόλου καὶ τὰ ἄτομα. καὶ ἀλλήλοις συντελεῖ πρὸς τὸ εἶναι. εὑρίσκονται δὲ αἱ μὲν ἄτομοι οὐσίαι, κατὰ τὰς ἰδιότητας τὰς ἀτμήτους τῶν ὄντων. αἱ δὲ δεύτεραι οὐσίαι, κατὰ τοὺς οὐσιώδεις κοινοὺς λόγους τοὺς ἐπὶ τῶν αἰσθητῶν θεωρουμένους. καὶ τοῦτο δὲ οὐκ ἄξιον παραλιπεῖν. ὅτι διττογραφία τις ἐν τούτοις συνέβη. οὐδὲν γὰρ Ἀριστοτέλης ἐκ περιττοῦ τοῖς λόγοις προστέθεικεν. ἀλλ' ἴσως ἔξω παραγεγραμμένης τῆς ἄλλης γραφῆς, οἱ γράφοντες τὰ διὰ τὸ ἐδάφιον ἐνεγράψαντο. τὸ δὲ ἑξῆς ἐστιν, ὥστε πάντα τὰ ἄλλα καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λέγεται. ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστιν. ὥστε μὴ οὐσῶν τῶν πρώτων οὐσιῶν, ἀδύνατον τῶν ἄλλων τι εἶναι. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

» Τῶν δὲ δευτέρων οὐσιῶν, μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους. ἕως τοῦ, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν
» ἄλλων. ἐπειδὴ τὸ εἶδος καὶ τὸ γένος, κοινῶς δευτέρας οὐσίας προσηγόρευσε, πάντως καὶ




ζητεῖν, εἰ ὁμοίως οὐσίαι ἄμφω, καὶ ὁμοίως τῆς πρώτης ἀφεστήκασι. πρὸς ταύτην οὖν τὴν πρώτην ὑπαντῶμεν, μὴ ἐπίσης αὐτὰς ἔχειν τὸ δευτερεῖον, ἀλλὰ μᾶλλον οὐσίαν εἶναι τὸ εἶδος τοῦ γένους. δύο δὲ δείξεις τούτου ποιεῖται. τὴν μὲν, ἀπὸ τῆς πρὸς τὸ ἄτομον γένος ἀμφοῖν σχέσεως. τὴν δὲ, ἀπὸ τῆς ἀναλογίας. ὧν ἡ μὲν ἀπὸ τῆς σχέσεως, οὕτως συλλογίζεται. Τὸ εἶδος ἐγγίον τῆς πρώτης οὐσίας. τὸ ἐγγίον τῆς πρώτης οὐσίας, μᾶλλον οὐσία. τὸ εἶδος ἄρα, μᾶλλον οὐσία τοῦ γένους. ὅτι δὲ ἐγγίον τῇ ἀτόμῳ οὐσίᾳ τὸ εἶδος, δείκνυσιν ἐκ τοῦ πρὸς τὰ ἀπόδοσιν οἰκειότερον τυγχάνειν. ἀποδιδόντες γὰρ τὸν σωκράτην, οἰκειότερον ἂν μᾶλλον καὶ γνωριμώτερον ἀποδοίημεν, εἰ ἄνθρωπον λέγοιμεν. πορρώτερον δὲ, εἰ ζῷον. τὸ δὲ οἰκειότερον, ἐγγιώτερον μᾶλλον. τὴν δὲ ἀπὸ τῆς ἀναλογίας, οὕτως ἐφοδεύει. εἰ ὡς αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα ἔχουσιν, οὕτως τὸ εἶδος πρὸς τὸ γένος ἔχει. τὸ εἶδος ἄρα ἐκ τοῦ γένους μᾶλλον οὐσία. ὅτι δὲ οὕτως ἔχει καὶ ταῦτα πρὸς ἄλληλα ὡς προέκειντο, δηλοῖ ἐκ τοῦ, καὶ τὸ εἶδος ὑποκεῖσθαι τῷ γένει, ὥσπερ τὰς οὐσίας τοῖς ἄλλοις. τὸ δὲ συνημμένον δείκνυσι, διὰ τὸ, καὶ τὰς οὐσίας ἐκ τούτου μάλιστα ἔχειν τὸ εἶναι οὐσίαν, ἐν τῷ τοῖς ἄλλοις ὑποκεῖσθαι, καὶ πάντα τὰ ἄλλα ἐν αὐτῇ εἶναι. αὐτῶν μέντοι τῶν εἰδῶν ὅσα μὴ ὑπάλληλα ὄντα ἐστὶ καὶ γένη, οὐθὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστί. κἂν τὸ μὲν, ὑπερέχῃ τῇ ἀξίᾳ. τὸ δὲ, ἐλλείπῃ. οὐθὲν γὰρ οἰκειότερον ἀποδώσει, ὁ κατὰ τοῦ τινὸς ἀνθρώπου τὸ ἄνθρωπον ἀποδιδοὺς. ἢ κατὰ τοῦ τινὸς ἵππου τὸν ἵππον. οὕτως δὲ ἔχει καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν. οὐ γὰρ ἐπεὶ τῇ ἀξίᾳ σωκράτης, τοῦ βουκεφάλου ἵππου τιμιώτερος, διὰ τοῦτο μᾶλλον οὐσία λέγοιτ' ἂν ὁ σωκράτης τοῦ βουκεφάλου ἵππου. δοκεῖ δέ τισι μὴ ὀρθῶς ἡ τάξις ἔχειν ἐνταῦθα τοῦ λόγου. ἔδει γάρ φησι πρότερον εἰπεῖν τὴν αἰτίαν, δι' ἣν δεύτεραι εἰσὶν οὐσίαι.



καὶ οὕτως αὐτὴν τὴν σύγκρισιν ποιήσασθαι πρὸς ἀλλήλας. ἐκτέον δὲ, ὡς εἶχε τοῦτο προειλημμένον ἐναργῶς ἀπὸ τῆς διαιρέσεως τῶν καθ' ὑποκειμένου καὶ μὴ καθ' ὑποκειμένου λεγομένων. καὶ ἀπὸ τοῦ κυριώτατα τὴν δεδεῖχθαι οὐσίαν τὴν μήτε καθ' ὑποκειμένου, μήτε ἐν ὑποκειμένῳ. ἀπὸ γὰρ τούτου συνάγεται, τὸ, δευτέρας εἶναι οὐσίας τὰς καθ' ὑποκειμένου μὲν λεγομένας, μὴ ἐν ὑποκειμένῳ δὲ οὔσας. καὶ τοῦτο δὲ προσαπορεῖ τις τῆς τάξεως. ὅτι ἀκόλουθον ἦν δεῖξαι τὴν πρώτην οὐσίαν μὴ οὖσαν μᾶλλον καὶ ἧττον οὐσίαν. εἶθ' οὕτως τῶν εἰδῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεῖξαι. ἔστι δὲ καὶ πρὸς τοῦτο ἡ αὐτὴ ἀπολογία, ὡς ἤδη προειλημμένον ἔχει τὸ μὴ εἶναι μᾶλλον καὶ ἧττον τὴν πρώτην οὐσίαν. ὅτε πρώτως αὐτὴν καὶ μάλιστα καὶ κυριώτατα οὐσίαν εἶναι ἀπεφήνατο. πάντα γὰρ τὰ τοιαῦτα ὥρισται. καὶ οὐκ ἔχει τὸ τὸ μᾶλλον καὶ τὸ ἧττον ἀόριστον. τὸ μὲν γὰρ μᾶλλον καὶ ἧττον, πρόσθεσιν ἀπαύστως. τὸ δὲ μάλιστα, ἵσταται κατὰ τὴν ὑπερβολήν. διὰ τί δὲ οὐχὶ καὶ αἱ ἐννέα κατηγορίαι τῶν συμβεβηκότων δεύτεραι ἔσονται οὐσίαι, διὰ τὸ κατηγορεῖσθαι τῶν πρώτων οὐσιῶν. ἢ αὐταὶ αἱ δεύτεραι οὐσίαι, οὐκ εἰσὶ συμβεβηκότα, διὰ τὸ ἐνυπάρχειν ταῖς ἀτόμοις οὐσίαις, καὶ κατὰ τὸ αὐτῶν λέγεσθαι. ἢ οὐχὶ πάντα τὰ κατηγορούμενα τῶν οὐσιῶν ἔσονται δεύτεραι οὐσίαι. ἀλλ' ἐκεῖνα μόνα, ὅσα ἐν τῷ τί ἐστι κατηγορεῖται, οἷα ἐστὶ τὰ εἴδη καὶ τὰ γένη. ἀλλὰ διὰ τί εἶπε, τὸ γὰρ ἴδιον μᾶλλον. οἷον, ἄνθρωπος ἢ ζῷον. οὐ γὰρ ἴδιον ὁ ἄνθρωπος σωκράτει, ἀλλ' εἶδος. ἢ οὐχὶ τὸ κυρίως ἴδιον ἐνταῦθα παρείληπται. ἀλλ' ὥσπερ τὸ ἧττον βαρὺ κοῦφον λέγομεν, οὕτως τὸ ἧττον κοινὸν, ἴδιον ἐκαλέσαμεν. ἀλλ' οὐδὲ μία φασὶν οὐσία μᾶλλον καὶ ἧττον, ὡς ἐρεῖ προϊών. πῶς οὖν τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία λέγεται. ἢ ὅτι οὐ καθόσον οὐσίαι εἰσὶ, τὸ μᾶλλον ἢ τὸ ἧττον αὐτῶν λαμβάνει, ἀλλὰ κατὰ τὸ τῆς αἰσθητῆς οὐσίας αὐτῶν ὑπόστασιν. ἀλλ' ἔτι μοι δοκεῖ μένειν τὸ ἄπορον. ἡ γὰρ αἰσθητὴ οὐσία, ἡ μάλιστα ἐστὶν οὐσία. καὶ ἐπὶ τῶν ἄλλων δὲ κατηγοριῶν ἐν αἷς τὸ μᾶλλον καὶ τὸ ἧττόν ἐστιν. ὥσπερ ἐπὶ τῆς ποιότητος κατὰ τὴν πρὸς τὸ μάλιστα ἀπόστασιν, τὸ μᾶλλον καὶ τὸ ἧττον θεωρεῖται. μᾶλλον γὰρ λευκὸν, τὸ τῷ μάλιστα συνεγγίζον. ἐπεὶ γὰρ οὐδὲ ἐκεῖ καθόσον ποιὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ἔχει. ὁμοίως γὰρ ἄμφω ποιά. μήποτε οὖν ἡ οὐσία λέγεται μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, διότι κἂν τῶν εἰδῶν αὐτῆς, τὸ μὲν, μᾶλλον οὐσία. τὸ δὲ, ἧττον. τὸ δὲ, μάλιστα. ἀλλ' ἕκαστον εἶδος, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. οὔτε γὰρ γένος γένους, οὔτε εἶδος εἴδους, οὔτε ἄτομον ἀτόμου, μᾶλλον καὶ ἧττόν ἐστιν οὐσία. ἐπὶ μέντοι τῆς ποιότητος, ἐν τοῖς εἴδεσιν αὐτῆς τῆς ποιότητος, θεωρεῖται τὸ μᾶλλον καὶ τὸ ἧττον. λευκὸν γὰρ λευκοῦ, μᾶλλον ἐστὶ καὶ ἧττον. οὕτως μὲν πορφύριος καὶ ἰάμβλιχος λύουσι τὰς ἀπορίας. ὡς δὲ ἀλέξανδρος ἐξηγεῖται τὴν ἄτομον οὐσίαν, φιλοτιμούμενος τὸ πρώτως κινοῦν ἐν αὐτῇ τιθέναι, χαλεπώτεραι γίνονται αἱ ἀπορίαι. πῶς γὰρ ἔτι τῷ ὑστέρῳ τῆς αἰσθητῆς οὐσίας μᾶλλον ἔσται οὐσία. πῶς δὲ αἱ νοηταὶ οὐσίαι εἰς ταὐτὸ ταῖς αἰσθηταῖς συνταχθήσονται. ἀτόπως δὲ τὸ ἄτομον ἄλλως ἐπὶ τῶν νοητῶν λεγόμενον, ἄλλως ἐκεῖνος ἐκδέχεται, ὁμωνυμίᾳ μόνῃ χρώμενος. οὐκ ὀρθῶς δὲ καὶ τὸ γνώρισμα τῶν ἐνύλων οὐσιῶν, τὸ μὴ ἐν ὑποκειμένῳ ταῖς ἀΰλοις οὐσίαις προσφέρει. δῆλον γὰρ δήπουθεν, ὡς ἄλλως μὲν τὰς ἐνύλους χαρακτηρίζομεν τῷ ἔχειν τι ἐν ὑποκειμένῳ. ἄλλως δὲ τὰς ἀΰλους τῷ μηδὲν ἔχειν ὡς ἕτερον ἐν ἑτέρῳ.

ἔτι δὲ σπουδάζει ἵνα μὴ ἐλαττωθῇ τῶν πρώτων οὐσιῶν τῶν συνθέτων ἡ πρώτως κινη-
τικὴ οὐσία, σχέσιν αὐτῇ τὴν πρὸς ταύτας διδόναι. αὐτίκα γάρ φησι τῶν οὐσιῶν τῶν ἐχου-
σῶν τὰ ἐν ὑποκειμένῳ, ἡ μάλιστα ἂν εἴη οὐσία. τὸ δέ, οὐχ οὕτως ἔχει. οὐ γάρ ἐστιν ὅπως
ἡ νοητὴ καὶ πρώτως κινητικὴ οὐσία, ἀπὸ τῆς πρὸς τὰ σύνθετα καὶ ἔνυλα σχέσεως, τὸ
μάλιστα οὐσία εἶναι παραλαμβάνει, ἀλλὰ τοὐναντίον ἐκ τοῦ χωριστὴ εἶναι ἀπὸ πάν-
των. ἀρχύτας δὲ ὁ πυθαγόρειος, οὐ προσίεται τὴν νῦν προκειμένην τῶν οὐσιῶν δι-
»αίρεσιν, ἀλλ᾽ ἄλλην ἀντὶ ταύτης ἐκδίδους ἐγκρίνει, λέγων. Τᾶς τε γὰρ ὠσίας ἐντὶ δια-
»φοραὶ τρεῖς. ἃ μὲν γάρ, ἐντὶ ὕλα. ἃ δέ, μορφά. ἃ δέ, συναμφότερον ἐκ τούτων. Αὕτη δὲ
ἡ διαίρεσις, κατ᾽ αὐτὸν γεγονέναι τὸν τῆς οὐσίας λόγον. καὶ ἐπὶ πάντα διατείνει, καὶ κατὰ
φύσιν χρῆται τῇ διακρίσει τῶν οὐσιῶν. ἀλλ᾽ οὐχ ὡς ἡ ἀριστοτελικὴ διαίρεσις, τῆς συ-
νηθείας μόνης ἔχεται τῶν σημασιῶν. μαρτυρεῖ δὲ καὶ ἀριστοτέλης ἐν τοῖς ἀκριβεστά-
τοις ἑαυτοῦ συγγράμμασι ταύτῃ χρώμενος τῇ διαιρέσει. ὥσπερ ἔν τε τῇ φυσικῇ ἀκρο-
άσει, καὶ τῇ μετὰ τὰ φυσικά. τῶν μέντοι πυθαγορείων, οὐδεὶς ἂν προσοῖτο ταύτην
τὴν διαίρεσιν τῶν πρώτων καὶ δευτέρων οὐσιῶν. ὅτι τοῖς καθόλου τὸ πρώτως ὑπάρ-
χειν μαρτυροῦσι. τὸ δὲ ἔσχατον, ἐν τοῖς μερικοῖς ἀπολείπουσι. καὶ διότι ἐν τοῖς ἁ-
πλουστάτοις τὴν πρώτην καὶ κυριωτάτην οὐσίαν ἀποτίθενται. ἀλλ᾽ οὐχ ὡς νῦν λέγεται
ἐν τοῖς συνθέτοις καὶ αἰσθητοῖς. καὶ διότι τὰ γένη καὶ τὰ εἴδη ὄντα νομίζουσιν. ἀλλ᾽ οὐχ
συγκεφαλαιούμενα ταῖς χωρισταῖς ἐπινοίαις. πῶς οὖν ὁ ἀριστοτέλης, καίτοι γινώσκων
καὶ τὴν κατ᾽ ἀρχύταν τῆς οὐσίας διαίρεσιν, οὐκ ἐχρήσατο νῦν αὐτῇ. ἢ ὅτι τῆς λογικῆς
πραγματείας οἰκεία μᾶλλον ἦν αὕτη ἡ διαίρεσις. ὑποκειμένων γὰρ καὶ κατηγορουμέ-
νων ἁπλῶν φωνῶν παράδοσιν ἐν τούτοις ποιούμενος, εἰκότως καὶ ἐν τῇ οὐσίᾳ ἦν ὑπο-
κεῖσθαι παρὸν εἰπεῖν, εὑρὼν τι κατηγορούμενον τὸ εἶδος καὶ τὸ γένος, εἰς ταῦτα τὴν δι-
»αίρεσιν ἐποιήσατο. Κοινὸν δὲ πάσης οὐσίας, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἕως τοῦ,
»ὥστε οὐκ ἂν εἴη ἡ οὐσία τῶν ἐν ὑποκειμένῳ. Διελὼν πόσαι καὶ τίνες εἰσὶν αἱ οὐσίαι,
ἐφεξῆς τὰ ὑπάρχοντα αὐταῖς τά τε κοινὰ καὶ τὰ ἴδια παραδοῦναι προτίθεται εἰκό-
τως. ἐπεὶ μὴ γὰρ ἦν ὅρον ἑκάστου τῶν γενῶν ἀποδιδόναι, ἤ που ἔδει φροντίζειν τῆς τῶν ὑπαρ-
χόντων αὐτοῖς παραδόσεως. ἐκ γὰρ τοῦ ὁρισμοῦ καὶ τὰ ὑπάρχοντα καὶ ἡ φύσις ὅλη κατε-
φαίνετο. ἐπεὶ δὲ ὁρισμὸν οὐκ ἦν ἀποδιδόναι, ἀλλ᾽ ὑπογραφὴν μόνον καὶ παραδείγμα-
τα, εἰκότως τῆς τῶν ὑπαρχόντων ἔδει καταγνώσεως. τῶν τε κοινῶν, καὶ μάλιστα τῶν
ἰδίων. ἵνα ἐκ τούτων ὡς ἐκ γένους καὶ διαφορῶν, οἷον ὁρισμός τις ἑκάστου τῶν γενῶν ἀπο-
διδῶται. κοινὸς οὖν οὗτος ἀπολογισμὸς ἔστω ἐφ᾽ ἑκάστου τῶν γενῶν, μετὰ τὴν δι-
αίρεσιν τὰ ὑπάρχοντα τοῖς γένεσι παραδιδόναι, τά τε κοινὰ καὶ τὰ ἴδια. καὶ πρὸ τούτων τὰ
πρὸς ἄλληλα γένη κοινά. ὁ δὲ ἰάμβλιχος οἴεται προηγουμένως ἐφ᾽ ἑκάστου γένους τὸ ἴδιον
ζητεῖν, ὡς δυνάμενον ὁπωσοῦν ἀντὶ ὁρισμοῦ τὴν φύσιν τὴν ζητουμένην παραστῆσαι. ἐπειδὴ
δὲ συνέβαινε τὸ κυρίως ἴδιον ζητοῦντα, ὃ μόνῳ καὶ παντὶ ὑπάρχει, μερικῶς ἐφάπτεσθαι
αὐτοῦ, ποτὲ μὲν τῷ παντὶ μέν, οὐ μόνῳ δὲ ὑπαρχόντων ἀντιλαμβανομένους. ποτὲ δὲ τῷ μόνῳ
μέν, οὐ παντὶ δέ. διὰ τοῦτο τὰ μὲν διῃρημένως τυγχάνοντα τῆς ἰδιότητος, ἀποδοκιμάζει

λέγων. οὐκ ἴδιον δὲ οὐσίας τοῦτο, ὡς τοῦ ἰδίου μάλιστα ζητουμένου. τὰ δὲ ὁλόκληρα
καὶ κυρίως ἰδιώματα, ὡς προσήκοντα εἴρηται. ζητητικὸς δὲ ὢν ὁ ἀριστοτέλης, καὶ διὰ ζη-
τήσεως τὸ ἀληθὲς εὑρίσκων, πρότερον μὲν ἐπὶ πλεῖ τοῖς ὁλοσχερῶς λεγομένοις. καὶ διε-
λέγχων αὐτὰ, οὕτως ὕστερον τέλει τὸ ἀληθὲς εὑρίσκει. καὶ λέγοιτο μὲν ἂν καὶ ταῦτα καλῶς.
οἰκειότερον δὲ ἴσως καὶ τὸ τὰ κοινὰ πρὸς ἄλλας κατηγορίας προηγουμένως ἐκτίθεσθαι,
ὡς ἐκ τῶν κοινῶν καὶ τῶν ἰδίων ἀκριβεστέρας γινομένης τῆς τοῦ ζητουμένου περιγρα-
φῆς. δηλοῖ δὲ καὶ ἀρχύτας, οὐ τὰ ἴδια μόνα ζητῶν, ἀλλὰ καὶ τὰ κοινὰ πρὸς τὰς ἄλλας
κατηγορίας ἐκτιθέμενος. καὶ παραγεγράφθω πλείονα τῶν ἀρχυτείων. ἐπειδὴ καὶ ὁ θεῖος
» ἰάμβλιχος ὀλίγου περὶ τὴν ἀμφιβολίαν καὶ αὐτὴν παρέχων, ἀνέγραψε. Ταῖς δὲ διανοί-
» αις ταύταις καὶ ταῖς κατηγορίαις συνυπάρχει τινὰ μὲν, κοινά. τινὰ δὲ, ἴδια. λέγω δὲ
» κοινὰ μὲν, τὰ τᾶς οὐσίας. τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. οὔτε γὰρ ἐνδέχεται μᾶλλον καὶ ἧττον
» ἦμεν ἄλλου. οὐδὲ μὰν θεόν, καὶ φυτόν. καὶ τὸ μηδὲν ἔχειν ἐναντίον. ἀνθρώπῳ γὰρ ἄλλος,
» οὐκ ἔστιν ἐναντίον. οὐδὲ μὰν θεῷ θεός. οὐδὲ ταῖς ἄλλαις ὠσίαις τό, τε καθ' αὐτὸ τὸ ἦμεν,
» ἀλλὰ μὴ ἑτέρῳ τινὶ συνυπάρχειν, ὥσπερ γλαυκότατα καὶ χαροπότατα ὀφθαλμοῖς
» οὐσίας οἰκεῖον. πᾶσα γὰρ οὐσία, καθ' αὐτὰν ἐντί. τὰ δὲ συνυπάρχοντα καὶ συμβεβηκό-
» τα, ἢ ἐν ταύτᾳ ἢ οὐκ ἄνευ ταύτας. εἶτα τὰ κοινὰ τῆς ποιότητος εἰπών, ἐπάγει. καὶ
» τᾷ ποιότητι δὲ πρέποντι πολλὰ καὶ τῶν τᾶς οὐσίας. οἷον, τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον
» καὶ τὸ ἧττον. εἰπὼν δὲ καὶ πρός τι, τὰ κοινὰ ἐπάγει. ὑπάρχει δὲ καὶ ἴδιον ἑκάστας αὐτᾶς.
» τᾶς μὲν ὠσίας, τὸ ταὐτὰν καὶ μίαν ἀριθμῷ διαμένοισαν τῶν ἐναντίων δεκτικὴν
» ἦμεν. οὕτως ἄρα καὶ τὰ κοινὰ πρὸς τὰς ἄλλας κατηγορίας, καὶ τὰ ἴδια βούλεται παραδι-
δόναι. ὁ μέντοι πορφύριος, τὰ ἴδια μὲν ἑκάστου τῶν γενῶν παραδιδόσθαι φησὶν ὑπὸ
τοῦ ἀριστοτέλους, καὶ οὐ καὶ τὰ κοινὰ ἁπλῶς, πρὸς τὰς ἄλλας κατηγορίας καὶ τὰ ἴδια βούλεται
παραδιδόναι. τριχῶς δὲ λέγεσθαι τὸ ἴδιον. τὸ μὲν, παντὶ μὲν, οὐ μόνῳ δὲ ὑπάρχον. ὡς
τὸ δίπουν τῷ ἀνθρώπῳ. τὸ δὲ μόνῳ μὲν, οὐ παντὶ δέ. ὥσπερ αὐτῷ τὸ γραμματικόν. τὸ δὲ, καὶ
μόνῳ καὶ παντί. ὃ καὶ κυρίως ἐστὶν ἴδιον, ὥσπερ ἀνθρώπῳ τὸ γελαστικόν. τὰ οὖν μὴ μόνα
ὑπάρχοντα, ταῦτα καὶ κοινά ἐστι πρὸς τὰ ἄλλα γένη. ὅταν παντὶ μὲν, μὴ μόνῳ δὲ ὑπάρ-
χῃ. ἐπιστῆσαι δὲ χρὴ τοῖς ἀρχυτείοις, ὅτι οὐδὲν ζητητικῶς ἐν τούτοις, οὐδὲ ἀμφι-
βόλως, ἀλλ' ἀποφαντικῶς μετὰ τοῦ θάρρους τῆς ἐπιστήμης προάγει πάντα καὶ δι' αὐτῶν
τῶν ἀναγκαιοτάτων τοῦ λόγου προτάσεων. ἴσως δ' ἄν τις ἀπορήσειε πῶς δυνατὸν πάσης
οὐσίας τὸ ἴδιον ἀφορίζεσθαι. καθ' ἑκάστην γὰρ οὐσίαν διάφορον. καὶ τὸ ἰδίωμά ἐστιν ἕτε-
ρον. οὐ κοινῶς ἅμα τῶν συνθέτων καὶ ἅμα τῶν ἁπλῶν ἀποδοθήσεται ἰδιώματα. καὶ ἄλλο μὲν τῶν ἀεὶ
κινητῶν. ἄλλο δὲ τῶν ἐν μέρει μεταλαμβανόντων τῆς κινήσεως. καὶ ἕτερον μὲν τῶν ἑστηκότων ἐν
τοῖς εἴδεσιν ὡσαύτως. ἕτερον δὲ, τῶν μεταβαλλομένων. καὶ ἔτι τῶν νοητῶν καὶ αἰσθητῶν
ὡσαύτως. ἀλλ' ἔστι λέγειν ὅτι δυνατὸν τὸ ἀνάλογον ὁμοιότητα ἀφορίζεσθαι πανταχοῦ.
λέγει δὲ ἀριστοτέλης τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι κοινόν, καὶ τῶν πρώτων καὶ τῶν δευ-
τέρων οὐσιῶν ὑπάρχειν. εἴτε ὡς κοινὸν τοῦτο λέγων, εἴτε ὡς μοῖραν τοῦ ἰδίου τῆς
οὐσίας παραδίδωσιν αὐτό. καὶ ὕστερον μὲν τῆς πρώτης οὐσίας, οὐκ ἔδει ἤδη ἀποδείξεως.

αὐτόθεν γὰρ ὡμολόγηται τὸ οὐκ ἐν ὑποκειμένῳ εἶναι, διά τε τῆς ἐν ἀρχῇ τετραχῆ γινομένης διαιρέσεως. καὶ ὅτε τί ἐστιν ἡ κυριωτάτη οὐσία ἐδίδασκε. περὶ μέντοι τῆς δευτέρας οὐσίας, καθ᾽ ὑποκειμένου μὲν λεγομένης, οὐκ ἐν ὑποκειμένῳ δὲ οὔσης, ἀποδείκνυσι. τῶν δὲ ἀποδείξεων, ἡ μέν ἐστιν ἀπὸ τῆς διαιρέσεως. αἱ γὰρ δεύτεραι οὐσίαι φησὶν, αἱ καθ᾽ ὑποκειμένων μὲν τῶν ἀτόμων λεγόμεναι. ἐν ὑποκειμένῳ δὲ αὐταῖς οὐκ οὖσαι. δευτέρα δὲ ἀπόδειξις, ἀπὸ τοῦ μὴ οἷόν τε τὸν τινὰ ἄνθρωπον ἄνευ τοῦ ἀνθρώπου εἶναι. ὃ δὲ τοῦτο οὐκ ἐν ὑποκειμένῳ, ὅλως ἔσται τῷ τινὶ ἀνθρώπῳ. οὐδὲ ἄλλη δευτέρα οὐσία οὐδὲ μία. οὐ γὰρ συντελεῖ τι τὰ ἐν ὑποκειμένῳ, εἰς τὸ τῶν ὑποκειμένων οὐσίαν. ὁ μέντοι τὶς ἄλλος, καὶ ἄλλος ἐστὶν, ὡς ὑπὸ τοῦ ἀνθρώπου συμπληρούμενος. ὃ δὲ μὴ ἐν τῇ πρώτῃ οὐσίᾳ ὡς ἐν ὑποκειμένῳ φησὶν αἱ ἄλλαι οὐσίαι, οὐδὲ ἐν ἄλλῳ τινὶ ἔσονται ὡς ἐν ὑποκειμένῳ. πάντα γὰρ τὰ ἄλλα ἢ ἐν ὑποκειμέναις εἰσὶ ταῖς πρώταις οὐσίαις, ἢ καθ᾽ ὑποκειμένων αὐτῶν λέγεται. ἔτι δὲ τὰ μὲν ἐν ὑποκειμένῳ ὄντα, φθείρεσθαι δύναται σωζομένου τοῦ ὑποκειμένου, ὥσπερ τὸ λευκόν. τὰ δὲ εἴδη καὶ τὰ γένη, οὐ δύναται φθαρῆναι σωζομένων τῶν ἀτόμων, καθ᾽ ὧν λέγονται. ἔτι τοῦ ὑποκειμένου δὲ φθαρέντος, τὸ μὲν ἐν ὑποκειμένῳ, οἴχεται. τὸ δὲ καθόλου, σώζεται, ἄλλοτε ἀλλοίων τῶν ἀτόμων γινομένων. ἔτι δὲ τὰ εἴδη καὶ τὰ γένη, ἐν τοῖς ἰδίοις ἀτόμοις ἔσται ἐν ὑποκειμένοις, ἢ ἐν ἄλλοις. ἀλλ᾽ οὔτε ἐν τοῖς ἰδίοις δύναται. καὶ γὰρ καὶ τὰ ἐν ὑποκειμένῳ ὄντα ἐν τοῖς ἰδίοις ἀτόμοις, οὐκ ἔστιν ὡς ἐν ὑποκειμένοις, ἀλλ᾽ ὡς καθ᾽ ὑποκειμένων αὐτῶν λέγεται. οὐ μὴν οὐδὲ ἐνυπάρχοι ἐν ἄλλῳ. οὐδὲν γάρ ἐστιν ὑποκείμενον ἄνευ τῶν ἀτόμων οὐσιῶν. ἔτι δὲ καὶ οὕτως ὁ ἀριστοτέλης συλλογίζεται. τὰ ἐν ὑποκειμένῳ ὄντα, ὁμωνύμως κατηγορεῖται. οὐδεμία δὲ τῶν δευτέρων οὐσιῶν ὁμωνύμως κατηγορεῖται, ἀλλὰ συνωνύμως. οὐδεμία ἄρα τῶν δευτέρων οὐσιῶν ἐν ὑποκειμένῳ ἔσται. ἀλλὰ μὴν οὐδὲ ἡ πρώτη. οὐδεμία ἄρα οὐσία ἐν ὑποκειμένῳ. καὶ κατὰ τὴν ἀρχύτειον δὲ τῶν οὐσιῶν διαίρεσιν τὴν εἰς ὕλην καὶ εἶδος καὶ σύνθετον, τὸ αὐτὸ δείκνυσιν ὁ λόγος. ὅτι οὐδεμία οὐσία ἐν ὑποκειμένῳ. ἡ μὲν γὰρ ὕλη ὑποκειμένου οὖσα πάσης, καὶ πρῶτον ὑποκείμενον, πρόδηλον ὡς οὐκ ἔστι τῶν ἐν ὑποκειμένῳ. ἀλλ᾽ οὐδὲ τὸ εἶδός ἐστιν ἐν τῇ ὕλῃ, ὡς ἐν ὑποκειμένῳ. μεθ᾽ οὗ γὰρ συναπαρτίζει ἕν τι κατ᾽ ἴσην συντέλειαν, οὐκ ἔστι θάτερον ἐν θατέρῳ. ὥστε οὐδ᾽ ἂν αὐτὸ εἴη ἐν ὑποκειμένῳ. ἡ δὲ σύνθετος οὐσία, περιέχουσα ἐν ἑαυτῇ τὸ εἶδος καὶ τὴν ὕλην, εἰκότως οὐκ ἂν εἴη ἐν ὑποκειμένῳ. ἀλλὰ τὸ μὴ ἐν ὑποκειμένῳ, ἀποφατικόν. ἀποφατικῶς δὲ φασὶν, οὐδὲν οἷόν τε τῇ διανοίᾳ περιλαμβάνειν. ἀόριστος γὰρ ἡ ἀπόφασις. καὶ ὡρισμένην γνῶσιν τῷ ἀορίστῳ συναρμόζειν ἀδύνατον. ἢ τὸ δηλούμενον ἀπὸ τῆς ἀποφατικῆς ταύτης φωνῆς, ὡρισμένον πώς ἐστι καὶ καταφατικόν. οὐδὲν γὰρ ἄλλο λέγει τὸ μὴ ἐν ὑποκειμένῳ, ἢ ὅτι αὐτὸ ὅπερ ἐστὶν, ἑαυτοῦ ἐστιν. ἢ μέρος ἐστὶ συμπληρωτικὸν τοῦ τοιούτου. καὶ ὅτι ὑποκείμενόν ἐστι. καὶ γὰρ καὶ τοῦτο κοινὸν ὑπάρχει κατὰ πάσης οὐσίας. ἀλλὰ ἄλλως μὲν ἡ ὕλη τῷ εἴδει ὑπόκειται, ἄλλως δὲ τὸ συναμφότερον ταῖς ἀπ᾽ αὐτοῦ γινομέναις ἐνεργείαις. ἔτι δὲ ἡ οὐσία ἐστὶ κυρίως, ἀφ᾽ ἧς τὰ ἄλλα, καὶ δι᾽ ἣν τὰ ἄλλα, καὶ περὶ ἣν τὸ πάσχειν, καὶ ἀφ᾽ ἧς τὸ ποιεῖν, τῇ δὲ τοιαύτῃ ὑπάρχει τὸ μὴ ἐν ὑποκειμένῳ, εἰκότως ἡ οὐσία λέγεται μὴ εἶναι ἐν ὑποκειμένῳ. καθ᾽ αὑτὴν γὰρ οὖσα,

οὐκ ἔχει ἐν ἄλλῳ τὸ εἶναι. καὶ τὸ εἶδος δὲ καὶ τὸ γένος μέρη ὄντα τῆς οὐσίας, οὐκ ἔσται ἐν ὑποκειμένῳ. τὸ δὲ μήτε ἐν ὑποκειμένῳ, μήτε καθ' ὑποκειμένου, προσθετέον ὡς κατ' ἄλλου. ὅταν γὰρ τὸν ἄνθρωπον τοῦ Σωκράτους κατηγορῶμεν, οὐχ ὡς τὸ ξύλον λευκὸν λέγομεν, ἀλλ' ὡς τὸ λευκόν. περὶ μὲν οὖν τούτων, τοσαῦτα. Ἀπορήσειε δ' ἄν τις, πῶς οὐκ ἔσται οὐσία ἐν ὑποκειμένῳ, ὅταν νοῦς ᾖ ἐν τῇ ψυχῇ. ψυχὴ δὲ ἐν σώματι. αἱ δὲ ἰδέαι κατὰ Πλάτωνα, ἐν τῷ νῷ. ἢ οὐχ ὡς ἐν ὑποκειμένῳ ἐνυπάρχουσιν, οὐδὲ ὡς συμβεβηκότα ἐοίκασι μεθέξει, ἀλλ' ὡς οὐσία παρεσπαρμένη ἑτέρᾳ οὐσίᾳ. οὐχ ὡς μέρους τινὸς ἐν ὅλῳ τούτων ἐνόντων, ἀλλ' ὡς τῆς ἐντελεχείας καὶ τῆς κατ' ἐνέργειαν οὐσίας, ἐν τῇ κατὰ δύναμιν ὑποδοχῇ, καὶ ἐν τῇ ἀτελεῖ φύσει ἐνυπαρχούσης χωριστῶς. οἷον ἐν νηὶ κυβερνήτου. καὶ καθόλου παντὸς τοῦ χρωμένου ἐν ἐκείνῳ ᾧ χρῆται, καὶ πρὸς αὐτὸ παρόντος. ἢ τῆς συνεχούσης αἰτίας πρὸς τὴν συνεχομένην κατ' ἄλλον τρόπον πραγματευομένης, ἢ τῆς ἡνωμένης οὐσίας περιεχούσης ἐν ἑαυτῇ τὴν πεπληθυσμένην, ὥσπερ τοῦ κέντρου ἐν ἑαυτῷ τὸν κύκλον συνειληφότος. κατὰ γὰρ ταῦτα πάντα, ἀλλὰ καὶ ἐπὶ τοιαῦτα δύναταί τις ἐξευρέσθαι τὴν τῶν οὐσιῶν παρουσίαν ἐν ἑτέραις οὐσίαις. καὶ οὐδὲν ἄτοπον ἐκ τούτου συμβήσεται. ἀλλ' οὐδὲ ὁ χρόνος φασὶν ἐν ὑποκειμένῳ. ἢ διαιρετέον τὸν χρόνον, ἤτοι κατὰ τὸ μετροῦν, ἢ κατὰ τὸ μετρούμενον. καὶ εἰ μὲν κατὰ τὸ μεμετρημένον τις αὐτὸν λάβῃ, ἔσται ἐν τῇ κινήσει τὸ μέτρον, ὡς ἐν ὑποκειμένῳ. ὥσπερ καὶ αὐτὴ ἡ φύσις ἐν τῷ κινουμένῳ. εἰ δὲ κατὰ τὸ μετροῦν, οἷον τὴν ψυχὴν ὡς ὁ Ἀριστοτέλης φησὶν, ἐν τῷ μετροῦντι ἔσται τὸ μέτρον. εἰ μέντοι τις χρόνον λαμβάνει τὸν καθ' αὑτὸν ὑφεστῶτα, δῆλον ὡς οὐσία οὗτός ἐστι. καὶ ἄλλης φιλοσοφίας ὁ τοιοῦτος λόγος. καὶ τὸν τόπον δὲ εἴ τις λέγοι, ὡς οὐδὲ αὐτὸς ἐν ὑποκειμένῳ, φήσομεν πρὸς αὐτόν. ὅτι πέρας τοῦ περιέχοντος ὢν ὁ τόπος κατὰ τὴν τοῦ Ἀριστοτέλους περὶ τοῦ τόπου φιλοσοφίαν, ἐν ἐκείνῳ ἔσται, καὶ οὕτως ἔσται ἐν ὑποκειμένῳ. ἀλλὰ ταῦτα μὲν, εὐδιάλυτα. ἐκεῖνο δὲ ἀπορίας ἄξιον, πῶς τὸ μὴ ἐν ὑποκειμένῳ καὶ τὰ ἄλλα τῇ οὐσίᾳ ὑπάρχοντα, κοινῶς οὐχ ὡς συμβεβηκότα τινὰ δείκνυται. οὐ γὰρ κατ' αὐτὸ τὸ εἶναι τὴν κοινωνίαν δείκνυσι τῶν οὐσιῶν. πρὸς ὅ φασιν οἱ σπουδαιότεροι τῶν ἐξηγητῶν, ὅτι ἡ αἰσθητὴ οὐσία, συμφόρησίς τίς ἐστι ποιοτήτων καὶ ὕλης. καὶ ὁμοῦ μὲν πάντα συμπαγέντα, μίαν ποιεῖ τὴν αἰσθητὴν οὐσίαν. χωρὶς δὲ ἕκαστον λαμβανόμενον, τὸ μὲν, ποιόν. τὸ δὲ, ποσόν ἐστι λαμβανόμενον, ἢ τι ἄλλο. καὶ ὃ μὲν ἂν ἐκλείπων μὴ ἀπαρτιζομένην παρέχεται τὴν αἰσθητὴν οὐσίαν, μέρος ἔσται τῆς δὲ τῆς οὐσίας. ὃ δ' ἂν γινόμενον τῇ οὐσίᾳ ἐπισυμβῇ, τὴν οἰκείαν ἔχει τάξιν τὴν ἐπίκτητον, οὐ κρυπτόμενον ἐν τῷ ποιῷ τινι τὴν λεγομένην οὐσίαν. καὶ ἕκαστον μὲν τῶν συνιόντων, οὐκ ἔστιν οὐσία. τὸ δὲ ὅλον τὸ ἐκ πάντων, οὐσία ἐστί. καὶ οὐ δυσχεραντέον, εἰ τὴν οὐσίαν τὴν αἰσθητὴν ἐξ ἀνουσίων ποιοῦμεν. οὐδὲ γὰρ τὸ ὅλον ἀληθές ἐστιν ἡ οὐσία, ἀλλὰ μιμουμένη τὴν ἀληθῆ. ἥτις ἄνευ τῶν ἄλλων, περὶ ἑαυτὴν ἔχει τὸ ὄν. καὶ τῶν ἄλλων ἐξ αὐτῆς γινομένων, ὅτι ἀληθῶς ἦν. ἐν δὲ τῇ αἰσθητῇ καὶ συνθέτῳ, καὶ τοῦ ὑποβεβλημένου ἀγόνου καὶ οὐχ ἱκανοῦ εἶναι ὄν. ὅτι μηδὲ ἐξ αὐτοῦ τὰ ἄλλα. σκιά τε καὶ ἐπισκιὰ αὐτῇ οὖσιν. οἷον ζωγραφία. καὶ σκιαγραφία. διόπερ ἐξ ἀνάγκης συμ-

βαίνει μὴ πάντα ἐν τῷ εἶναι ὑπάρχειν, ἀλλὰ τῶν γινομένων. μὴ δὲ ἡμᾶς τὰ ὑπάρχοντα αὐτοῖς λαμβάνοντας, δύνασθαι ἀεὶ τὰ κατ' οὐσίαν ὑπάρχοντα αὐτοῖς περιλαμβάνειν. Ἀλλὰ διὰ τί ἀπὸ τῶν μὴ ἰδίων τῆς οὐσίας χαρακτηρίζει αὐτήν. Πρὸς τὸ γνῶναι φήσομεν τὰ μὴ ὄντα οὐσίας. ἐκεῖνο γὰρ οὐκ ἔστιν οὐσία, ᾧ ἂν μὴ ὑπάρχει τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ. πρὸς τὸ εἰδέναι οὖν τὰς μὴ οὐσίας, χρήσιμον τοῦτο. οὐκ εὐθὺς δὲ εἰσόμεθα τί ἡ οὐσία. ἀλλὰ δευτέρας δεόμεθα διδασκαλίας. μήποτε δὲ καὶ ἄλλοθεν τῆς οὐσίας ἴδιον τοῦτο τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ἀλλὰ καθ' ἑαυτὸ εἶναι. καὶ γὰρ κοινὸν καὶ τῇ τοῦτο πρὸς τὴν διαφοράν, ἀλλὰ καὶ ἡ διαφορὰ καθὸ οὐσιώδης »ἐστὶν, ἔχει καὶ τοῦτο. διὸ καὶ ἀρχύτας ἐν μὲν τοῖς κοινοῖς ἤθεσι τὸ καθ' ἑαυτὸ ἦμεν, »ἀλλὰ μὴ ἑτέρῳ τινὶ συνυπάρχειν. ὥσπερ γλαυκότητα καὶ χαροπότητα ὀφθαλ»μοῖς. οἰκεῖον δὲ αὐτὸ καλεῖ τῆς οὐσίας. ὅτι καὶ τῇ διαφορᾷ ὡς οὐσίᾳ ὑπάρχει τοῦτο. ἐπειδὴ λοιπὸν καιρός ἐστι τὴν κοινότητα διατεῖναι τῆς οὐσίας καὶ ἐπὶ τὰς διαφοράς, λέγω δὲ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, δεῖ πρὸ τούτων διορίσαι τὸ περὶ τῆς τάξεως ζήτημα. λέγουσι γάρ τινες, ὡς ἔδει τὸν περὶ τῶν διαφορῶν λόγον προτετάχθαι, τὸ περὶ »τῶν μερῶν τῶν οὐσιῶν εἰρημένον. Μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν, ὡς ἐν »ὑποκειμένοις ὄντα τοῖς ὅλοις. ὡς γὰρ ὁ σωκράτης πρώτη οὐσία, καὶ τὰ μέρη τοῦ »σωκράτους πρῶται οὐσίαι εἰσίν. οἷον, ἡ τοῦ χείρ. ἡ τοῦ κεφαλή. Ὅταν οὖν λέγωμεν μηδεμίαν οὐσίαν εἶναι ἐν ὑποκειμένῳ, μήδ' ἔχῃ ταῦτα ἐν ὑποκειμένῳ εἶναι, καὶ διὰ τοῦτο μὴ εἶναι οὐσίας. ἐν ὑποκειμένῳ γὰρ ἐλέγομεν, οὐ τὰ ὡς μέρη ἔν τινι ὑπάρχοντα, ἀλλὰ τὰ μὴ ὡς μέρη. ὥστε τὰ μέρη τῶν οὐσιῶν, ἐν ὅλῳ μέν ἐστιν ἕκαστον ἐκείνων, οὐ μέρος ὄν. ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστι. ταῦτα οὖν ἔδει προτετάχθαι ὡς δοκεῖ τισι, λύσιν ἔχοντα ἀπορίας τινὸς περὶ οὐσιῶν φερομένης. εἶτα οὕτως ἐπιτάχθαι. ὅτι οὐ μόνον ταῖς οὐσίαις ὑπάρχει τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ἀλλὰ καὶ ἄλλοις ὥσπερ ταῖς διαφοραῖς. τῶν δὲ δευτέρων οὐσιῶν τὸ μὲν εἶδος, κατὰ τοῦ ἀτόμου κατηγορεῖται. τὸ δὲ γένος, κατὰ τοῦ εἴδους. καὶ τοῦ, οὐ μὴν συναρέσκει τοῖς ἀκριβεστέροις ἡ τοιαύτη τῆς τάξεως μετάθεσις. ἀλλὰ τὴν ἀριστοτέλους μᾶλλον ἐγκρίνουσιν. ἐπειδὴ γὰρ καὶ αἱ δεύτεραι οὐσίαι καὶ αἱ διαφοραὶ δοκοῦσιν ὡς μέρη συμπληροῦν τὰς ἀτόμους οὐσίας, ἔδει μετὰ τὰς δευτέρας οὐσίας, περὶ τῶν διαφορῶν εἰπεῖν. καὶ τότε οὕτως, τὸ κοινὸν ὡς ἐφαρμόττον, καὶ δευτέραις οὐσίαις καὶ ταῖς διαφοραῖς. λέγω δὲ τὸ μέρεσιν εἶναι τῆς οὐσίας, τοῦτο ἀσφαλίσασθαι. ὡς τὸ, μέρη ὄντα αὐτὰ τῶν οὐσιῶν, μὴ νομίσαι ἐν ὑποκειμένοις τοῖς ὅλοις. ἀκολουθοτέρα γὰρ αὕτη ἡ τάξις, ἤπερ μεταξὺ τοῦ περὶ τῶν δευτέρων οὐσιῶν λόγου, καὶ τοῦ περὶ τῶν διαφορῶν ἐμβαλόντα τὸν περὶ τῶν μερῶν λόγον, διακόψαι τὴν συνέχειαν. ἡ μὲν οὖν τάξις, οὕτως ἔχει καλῶς. ἐπειδὴ δὲ τῇ οὐσίᾳ ὑπάρχειν εἴπομεν τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, κοινὸν αὐτὸ πρὸς τὰς διαφορὰς εὑρίσκει. καὶ διὰ τοῦτο ἀξιοῖ μὴ εἶναι ἴδιον τῆς οὐσίας. ῥητέον οὖν πρῶτον περὶ διαφορᾶς, τί ἐστι. καὶ γάρ τισι δοκεῖ διαφορὰ εἶναι, τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος. καὶ δηλονότι ὡς πρὸς τὸ γένος αὐτῆς, οὕτως ἡ διάκρισις ἀποδέδοται. ὁ μὲν γὰρ βοηθός,

πρὸς τὸ εἶδος κυρίως φησὶ συντάττεσθαι τὴν διαφοράν, ἀλλ᾽ οὐ πρὸς τὸ γένος. διόπερ
καὶ πολλάκις τῶν εἰδῶν περιλαμβάνονται αἱ διαφοραί. καὶ σύμπασαι μὲν ὁμοῦ ἐνεθεῖσαι αὐ-
τοῦ τοῦ γένους. καθ᾽ ἑαυτὴν δὲ ἑκάστη. κατὰ μὲν τῶν ὑφ᾽ ἑαυτήν, καθ᾽ ὧν ἂν λέγηται, κατὰ πάν-
των ἐνεθεῖσαν. κατὰ δὲ τοῦ γένους, οὐδαμῶς. οὐδὲ γὰρ μορφωτική ἐστιν ἑκάστου τοῦ γένους.
διενήνοχε δὲ τοῦ εἴδους. ὅτι ἡ διαφορὰ ἐστὶ μετὰ τοῦ γένους. καὶ ἔστιν ἡ μὲν διαφορά, μορφὴ τοῦ
τοῦ γένους. τὸ δὲ γένος, ὥσπερ ὑποκείμενον προϋπάρχει. ἔστιν οὖν ἡ διαφορά, συμπληρω-
τικὴ οὐσίας ἁπλούστερον. ὡς τὰ εἴδη καὶ τὰ γένη συμπληρωτικὰ οὐσίας λέγεται. συμ-
πληροῖ γὰρ τὸν ἄνθρωπον καὶ τὸ ζῷον. καὶ τὸ λογικόν. ἀλλὰ τὸ μὲν ζῷον, μεθ᾽ ὑποκειμένου καὶ
διαφορᾶς. τὸ δὲ λογικόν, ὡς ἁπλῆ ποιότης. κἂν πάλιν τὸ λογικὸν προστεθείη μετὰ τοῦ
ζώου, τὸ μέν, ἐξ ἀμφοῖν ἔσται ὡς σύνθετον. τὸ δέ, προστιθέμενον πάλιν. οἷον τὸ θνητὸν ὡς
ἁπλῆ ποιότης. διὸ τὰ μὲν εἴδη καὶ τὰ γένη ὡς ὑποκείμενα, δεύτεραι οὐσίαι λέγονται. αἱ
δὲ διαφοραί, καθ᾽ ὑποκειμένου μὲν λέγονται. οὐ μὴν εἰσὶν οὐσίαι. οὐ γὰρ εἰς τὸ εἶναι, ἀλλ᾽ εἰς τὸ
ποιὸν δὲ εἶναι συμβάλλονται. οὐ μέντοι οὔτε συμβεβηκότα εἰσίν, ὅτι συμβάλλονται εἰς οὐ-
σίαν τούτων, ἅπερ εἰδοποιοῦσι. διὰ τοῦτο οὖν οὐδὲ ἐν ὑποκειμένῳ. τὸ γὰρ ἐν ὑποκειμέ-
νῳ, καὶ χωρίζεται ἄνευ τῆς τοῦ ὑποκειμένου φθορᾶς. τὸ δὲ τῆς διαφορᾶς, τοιοῦτο. ἄνευ φθορᾶς
οὐ χωρίζεται. ἀλλ᾽ οὐδὲ τὸ ἀχώριστον συμβεβηκός, φαίη ἄν τις χωρίζεται ἄνευ φθορᾶς. ἀλλὰ κἂν
μὴ χωρίζηται τοῦτο, ἄνεσις ὅμως καὶ ἐπίτασις περὶ αὐτὸ θεωρεῖται. ὥσπερ περὶ τὸ
μέλαν τοῦ αἰθίοπος, εἰς ἄλλους τόπους μεταστάντος. καὶ ἡ τοῦ γάλακτος δὲ λευκότης,
ἧττόν ἐστι. μᾶλλον δὲ ἡ τῆς χιόνος. καὶ ἐπὶ τῶν ἄλλων ἀχωρίστων συμβεβηκότων ὡσαύτως. ἐπὶ
δὲ τῆς διαφορᾶς, τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἔστιν. οὔτε ἐν πλείοσιν εἴδεσιν ἢ ἀτόμοις, οὔτε
ἐν τῷ αὐτῷ. τοιαύτη δὲ οὖσα ἡ διαφορά, εἰ μὴ οὐσία ἐστί, μήτε συμβεβηκός. ταὐτὸν δὲ
εἰπεῖν, μήτε οὐκ ἐν ὑποκειμένῳ, μήτε ἐν ὑποκειμένῳ τι ἂν εἴη, εἴπερ πάντα τὰ
ὄντα, ἢ ἐν ὑποκειμένῳ ἐστίν, ἢ οὐκ ἐν ὑποκειμένῳ. ἀνάγκη οὖν ποιότητα οὐσιώδη τὴν
διαφορὰν εἶναι συμπληρωτικὴν τῆς οὐσίας, ἢ μέσην ποιότητος καὶ οὐσίας κοινόν τινα
σύνδεσμον παρεχομένην. ταῖς μὲν οὐσίαις, πρὸς τὰ συμβεβηκότα. τοῖς δὲ συμβε-
βηκόσι, πρὸς τὰς οὐσίας. ἡ γὰρ φύσις, οὐκ ἀμέσως ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία με-
ταβαίνειν φιλεῖ. ὥσπερ οὐδὲ ἀπὸ τῶν ζώων εἰς τὰ φυτά. ἀλλὰ μεταξύ τινα φύσιν τὴν
τῶν ζωοφύτων ὑπέστησε, συναγωγὸν ἀμφοτέρων τῶν ἄκρων καὶ συμπληρωτικήν. κοινω-
νικὴν δέ τινα αὐτῶν πρὸς ἄλληλα. οὕτως ἐνταῦθα τοίνυν μέσην ὑπέστησε τὴν διαφοράν. κατὰ μὲν τι-
νας, ὡς κεχωρισμένην ἀμφοῖν. κατ᾽ ἄλλους δέ, ὡς ἀμφοτέρων μετέχουσαν. ἄλλη δὲ αὖ γέ-
νοιτο δόξα τῶν λεγόντων. μὴ μόνον συμπληρωτικὴν εἶναι τῆς οὐσίας τὴν διαφοράν, ἀλ-
λὰ καὶ μέρος αὐτῆς. ἤτοι κατὰ τὴν ἐμπερίληψιν τοῦ ὑποκειμένου θεωρουμένην. ἢ μέρος οὖσαν
τῆς κατὰ τὸ εἶδος οὐσίας. ἢ συναλλοιουμένην ταῖς πρὸς τὸ ὑποκείμενον σχέσεσιν. ὥστε περὶ
αὐτό πως αὐτὴν καὶ διατίθεσθαι διαφόρως. τοσαῦται μὲν οὖν αἱρέσεις γένοιντ᾽ ἂν περὶ τῶν δια-
φορῶν. χρησίμη δέ ἐστιν ἡ περὶ αὐτῶν θεωρία πρὸς ὅλην τὴν τῶν κοινῶν κατηγοριῶν διδα-
σκαλίαν. ἐν πάσαις γὰρ εἰσὶ ταῖς κατηγορίαις αἱ διαφοραί. ἀλλὰ τίς ἡ βελτίων δόξα τῆς δι-
αφορᾶς ἐν ταῖς εἰρημέναις σκοπεῖν ἄξιον. ἢ ὅτι τὸ μέσον ἐστὶ ποιότητος καὶ οὐσίας. διὸ καὶ συν-

τελειωτικὸν ὥστε ποιὸν εἶναι. καὶ λέγεται περὶ οὐσίαν ὅτι ποιὸν ἀφορίζειν, καὶ οὐχ ὡς ἐν ὑποκειμένῳ. διὸ δεῖν φησιν Ἰάμβλιχος προστιθέναι εἰς τὸν ὅρον τοῦ ἐν ὑποκειμένῳ, τὸ οὐδὲν συντελοῦν πρὸς τὴν οὐσίαν τοῦ ὑποκειμένου. τὸ γὰρ εἶδος, συντελεῖ καὶ ἡ διαφορά. μήποτε δὲ ἀρκεῖ προσκείμενον τῷ ὁρισμῷ τὸ μὴ ὡς μέρος. ἡ γὰρ διαφορά, μέρος γίνεται ὥσπερ καὶ τὸ εἶδος. δεῖ δὲ τὴν διαφορὰν ἔχεσθαι τοῦ εἴδους ὃ συμπληροῖ. τῆς δὲ κατὰ τὸ ἄμορφον τοῦ ὑποκειμένου ἀδιαφόρου ποιήσεως, εἰ οὕτως εἴπω, παντελῶς καθαρεύειν. καὶ κατ' ἄλλον δὲ τρόπον ῥητέον, ὡς διαφορὰ κυρίως, ἡ τὸ γένος εἰς εἴδη διαιροῦσα. καὶ ἐν αὐτοῖς τοῖς διαιρουμένοις, καὶ κατ' αὐτὴν οὖσα τὴν τοῦ διαιρουμένου φύσιν. οἷον ζῴου, καθὸ ζῷον. οὐσίας, καθὸ οὐσία. καὶ γὰρ τὸ εἶδος, ἡ διαφορὰ καθ' ἣν τὰ γένη τέμνεται εἰς τὰ εἴδη. ὁ δὲ τις ἄλλος, τοῦ τινός. οἷον, δίων καὶ πλάτων, οὐδὲν διαφέρουσιν εἰδικὴν τοῦ ἀνθρώπου διαφοράν. Ἀλέξανδρος δὲ ἀπορεῖ, ὡς εἰ ποιότης ἐστὶν ἡ διαφορά, ἐν ὑποκειμένῃ τῇ οὐσίᾳ ἐστί, καὶ οὐ καθ' ὑποκειμένης αὐτῆς λέγεται. Πρὸς ὃν δυνατὸν λέγειν ἀντιστρέφοντα τὸ ὑποθετικόν. ὡς εἰ καθ' ὑποκειμένου λέγονται αἱ διαφοραί, ἐν ὑποκειμένῳ δὲ οὐδαμῶς εἰσι, δῆλον ὡς οὐκ ἂν εἶεν ποιότητες τοιαῦται, ὁποίας αὐτὰς οἱ ταῦτα ἀπορῶντες νομίζουσιν. Ἀλλ' εἰ καθ' ὑποκειμένου φασὶ λέγονται τῆς πρώτης καὶ ἐνύλου οὐσίας, ἡ διαφορὰ ἔσται καὶ αὐτὴ ἔνυλος. ἢ εἰ μὴ ἔνυλον φασὶ τὸ μετὰ τῆς ὕλης ὑφιστάμενον, ὡς ἔχον τινὰ καὶ καθ' ἑαυτὸ ὑπόστασιν, οὐδὲν ἄτοπον καὶ τὰς διαφορὰς οὕτως ὑπαρχούσας, συνωνύμως κατηγορεῖσθαι. καὶ γὰρ καὶ τὸ εἶδος τὸ μετὰ τῆς ὕλης συμπληρωτικὸν τῆς ἀτόμου οὐσίας, ἔχει καὶ καθ' ἑαυτὸ ἰδίαν ὑπόστασιν. καὶ μετὰ τῆς ὕλης κοινήν. καὶ οὐχ ὅλον ὑπὸ τῆς ὕλης. συντελοῦν τε εἰς τὴν οὐσίαν, συνωνύμως κατ' αὐτῆς κατηγορεῖται. αἵ τε δεύτεραι οὐσίαι καθ' ὑποκειμένου λεγόμεναι, οὐκέτι εἰσὶ πάντως ἔνυλοι, ὡς ἐν τῇ ὕλῃ τὸ εἶναι ἔχουσαι. παραιτησόμεθα δὲ καὶ τὰς ἁπλᾶς ἐν ποιότητι. οἷον λογικότητι περὶ οὐσίας, διατάξεις περὶ τῶν διαφορῶν. καὶ τὰς συλλαμβανούσας τὴν ὕλην μετ' αὐτῶν, ἢ τὸ γένος. καὶ τὰς παντάπασι χωριζούσας αὐτῶν τὴν φύσιν τοῦ εἴδους. πᾶσαι γὰρ αὗται αἱ δόξαι, τῆς ἀληθινῆς περὶ τῶν διαφορῶν αἱρέσεως ἀποπίπτουσιν. Ἰάμβλιχος δέ γε οὐ προσίεται, καὶ τὸ ἐκ πλειόνων διαφορῶν εἶναι τὸ εἶδος. ἀεὶ γὰρ μία ἐστὶν ἡ τελευταία τοῦ εἴδους μορφωτική. αἱ δὲ προάγουσαι, ὡς γένη προϋπόκεινται. μήποτε δὲ ἐν μὲν εἶναι χρὴ τὸ προσεχὲς γένος ἐν τῷ εἴδει. τὰς δὲ ἄλλας διαφορὰς διοριζούσας ἀπὸ τῶν ὁμογενῶν εἰδῶν πλειόνων ὄντων. καὶ γὰρ τὸ λογικὸν πρὸς τὰ ἄλογα, διορίζει τὸν ἄνθρωπον. καὶ τὸ θνητὸν πρὸς τὰ ἀθάνατα. καὶ τὸ ζῷον φαίη ἄν τις πρὸς τὰς μὴ ζώσας οὐσίας. καὶ τὸ ἔμψυχον, πρὸς τὰς ἀψύχους. καὶ οὕτως καὶ τὰ πολλὰ γένη, διαφοραὶ γίνονται. ἀλλ' οὐχ αἱ διαφοραὶ γένη. εἴπερ τὰ μὲν γένη, τὸ τί ἐστι σημαίνει. αἱ δὲ διαφοραί, τὸ ὁποῖόν τι. Ἀποροῦσι δέ τινες, πῶς τὴν διαφορὰν συνωνύμως κατηγορεῖσθαι φησίν. οἷον τοῦ πεζοῦ, καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου. οὔτε γὰρ τοὔνομα, οὔτε τὸν λόγον ἐστὶ κατηγορεῖν τοῦ ὑποκειμένου. τὸ γὰρ πεζόν, ἓν μὲν σημαίνει τὴν ἕξιν αὐτήν, οἷον τὴν πεζότητα. ἕτερον δέ, τὸ μετέχον τῆς ἕξεως ταύτης, καὶ διακείμενον κατὰ ταύτην. ἀλλὰ τοῦτο μὲν οὐκ ἔστιν ἡ διαφορά. διὸ οὐδὲν πρὸς τὸν λόγον. αὐτῆς δὲ τῆς πεζότητος ἥτις ἐστὶν ἡ διαφορά, οὔτε τὸ ὄνομα

κατηγορεῖται κατὰ τοῦ ὑποκειμένου. οὐδὲ γὰρ λέγομεν πεζότητα τὸ ὑποκείμενον, οἷον τὸν ἄνθρωπον, ἤ τι ἄλλο τῶν πεζῶν, οὔτε τὸν λόγον τῶν πεζῶν. οὐδὲ γὰρ λέγομεν τὸ ὑποκείμενον ἕξιν εἶναι, ἀφ' ἧς οἱ μετασχόντες πεζοὶ λέγονται. πῶς οὖν εἴρηται καὶ τοὔνομα καὶ τὸν λόγον τῆς διαφορᾶς κατηγορεῖσθαι τοῦ ὑποκειμένου. ὥστε οὐδὲ συνωνύμως ἂν ἐκθείη ἡ διαφορὰ κατὰ τῶν ὑποκειμένων. εἰ δὲ μὴ τοῦτο, οὐδὲ καθ' ὑποκειμένου λέγονται. εἰ ἄρα τὰ καθ' ὑποκειμένου συνωνύμως τῶν καθ' αὑτὰ ἀτόμων κατηγορεῖται. Πρὸς δὴ τοῦτο τὸ ἀπόρημα, οἱ συμπληρωτικὴν μὲν τιθέντες διαφορὰν κατὰ τὸ αὐτὸ εἶναι, λόγῳ δὲ καὶ ὀνόματι μὴ ἀληθευομένην λέγοντες, ἢ συμπληρωτικὴν μὲν τοῦ κατὰ τὸ ὑποκείμενον λόγου, οὐ μὴν τοῦ ὁριστικοῦ, οὗτοι οὐ συμφωνοῦσι πρὸς Ἀριστοτέλην. περὶ γὰρ τοῦ ὁριστικοῦ λόγου λέγει ἐν ταῦθα. καὶ τὸ συνωνύμως κατηγορεῖσθαι ἀπὸ τῶν διαφορῶν καὶ τῶν γενῶν καὶ τῶν εἰδῶν οὕτως εἴρηκε. διαμαρτάνουσι δὲ καὶ τῆς περὶ τῶν διαφορῶν ἀρίστης αἱρέσεως, τὸ οὐσιῶδες αὐτῶν μὴ ἐννοοῦντες. ἀτόπως δὲ καὶ διαιροῦσι χωρὶς, τὸν κατὰ τὸ ὑποκείμενον εἶδος λόγον, καὶ τὸν ὁριστικόν. εἰ γὰρ ὁ ὁριστικὸς λόγος, τὸ τί ἦν εἶναι δηλοῖ, τοῦτο δέ ἐστι τὸ εἶδος, οὐκ ἄλλος μὲν ἔσται ὁ κατὰ τὸ ὑποκείμενον λόγος, ἄλλος δὲ ὁ κατὰ τὸν ὅρον. αἴτιον δὲ τῆς ταραχῆς, ὅτι ποτὲ μὲν ὡς συμπληρωτικὰς λαμβάνουσι τὰς διαφορὰς τῆς οὐσίας, καὶ ὡς μέρη τοῦ εἴδους. ὅταν δὲ τὸν λόγον τὸν ὁριστικὸν ποιῶνται, οὐχ ὡς συμπληρωτικὰς ἔτι τὰς διαφορὰς λαμβάνουσιν, ἀλλ' ὡς κατὰ ποιότητα θεωρουμένας. καὶ τὸν λόγον, οὐ πᾶσιν ἐφαρμόζειν τοῖς ὑποκειμένοις τὸν τῶν ἕξεων. εἰ δὲ ὥσπερ ἦν προσῆκον ἐλάμβανον ἐπ' ἀμφοτέρων τούτων τὰς διαφορὰς, ὡς συμπληρωτικὰς, πάντως ἂν καὶ τὸ ὄνομα καὶ ὁ ὁριστικὸς λόγος, κατηγοροῖτο κατὰ τῶν ὑποκειμένων. ταῦτα μὲν οὖν ὁ Ἰάμβλιχος τὴν ἀπορίαν διαλύων, φησί. μήποτε δὲ ἔτι μένει τὸ ἄπορον. οὐ γὰρ ἐστιν, οὔτε λέγεσθαι δύναται τὸ ὑποκείμενον τῷ τοῦ συμπληροῦντος ὀνόματι. οὐδὲ ὁ τῆς ποιότητος λόγος δύναται τῷ κατ' αὐτὴν ποιῷ ἐφαρμόττειν. ἀλλ' εἰ μὲν ποιότης ἦν ἁπλῶς ἡ διαφορὰ, καλῶς ἐλέγετο. εἰ δὲ οὐσιώδης ποιότης, καὶ οὔτε ἐν ὑποκειμένῳ, οὔτε μέρος οὐσίας τῆς συνθέτου ἢ τῆς ὑλικῆς, ἀλλὰ τοῦ εἴδους συμπληρωτικὴ κατὰ τὸ εἶναι δηλονότι. καὶ ἔστι τὸ εἶδος, καθ' αὑτὴν καὶ λέγεται. καὶ οὐ δεῖ τὸν τῆς ποιότητος ἢ τῆς ἕξεως ὁρισμὸν ὡς διαφορᾶς λαμβάνειν. οὐ γὰρ ἦν τοῦτο ἡ διαφορὰ τὸ ὡς συμβεβηκὸς ὑπάρχον, ἀλλὰ τὸ οὐσιῶδες καὶ τῆς οὐσίας συμπληρωτικόν. καθὸ καὶ ἔστι καὶ λέγεται τὸ εἶδος. καὶ τοῦτο καὶ αὐτὸς προϊὼν ὁ Ἰάμβλιχος ἐγκρίνει. ὥστε εἰκότως συνάγεται τὸ μὴ μόνον τὴν δευτέραν οὐσίαν συνωνύμως κατὰ τῶν ὑποκειμένων κατηγορεῖσθαι, ἀλλὰ καὶ τὴν διαφοράν. Τί οὖν. ἆρα τὸ συνωνύμως κατηγορεῖσθαι ταῖς δευτέραις οὐσίαις ὑπάρχει μόνον καὶ ταῖς διαφοραῖς, ἢ καὶ ταῖς ἄλλαις πάσαις κατηγορίαις. καὶ γὰρ ἐν ἐκείναις, τὰ γένη καὶ τὰ εἴδη πάντων τῶν κατ' αὐτὰς ἀτόμων συμβεβηκότων, συνωνύμως κατηγορηθήσεται. καὶ γὰρ ἐπιστήμη καὶ γραμματικῆς, συνωνύμως λέγεται. καὶ ἡ γραμματικὴ, καὶ τῆς Ἀριστάρχου γραμματικῆς. Πρὸς δὲ τοῦτο ῥητέον, ὅτι κοινὸν μὲν τοῦτο καὶ πρὸς τὰ τῶν ἄλλων κατηγοριῶν γένη καὶ εἴδη. ἴδιον δὲ, τῶν ἐν οὐσίᾳ

γενῶν καὶ εἰδῶν, τὸ τῶν ἀτόμων οὐσιῶν, γένη εἶναι τὰ εἴδη καὶ κατὰ τούτων συνωνύμως
κατηγορεῖσθαι. καὶ οὐδὲν κοινὸν τὸ τῆς οὐσίας συνώνυμον, πρὸς τὸ τῶν συμβεβηκό-
των. μήποτε δὲ οὐσίας μὲν ἴδιον, τὸ συνωνύμως κατηγορεῖσθαι. καὶ τὸ γένος καὶ τὸ εἶδος
ταύτῃ πρώτῃ ὑπάρχει. μεταδίδοται δὲ ἀπ' αὐτῆς καὶ ταῖς ἄλλαις κατηγορίαις,
καθ' ὅσον οὐσίων ταύτας καὶ ἐκεῖναι. διὸ καὶ ἐν ἐκείναις τὰ γένη καὶ τὰ εἴδη οὐσιωδῶς
τοῖς ἀτόμοις ὑπάρχειν λέγομεν, καὶ ἐν τῷ εἶναι κατηγορεῖσθαι. οἷον, τὸ χρῶμα καὶ τὸ
λευκὸν. καὶ τῷ δὲ τινὶ τῷ λευκῷ. ὡς γὰρ ταῖς οὐσίαις τινὰ κατὰ συμβεβηκὸς ὑπάρχει,
οὕτως καὶ τοῖς συμβεβηκόσιν οὐσιῶν οὐσιωδῶς. ἀλλὰ διὰ τί φασι τὰ μὴ ἴδια τῆς οὐσίας
ὡς χρήσιμα εἰς τὴν γνῶσιν τῆς οὐσίας παραλαμβάνει. ὥσπερ τὸ οὐκ ἐν ὑποκειμένῳ. ἢ
πρὸς γνῶσιν τῆς οὐσίας συντελεῖ, τὸ γνῶναι, ὅτι καὶ ὑπάρχει τῇ οὐσίᾳ τὸ μὴ ἐν ὑπο
» κειμένῳ, ἀλλ' οὐκ αὐτῇ μόνῃ ὑπάρχει τοῦτο, καὶ δοκεῖ μάλιστα αὐτῇ προσήκειν. Πᾶσα
» δὲ οὐσία δοκεῖ, τόδε τι σημαίνειν. ἕως τοῦ, ὁ γὰρ ζῶον δίπουν, ἐπὶ πλέον περιλαμβά-
» νει, ἢ ὁ τὸν ἄνθρωπον. Δείξας πρότερον, ὅτι οὔτε τὸ μὴ ἐν ὑποκειμένῳ μέρος ἴδιον
ἐστὶ τῆς οὐσίας, ἀλλὰ κοινὸν τοῦτο αὐτῇ πρὸς τὴν διαφοράν ἐστιν, οὔτε τὸ συνωνύ-
μως ἀπ' αὐτῆς τὰ ἄλλα λέγεσθαι. τῇ γὰρ ἀτόμῳ οὐσίᾳ τοῦτο οὐχ ὑπάρχει, μετα-
βέβηκεν ἐπὶ τὴν ἀπὸ τῆς δείξεως διάκρισιν. οἰκεῖαι γάρ εἰσι δείξεις, ἑκάστῃ τῶν κατη-
γοριῶν. ὥσπερ κατὰ τὸ ποιὸν τὸ τοιόνδε. καὶ κατὰ τὸ ποσὸν, τὸ τοσόνδε. οὕτως δὲ
καὶ κατὰ τὴν οὐσίαν τὸ τόδε. πλὴν καὶ τοῦτο δείκνυσιν οὐ πάσῃ τῇ οὐσίᾳ ὑπάρχον.
ἡ γὰρ δευτέρα οὐσία, οὐχ ὡς τόδε, ἀλλ' ὡς τοιόνδε δείκνυται. διότι περὶ οὐσίαν τὸ
ποιὸν ἀφορίζει. οὐ μέντοι ὡρισμένως τὸ τόδε αὐτῇ προσήκει. οὐδὲν ἄρα τούτων
ἴδιον κυρίως τῆς οὐσίας ἐστί. καλῶς δὲ εἶπεν ὅτι πᾶσα οὐσία δοκεῖ τόδε τι σημαί-
νειν. διότι τὴν ἑτέρων δόξαν ἀπαγγέλλει. καὶ τὴν ἀνωμαλίαν τῆς συνηθείας. ἥτις τὰ
ἀνόμοια πράγματα ὁμοίοις σχήμασι λέξεων εἴωθε πολλάκις σημαίνειν. καὶ γὰρ ἐν
ταῦθα, πιθανὴν φαντασίαν ἐμποιεῖ. ὡς ἄρα ὁ ἄνθρωπος ὅμοιός ἐστι τῷ σωκράτει,
καὶ εἷς ἀριθμῷ. ἐπειδὴ, εἴδει ἐστὶν εἷς. ἐξετάζων δὲ τὴν δόξαν ταύτην, ἐπὶ μὲν τῶν
πρώτων οὐσιῶν, ὁμολογουμένην αὐτὴν εὑρίσκει. τόδε γάρ τι ἐστὶν ἡ ἄτομος οὐσία. οὐχ
ὅτι δὲ ἁπλῶς οὕτως ἓν ἀριθμῷ. ἐπεὶ καὶ τὸ ποιὸν ἓν ἂν γένοιτο τῷ ἀριθμῷ. καὶ
τὰ ἄλλα τὰ ὑπὸ τὰς ἐννέα κατηγορίας, ὅσα καθ' ἓν ἀφώρισται. οὐδαμῶς δὲ ταῦτα
δέχεται τὴν τοῦ τόδε δεῖξιν κατὰ τὴν οἰκείαν ἰδιότητα, ἀλλὰ τὸ οὐσιῶδες ἓν ἀριθμῷ
μόνον, καὶ γὰρ ἐκείνων ἕκαστον, εἴ τις τὸ τόδε λέγοι, οὐ τὴν ἰδίαν τῆς ποιότητος δεῖ-
ξιν ποιούμενος. ἐκείνη γὰρ τὸ τοιόνδε ἀπαιτεῖ, ἀλλὰ τὸ κοινὸν τῆς καὶ ὡς καθ' ἑαυτὸ ὑπο-
στάσεως, ὃ πᾶσιν ἀπὸ τῆς οὐσίας ἐνδίδοται. ἐπὶ μέντοι τῶν δευτέρων οὐσιῶν τὸ μὲν
σχῆμα τῆς λέξεως, ὁμοίως δοκεῖ τόδε τι σημαίνειν, ἐπὶ ἀνθρώπου καὶ σωκράτους. οὐ
μὴν ἀληθές γε, ἀλλὰ μᾶλλον ποιόν. διότι πολλῶν ὄντων τῶν καθ' ἕκαστα τὴν ὁμοιότητα αὐ-
τῶν, τὸ γένος καὶ τὸ εἶδος περιίστησι. προσθεὶς δὲ διὸ, τό τε μὴ ἀληθὲς εἶναι τὸ, ὁμοίως τῇ
ἀτόμῳ οὐσίᾳ, τὸ γένος καὶ τὸ εἶδος, τόδε τι σημαίνειν. καὶ ἔτι τὸ μᾶλλον ποιόν τι σημαί-
νειν. τὸ μὲν πρῶτον κατασκευάζει, διὰ τοῦ, οὐ γὰρ ἕν σημαίνει τὸ ὑποκείμενον.

ὅτι δὲ ποιόν, διὰ τοῦ, κατὰ πολλῶν γὰρ ὁ ἄνθρωπος λέγεται. καὶ ὅταν αὐτὸν εἴπωμεν, οὐδένα λέγομεν τῶν ἐν μέρει ἀφωρισμένως, ἀλλ' ἐπ' ἀδήλῳ. οὐδὲν γὰρ μᾶλλον Σωκράτην, ἢ Πλάτωνα, ἢ ἄλλον τινὰ τῶν καθ' ἕκαστα. οὐ γὰρ πᾶν τὸ περιγραφὴν ὁποιανοῦν ἔχον, ἤδη καὶ τόδε, ἐὰν μὴ ἓν ᾖ καὶ ἀφωρισμένον. ὅταν δὲ λέγω ἄνθρωπον, δεῖξαι τὸ εἶδος οὐ δύναμαι. οὐδὲ γὰρ ὑφέστηκε καθ' ἑαυτό. ἀλλὰ τὸ ἄτομον δεικνὺς, οἷον τὸν Σωκράτην, λέγω ὅτι τοιοῦτόν ἐστιν ὁ ἄνθρωπος, ὁποῖον Σωκράτης. οὐκοῦν, ποιόν ἐστι περὶ οὐσίαν. ἵνα δὲ μή τις ὑπολάβῃ τὴν δευτέραν οὐσίαν ποιότητα νομίζειν αὐτὸν ὥσπερ τὸ λευκόν, ἐπειδὴ ποιόν ἐστι κἀκεῖνο ἐπισημαίνειν, καὶ τὸ λευκὸν δὲ περὶ οὐσίαν ἐστί, διὰ τοῦτο τὰς διαφορὰς αὐτῶν παραδίδωσι. τῶν μὲν δευτέρων οὐσιῶν τὴν ποιότητα, οὐσιώδη λέγων. τοῦτο γάρ ἐστι τὸ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζειν. προσυπακουστέον δὲ τὸ τῆς οὐσίας εἶδος καὶ γένος. οὐ γὰρ πᾶν εἶδος, καὶ γένος τοιοῦτον. εἰ μὴ ἄρα καὶ τὰ ἐν ταῖς ἄλλαις κατηγορίαις γένη καὶ εἴδη, ἐν τῷ τί ἐστι κατηγορούμενα, οὐσιώδη ποιότητα παρέχεται κατὰ τὴν τῆς οὐσίας καὶ ἐν ἐκείνοις μέθεξιν. τῶν μὲν οὖν δευτέρων οὐσιῶν τὴν ποιότητα, οὐσιώδη φησί, καὶ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζειν, τουτέστι περιορίζειν καὶ περιγράφειν. τὴν δὲ λευκοῦ, αὐτὸ τοῦτο μόνον ποιότητα. διό τε λευκὸν μὲν, ἄνευ οὐσίας νοεῖται. τὸ δὲ γένος καὶ τὸ εἶδος, ἄνευ ἀτόμου οὐσίας οὐ δύναται θεωρεῖσθαι. καὶ τὰ μέν ἐστι μέρη συμπληρωτικὰ τῆς οὐσίας, τὰ γένη καὶ τὰ εἴδη. τὸ δὲ λευκὸν, οὐκ ἔστιν. ἀλλ' ἐπεὶ καὶ ἡ διαφορὰ τὴν τοῦ γένους οὐσίαν ἀφορίζουσα, εἰδοποιεῖν δοκεῖ τε χαρακτηρίζειν τὰς οὐσίας ἐν τῷ ποιῷ, ἄξιον ζητεῖν, τίνι μὲν τοῦ λευκοῦ, τίνι δὲ τῶν γενῶν τε καὶ εἰδῶν αἱ διαφοραὶ διεστήκασιν. καὶ τοῦ μὲν λευκοῦ, διότι τὸ μὲν λευκὸν ποιὸν μόνως. αὕτη δὲ περὶ οὐσίαν ποιόν. καὶ διότι τὸ πεζὸν οὐκ ἔστιν ἄνευ οὐσίας νοῆσαι ὥσπερ τὸ λευκόν. καὶ διότι διαφορὰς τῶν οὐσιῶν καθόσον οὐσίαι σημαίνουσι. καὶ εἰσὶν ὁμοιαί πως πρὸς τὴν οὐσίαν. τὰ μὲν γὰρ γένη καὶ εἴδη, οὐσίαι εἰσὶν, ὁμοιότητά τινα πρὸς τὸ ποιὸν ἔχουσι. διαφέρουσι ταῦτα μὲν, ἐν τῷ τί ἐστι κατηγορεῖται. αἱ δὲ διαφοραὶ, ἐν τῷ ὁποῖόν τί ἐστι. προστίθησι δὲ καὶ ὅτι τῶν κατὰ κοινοὺς λόγους κατηγορουμένων, τὰ μὲν προσεχῶς κατηγορούμενα, οἷον τὰ εἴδη, ἐπ' ἔλαττον δοκεῖ διατείνειν. τὰ δὲ πορρώτερον, οἷον τὰ γένη, ἐπὶ πλέον περιλαμβάνει τὸν ἀφορισμόν. ἀλλὰ τῶν εἰρημένων περὶ τῆς οὐσίας, τὸ μὲν οὐκ ἐν ὑποκειμένῳ, ἀπὸ τῆς σχέσεως εἴληπται τῆς πρὸς τὰ ἐν ὑποκειμένῳ γινόμενα. τὸ δὲ τόδε τι σημαίνειν, ἀπὸ τῆς τοῦ κατηγορεῖσθαι συνηθείας. αὕτη δὲ ἡ οὐσία τίς οὖσα, δέχεσθαι τὰς τοιαύτας σχέσεις οὐδαμῶς λέγεται. καὶ διότι πρόκειται διελέσθαι πῶς ἕκαστον κατηγορεῖται, καὶ ποσαχῶς. διὰ τοῦτο καθόσον ἡ κατηγορία γίνεται, κατὰ τοσοῦτον αὐτῶν τὰ ἰδιώματα παρίστησι. καὶ διότι λογικώτερον τὰ ἰδιώματα τῶν κατηγοριῶν θηρεύει. οἷον, ἀπὸ τοῦ λέγεσθαι. τῶν γὰρ σημαντικῶν λέξεων, ἡ θεωρία οὐκ ἄλλως ἂν γένοιτο, ἢ καθόσον λέγονται. τὸ δὲ συναγόμενον, ἐκ τῶν προειρημένων ἐστίν. ὡς οὐδὲ τὸ τόδε λέγεσθαι, ἴδιόν ἐστι τῆς οὐσίας. οὐχ ὁμοίως μέντοι τῶν προτέρως εἰρημένων. ἀλλὰ τὸ μὲν μὴ ἐν ὑποκειμένῳ, οὐκ ἦν ἴδιον, ὡς μὴ μόνῃ αὐτῇ ὑπάρχον. τοῦτο δὲ οὐκ ἔστιν ἴδιον, διότι μὴ πάσῃ αὐτῇ ὑπάρχει. Ἀλλ' ἀποροῦσί τινὲς, πῶς τόν τινα ἄνθρωπον, καὶ ἄνθρωπον εἶναι λέγομεν, καὶ ζῷον,

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ λογικόν, καὶ θνητόν, εἰ μὴ πάντα ταῦτα τόδε ἐστίν. Ἢ ὅτι τὰ εἴδη κατατεθέντα, λέγομεν τόδε τινὰ εἶναι. ὁ δὲ λόγος νῦν περὶ τῶν καθ' αὑτὰ ἐπινοουμένων. Ἀλλὰ καὶ εἰ λέγομεν τόδε τι τὴν ἄτομον οὐσίαν. πότερον κατὰ τὸ εἶδος, ἢ τὴν ὕλην, ἢ τὸ ἐξ ἀμφοῖν; Ἢ φήσομεν κατὰ πάντα. ἀλλὰ κατὰ μὲν τὴν ὕλην καθόσον ὑπόκειται καὶ εἰς ἐνέργειαν ἥκει τοῦ δέχεσθαι τὸ εἶδος. κατὰ δὲ Πλάτωνα, καὶ μὴ ὡς ἐξισταμένην τῆς οἰκείας φύσεως. κατὰ δὲ αὐτὸ τὸ εἶδος καθόσον ὥρισται, καὶ ἕν ἐστιν ἀριθμῷ. καὶ γὰρ ὁ Βοηθὸς τὸ εἶδος κατὰ τόδε ἀφορίζει. εἰ δέ τις τὴν ὕλην ἀόριστον οὖσαν, μηδαμῶς τόδε τι εἶναι φησίν, ἀναμνήσομεν αὐτόν, ὡς οὐ περὶ τῆς ἐσχάτης ὕλης ἐστὶν ὁ παρὼν λόγος, ἀλλὰ τῆς ἤδη σχέσιν ἐχούσης πρὸς τὸ εἶδος. τὸ δὲ σύνθετον δηλονότι ὅπερ ἐστὶ τὸ ἄτομον, ἐπιδέχεται τὸ τόδε. εἰ δέ τις οὐ πραγματικὴν εἶναι λέγοι διαφορὰν ἐν τῷ τόδε καὶ τοιόνδε, ἀλλὰ σημασίας λεκτικῆς ἰδιώματα, τὸ μὲν, τοῦ παρεῖναί τι ὡρισμένως ἀφορίζειν τὴν διάνοιαν σημεῖον γινόμενον. τὸ δὲ τοιόνδε, ὡς ὅμοιον τῷ δεδηλωμένῳ, ἐροῦμεν καὶ πρὸς τοῦτο τὴν ὡρισμένην καθ' ἓν οὐσίαν διαφέρουσαν προϋπάρχειν, καὶ τὴν ταυτότητα καὶ ὁμοιότητα τοῦ λόγου τὴν ἐπὶ ταῖς πολλαῖς οὐσίαις προηγεῖσθαι. καθ' ἃς καὶ ἡ σημασία ἔχει χώραν. διότι γὰρ ἔστιν ὡρισμένως, διὰ τοῦτο ὡρισμένως λέγεται. ἀλλ' οὐ κατὰ ἀνάπαλιν. ὅλη δὲ ἡ ἔφοδος ἡ ἀπὸ τῶν λεγομένων ἐπὶ τὰς οὐσίας, κατὰ μὲν τοὺς Πυθαγορείους, ἔχει ἀληθείας, ἐπειδὴ συμφυῆ τὰ λεγόμενα τοῖς πράγμασιν ἐτίθεντο. κατὰ δὲ τοὺς συνθηκημάτως λέγοντας εἶναι τὰ μόρια τῆς λέξεως, ἀλλοτρίας πρόεισιν ἀποπίπτουσα τῆς ἀρχῆς τῶν κατηγοριῶν, ἀφ' ἧς ὥρμηται κατὰ τὴν ἀλήθειαν. Ἄξιον δὲ ζητεῖν κατὰ τοὺς ὑπόστασιν διδόντας τοῖς εἴδεσι καὶ γένεσιν, εἰ ῥηθήσεται τόδε εἶναι. καὶ γὰρ καὶ Χρύσιππος ἀπορεῖ περὶ τῆς ἰδέας, εἰ τόδε τι ῥηθήσεται. συμπαραληπτέον δὲ καὶ τὴν συνήθειαν τῶν Στωϊκῶν, περὶ τῶν γενικῶν ποιῶν. πῶς αἱ πτώσεις κατ' αὐτοὺς προφέρονται, καὶ πῶς οὔτινα τὰ κοινὰ παρ' αὐτοῖς λέγεται. καὶ ὅπως παρὰ τὴν ἄγνοιαν, τοῦ μὴ πᾶσαν οὐσίαν τόδε τι σημαίνειν. καὶ τὸ παρὰ τὸν οὔτινα σόφισμα γίνεται, παρὰ τὸ σχῆμα τῆς λέξεως. οἷον εἴ τις ἐστὶν ἐν Ἀθήναις, οὐκ ἔστιν ἐν Μεγάροις. ὁ γὰρ ἄνθρωπος, οὔτις ἐστίν. οὐ γάρ ἐστι τὶς ὁ κοινός. ὡς τινὰ δὲ αὐτὸν ἐλάβομεν ἐν τῷ λόγῳ. καὶ παρὰ τοῦτο, τὸ ὄνομα τοῦτο ἔσχεν ὁ λόγος, οὔτις κληθείς. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ δὲ τοῦ σοφίσματος ἐστίν. ὃ ἐγὼ εἰμί, σὺ οὐκ εἶ. ἄνθρωπος δὲ εἰμὶ ἐγώ, ἄνθρωπος ἄρα σὺ οὐκ εἶ. καὶ γὰρ ἐπὶ τούτου τοῦ σοφίσματος, τὸ μὲν ἐγὼ καὶ σύ, ἐπὶ τῶν ἀτόμων λέγεται. ὁ δὲ ἄνθρωπος, ἐπ' οὐδενὶ τῶν ἐν μέρει. γέγονεν οὖν ἡ παραγωγή, διότι τῷ οὔτινι ὥς τινι ἐχρήσατο. ἀλλὰ τούτων μὲν, ἅλις. ἐπὶ δὲ τὰ ἑξῆς ἰτέον. « Ὑπάρχει δὲ ταῖς οὐσίαις, « καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον εἶναι. ἕως τοῦ, τῶν ἀφωρισμένων οὐδὲν οὐδενί ἐστιν ἐναντίον. Ἐπ' ἄλλο μεταβαίνει τῶν κοινῇ καὶ ἀλλήλοις ὑπαρχόντων, τὸ δέχεσθαι ἢ μὴ δέχεσθαι ἐναντίωσιν ζητῶν, εἴπερ ὑπάρχει ταῖς οὐσίαις τὸ μὴ ἔχειν ἐναντίον. καὶ τοῦτο δείξας ὅτι οὐκ ἔστιν ἴδιον αὐτῆς, δείκνυσιν ἐκ τοῦ καὶ τῷ ποσῷ ὑπάρχειν. ἀλλ' ὅτι μὲν ὑπάρχει τὸ μηδὲν ἐναντίον εἶναι ταῖς οὐσίαις, δείξας ἂν ἐκ τῶν δὲ ἐναντία, ὑφ' ἓν γένος ἀεὶ ὑποτάττεσθαι. ἡ δὲ οὐσία, οὐδὲν ἔχει ἄλλο ὑπέρτερον γένος ἐν ᾧ ἀντιταχθήσεται. καὶ γὰρ τὰ ἐναντία σχέσιν ἔχει πρὸς ἄλληλα.

ἡ δὲ οὐσία, ἄσχετός ἐστι. καὶ οὐδὲν προσδεῖται τῆς κατὰ τὴν ἐναντίωσιν σχέσεως. ἔτι τὰ μὲν ἐναντία πρὸς ἄλληλα ἀπονεύει. ἡ δὲ οὐσία, καθ' αὑτὴν ὥρισται. ὁ μέντοι ἀριστοτέλης ἀπὸ τῆς ἐπαγωγῆς τῶν πρώτων καὶ δευτέρων οὐσιῶν, τὸ μηδὲν ἐναντίον εἶναι ταῖς οὐσίαις κατασκευάζει. οὐ μὴν ἴδιον αὐτὸ τῆς οὐσίας νομίζει. κοινὸν γὰρ εἶναι τοῦτο πρὸς τὸ ἀφωρισμένον ποσόν. τοῖς γὰρ δύο οὐδέν ἐστιν ἐναντίον. οὐ γὰρ δή που τὰ τρία. εἴ γε μᾶλλον οὗτος ἢ ἄλλος τις τῶν διωρισμένων ἀριθμῶν, ἀριθμός ἐστιν. ἀλλὰ μὴν οὐδέ γε ἑνὶ μόνως ἐστὶν ἐναντίον. οὐκ ἄρα τὰ τρία. οὐδὲ ἄλλος διωρισμένος ἀριθμὸς οὐδεὶς τοῖς δύο ἀντίκειται. εἰ δὲ καὶ τὰ τοιαῦτα ποσὰ μὴ ἐπιδέχεται τὸ ἐναντίον, οὐκ ἔστι τῆς οὐσίας ἴδιον, εἴπερ μὴ μόνῃ τούτῳ ὑπάρχει. εἰ δέ τις καὶ ἐν τῷ ποσῷ ἐναντίωσιν εἶναι λέγοι, τὸ πολὺ τῷ ὀλίγῳ ἐναντίον τιθεὶς, καὶ τὸ μέγα τῷ μικρῷ, καὶ διὰ τοῦτο ἴδιον εἶναι λέγει τῆς οὐσίας, τὸ μηδὲν ἔχειν ἐναντίον ὡς μόνῃ αὐτῇ ὑπάρχειν. ἴσως μὲν, οὐδὲ ποσὰ ταῦτα ἐστὶν, ἀλλὰ πρός τι, ὡς ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ ἐπιδέδεικται. ὥστε εἰ ἡ ἀντίθεσις αὐτῶν κατὰ τὴν ἐναντίωσιν, οὐ κατὰ τὸ ποσὸν, ἀλλὰ κατὰ τὸ πρός τι. τὴν δὲ τῶν ἀντιθέσεων διαφορὰν, αὐτὸς μετ' ὀλίγον διδάξει. ἀλλ' ἐπειδὴ οὐδὲν πρὸς τὸ παρὸν διαφέρει, ταῦτα μὲν ὡς ἀμφισβητούμενα συγχωρεῖ. ἀπὸ δὲ τοῦ ὁμολογουμένου τὸ αὐτὸ συμπέρασμα συνάγει λέγων, ὅτι τὸ τοιοῦτον ποσὸν οὐκ ἀφωρισμένον ἐστίν. οὐ γὰρ μήτε τὸ πλῆθος μήτε τὸ μέγεθος ὥρισται, μήτε τὸ βάρος, μήτε τὴν ἀρχὴν γνώριμόν ἐστιν, ἐν τίνι ἐστὶν αὐτῷ τὸ εἶναι κυρίως, τοῦτο οὐκ ἀφωρισμένον ἂν ῥηθείη. οἷον, τὸ μέγα. τοῦτο γὰρ, οὔτε μήκει, οὔτε πλάτει, οὔτε ἀριθμῷ διώρισται. ἐπειδὰν δὲ γραμμὴν εἴπῃς, ὁρίζεις τὸ μῆκος. καὶ ἔτι μᾶλλον ὁρίζεις, ἐὰν προσθῇς τὸν ἀριθμόν. καὶ ἔστιν οὕτως ἀφωρισμένον ποσὸν, ὅπερ οὐκ ἔχει τὴν ἐναντίωσιν. ἱκανὸν οὖν τὸ ἀπὸ τῶν ἀφωρισμένων ποσῶν τεκμήριον, πρὸς τὸ μὴ μόνην τὴν οὐσίαν μὴ ἔχειν τὴν ἐναντιότητα, μὴ δὲ εἶναι αὐτῆς ἴδιον. καὶ γὰρ καὶ ἐφ' ἑνὸς καὶ ἐπὶ πολλῶν, τὸ αὐτὸ δείκνυται συμπέρασμα. ἀποροῦσι δέ τινες, πῶς οὐκ ἔστιν ἐναντίωσις ἐν τῇ οὐσίᾳ. πῶς γὰρ τὸ λογικὸν ζῷον τῷ ἀλόγῳ οὐκ ἔστιν ἐναντίον. πρὸς ὅ φησιν ἰάμβλιχος, ὅτι διαφορὰ πρὸς διαφορὰν ἐναντιοῦται. τὸ δὲ ὅλον, οὐκ ἔστιν ἐναντίον. καὶ ὅτι τὸ ἐπιδεχόμενον τὰ ἐναντία, οὐκ ἔστιν αὐτὸ ἐναντίον. εἰ γὰρ κατέχοιτο ὑφ' ἑνὸς τῶν ἐναντίων, οὐκ ἂν δύναιτο καὶ πρὸς τὴν τοῦ ἑτέρου ἐναντίου καταδοχὴν ἐπιτηδείως παρεσκευάσθαι. οἷον, ψυχή. ἢ σῶμα. ἢ ἄτομος οὐσία. ἢ δευτέρα οὐσία. εἴπερ ἐπιδέχοιτο τἀναντία αὐτὰ καθ' αὑτὰ, οὐκ ἔσται ἐναντία. ἀλλ' οὐδὲ εἰ διαιροῖτό τις εἰς τἀναντία ὡς περὶ τὸ ζῷον, οὐδὲ οὕτως ἔσται ἐναντίον. γνοίη δ' ἄν τις φησὶ καὶ ἀπὸ τοῦ ὅρου τῶν ἐναντίων. τὰ πλεῖστον γὰρ ἀπ' ἀλλήλων κεχωρίσθαι, ἀφοριζόμεθα αὐτά. ὡς δὲ νῦν λέγεται περὶ τὴν αὐτὴν οὐσίαν τοῦ ζῴου ὑπάρχει. πρὸς δὴ ταῦτα ἀπορῶν ἐγὼ, νενοηκέναι δοκῶ μοι τὰ λεγόμενα. καὶ γὰρ ἐν τοῖς ὁμολογουμένως ἐναντίοις περὶ τὰς διαφορὰς ἐστὶν ἡ ἐναντίωσις. ὅλον δὲ ὅλῳ οὐκ ἔστιν ἐναντίον. διότι κοινόν ἐστι τὸ τῶν ἐναντίων γένος. τὸ γοῦν λευκὸν καὶ τὸ μέλαν ἐναντία ὄντα, τὸ μὲν, ἐστι χρῶμα διακριτικὸν ὄψεως. τὸ δὲ, χρῶμα συγκριτικόν. καὶ περὶ τὴν αὐτὴν οὐσίαν τὴν τοῦ γένους ἐστὶν ἄμφω. καὶ κἂν πλεῖστον ἀλλήλων διεστήκῃ ὑπὸ τὸ αὐτὸ γένος ὄντα, τὴν πλείστην ἔχει διάστασιν.

πῶς δὲ καὶ τὸ δεχόμενον τὰ ἐναντία, καὶ τὸ διαιρούμενον εἰς τὰ ἐναντία, οὐκ ἔστιν ἐναντίον. οὐδὲν γὰρ κωλύεται κἂν μὴ τὸ ἕτερον ᾖ τῶν ἐναντίων ὃ δέχεται, ἢ εἰς ὃ διαιρεῖται πρὸς ἄλλο τι ἐναντίως ἔχειν. τὸ γοῦν νοσοῦν διαιρούμενον εἰς τὸ κατὰ θερμότητα καὶ κατὰ ψύξιν νοσεῖν, ἐναντίον ὅμως ἐστὶ πρὸς τὸ ὑγιαῖνον. καὶ τὸ σῶμα ἐπιδεχόμενον ὑγείαν καὶ νόσον, ἐναντίον ἐστὶ τῷ ἀσωμάτῳ. καὶ ὅλως αἱ διαιρέσεις, εἰς τὰ ἀντικείμενα γίνονται, καὶ ἐναντία. καὶ ἕκαστον τῶν τμημάτων εἰς ἐναντία διαιρεῖται, ὡς ἡ οὐσία εἰς σῶμα καὶ ἀσώματον. καὶ τὸ σῶμα, εἰς ἔμψυχον καὶ ἄψυχον. εἴς τε τὸ αἰσθητικὸν καὶ ἀναίσθητον. μήποτε οὖν ἐκεῖνο μᾶλλον ῥητέον. ὅτι τὸ λογικὸν τῷ ἀλόγῳ, οὐκ ἔστιν ἐναντίον. εἴτε γὰρ ἀπόφασις τὸ ἄλογον τοῦ λογικοῦ, οὐκ ἔστιν ἡ ἀπόφασις ἐναντία. εἴτε καταφατικὴν ἔχει δύναμιν εἶδός τι δηλοῦσα ἕτερον τοῦ λογικοῦ, οὐδὲ οὕτως ἐναντίον ἐστὶ τῷ λογικῷ τὸ ἄλογον, παραγόμενον ὑπ᾽ αὐτοῦ καὶ ἑπόμενον. ἀλλ᾽ οὐδὲ ἄλλο εἶδος εἴδει ἐναντίον. ἀλλ᾽ αἱ ἐναντιώσεις πᾶσαι, περὶ τὰς ποιότητας καὶ τὰς διαφορὰς ὁρῶνται. διὸ καὶ πρὸς τοὺς ἀποροῦντας, πῶς τὸ πῦρ τῷ ὕδατι, καὶ τὸν ἀέρα τῇ γῇ ἐναντία λέγει ὁ ἀριστοτέλης, ῥᾴδιον εἰπεῖν, ὅτι κατὰ τὰς διαφορὰς καὶ τὰς ποιότητας ἐστὶν ἐναντία ταῦτα. τὸ γὰρ θερμὸν καὶ ξηρόν, τῷ ψυχρῷ καὶ ὑγρῷ ἐναντία λέγει. καὶ τὸ θερμὸν καὶ ὑγρόν, τῷ ψυχρῷ καὶ ξηρῷ. αἱ δὲ ἄλλαι οὐσίαι, πρὸς τὰς ἄλλας οὐκ ἔχουσιν ἐναντίωσιν. πῶς οὖν τὸ εἶδος τῇ στερήσει ἐναντίον λέγει ἐν τοῖς φυσικοῖς. εἰ γὰρ τὸ εἶδος οὐσία, δέχεται ἡ οὐσία ἐναντίωσιν. ἀλλὰ τὸ μὲν λέγειν ὅτι καὶ κατὰ στέρησιν εἴωθε κοινότερον ἐναντία λέγειν ὁ ἀριστοτέλης, μαλακώτερον λυόντων τὴν ἀπορίαν ἐστί. τὸ δὲ ἀληθές, ὧδε ἔχει. τὸ εἶδος, τὸ μέν ἐστιν ὡς οὐσία. τὸ δέ, ὡς ἕξις. τοῦτο οὖν ἀντικεῖσθαι τῇ στερήσει φησίν. ἀλλ᾽ οὐ κατὰ τὸ ὡς οὐσίαν. ἄλλον δὲ τρόπον ἐναντιώσεως εἰσάγουσιν, οἱ τἀναντία ἐν ταῖς οὐσίαις τιθέντες. διχῇ δὲ οὗτοι διαιροῦνται. καὶ οἱ μέν, περὶ μίαν οὐσίαν τἀναντία ἀφορίζουσιν. ὡς οἱ τὸ θερμὸν καὶ ψυχρόν. καὶ ξηρὸν καὶ ὑγρόν. καὶ τὰς ἄλλας ἐναντίας δυνάμεις περὶ τὴν ὕλην ἐν τῷ σώματι εἶναι λέγοντες. καὶ δῆλον ὅτι οὗτοι οὐκ οὐσίας ἐναντίας, ἀλλὰ τὰς περὶ τὴν οὐσίαν ποιότητας εἶναι ἀποφαίνονται. οἱ δέ, διεστώσας πάντῃ τὰς ἀρχὰς ἀποφαίνονται. καὶ μηδὲν ἔχειν κοινόν, μηδὲ σχέσιν μηδεμίαν πρὸς ἄλληλα καθ᾽ αὑτά τε εἶναι ἀπολύτως, καὶ μηδὲν προσδεῖσθαι τῆς πρὸς ἄλληλα συντάξεως. οὗτοι δὲ καὶ οὐσίας εὐθὺς τἀναντία τίθενται. καὶ τὴν ἐναντιότητα πρὸς τὴν οὐσίαν εἰσάγουσιν. οὐκ ἄλλου μὲν τοῦ δεχομένου τἀναντία ὑπάρχοντος, ἄλλων δὲ ὄντων τῶν ἐναντίων. οὐδὲ τὸ εἶναι κοινὸν ἐχόντων ὥσπερ πλάτων ἐπὶ κινήσεως καὶ στάσεως συλλογίζεται ἀμφοτέρων καὶ ἑκατέρων εἶναι λεγομένων. ἀλλὰ τὸ ὄν φασι πρὸς τὸ μὴ ὄν. καὶ ἀρχὴν πρὸς τὸ ἔσχατον. καὶ τὸ ἀγαθὸν πρὸς τὸ κακὸν ἔχειν. κατὰ παντελῆ ἀπόστασιν καὶ ὕφεσιν τελείαν, τὴν ἐναντίωσιν ἀμερίας πρὸς μέρος, καὶ ἀπειρίας πρὸς πέρας. καὶ τῶν τοιούτων ἀντιθέσεων διαιρουμένων, ἐν αἷς ἐναντίωσις μὲν κατὰ τὴν οὐσίαν θεωρεῖται. ἄλλως δὲ ἔχουσα, ἢ ὥσπερ πρὸ τούτων ἐλέγετο. ἡ μὲν οὖν δόξα ἀφ᾽ ἧς ὁρμώμενοι ἄλλοι τινὲς καὶ ὁ μέγας πλωτῖνος ἀντιλέγουσιν, ἐστὶ τοιαύτη. χρῶνται δὲ λόγοις τοιούτοις. τὸ μὴ εἶναι μηδὲν οὐσίᾳ ἐναντίον ἐπὶ τῶν καθ᾽ ἕκαστα οὐσιῶν, ἐστὶ πιστόν, τῆς τε ἀτόμου καὶ τῆς εἰδικῆς καὶ γενικῆς,

τῇ εἰσαγωγῇ δεδειγμένον. ὅλως δὲ οὐκ ἔστι δεδειγμένον. πρὸς δὲ τούτοις, εἰς τόπος ἀν-
τιλογίας γένοιτο ἂν ὑπομνῆσαι τὴν περὶ τῶν καθόλου διδασκαλίαν. τῶν γὰρ γενικω-
τάτων οὐκ ἔστιν ἐκ προτέρων καὶ αἰτιωτέρων ποιήσασθαι ἀπόδειξιν. ἀλλ' ἀνάγκη ταῖς
τελείαις διαιρέσεσι πάντα διαιρουμένοις τὰ ὑπ' αὐτά, θεωρεῖν τὴν κοινότητα
αὐτῶν μὴ ἐπιπαραλλάττουσαν ἐν τοῖς καθ' ἕκαστα εἴδεσι. κἂν εὑρίσκωμεν μηδεμίαν οὖ-
σαν ἐν αὐτοῖς διαφορὰν τὴν ταυτότητα τοῦ γενικοῦ, οὐκ ἐξ ἐπαγωγῆς, ἀλλ' ἐκ τῆς τε-
λείας διαιρέσεως λαμβάνομεν. κἀνταῦθα τοίνυν εἴπερ αἱ οὐσίαι μὲν πᾶσαι διῄ-
ρηνται ἀνελλιπῶς εἰς τὰς πρώτας καὶ δευτέρας οὐσίας, μηδέτεραι δὲ τούτων ἔχου-
σιν ἐναντίωσιν, οὐδ' ἂν ὅλως ἡ οὐσία ἔχει ἐναντίωσιν. καὶ ἄλλως δέ, ὅταν τῶν καθ' αὑ-
τὰ ὑπαρχόντων καὶ συμπληρωτικῶν τῆς οὐσίας τι ληφθῇ, εὐθὺς τοῦτο ὅπερ ἐφ' ἑκά-
στου καὶ ἐπὶ πάντων τὸ ἀληθὲς ἀποδείκνυται. οἷον, τὸ λογικόν, ἐφ' ἑκάστου τε ἀνθρώ-
που καὶ ἐπὶ πάντων τούτων. καὶ τῇ οὐσίᾳ τοίνυν, εἴπερ τὸ καθ' αὑτὴν εἶναι οὐσιῶδες ὑπάρχει.
εἰ τὸ μηδεμίαν ἔχειν ἐναντίωσιν, ἐν αὐτῇ κατ' οὐσίαν ὑπάρξει. εἰ οὕτω τὸ ἐπί τινος
καὶ ἐπὶ πάσης οὐσίας ἀληθὲς ἔσται. ἀλλὰ δὴ καθόλου φησὶν ὁ Πλωτῖνος τῇ οὐσίᾳ, εἰ μὴ
οὐσία ἀντίκειται. τῇ δὲ ἀγαθῇ φύσει, ἡ κακοῦ φύσις. καὶ τῇ ἀρχῇ τῶν βελτιόνων, ἡ ἀρ-
χὴ τῶν χειρόνων ἐστὶν ἐναντία. διαιρετέον δὲ ταῦτα οὕτως. τὸ μὴ ὂν ὅπερ ὡς ἐναντίον
ἀντιτίθεμεν τῷ ὄντι, εἰ μὲν οὐδαμῇ οὐδαμῶς ὑφέστηκεν, οὐδεμίαν ἕξει σχέσιν πρὸς ἕτε-
ρον, ὅ γε μηδέν ἐστιν. εἰ δὲ ὄν τί ἐστι, ψευδῶς λέγει τὸ πάντη κεχωρίσθαι τοῦ ὄντος, ὅ γε
αὐτοῦ μετείληφεν. εἰ δὲ ὡς οὐσίαι δύο κεχωρισμέναι εἰσίν, αὐτὸ τὸ εἶναι ἔχουσιν. εἰ δὲ
κατὰ ἐκβεβηκυῖαν ἑτερότητα διῃρημέναι εἰσὶ χωριστῶς, οὐδὲν ἔχουσαι κοινὸν
πρὸς ἀλλήλας, τότε οὐδὲ τῆς σχέσεως τῶν ἐναντίων κοινωνήσουσι. καὶ εἰ μὲν ὥσπερ
εἴωθε λέγεσθαι ἀπὸ τοῦ ὄντος τὸ μὴ ὄν, οἷον ἀπὸ τοῦ νοητοῦ τὸ αἰσθητόν, καὶ ἀπὸ
τοῦ θείου τὸ ὑλικὸν παράγεται, ὡς ἂν ἀπὸ πρώτου ἔσχατον, πῶς ἂν ἔχοι πρὸς αὐτὸ
τὴν ἐναντίωσιν, κατὰ τὸ πάντη ἀπ' αὐτοῦ κεχωρίσθαι. ὅ γε ἀπ' αὐτοῦ τὴν ὅλην ἔχει
ὑπόστασιν. πῶς δὲ μηδένα λόγον ἔχον πρὸς αὐτὸ ἡ παραβολὴ ἀντιστάσεως, ἀλ-
λ' ὡς τὸ μηδὲν ἐκπεπτωκὸς εἰς τὸ ἔσχατον ὥσπερ γε τὴν παραγαγοῦσαν αἰτίαν αὐ-
τό, λήψεται πρὸς αὐτὴν ἐναντίωσιν, ἥ τις διϊστάζειν ποιεῖ πρὸς ἐκεῖνο ὡς ἠναν-
τίωται. εἰ δὲ ἐξ ἀρχῆς καθ' ἑαυτὸ ὑφέστηκεν, ὡς καὶ αὐτὸ πρῶτον ὂν ἰσάξιον ἔσται
τὸ μὴ ὂν τῷ ὄντι. καὶ διὰ τοῦτο μέν, ἔσται ὄν, τὸ δέ, μὴ ὄν, εἴπερ δεῖ ἴσου ἐν ἀρχῆς λό-
γου καὶ αἰτίας τάξει προηγεῖται, προηγουμένην τε ἕξει τὸ κακὸν καὶ τὸ μὴ ὂν ὑπό-
στασιν. καὶ οὕτως οὐδὲ κακὸν ἔσται ὅ γε καθ' ἑαυτὸ ὑπάρχει. πῶς τε συνῆλθεν εἰς
ταὐτὸ τὰ δύο, ἄπορον εὑρεῖν. ἐὰν δὲ τρίτου δέηται τοῦ συνάξοντος αὐτά, ἐκεῖνο ἓν ἔσται,
οὐκέτι πρῶτα ἔσται καὶ ἐναντία οὕτως ὡς λέγεται. εἰ δὲ μὴ συνέρχεται πρὸς ἄλληλα, ἐπεὶ μη-
δὲ ἐξ ἀλλήλων ὑφέστηκεν, ἅ γε δή ἐστιν ἐναντία, οὔτε ἐκ προτέρων, ἅ γε δή ἐστι πρῶτα γένεσις
καὶ τὸ πᾶν τόδε, οὐκ ἂν ἀποτελεσθείη. πανταχόθεν οὖν ταῦτα τὰ ἐναντιώματα ἐπακολουθεῖ
τοῖς ἐν ἀρχῇ τὸ κακὸν καὶ τὸ μὴ ὂν ἀφοριζομένοις. μάλιστα δὲ Πλωτίνῳ καὶ τοῖς ἄλλοις τοῖς
ἀπὸ τῆς ἑνώσεως ἀρχομένοις. οὐ γὰρ δὴ τὸ ἓν καὶ τἀγαθὸν ἐν ἀρχῇ προτιθέντες, ἐπεισοδιῶδες

ὀφείλουσι ποιεῖν τὸ ἀπὸ τῆς διαιρέσεως πλῆθος. καὶ τὸ κακὸν κατὰ συμβεβηκὸς ἐπι-
γινόμενον, καὶ μηδαμῶς προηγούμενον ἀποφαίνεσθαι. ὡς δὲ νῦν λέγει καὶ πρὸς ἑαυτὸ
ἐναντίως διώρισται. διότι μὲν γὰρ ἀρχὴ λέγεται, οὐδ' ἐξέσειεν ἂν εἶναι πρώτου. διότι
δὲ ἐν ὑστάτοις κατὰ τὴν ἀπὸ τοῦ ὄντος ἔκστασιν ὑφίσταται, ἔσχατον εἰκότως λέγε-
ται. τὸ δὲ τοιοῦτον, πῶς ἂν ἔχοι πρὸς τὸ πρώτιστον ἐναντίωσιν. εἰ δὲ ἀπὸ τοῦ πρώτου
παράγεται, καὶ πᾶν ὅ ἐστιν ἐκείνου ὑπάρχει, οὐκέτι ἔσται ἐναντίον. οὐδὲν δὲ τῶν ἐναν-
τίων μεταλαμβάνει τῆς οὐσίας ἀπὸ τῶν μαχομένων πρὸς ἑαυτά. εἰ δὲ πάντη κε-
χωρίσθαι λέγοιτο, τὸ ἔσχατον ἀπὸ τοῦ πρώτου. πρῶτον μὲν, ἀδύνατόν ἐστι τι τῆς αἰτίας
τῆς ἑαυτοῦ παντελῶς ἀπεσπάσθαι. κομιδῇ γὰρ οὕτω καὶ ἑαυτοῦ ἀπολειπόμενον, ἑαυτὸ
ἀπολέσειεν ἄν. ἔπειτα δὲ, οὐδὲ οὕτως ἐναντίον ἔσται. ὃ γὰρ μηδὲν ἔχει κοινόν, οὐδὲ τὸν
τῆς ἐναντιώσεως ἂν ἔχοι λόγον κοινόν. ἀλλ' οὐδὲ τὸ μὴ κατ' οὐσίαν τῷ κατ' οὐσίαν, ὡς-
περ φασὶν, ἔσται ἐναντίον. αὐτὸ γὰρ τὸ τῆς οὐσίας, αὐτοῖς ὑπάρξει κοινόν. καὶ οὐκέτι
τὸ μὲν, ἔσται ὄν. τὸ δὲ, μὴ ὄν. ἐχρῆν δὲ τοῦ μὴ ὄντος καὶ τὴν ἐναντίωσιν ἀφαιρεῖν, ἵνα ὄντως
εἴη μὴ ὄν. ἐπεὶ ὄν γέ τι ἐστὶ τὸ ἐναντίον, καὶ τἀναντία ποιοῦν. ἐπεὶ οὐδὲν τὸ μὴ ὂν δύναται
ποιεῖν ἢ πάσχειν, ἀσθενέστερον γάρ ἐστι καὶ τούτων ἀμφότερα, ἄρα οὐδαμῶς ῥητέον
ὅτι, καὶ μὴ ἔστι καὶ ἐναντίον καὶ ἔσχατον. καὶ ἀρχή. καὶ τἀναντία ποιεῖ. καὶ οὐδὲν
ὅλως δύναται ποιεῖν. εἰ δὲ μὴ, οὐ περὶ τούτου ἔσται ἡ ἀμφισβήτησις, εἰ τῇ οὐσίᾳ ἐστὶν
ἐναντίον τὸ μὴ ὄν. ἀλλὰ πολὺ δικαιότερον ζητηθείη ἂν, εἰ τὸ μὴ ὂν αὐτὸ πρὸς ἑαυτὸ
ἐναντίως διάκειται. εἰ γὰρ τοῦτο ὃ καὶ ἑαυτὸ ἀναιρεῖ, πῶς ἂν ἔτι δύναιτο εἶναι, ἢ πρὸς τὴν
οὐσίαν ἀνθίστασθαι. ἀλλὰ ταῦτα καὶ ὑπὲρ τὸν τῆς εἰσαγωγῆς ἂν εἴη λόγον. οἰκειότερον
γὰρ τοῖς περὶ τῶν πρώτων ἀρχῶν ἐστὶ, καὶ ἐν ἐκείνοις ἀκριβέστερον διακρίνεται.
» Δοκεῖ δὲ ἡ οὐσία οὐκ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. ἕως τοῦ, ὥστε οὐκ ἂν ἐπιδέχοιτο
ἡ οὐσία τὸ μᾶλλον καὶ τὸ ἧττον. Ἕκαστον τῶν ὄντων γινώσκομεν ταῖς οἰκείαις διαφο-
ραῖς, καὶ ταῖς ἀντιδιῃρημέναις πρὸς αὐτάς. καὶ γὰρ αἱ μὲν οἰκεῖαι διαφοραὶ, τὰ προσόν-
τα καὶ τὰ συμβεβηκότα ἑκάστῳ δηλοῦσιν. αἱ δὲ ἀντιδιῃρημέναι πρὸς αὐτὰς καὶ ἐν
ἑτέραις οὖσαι, ταῖς ἰδιότησι τὰ χωρίζοντα αὐτῶν ἰδιώματα ἐπιδεικνύουσι. καὶ οὕτως
τελεία γίνεται ἡ γνῶσις. ἐπειδὰν γνῶμεν τί τέ ἐστιν ἕκαστον, καὶ τί οὐκ ἔστι. καὶ ἐνταῦθα οὖν
τὸ μὲν συνωνύμως λέγεσθαι, ἀπὸ τῶν δευτέρων οὐσιῶν τὰ ἄλλα καὶ τὸ τόδε τι σημαίνειν
καὶ ὅσα τοιαῦτα, τὴν τοῦ ὑπάρχειν ἰδιότητα ἐδήλου. τὸ δὲ μηδὲν ἐναντίον εἶναι ταῖς
οὐσίαις, καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐν τῷ μὴ ὑπάρχειν θεωρεῖται. καὶ
γέγονεν οὕτως αὐτῶν ἡ θεωρία κατ' ἀμφότερα τελεία. κατ' ἄλλον δὲ αὖ τρόπον, τὰ πε-
φυκότα κοινῶς, ἐπὶ πλειόνων κατηγορεῖσθαι γενῶν. οἷα καὶ ἡ ἐναντίωσις ἐστὶ καὶ τὸ μᾶλλον
καὶ τὸ ἧττον, δεῖ καθ' ἕκαστον γένος ἐπισκοπεῖσθαι. πότερον ὑπάρχει αὐτῷ ταῦτα, ἢ
οὐχ ὑπάρχει. ἐπεὶ δὴ δὲ ἐν τοῖς πρὸ τούτων εἰρημένοις μᾶλλον οὐσίαν ἔλεγε τὸ εἶδος τοῦ γέ-
νους, νῦν δὲ λέγει ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, εἰκότως ἐφιστάνει καὶ
διαλύει τὴν ἔνστασιν. ὅτι οὐχ ὡσαύτως ἑκάτερον λέγεται, ἀλλὰ τὸ μὲν, καθ' αὑ-
τό. τὸ δὲ, κατὰ συμβεβηκός. μᾶλλον μὲν γὰρ τὸ εἶδος οὐσία, ἢ τὸ γένος. οὐχ ἧττον οὐσία,

οὐδὲ καθό ἐστιν, ἀλλ' ἢ ἐγγυτέρω τῆς ἀτόμου καὶ πρώτης οὐσίας προχωρεῖ τὸ εἶδος ἤπερ τὸ γένος. τοῦτο δὲ συμβέβηκεν ἄλλως. νυνὶ δὲ καθό ἐστιν ἑκάστη τοῦτο ὅπερ ἐστίν, οὔ φησι λέγεσθαι αὐτὴν μᾶλλον καὶ ἧττον. οὐκ ἄρα ἐναντία τοῖς προτέροις τὰ παρόντα εἴρηται. ἀλλὰ καὶ ἡ χιὼν τοῦ κύκνου φαίη ἄν τις μᾶλλον ἐστὶ λευκή, καθόσον ἐγγυτέρω ἐστὶ τῆς λευκότητος. ἢ κατὰ τοῦτο ὁμοίως ἔχει πρὸς τὴν οὐσίαν, κατὰ συμβεβηκὸς ἔχουσα τὸ μᾶλλον καὶ τὸ ἧττον. καθόσον δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον μετέχουσι τῆς ποιότητος, ἢ μᾶλλον αὐτῆς μετέχει ἢ ἧττον, κατὰ τοσοῦτον αὐτὴ ἡ κατατεταγμένη ποιότης ἔχει τὸ μᾶλλον καὶ τὸ ἧττον. ἐπεισοδιώδης γὰρ ἡ ποιότης τῆς οὐσίας. ἡ μέντοι οὐσία, οὐκ ἐν ἄλλῳ ἐστί τινι, ὥστε μᾶλλον ἢ ἧττον μετέχεσθαι, ἀλλ' ἐν αὐτῇ τὰ ἄλλα. διὰ τοῦτο οὖν τὴν μὲν κατὰ συμβεβηκὸς σύγκρισιν ἐπιδέχεται ἡ οὐσία. τὴν δὲ καθ' αὑτὸ, ἥτις ἐν τοῖς ὁμοειδέσι γίνεται, οὐκέτι. ὅ τε γὰρ ἄνθρωπος, οὔτε ἄλλου ἀνθρώπου μᾶλλον ἄνθρωπος, οὔτε αὐτὸς ἑαυτοῦ. ἀλλ' οὐδὲ ὁ Σωκράτης ἐν ἀκαδημίᾳ μᾶλλον Σωκράτης ἢ ἐν ἡλίῳ. τὸ μέντοι λευκὸν σῶμα, καὶ ἄλλου σώματος λευκοῦ λευκότερον ἂν εἴη, τῷ μᾶλλον μετέχειν τοῦ λευκοῦ. καὶ αὐτὸ αὑτοῦ μᾶλλον ἂν εἴη καὶ ἧττον λευκόν. κατ' ἄλλον δηλονότι καὶ ἄλλον χρόνον. οὐ γὰρ δὴ κατὰ τὸν αὐτόν. τὸ δὲ λευκὸν τοῦ μέλανος, οὐ λέγεται λευκότερον. λέγεται μὲν γὰρ ἀεὶ τὸ μᾶλλον πρὸς τὸ ἧττον. ἐπιτεινόμενον δὲ τὸ ἧττον, εἰς τὸ ὅμοιον καταντᾷ. ἀλλ' ἡ τοῦ μέλανος ἐπίτασις, οὐδέποτε ὅμοιον τὸ μέλαν τῷ λευκῷ ποιεῖ. τὸ ἐναντίον δὲ πλέον αὐτοῦ ἀφίστησιν. ὥστε οὐκ ἂν τὸ ἐναντίον πρὸς τὸ ἑαυτῷ ἐναντίον λαμβάνοι τὴν τοῦ μᾶλλον καὶ ἧττον σύγκρισιν, ἀλλ' οὐδὲ πρὸς τὸ ἀνομοιοειδὲς κυρίως. τῶν γὰρ ὁμοιοειδῶν αἱ συγκρίσεις. εἰ τοίνυν ἐν ταῖς ὁμοιοειδέσιν οὐσίαις οὐκ ἔστιν ἡ κατὰ τὸ μᾶλλον καὶ ἧττον σύγκρισις, οὐδὲ ἐν οὐσίαις ὅλως ἔσται. οὐ μὴν οὐδὲ τοῦτο ἴδιον τῆς οὐσίας ἐστί. καὶ γὰρ ἐπὶ τῶν ἀριθμῶν καὶ τοῦ ὡρισμένου ποσοῦ, οὐκ ἔστι μᾶλλον τὰ τρία αὐτὰ ἑαυτῶν, οὔτε ἄλλων. αὐτὰ μὲν γὰρ ἑαυτῶν, οὐκ ἂν παραλλάττοι ὡρισμένα ἀεὶ ἐν τῷ αὐτῷ ποσῷ. τῶν δὲ τεσσάρων οὐκ ἔσται μᾶλλον. οὐδὲ γὰρ λέγεται πρὸς αὐτὰ μᾶλλον. καὶ ὅλως πᾶσα προσθήκη καὶ ἀφαίρεσις, ποσοῦ ἑτερότητα ποιεῖ παντελῆ. οὐ μόνον δὲ πρὸς τὸ ἕτερον, ἀλλὰ πρὸς τὸ αὐτὸ καὶ ὅμοιον ἡ ἐπίτασις. καὶ τῶν πρός τι δὲ ἔνια. οἷον τὸ ἴσον καὶ διπλάσιον. καὶ ὅπερ. καὶ τὰ τρία αὐτὰ οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ ἐν τῷ ποιῷ δὲ τὰ σχήματα οὔτε μᾶλλον, οὔτε ἧττον ἐστί. διὰ πάντα οὖν ταῦτα, οὔτε ὑπάρχει τῇ οὐσίᾳ τὸ μᾶλλον καὶ τὸ ἧττον, οὔτε ἴδιον αὐτῆς τὸ μὴ ὑπάρχειν ἐστίν. ἀπορήσειε δ' ἄν τις ὅτι ὁ μᾶλλον λογικός, οὐ μᾶλλον ἐστὶν ἄλλος. ἢ πρῶτον μὲν οὐ κατὰ τὴν οὐσίαν ἔχει τὸ μᾶλλον λογικὸν, ἀλλὰ κατὰ τὴν ἕξιν, ἢ κατὰ τὴν ἐνέργειαν. ἔπειτα οὐδὲν ἄτοπον, τὰς μὲν συνεχούσας τοῖς εἴδεσι ποιότητας, οἷον τὴν λογικὴν ἐπὶ ἀνθρώπου, καὶ τὴν θερμότητα ἐπὶ πυρὸς δέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐ μέντοι τὸ εἶδος αὐτό. ἐπεὶ καὶ ὁ σπουδαῖος, ὅταν μᾶλλον ἄνθρωπος λέγηται, οὐχ ἧττον ἄνθρωπος, ἀλλ' ἢ οὕτως διακείμενος, ταύτῃ ἐπιτείνεται. τοῦτο δὲ οὐκ οὐσίαν, ἀλλὰ ποιὸν σημαίνει. ὁ μὲν σπουδαῖος, ἅτε μὴ κατ' οὐσίαν οὔσης τῆς διαθέσεως, οὐδὲν θαυμαστὸν εἰ κατά τινα ἐπεισοδιώδη ποιότητα τὸ μᾶλλον ἔχει. ὁ δὲ ἄνθρωπος λογικός. καὶ τὸ πῦρ θερμόν. οὐ κατὰ ἐπεισοδιώδη, ἀλλὰ κατὰ τὴν οὐσιώδη ποιότητα ἐστὶ τοιαῦτα, συμπληρωτικὴν οὖσαν τοῦ εἴδους. καὶ εἴπερ αὕτη τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχοιτο, ἀνάγκη καὶ τὸ εἶδος ὅλον αὐτὸ ἐπιδέχεσθαι.

Universitäts- und
Landesbibliothek Düsseldorf

ὥστε καὶ τὴν οὐσίαν. μήποτε οὖν ἡ μὲν κατ' οὐσίαν ἐστὶν ἡ τοῦ λογικοῦ διαφορά, ἡ δὲ ποιοτι-κή τίς ἐστι. καὶ οὐ κατὰ τὸ μᾶλλον καὶ ἧττον θεωρουμένη, ὥσπερ ἐν ἀνθρώπῳ καὶ δαίμονι. οὐ γὰρ δήποτε τὸ ἧττον τοῦ ἀνθρώπου ἐπιτείνομεν, εἰς δαιμονίαν ἢ εἰς τελειότητα. ἡ δὲ κατὰ ἕξιν ἢ ἐνέργειαν, οὐκέτι περὶ τὴν οὐσίαν ἐστὶν ἡ τοιαύτη διαφορά. ἀλλὰ πῶς ἡ ὑλικὴ οὐσία μᾶλλον τίς οὖσα, καὶ αὐτὴ τὸ μᾶλλον καὶ τὸ ἧττον σημαίνειν λέγεται, καὶ μικρὸν καὶ μέγα. καὶ τἀναντία ὅλως φαντάζεσθαι. καίτοι οὐσία τίς οὖσα καὶ ἡ ὕλη, ὥσπερ καὶ τὸ εἶδος. ἢ καὶ αὐτὴ καθ' ἑαυτὴν μὲν οὐδαμῶς διαφέρει. δυνάμει γὰρ πάντα ἐστίν. ὡσαύτως καὶ τὴν ἴσην πρὸς ὅλα τὰ ὄντα ἔμφασιν καὶ ὑποδοχὴν τῆς οὐσίας, ἥ γε πρώτη ὕλη παραδέχεται. ἀπὸ δὲ τῆς τοῦ εἴδους σχέσεως, παραγίνεται εἰς αὐτὴν ἡ τοιαύτη παράλλαξις.

Μάλιστα δὲ οὐσίας δοκεῖ ἴδιον. ἕως τοῦ, ἐπὶ δὲ τῶν ἄλλων οὐδενὸς φαίνεται τὸ τοιοῦτον.

Εἰπὼν ὅσα τῇ οὐσίᾳ κοινὰ καὶ πρὸς ἄλλα παρακολουθεῖ, καὶ μὴ μόνῃ αὐτῇ ὑπάρχει, καὶ ὅσα μὴ πάσῃ, καὶ διὰ τούτου δείξας μηδὲν τούτων τῆς οὐσίας ἴδιον ὄν, ἐπὶ τὸ μάλιστα ἴδιον αὐτῆς δοκοῦν μετελήλυθε. τοῦτο δέ ἐστι, τὸ ταυτὸν καὶ ἓν ἀριθμῷ ὄν, τῶν ἐναντίων εἶναι δεκτικόν. καὶ τὸ μὲν, μάλιστα δηλοῖ τὴν ὡς πρὸς τὰ εἰρημένα παράθεσιν ὅτι μᾶλλον ἐκείνων ἴδιον. τὸ δὲ δοκεῖ πάλιν προσκείμενον, ἐνδείκνυται ὅτι οὐδὲ τοῦτο κυρίως ἴδιόν ἐστι. δοκεῖ δὲ ἴδιον, διὰ τὸ μόνῃ τῇ οὐσίᾳ ὑπάρχειν. ἅμα δὲ ἐνδείκνυται τὸ δοκεῖ. ὅτι οὐχ οἷόν τε τὸ κυρίως ἴδιον, ἐπὶ τῶν πρώτων γενῶν λαβεῖν. διὰ τὴν ἁπλότητα δηλονότι, καὶ τὴν ὀλιγότητα τῶν πρώτων γενῶν. τῶν δὲ ἐναντίων ἐστὶ δεκτικὴ ἡ οὐσία οὐχ ἅμα δηλονότι. οὐ γὰρ δὴ ἅμα δέξαιτο ἄν τι τὰ ἐναντία. ἀδύνατον γὰρ τοῦτο. ἀλλὰ παρὰ μέρος. τοῦ μὲν, ἐξισταμένου τῶν ἐναντίων. τοῦ δὲ, ἐγγινομένου. δηλοῖ δὲ τοῦτο καὶ ἐπὶ τῶν παραδειγμάτων. τὸν δὲ τρόπον τοῦ ἰδίου παρέστησεν. ὅτι ὡς μόνῳ ὑπάρχον ἴδιον αὐτὸ εἶπεν, ἐκ τοῦ ἐπ' οὐδενὸς τῶν ἄλλων ὅσα μὴ εἰσὶν οὐσίαι, θεωρεῖσθαι τοῦτο τὸ ἰδίωμα. εἰ γὰρ ἐπὶ μὲν τῶν ἄλλων οὐκ ἔστιν, ἡ δὲ τὶς οὐσία ἡ ἄτομος, ἀνὰ μέρος τἀναντία δέχεται, δηλονότι ἴδιον ῥηθήσεται τῆς οὐσίας οὐχ ὡς παντί. κρεῖττον γὰρ τοῦ παντὶ καὶ μὴ μόνῳ ἰδίου, τὸ μόνῳ καὶ μὴ παντί. τὰ γὰρ ἴδια, συστέλλεσθαι χαίρουσιν. ἀλλ' ὡς μόνῳ ὑπάρχον. καὶ ἐν τῷ πέμπτῳ δὲ τῶν τοπικῶν, οὕτως τὸ ἴδιον ὡρίσατο. ἔστι δὲ καὶ κατὰ τὴν ἀντιστροφὴν αὐτὸ θεωρεῖν. εἰ γὰρ οὐσία ἐστὶ τὸ γένος, ἔστι τι πάντως λαβεῖν ὑπὸ τὸ γένος ἓν ἄτομον, ὅταν τὸ ὑπάρχον, τῶν ἐναντίων ἐστὶ δεκτικόν. εἴ τε ἓν ὂν κατὰ τὸ αὐτὸ τἀναντία δέχεται, οὐσία τὸ τοιοῦτον ἐστίν. ἴδιον οὖν ὡς ἐπὶ μόνης τῆς ἀτόμου οὐσίας θεωρούμενον. τὰ δὲ παραδείγματα, ἐπὶ τοῦ τινὸς ἀνθρώπου προέθηκεν. ὅτε μὲν, κατὰ σῶμα ὡς ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος, καὶ θερμοῦ καὶ ψυχροῦ. ὅτε δὲ κατὰ τὴν ψυχήν, ὡς ἐπὶ τοῦ φαύλου καὶ σπουδαίου. δοκοῦσι δὲ καὶ αἱ δεύτεραι οὐσίαι, δεκτικαὶ τῶν ἐναντίων εἶναι. ὡς γὰρ Σωκράτης ἄφρων καὶ φρόνιμος, οὕτω καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον ἐστίν. ἀλλ' εἰ διὰ τὸν Σωκράτην καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον, οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκὸς ὑπάρχει τούτοις. διότι τοῖς ὑπ' αὐτὰ ὑπάρχει. τὸ δὲ ἓν, ἀριθμῷ πρόσκειται, δηλοῦν, ὅτι εἰ μὲν τὸν ἄνθρωπον καθόλου τις λαμβάνοι, οὐκ ἐπιδέχεται τἀναντία. εἰ δὲ τὸν ἐν τῷδε ἄνθρωπον, οἷον Σωκράτην, ἐπιδέχεται. ἀλλ' εἰ τὰ γένη φησί, καὶ τὰ εἴδη ἐπι-

δέχεται τἀναντία, οἷον ἄνθρωπος δειλίαν καὶ θρασύτητα, οὐ μόνον ἐν τῇ οὐσίᾳ ἐστὶ τοῦτο, ἀλλὰ καὶ ἐν ἄλλοις πλείοσι. κίνησις γὰρ ταχεῖα καὶ βραδεῖα γίνεται. καὶ ἕξις, καὶ διάθεσις, καὶ πρᾶξις, τἀναντία ἐπιδέχεται. ἢ πρῶτον μὲν τὰ καθόλου λαμβάνουσιν, ἀλλ᾽ οὐ τὰ συνυπάρχοντα κοινὰ τοῖς ἀτόμοις. ἔπειτα, οὐχ ἓν ἀριθμῷ τούτων ἕκαστόν ἐστιν, ἀλλ᾽ ἄλλο καὶ ἄλλο. τὸ μὲν, τοιονδὶ ὄν. τὸ δὲ, θάτερον τῶν ἐναντίων. καὶ οὐκ αὐτὰ ἐπιδέχεται τὰ ἐναντία, ἀλλὰ τὰ ὑπ᾽ αὐτά. ἡ μὲν γὰρ γενικὴ ἕξις, οὔτε φαύλη, οὔτε σπουδαία. αἱ δὲ ὑπ᾽ αὐτήν, αἱ μὲν, σπουδαῖαι. αἱ δὲ, φαῦλαι. καὶ οὐχ ὑπομένει τὴν τῶν ἐναντίων μεταβολὴν τὸ κοινὸν θεωρούμενον. ἄλλο τοίνυν ἐστὶ τὸ οἷς πρόσεστι τὰ ἐναντία, ἄλλο δὲ τὸ ἐπιδεκτικὸν εἶναι τῶν ἐναντίων ἀνὰ μέρος. καὶ τοῖς μὲν γένεσι, πρόσεστι τὰ ἐναντία. τὸ δὲ ἐπιδεκτικὸν μόνῃ τῇ ὕλῃ, καὶ ταῖς μετὰ τῆς ὕλης συνθέτοις οὐσίαις. τοῖς δὲ γένεσι κατὰ συμβεβηκός. διὸ προσθετέον τῷ ἰδιώματι τῆς οὐσίας τὸ μὴ κατὰ συμβεβηκὸς τἀναντία δέχεσθαι. προσθετέον δὲ καὶ τὸ κατὰ τὴν ἐν αὐτῷ μεταβολήν, ἵνα τὰ περὶ τῶν γενῶν ἀπορηθέντα μὴ παραδεχώμεθα. πάλιν δὲ τὴν νοητὴν οὐσίαν ἐπεισάγουσιν ἐνταῦθα, ὡς μὴ ἐπιδεχομένην τἀναντία, ἀλλὰ τὸ αὐτὸ ῥητέον. ὅτι οὐ περὶ ἐκείνης νῦν ὁ λόγος, ἀλλὰ περὶ τῆς λεγομένης. ἀλλὰ τίνος φασὶν ἐναντίου ὁ ἥλιος ἐστὶ δεκτικός. ὅς γε ἐν ἑνὶ εἴδει ἀεί ἐστιν ὡσαύτως. οὐδὲ γὰρ τῇ κινήσει αὐτοῦ οὐδέν ἐστιν ἐναντίον. πῶς δὲ ὅλως ἐπὶ τῶν ἀϊδίων οὐσιῶν ἀληθές, τὸ παρὰ μέρος τἀναντία δέχεσθαι. ὁ γοῦν οὐρανός, οὐκ ἂν σταίη οὐδέποτε. στάσις δὲ κινήσει ἐναντία. ἀλλὰ καὶ τὸ πῦρ τῶν φθαρτῶν ὄν, θερμότητος μέν ἐστιν ἐπιδεκτικόν. ψυχρότητος δὲ οὔ. καὶ ἡ χιὼν ἀνάπαλιν. ἢ πρὸς μὲν τὰς ἀπὸ τῶν ἀϊδίων οὐσιῶν ἐνστάσεις ῥητέον, ὅτι τὸ ἰδίωμα ἐνταῦθα πάσης τῆς ἐν μεταβολαῖς δυναμένης γίνεσθαι οὐσίας τίθεται. ἀλλ᾽ οὐ τῆς κατὰ τὸ ἀμετάβλητον οὐσιωμένης. πρὸς δὲ τὰς ἀπὸ τοῦ πυρὸς καὶ τῆς χιόνος, ὅτι ἐπιδεκτικὴν εἶναι τῶν ἐναντίων φησίν, ἀλλ᾽ οὐχὶ οὐσιοῦσθαι ἐν τοῖς ἐναντίοις. τὸ δὲ πῦρ, οὐκ ἐδέξατο τὴν θερμότητα, ἀλλ᾽ ἐν τῇ οὐσίᾳ αὐτοῦ ἐστιν. οὐδὲν δὲ ἑαυτὸ ἐπιδέχεται, ἀλλὰ τῶν ἔξωθέν τι. οἷον τὸ ὕδωρ θερμότητα ἐπιδέχεται, ἐπίκτητον οὖσαν ποιότητα. ὑγρότητα δέ, οὐκέτι. σύμφυτος γάρ ἐστιν αὐτῷ. καὶ τὰ οὐράνια τοίνυν ἐν τῇ κυκλοφορίᾳ τὸ εἶναι ἔχει. καὶ οὐκ ἂν ἔχοι τινὰ παραδοχὴν τοῦ ἐναντίου. εἰ δὲ μὴ ποιότητές εἰσιν αἱ τοιαῦται ἰδιότητες, ἀλλ᾽ οὐσιώδεις διαφοραὶ καὶ συμπληρωτικαὶ τῆς οὐσίας, οὐκ ἂν μᾶλλον τι ἐξίσταιτο τῶν κατ᾽ οὐσίαν ὑπαρχόντων. ἀλλ᾽ οἷς μὴ φύσει, καὶ ἀχωρίστως θάτερον ὑπάρχει, ταῦτα τῶν ἐναντίων ἐστὶ δεκτικά. οὐκ ἐπὶ πάντων δὲ τῶν ἐναντίων δεῖ τὸ ἐπιδεκτικὸν ἐπιζητεῖν, ἀλλ᾽ ἀρκεῖ καὶ ἐφ᾽ ἧς τινος οὖν ἐναντιώσεως, οὕτως καὶ τὸ πῦρ κατὰ τόπον τὴν ἐναντίωσιν δεχόμενον, δειχθείη ἄν. ἀλλ᾽ ὁ ἥλιος ἄτομος ὢν οὐσία, τινὸς μετέχει ἐναντιώσεως. ἢ κἂν μὴ ἐπιδεκτικὸς τῶν ἐναντίων ἐστίν, ἀλλ᾽ ἐν τῷ γένει φασὶν αὐτοῦ, τουτέστι τῇ ἀτόμῳ οὐσίᾳ, ἔστι λαβεῖν τι τῶν ἀτόμων, ὃ δεκτικόν ἐστι τῶν ἐναντίων. εἰ δέ τις τοῦτο δέξαιτο, οὐδὲ τῇ ἀτόμῳ πάσῃ οὐσίᾳ ὑπάρχει τὸ ἰδίωμα, ἀλλὰ τινὶ μόνον τῇ ἐν γενέσει καὶ φθορᾷ. διὰ τούτου δὲ τοῦ ἰδιώματος, καὶ ἐκεῖνο σαφῶς ἐνδείκνυται, ὡς ἡ οὐσία καὶ μάλιστα ἡ ἄτομος, ὑπόκειται πανταχοῦ πᾶσι. καὶ περὶ αὐτὴν καὶ ἐν αὐτῇ

τὰ ἄλλα ὑπάρχει. καὶ οὐδενὶ τῶν ἄλλων τὸ ἐπιδεκτικὸν πρόσεστιν. οὐδὲ γὰρ πρὸς τὸ οἰκεῖαν ὑπόστασιν ἑαυτοῖς ἐξαρκεῖ τὰ συμβεβηκότα. διὸ οὐδὲ ὑπόκειται οὐδενί, ἀλλ' ἑτέρας ὑποβάθρας προσδεῖται. διό, οὐδὲ δέχεται ταῦτα τὰ ἐναντία. τὸ μὲν γὰρ ὑποκείμενον, ὑποβάθρας προσδεῖται. οἷον τὸ σῶμα λευκὸν καὶ μέλαν γίνεται τὸ αὐτὸ μένον. τὸ δὲ λευκόν, ἐξίσταται τοῦ μέλανος ἐπιγινομένου. καὶ τὸ μὲν ζῶον καὶ ὁ ἄνθρωπος, ἐπειδὴ ἐνυπομένει, δέχεται τἀναντία καθόσον ἐστὶν οὐσίαι ἐν τῷ τινὶ ἀνθρώπῳ. τὸ δὲ χρῶμα, οὐχ ὑπομένει. διὰ τοῦτο οὐχ ὑποδέχεται. ὅταν γὰρ ἀπίῃ τὸ λευκόν, συναπέρχεται μετ' αὐτοῦ καὶ τὸ χρῶμα, καὶ οὐκέτι ἐστί. καὶ ἅμα τῷ παραγίνεσθαι τὴν μελανίαν, παραγίνεται μετ' αὐτῆς ἡ χροιά. εἰ δὲ μὴ τοῦτο ἐστὶν ὅτε περιέστιν. οὐ μένοντι μόνον τὰ χρώματα ἐξιόντα καὶ εἰσιόντα δέχεσθαι, ἀλλὰ τοῦτό φασι συμβεβηκὸς ἐστὶ περὶ τὴν οὐσίαν. ὃ δὲ ἐστιν ἡ οὐσία, οὐκ εἴρηται. εἰ τῆς αἰσθητῆς οὐσίας συμπεφορημένης οὔσης, καὶ ἐν ἄλλῳ τὸ εἶναι ἐχούσης, καὶ τὰ ἰδιώματα ἔσται τοιαῦτα, ὁποία ἐστὶν ἡ φύσις αὐτοῖς. ὁ δὲ ζητῶν αὐτὸ τὸ εἶναι, ἀόρατόν τι ζητεῖ καὶ κρεῖττον. εἰ κατὰ τὴν αἰσθητὴν οὐσίαν. ὃ αὐτοῖς πᾶσι ταὐτὸν ὑπάρχει οὐσίας εἶδος. διόπερ ἐφ' ἑκάστου καὶ αὐτοῖς κοινοῖς καὶ αὐτοῖς ἁπλοῖς καὶ αὐτοῖς συνθέτοις τὸ εἶναι λέγεται ἐφ' ἑκάστου τῶν ἐννέα. τὸ γὰρ λευκὸν κατὰ μετάληψιν τοῦ ὄντος, λευκὸν εἶναι λέγεται. Ἀλλ' εἰ ἡ αἰσθητή φασὶν ἡ οὐσία οὐκ ἄνευ μεγέθους οὐδὲ ἄνευ ποιότητος, πῶς ἔτι τὰ συμβεβηκότα χωρίζομεν. οἷον, θερμόν. ξηρόν. τί γὰρ ἔσται οὐσία. ποιαὶ γὰρ οὐσίαι αὗται. τί οὖν ἐστι περὶ ὃ ἡ ποιὰ οὐσία, εἰ δηλονότι τὸ ὑποκείμενον. ἔσται οὖν τὸ πυρὸς οὐχ ὅλον οὐσία, ἀλλά τι αὐτοῦ, οἷον μέρος. τοῦτο δὲ ἔσται, οἷον ἡ ὕλη. καὶ οὗτος δὴ ὁ λόγος, διὸ ψευδῶς λαμβάνει. ἓν μέν, διότι τὸ σύμμικτον καὶ συμπεφορημένον τῆς ἐν τούτοις οὐσίας ἀποδιαλαμβάνων θεωρεῖ. καίτοι μηδαμῶς ὑφεστηκὸς κατ' ἰδίαν ἕκαστον, ἀλλ' ἐν ἀλλήλοις καὶ μετ' ἀλλήλων πάντων ἐχόντων τὸ ὁπωσοῦν ὑφεστάναι. δεύτερον δέ, διότι τὸ θερμόν, καὶ τὸ ξηρόν, καὶ τὰς κατ' εἶδος καὶ διαφορὰς ὡς ποιότητας λαμβάνει, καὶ τὴν κατὰ τὸ εἶδος οὐσίαν, οὐ προσποιεῖται ἐν τῷ λόγῳ. ἀπὸ γὰρ τούτων πάντων εἰς τὴν ἀπορίαν προῆλθε, τὸ νομίζειν εἶναι τὴν ὕλην κυρίως οὐσίαν. καὶ ἀρχύ-
» τας δέ, τὸ αὐτὸ ἴδιον τῆς οὐσίας ἀποδέδωκε λέγων. Τᾶς οὐσίας ἴδιον ὑπάρχειν, τό,
» ταὐτὰν καὶ μίαν ἀριθμῷ διαμένοισαν τῶν ἐναντίων δεκτικὰν ἦμεν. ἐναντίον μὲν
» ὕπνῳ, ἐγρήγορσις. ταχυτᾶτι δέ, βραδυτάς. ὑγιείᾳ δέ, νόσος. καὶ ὁ αὐτὸς ἄνθρωπος καὶ
» εἷς ἀριθμῷ ὢν δεκτικός ἐστι τούτων. καὶ γὰρ ἐγρήγορε. καὶ εὕδει. καὶ βραδέως καὶ ταχέως κι-
» νέεται. καὶ ὑγιαίνει δὲ καὶ νοσεῖ. καὶ τῶν τούτοις ὁμοίων δεκτικός ἐστι. οὐ κατὰ τὸν αὐτὸν δὲ χρόνον. ἓν δὲ τούτοις, τό, τε ἰδίωμα τῆς οὐσίας εἴρηται τὸ αὐτό, καὶ τὴν αἰτίαν τῆς ἀνὰ μέρος μεταβολῆς τῶν ἐναντίων εἶπε, διὰ τοῦ, οὐ κατὰ τὸν αὐτὸν δὲ χρόνον. καὶ ἔτι τὰς ἀπορίας ἔλυσε τὰς ἀπὸ τῶν συμφύτων καὶ ἀεὶ κινουμένων, καὶ ἀεὶ ὄντων προσαγομένας. πᾶσαι γὰρ αὗται, οὐ κατὰ χρόνον παραγίνονται. τὰς δὲ ἀπὸ τῶν γενῶν ἀμφισβητήσεις, ἔλυσε προσθείς, τό, διαμένοισαν. ἐπεὶ ἐκεῖνα γε οὐ διαμένει. οὐ γὰρ τὸ ἐν τῷ λευκῷ χρῶμα δέχεται τὸ μέλαν, ἀλλ' ἐξίσταται μετὰ τοῦ λευκοῦ. καὶ οὐκέτι τὸ αὐτὸ διαμένει. ὁ δὲ ἰάμβλιχος, πυθαγορικώτερον καὶ διὰ πάσης οὐσίας κατὰ ἀναλογίαν διατείνον τὸ ἰδίωμα

πυρὸς τῆς οὐσίας ἐπέδειξεν. ἐν μὲν γὰρ τῇ νοητῇ φησὶν οὐσίᾳ, κίνησις καὶ στάσις, ταὐτότητες καὶ ἑτερότητες τῇ οὐσίᾳ ἅμα συνυπάρχουσι. καὶ ἡ ἐναντίωσις ἐν ταύτῃ ἐν τῇ οὐσίᾳ ὑπάρχει. οὐ παρὰ μέρος, ἀλλ' ἅμα. καὶ τὸ δεκτικὸν ἄλλως ἐπ' αὐτῆς λέγεται, καὶ ὡς ἐπὶ τῶν συνθέτων θεωρεῖται. ἐν ταύτῃ μὲν γὰρ διαστάσεως γινομένης, ἄλλο μέν ἐστι τὸ ὑποκείμενον, ἄλλο δὲ τὸ ἐγγινόμενον. ἐπὶ δὲ τῆς ἁπλουστάτης οὐσίας, οὐκ ἄλλο μέν ἐστιν ἐν ᾧ γίνεται, ἄλλο δὲ τὸ ἐγγινόμενον. οὐδὲ ἐν ἄλλῳ καὶ ἄλλῳ, ἀλλ' ἓν πάντα ἐστίν. ἐπὶ δὲ τῆς ἀκινήτου οὐσίας, συλληπτικὴ καὶ οἷον συνοχὴ πάσης φύσεως θεωρεῖται κατὰ τὸν οὐρανόν. οὐ μόνον ἐκ τοῦ περιέχειν πάσας καὶ μηδεμίαν ἔξω αὐτῆς ὑπάρχειν, ἀλλὰ καὶ ὅτι οὐδενὸς οὔτε ὑπὸ κινουμένου, οὔτε προαιρέσει ἐμψύχου ἢ ἀψύχου, ἅμα δύο τινὰς ὑπομένειν φορὰς δυναμένου ἀντιθέτους ἀλλήλαις. λέγω δέ, οἷον πρόσω καὶ ὀπίσω. ἢ πάλιν εἰς δεξιὰ καὶ ἀριστερά. καὶ ἄνω καὶ κάτω μόνον ὁρᾶται πῦρ ἔμπαλιν. οὐ δυνάμενον μίαν ἡντιναοῦν καθ' ἑαυτὴν κινεῖσθαι, ἢ δύο μόνας ἢ τρεῖς, ἀλλ' ἅμα πάσας. καὶ ἀμήχανόν τι περὶ αὐτὸ καὶ θαυμαστὸν ὑπάρχει τὸ τῆς ἐναντιώσεως ἑκάστης συλληπτικὴν ὑπάρχειν τῶν ἐναντίαν. ἡ γὰρ καθ' ἕκαστον καὶ δύνουσα καὶ φερομένη ἀναφορὰ παρὰ τὸ διχοτόμημα τοῦ ὁρίζοντος, καὶ ἄνοδός τις ὑπάρχουσα ἐκ τῶν ὑπὸ γῆν εἰς τὰ ὑπὲρ γῆν, εὐθὺς καὶ βιαστική τίς ἐστι τῆς ἐναντίας κινήσεως. τουτέστι τῆς ἐν θατέρῳ διχοτομήματι τοῦ ὁρίζοντος, λεγομένης δὲ καταδύσεως. προωθεῖ γὰρ καὶ προκυλινδεῖ τρόπον τινὰ δι' ἑαυτῆς τὸ σύμπαν κύτος, καὶ ἐπείγει. ὥστε ἀποτελεῖν ἐκείνην οὐκ ἔλαττον, ἤπερ κἀκείνη δι' ἑαυτῆς ταύτης ἀπεργάζεται κίνησιν διὰ τῆς προώσεως. τὸ δὲ ἐοικός, νοείσθω καὶ ἐπὶ τοῦ πρόσω καὶ ὀπίσω. κατὰ γὰρ τὸ λεγόμενον μεσουράνημα, ἐν ἑκάστῳ οἰκήσεως ἀποκλίματι θεωρουμένου τοῦ πρόσω. τοῦ δὲ ὀπίσω, κατὰ τὸ ἀντίθετον αὐτοῦ, ὃ λέγεται ἀντιμεσουράνημα, ἡ δι' ἀλλήλων καὶ ὑπ' ἀλλήλων ἔπειξις καὶ ἀντιπερίστασις, ἀκολούθως ἀποδείκνυσθαι δύναται.

Τῶν δὲ λεχθεισῶν τεσσάρων περιστάσεων κοινωνὸς μὲν τῷ σύμπαντι ἐπινοουμένῳ οὐρανῷ, βραχεῖαν τινὰ ἔνστασιν λαμβάνεται περὶ τοὺς πόλους ἀπορροῦντα ἐκείνων, διὰ τὴν τοῦ τόπου ταυτότητα. καὶ ἐπὶ τῶν πλανωμένων δὲ ἔξεστι τὰ λεχθέντα θεωρεῖν. ἀναφορὰς γὰρ καὶ καταφορὰς καὶ προόδους καὶ ἐπιστροφὰς ποιοῦνται. οὐ μόνον δι' ὧν εἴπομεν, ἀλλὰ καὶ προποδίζοντες καὶ ἀναποδίζοντες, καὶ τὴν ἐπὶ δεξιὰ καὶ ἀριστερὰ φορὰν περὶ αὐτοὺς φανερόν ἐστιν ἰδεῖν εἰς βορρᾶν ἢ εἰς νότον ἀπὸ τοῦ μέσου. καὶ ἀνάπαλιν ἐπὶ τὸ μέσον ἀμφοτέρωθεν φερομένων. ὥστε κίνησιν ἐκ κινήσεων, καὶ πασῶν κινήσεων συνεκτικὴν προσεῖναι τῷ οὐρανῷ, ἅμα τὰς ἐναντίας κινήσεις ἐν αὐτῷ περιέχοντι, καὶ ἀπεργαζομένῳ τὰ ἐναντία κινήματα ἀπὸ τῶν ἐναντίων. πάρεστιν ἄρα καὶ τῷ οὐρανῷ τἀναντία. καὶ ἅμα πάρεστι, καὶ ἐν ἀλλήλοις ὑφέστηκε. καὶ ἀπ' ἀλλήλων ἤρτηται. πλὴν τό γε τοσοῦτον διέστηκε τῆς νοητῆς ἐναντιώσεως. ὅτι ἡ μὲν, ἐν ἑνὶ ὑπάρχει καὶ μίαν οὐσίαν. ἡ δέ, ἐν ἄλλῳ καὶ ἄλλῳ. καὶ περὶ ἄλλην καὶ ἄλλην οὐσίαν, τὰς ἐναντίας φύσεις ποιεῖται. ἡ δὲ τελευταία φύσις τῆς οὐσίας, οὐδὲ σύμφυτα τὰ ἐναντία ἅμα ἔχει ἀμφότερα, ἀλλ' εἴπου σύμφυτόν τι τῶν ἐναντίων ἐν αὐτῇ ὑπάρχει, μεμερισμένον ἔχει τὸ ἕτερον αὐτῶν. τὰ δὲ πολλὰ ὡς ἐπίκτητα, ἔξωθεν παραδέχεται. καὶ ταῦτα οὐχ ἅμα. οὔτε κατὰ τὴν οὐσίαν,

οὔτε κατὰ τὸν χρόνον. ἀλλ' ἄλλοτε ἄλλα, καὶ ἐν ἄλλῳ μορίῳ τοῦ σώματος μεταλαμβάνουσα. ὥστε καὶ περὶ ταύτην ἣ πέφυκε, ταῦτα θεωρεῖται τὸ τῆς ἐναντιώσεως. πέφηνεν ἄρα τὸ ἰδίωμα τοῦτο τῆς οὐσίας κοινὸν κατὰ πᾶσαν οὐσίαν ὑπάρχον. ἴδωμεν δὲ, τίνα ὁ ἀριστοτέλης τοῖς εἰρημένοις προσαπορεῖ. Εἰ μή τις ἐνίσταιτο τὸν λόγον καὶ τὴν δόξαν φάσκων, ἕως τοῦ, ὥστε ἴδιον οὐσίας εἴη τὸ ταυτὸν καὶ ἓν ἀριθμῷ ὂν, τῶν ἐναντίων εἶναι δεκτικόν. Ἐπειδὴ καὶ λόγος καὶ δόξα ἀληθὴς καὶ ψευδὴς εἶναι δοκεῖ, καὶ ἔστιν ἐναντίον τὸ ἀληθὲς τῷ ψευδεῖ, ὁ δὲ λόγος οὐκ ἔστιν οὐσία, ἀλλ' ὁ μὲν ἐν προφορᾷ, ποσὸν, ὁ δὲ ἐν δόξῃ ποιόν, δοκεῖ πως ἀπορεῖν μήτε οὐ μόνῃ τῇ οὐσίᾳ προσήκει τὸ, τῶν ἐναντίων εἶναι δεκτικήν. καὶ λύει τὴν ἀπορίαν, κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν. πρότερον μὲν γὰρ συγχωρήσας δέχεσθαι τὸ ἀληθὲς καὶ ψεῦδος τὸν λόγον καὶ τὴν δόξαν, δείκνυσιν ὅτι οὐχ ὡς ἡ οὐσία δέχεται. ἐκείνη μὲν γὰρ τῇ ἑαυτῆς μεταβολῇ δέχεται τὰ ἐναντία. ὁ δὲ λόγος καὶ ἡ δόξα, οὐ τῇ ἑαυτῶν μεταβολῇ, ἀλλὰ τῇ τοῦ πράγματος. εἶτα καὶ τὸ δέχεσθαι ὅλως ἀναιρεῖ. τὸ μὲν γὰρ δεχόμενον μεταβολήν τινα ὑπομένει. ἐν δὲ τῷ λόγῳ καὶ τῇ δόξῃ, οὐδεμία γίνεται μεταβολή. ἀλλὰ τῷ τὸ πρᾶγμα μεταβάλλειν, ὁ λόγος καὶ ἡ δόξα ἀληθὴς καὶ ψευδὴς λέγεται. κυρίως δὲ εἴπερ τὸ λέγεσθαι καὶ οὐ γίνεσθαι. Ἔστι δὲ καὶ οὕτως ἐπιχειρῆσαι. οὐκ ἔστιν εἷς κατὰ ἀριθμὸν ὁ πρότερον ῥηθεὶς λόγος τῷ δευτέρῳ. καὶ κατὰ τὸν αὐτὸν ἀριστοτέλην. εἴρηται γάρ φησι καὶ οὐκέτι ἔσται τὸ ῥηθὲν λαβεῖν. τῶν γὰρ κατὰ διέξοδον κινουμένων ἐστὶν ὁ λόγος. καὶ διὰ τοῦτο, οὐ δὲ τῶν θέσιν ἐχόντων ἐστίν. ὥστε τῷ εἴδει ὁ αὐτὸς γίνεται ὁ πρότερον ῥηθεὶς τῷ δευτέρῳ. ὁ ἀληθὴς τῷ ψευδεῖ. καὶ οὐχὶ τῷ ἀριθμῷ, ὡς εἴρηται ἐπὶ τῆς οὐσίας. καὶ ἡ δόξα δὲ, λόγος ἐστὶν ἐν τῇ ἐν διεξόδῳ καὶ αὐτὴ ὑπάρχουσα. καὶ τὰ αὐτὰ ἂν καὶ περὶ αὐτῆς λέγοιτο. Ἀλλ' ἀποροῦσί τινες καὶ πρὸς ταύτας ἐνιστάμενοι τὰς ἐπιχειρήσεις. καὶ λέγουσιν, ὡς κἂν μὴ πάσχῃ τὸ τῶν ἐκ τοῦ πάθους ὁ λόγος καὶ ἡ δόξα, οὐκ ἤδη διὰ τοῦτο οὐ δὲ πάσχει. ἀλλὰ πάσχει ὡς ὁ λόγος. καὶ δέχεται ἐν ἑαυτῷ μεταβολὴν, τὴν κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι. λόγου γὰρ καὶ δόξης, αὕτη ἐναντίωσις. ἐπεὶ ὥρα γέ φησι λέγειν, μὴ δὲ τὴν ψυχὴν δεκτικὴν εἶναι τῶν ἐναντίων, ἐπεὶ οὐ λευκὸν καὶ μέλαν δέχεται. οὐ γὰρ πέφυκε τούτων εἶναι δεκτική. ὧν δὲ πέφυκε, ταῦτα δέχεται. φρόνησιν καὶ ἀφροσύνην. καὶ ὁ λόγος οὖν καὶ ἡ δόξα, τὴν λόγου καὶ δόξης μεταβολὴν τὴν κατὰ τὸ ἀληθὲς καὶ ψευδὲς δέχεται. ἀλλ' οὐχὶ τὴν κατὰ τὸ καθῆσθαι καὶ μὴ καθῆσθαι. Ἔστω οὖν περὶ αὐτὰ, κατὰ μεταβολὴν μὲν ἡ ἐναντίωσις. ἀλλὰ τὴν προσήκουσαν τῷ λόγῳ καὶ τῇ δόξῃ. μήποτε οὖν μέσον χωρήσαντα τῶν τε ἀριστοτέλους λόγων, καὶ τῶν πρὸς αὐτοὺς ἐνισταμένων δεῖ λέγειν, ὅτι ἄλλος οὗτος κατὰ δοχῆς ἐστὶ τρόπος. ὅταν ἄλλου πάσχοντος αὐτό τι μὴ μεταβάλλον, ἀλλοιοτέραν δέχηται σχέσιν ὅμως. ὡς ὁρῶμεν καὶ ἐπὶ τῶν πρός τι. τὸ γὰρ πρότερον ὂν δεξιὸν μηδὲν αὐτὸ μεταβάλλον, ἀριστερὸν γίνεται, ἄλλου μεταστάντος. καὶ ὁ λόγος δὲ καὶ ἡ δόξα κατὰ τὴν πρὸς τὰ πράγματα σχέσιν ἔχοντα τὸ ἀληθεύειν καὶ ψεύδεσθαι, οὐδὲν θαυμαστόν, εἰ τῶν πραγμάτων μεταβαλλόντων ἀμείβει τὴν σχέσιν, οὐδὲν αὐτὰ πάσχοντα. ὁ δέ γε ἀριστοτέλης τὴν κατὰ δοχὴν ἐκείνην ἀπέφησε, καθ' ἣν ἀνάγκη πά-

σχεῖν τὸ δὲ ψυχόμενον. κἂν λέγοι τοίνυν μεταβάλλειν κατὰ τὸν λόγον καὶ δόξης μεταβολήν, ἀλλ' οὔτι γε πάσχοντα μεταβάλλειν. ὥσπερ τὸ σῶμα θερμαινόμενον καὶ ψυχόμενον. Ἀλλὰ τί μοι φησὶν ἐπερείσαντες τὴν διάνοιαν, τὰ μὲν, οὐσίας εἴποιμεν. τὰ δὲ, πάθη. ἆρα τῷ τινὶ εἶναι, καὶ τῷ τόδε, καὶ τῷ ὑποκείμενον εἶναι, καὶ μὴ ἐστὶν ἐν ὑποκειμένῳ, καὶ τῷ, ὅ ἐστι μὴ ἄλλου εἶναι; ἀλλ' ἡ δευτέρα οὐσία, οὐδὲν τούτων ἔχει σχεδόν. καὶ γὰρ κατ' ἄλλου λέγεται. καὶ ἐν ἄλλῳ ἐστί. καὶ ἄλλου. καὶ τὸ τόδε οὐκ ἐφαρμόττει αὐτῇ. Ἢ ὁ ταῦτα λέγων, εἰς τὴν ἄσχετον εἰδικὴν καὶ γενικὴν οὐσίαν ἀφορᾷ. ἀλλ' οὐκ εἰς τὴν κατατεταγμένην καὶ ἤδη γενομένην αἰσθητήν. ἣ πάντα ὑπάρχει τὰ εἰρημένα κατὰ τὴν ἐν τῷ ἀτόμῳ κατάταξιν. τὸ δὲ ἐν ἄλλῳ, εἰ πρόσεστιν αὐτῇ. καὶ ἄλλῳ οὐχ ὡς ἐν ὑποκειμένῳ, οὐδὲ ὡς τὸ λευκὸν τοῦ σώματος, ἀλλ' ὡς τὰ μέρη τῆς οὐσίας. Χρὴ δὲ καὶ τοῦτο εἰδέναι. ὡς τῶν ἀνωτάτω γενῶν, οὐχ οἷόν τε ἀκριβεῖς ὅρους ἀποδιδόναι, ἀλλ' ὑπομνήσει μόνῃ καὶ ὑπογραφῇ ἐοίκασιν οἱ περὶ αὐτῶν λόγοι. καὶ δεῖ μὴ πλέον οὗ δύναται περὶ αὐτῶν ἀπαιτεῖν. ἀρκεῖ οὖν καὶ ἴδιόν τι ἀποδοῦναι περὶ αὐτῶν, ἀφ' ὧν δυνατὸν τὸ τί ἐστι γινώσκειν. αὐτὸ δὲ τοῦτο, ἐπιστάσεως ἄξιον. Πῶς λέγεται ἡ οὐσία κατὰ τὴν αὐτῆς μεταβολὴν δεκτικὴ τῶν ἐναντίων. οὔτε γὰρ ἡ ὕλη κατὰ τοὺς ἀπαθῆ τὴν ὕλην λέγοντας μεταβάλλει ἢ τρέπεται, ἢ πάσχει τἀναντία, ἀλλὰ περὶ αὐτὴν αἱ μεταβολαὶ γίνονται. καὶ τὸ εἶδος δὲ εἰ ἀκίνητόν ἐστι πάντῃ καὶ μένον, τὸ αὐτὸ δὲ ἔχει τὰς κατὰ τὸ ποιὸν ἐναντιώσεις, οὐδὲ τοῦτο κατὰ τὴν ἐν ἑαυτῷ μεταβολὴν ἕξει τἀναντία. ἀλλ' εἴπερ ἄρα μόνον τὸ σύνθετον μεταβάλλον καὶ τρεπόμενον τὰς ἐναντιώσεις ἕξει, καὶ οὕτως αὐτῆς μόνης τῆς ἀτόμου καὶ συνθέτου οὐσίας, τὸ ἴδιον τοῦτο ἀποδοθήσεται. καὶ εἰς στενὸν ὁμοῦ δὴ ἀποκλεισθήσεται ἡ τοῦ ἰδίου τῆς οὐσίας ἀπόδοσις. Ἀλλὰ μὴν ἐὰν χρησώμεθα ταῖς ἐνίων περιπατητικῶν δόξαις, καὶ πάσχειν τὴν ὕλην ἀποφηνώμεθα, πῶς ἁπλῆ οὖσα ἡ ὕλη, καὶ κατὰ τὸ δυνάμει μόνον ἱσταμένη, μεταβάλλουσα ἐξ οὗπερ ἐστί, καὶ εἰς ἐνέργειαν ἐρχομένη, οὐ φθορὰν ἕξει τὴν μεταβολήν. τὸ γὰρ ἁπλοῦν μὴ ἐν ἄλλῳ μὲν ἔχον τὸ εἶναι, κατ' ἄλλο δὲ μεταβάλλον, φθορὰν ἕξει τὴν μεταβολὴν ὅλον ἀφ' ἑαυτοῦ ἐξιστάμενον. εἰ δέ τις ταῦτα εὐλαβούμενος, περὶ τὴν ὕλην λέγει τὴν ἐναντίωσιν, οὐκέτι τῷ αὐτήν τι πάσχειν, ἢ μεταβάλλειν, ἀλλὰ κατὰ συμβεβηκὸς ἕξει περὶ αὐτὴν τὰ ἐναντία. καὶ ἐπὶ τοῦ εἴδους δὲ ὁ αὐτὸς λόγος. εἰ γὰρ αἱ νοηταὶ μὲν αὗται ἰδιότητες αἱ αὐταὶ μένουσι, περὶ δὲ τὰς αἰσθητὰς αὐτοῦ διαφορὰς ἐναντίαι συμβαίνουσι ποιότητες, τὸ μὲν εἶδος ἔσται μόνον πανταχοῦ ἀκίνητον. ἄλλο δὲ ἔσται τὸ τρεπόμενον. καὶ οὐ κατὰ τὴν ἐν αὐτῷ τῷ εἴδει μεταβολήν. ὅ ἐστιν εἰπεῖν ὅτι ἕκαστον ὡς πέφυκεν, οὕτως καὶ μεταβάλλει. καὶ ἡ μὲν ὕλη, μεταβολὴν ἔχει τὴν ἄλλοτε ἄλλου εἴδους ὑποδοχήν. αὐτὸ γὰρ τοῦτο, ὑποδοχὴν βούλεται εἶναι. τὸ δὲ εἶδος, τὴν κατὰ ποιότητα ἀλλοίωσιν. καὶ μήποτε καὶ προανεῖλεν ὁ Ἀριστοτέλης τὰς τοιαύτας ἀπορίας εἰπών, τὸ ταυτὸν καὶ ἓν ἀριθμῷ μένον. δῆλον γὰρ ὅτι τὴν τοῦ τοιούτου μεταβολὴν ἐπιζητεῖν χρή. ἀλλὰ περὶ μὲν οὐσίας, ἀρκεῖ τοσαῦτα.

# ΠΕΡΙ ΠΟΣΟΥ

» Τοῦ δὲ ποσοῦ, τὸ μέν, ἐστι διωρισμένον. τὸ δέ, συνεχές.

Μετὰ τὴν οὐσίαν, περὶ τοῦ ποσοῦ διδάσκειν ὁ Ἀριστοτέλης προτίθεται. καὶ δεῖ πρῶτον τὴν αἰτίαν τῆς τάξεως εὑρεῖν, δι' ἣν δεύτερον τὸ ποσὸν μετὰ τὴν οὐσίαν ἐτάχθη. λέγομεν οὖν ὅτι συνυφίσταται τῷ ὄντι τὸ ποσόν. ἅμα γὰρ ὄν τι ἐστι. καὶ εὐθύς, ἢ ἕν, ἢ πολλὰ ἀνάγκη αὐτὸ εἶναι. καὶ ὅτι τὰ πλεῖστα κοινά ἐστι τῇ τε οὐσίᾳ καὶ τῷ ποσῷ. ὡς τὸ μὴ ἔχειν ἐναντίον. καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. καίτοι τὸ ποιόν, ἀμφότερα ταῦτα ἔχει. καὶ ὅτι προηγεῖται τὸ ἄποιον διάστατον τῆς ἐν αὐτῷ ἐγγινομένης ποιότητος. καὶ ὅτι τῶν μὲν ἄλλων ἀναιρεθέντων, οὐκ ἀναιρεῖται ἡ οὐσία. εἰ τὸ διάστατον καταλείποιτο. τούτου δὲ ἀναιρεθέντος, συναναιρεῖται ἡ σωματικὴ οὐσία. ὥστε ἐγγύς ἐστι τῇ οὐσίᾳ τὸ ποσόν. προστίθεται δὲ ὅτι καὶ ἐν ταῖς κινήσεσιν ἡ κατὰ τὸ ποσὸν κίνησις, τουτέστιν, ἡ αὔξησις καὶ μείωσις, ἐγγυτέρω ἐστὶ τῆς κατ' οὐσίαν. τουτέστι τῆς γενέσεως καὶ φθορᾶς, ἤπερ ἡ ἀλλοίωσις κατὰ ποιότητα οὖσα κίνησις. καίτοι δὲ ἐγγὺς οὖσα τῆς οὐσίας ἡ ποσότης, ἄλλη παρὰ τὴν οὐσίαν ἐστί. περὶ γὰρ τὴν οὐσίαν ἡ μεταβολὴ τῆς ποιότητος γίνεται. ὅταν τὸ ἐνιαυσιαῖον παιδίον εἰς μεῖζον μεταβάλλῃ, τοῦ εἴδους τοῦ αὐτοῦ μένοντος. τὸ γὰρ ὑπομένον, καὶ ἀνὰ μέρος ἑκάτερον δεχόμενον, ἀνάγκη ἕτερον ἑκατέρου εἶναι. καὶ οὕτως καὶ τὸ ποιόν, ἕτερον τῆς οὐσίας δείκνυται. ὡς ἀπὸ πάθους εἰς πάθος μεταβαλλούσης αὐτῆς, καὶ ἀπὸ διαθέσεως εἰς διάθεσιν. ὁ μέντοι Ἀρχύτας, μετὰ τὴν οὐσίαν τὸ ποιὸν ἔταξεν, ᾧ δέ πως αὐτῇ τὴν τάξιν παραδίδωσι.

» Ἁ δὲ τάξις αὐτῶν, ὧδε ἔχει. πρῶτα μὲν τέτακται οὐσία, διὰ τὸ μόναν ταύταν
» ὑποκεῖσθαι τοῖς ἄλλοις. καὶ αὐτὰν καθ' ἑαυτὰν δύνασθαι νοεῖσθαι. τὰς δὲ ἄλλας, μὴ ἄνευ
» ταύτας. ἤτοι γὰρ κατὰ ταύτας, ἢ ταύτῃ ἐν ὑποκειμένῳ κατηγορεῦνται. δευτέρα
» δὲ ἁ ποιότας. ἄνευ γὰρ τῶ τι ἔσσαι ἢ μέν, ἀδύνατον ποιόν τι ἦμεν.

Ἐν δὲ τούτοις, παντός ἐστι ζητεῖν τοῦ φιλομαθῶς ἔχοντος, εἰς τί βλέπων ἑκάτερος, ὁ μέν, τὸ ποιὸν προέταξεν. ὁ δέ, τὸ ποσόν. ἔοικε τοίνυν ὁ μὲν Ἀρχύτας, τὸ καθ' αὑτὸ νοητὸν ὄν, καὶ ὄντως ἐν τοῖς πᾶσι γένεσι τὴν συμπλήρωσιν παρέχον, καὶ πᾶσι παρὸν ἀμερίστως, καὶ ὑπὸ πάντων μετεχόμενον, τοῦτο προϋπάρχειν ὑποθέμενος, κατὰ τὴν πρὸς τοῦτο συγγένειαν, τὴν τάξιν τοῖς γένεσιν ἀποδεδωκέναι. τῷ γὰρ οὖν τὴν οὐσίαν προτάττει τῶν ὅλων. διότι τοῖς ἄλλοις ὑποκειμένη πᾶσι τὸ εἶναι ἀφ' ἑαυτῆς παρέχει. ὥσπερ καὶ ἡ καθ' αὑτὴν οὐσία τοῖς πᾶσιν ἐνδίδωσι τὸ εἶναι. ἔτι δὲ ἡ οὐσία φησίν, αὐτὴ καθ' αὑτήν ἐστί τε καὶ νοεῖται. αἱ δὲ ἄλλαι, οὐκ ἄνευ ταύτης. καὶ κατὰ ταῦτα οὖν συγγενῶς ἂν ἔχοι πρὸς τὸ καθ' αὑτὸ ὂν καὶ ἀπολελυμένον πάσης σχέσεως. οὕτως μὲν οὖν ἡ οὐσία προετάχθη τῶν ἄλλων γενῶν. ἐπειδὴ δὲ τὰς νοητὰς οὐσίας οὐκ ἄλλως ἢ κατὰ τὰ εἴδη γνωρίζομεν. καὶ τὰς αἰσθητὰς δὲ εἰ μέλλοιμεν πρὸς ἐκείνας ἀναφέ-

ροῦντες γνωρίζειν, ἀπὸ τῶν ἰδιωμάτων αὐτὰς καὶ τῶν χαρακτήρων ἐπιγνωσόμεθα τῶν περὶ τὴν οὐσίαν, οἵτινες κατὰ τὴν ποιότητα θεωροῦνται, εἰκότως τὸ ποιὸν προηγουμένην ἕξει τῶν ἄλλων τάξιν μετὰ τὴν οὐσίαν. ἔτι δέ, εἰ τῆς μὲν ποιότητος ἀναιρεθείσης, πᾶσα ἰδιότης καὶ πᾶς χαρακτὴρ καὶ νοητὸς καὶ αἰσθητὸς ἀναιρεῖται. τῆς δὲ ποσότητος ἀναιρεθείσης, τὸ αἰσθητὸν μόνον καὶ σύνθετον ἀναιρεῖται, δῆλον οἶμαι πόσῳ τὸ ποιὸν τοῦ ποσοῦ διενήνοχε πρὸς τὴν τῆς νοητῆς οὐσίας συγγένειαν. εἰ δέ τις τὴν νοητὴν οὐσίαν μὴ προσποιούμενος ἀπὸ τῆς πρὸς τὴν αἰσθητὴν οὐσίαν σχέσεως, βούλοιτο ταῖς ἄλλαις κατηγορίαις τὴν τάξιν ἀποδιδόναι καὶ οὕτως. ἐπειδὴ κυριωτάτη οὐσία ἡ κατὰ τὸ εἶδός ἐστι, τὸ συγγενὲς πρὸς τὸ εἶδος, ὅπερ ἐστὶ τὸ ποιόν, τοῦτο ἂν εἴη τῇ οὐσίᾳ συγγενέστερον. ἔτι δέ, εἰ μὲν τὸ ποιὸν ἀμέριστόν ἐστι καὶ ἀδιάστατον, καὶ ἀμερίστως διαιρεῖται περὶ τοῖς σώμασι, τὸ δὲ ποσὸν διαστατὸν καὶ διαιρετὸν καὶ μεριστόν, εὐλόγως ἂν προτάττοιτο τὸ ποιόν. ὡς ταῖς ἀσωμάτοις ἀρχαῖς οἰκειότερον. καὶ τοῦτο δὲ εἰ δοκεῖ προσθετέον. ὅτι ὥσπερ ἡ οὐσία τοῦ ποσοῦ προϋπάρχει, διότι τὸ εἶναι τῷ ποσῷ ἀπὸ τῆς οὐσίας ἐνδίδοται, οὕτως καὶ μετὰ τὸ ποιὸν ἂν εἴη τὸ ποσόν. ἐπειδὴ τὸν χαρακτῆρα αὐτοῦ καὶ τὴν ἰδιότητα ἀπὸ τῆς ποιότητος ἔχει. ἀλλὰ συνυφίσταται φασὶ τῷ ὄντι τὸ ποσόν. ἢ γὰρ ἓν εὐθύς, ἢ πολλά. καὶ πρὸ τοῦ ποσοῦ τὸ ποιὸν συνυφίσταται, ὁ χαρακτὴρ αὐτός, καθ' ὃ ἓν λέγεται, ὁπότε καὶ αὐτὸ τὸ ἓν καὶ τὰ πολλά, κατὰ τὸν τοῦ ποιοῦ χαρακτῆρα ὑφέστηκεν. εἰ δὲ κοινὰ πλείονα τῷ ποσῷ πρὸς τὴν οὐσίαν ὑπάρχει, οὐ χρή φησιν ὁ θεῖος Ἰάμβλιχος ἀπὸ συμβεβηκότων καὶ τῶν ἄλλως παρακολουθούντων τὴν κατ' οὐσίαν αὐτῶν τάξιν συλλογίζεσθαι. ῥητέον δὲ ἴσως, ὅτι τὰ πορρώτερον διεστῶτα, πολλάκις ἐναργεστέραν τὴν ἀνόμοιον προφαίνει ὁμοιότητα. ὡς ἡ ἀδιαίρετος ἐν τῷ ἀριθμῷ μονάς, ὁμοία δοκεῖ τῇ πρὸ τοῦ ἀριθμοῦ μονάδι. καὶ τὴν ὕλην τῷ πρώτῳ αἰτίῳ ἀνομοίως ὁμοιοῦσθαι φασίν. ἀλλ' ὁ μὲν Ἀρχύτας εἰς ταῦτα ἢ τοιαῦτά τινα ἀποβλέψας, ἴσως τὸ ποιὸν προτέθεικε τοῦ ποσοῦ. ὁ δὲ Ἀριστοτέλης πρώτην οὐσίαν ὑποθέμενος τὴν σύνθετον καὶ σωματικήν, διὰ τὸ γνωριμωτέραν εἶναι ταύτην τῇ συνηθείᾳ τῇ λεκτικῇ, εἰκότως ταύτῃ τὸ ποσὸν συνέταξεν, ὡς οἰκειότερον καὶ γνωριμώτερον, καὶ τῇ διαστάσει τῆς τοιαύτης οὐσίας συνυπάρχον. καὶ οὐδὲν θαυμαστὸν ἑκάτερον οἰκείαν τὴν τάξιν ἀποδεδωκέναι ταῖς ἑαυτοῦ ὑποθέσεσι. διαιρεῖται δὲ τὸ ποσόν, εἴς τε τὸ συνεχές, καὶ εἰς τὸ διωρισμένον. ταῦτα γὰρ ὑπὸ γένος ἐστὶ τὸ ποσόν. καὶ γὰρ ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορεῖται τὸ ποσόν. καὶ οὔτε κατὰ συμβεβηκός, οὔτε ὄνομα μόνον ἐστίν, ἀλλ' ἐπίσης μετέχει τοῦ ποσοῦ. ἀμφότερα γὰρ ὁμοίως καὶ τὸ ἴσον καὶ τὸ ἄνισον ἐπιδέχεται. καὶ τὸ διπλάσιον καὶ τὸ ἥμισυ. γίνεται δὲ ἡ διαίρεσις αὕτη, οὐκ εἰς εἴδη τοῦ ποσοῦ, ἀλλ' εἰς διαφοράς. εἴδη μὲν γὰρ τοῦ ποσοῦ, τὸ μέγεθος καὶ τὸ πλῆθος. διαφοραὶ δέ, τὸ συνεχὲς καὶ διωρισμένον. τὸ γὰρ μέγεθος, ποσόν ἐστι συνεχές. καὶ τὸ πλῆθος, ποσὸν διωρισμένον. αὐτὸς δὲ εἴδη τοῦ ποσοῦ, κατὰ μὲν τὴν τοῦ διωρισμένου διαφοράν, τὸν ἀριθμὸν καὶ τὸν

λόγον ἔθετο. κατὰ δὲ τὴν τοῦ συνεχοῦς γραμμὴν, καὶ ἐπιφάνειαν καὶ σῶμα. ἔτι δὲ καὶ τόπον καὶ χρόνον. καὶ ἴσως ἀκριβέστερον τοῦτο. δοκεῖ γὰρ καὶ τῷ Ἰαμβλίχῳ, μὴ παρισοῦσθαι τῷ διωρισμένῳ τὸ πλῆθος. διότι καὶ ὁ λόγος διωρισμένος μέν τίς ἐστιν, ὥσπερ καὶ ὁ ἀριθμός. πλῆθος δὲ οὐκ ἔστιν ὁ λόγος. κἂν γὰρ πολύς ἐστιν ὁ λόγος, ἀλλ' ἄλλο τὸ πολὺ εἶναι τὸ μετέχον πλήθους, ὥσπερ πολλοὶ οἱ ἄνθρωποι, καὶ ἄλλο τὸ πλῆθος εἶναι, κατ' αὐτὸ τοῦτο χαρακτηριζόμενον. μήποτε δὲ οὐδὲ τὸ μέγεθος ταυτόν ἐστι τῷ συνεχεῖ. καὶ γὰρ ὁ χρόνος, συνεχὴς μέν ἐστιν ὡς δείκνυσι, μέγεθος δὲ οὐκ ἔστι. τρία γὰρ εἴδη τοῦ μεγέθους. γραμμή. ἐπιφάνεια. καὶ σῶμα. ὧν οὐδέν ἐστιν ὁ χρόνος. κἂν γὰρ μακρὸς λέγηται ὁ χρόνος, Ἀπαντᾷ ὁ μακρὸς κἂν ἀριθμητὸς χρόνος,

Ἀλλὰ καὶ πάλιν οὐδὲν ἧττον. καὶ ἑτέραν διαίρεσιν δὲ τοῦ ποσοῦ ποιεῖται. τὸ μὲν, ἐκ θέσιν ἐχόντων τῶν ἐν αὐτῷ μορίων λέγων εἶναι. τὸ δὲ, ἐξ οὐκ ἐχόντων θέσιν. διαφέρει δὲ αὕτη τῆς προειρημένης. οὔτε γὰρ τὰ συνεχῆ ταὐτά ἐστι τοῖς θέσιν ἔχουσιν. ἀλλὰ τὰ μὲν ἐκ θέσιν ἐχόντων, πάντως καὶ συνεχῆ ἐστι. τὰ δὲ συνεχῆ, οὐ πάντως θέσιν ἔχει. ὁ γοῦν χρόνος, συνεχὴς μέν ἐστιν, οὐ μέντοι τῶν θέσιν ἐχόντων. ἀνάπαλιν δὲ πᾶν μὲν διωρισμένον, ἐξ οὐκ ἐχόντων θέσιν ἐστίν. οὐ μὴν πᾶν τὸ ἐξ οὐκ ἐχόντων θέσιν, ἤδη καὶ διωρισμένον ἐστί. πάλιν γὰρ ὁ χρόνος ἐξ οὐκ ἐχόντων θέσιν ὤν, οὐκ ἔστι διωρισμένος. καὶ οὐδὲν θαυμαστὸν τοῦ αὐτοῦ κατ' ἄλλην καὶ ἄλλην ἐπιβολὴν, πλείονας γενέσθαι διαιρέσεις, ὥσπερ τοῦ ζώου κατά τε τὸ λογικὸν καὶ τὸ ἄλογον. καὶ αὖ πάλιν κατά τε τὸ θνητὸν καὶ ἀθάνατον. κατὰ δὲ τὰς τοιαύτας διαφορὰς, οὐδὲ τὰ τμήματα τοῖς τμήμασι πάντως ἐφαρμόζει. οὐ γὰρ μόνα τὰ λογικὰ ὑπόποδά ἐστιν, ἀλλὰ καὶ τῶν ἀλόγων πολλά. λοιπὸν δεῖ εἰπεῖν, τίνα μέν ἐστι τὰ συνεχῆ, τίνα δὲ τὰ διωρισμένα. ἐν δὲ τῇ φυσικῇ ἀκροάσει, συνεχῆ ἐστι φησὶν, ὧν τὰ πέρατα ἕν, ὥσπερ ἁπτόμενα. καὶ ὧν τὰ πέρατα ἅμα. ἐνταῦθα δέ φησι συνεχῆ εἶναι, τὰ πρὸς ἕνα κοινὸν ὅρον συνάπτοντα. διωρισμένα δὲ, τὰ μὴ ἔχοντα κοινὸν ὅρον, πρὸς ὃν συνάπτει τὰ μόρια αὐτῶν. καὶ τῷ μὲν διωρισμένῳ, ὑποτίθησι τὸν ἀριθμὸν καὶ τὸν λόγον. τῶν γὰρ πέντε, οὐκ ἔστι μονὰς μέσος ὅρος συνάπτων τὰ τρία, καὶ τὰ δύο. εἰ δέ τις λέγοι μονάδα εἶναι καθ' ἕτερον τῶν μερῶν τὴν συνάπτουσαν, ἐπειδὴ ἡ μονὰς οὐκ ἔστι πέρας τοῦ ἀριθμοῦ, ὡς τὸ σημεῖον τῆς γραμμῆς ἀλλὰ μέρος, ἄλλη ἂν εἴη μονὰς παρὰ τὰς πέντε. καὶ οὔτε πέντε ἔτι ἀλλὰ ἓξ ἔσται, οὔτε κοινὸν πέρας ἡ μονὰς ἐκείνη, πρὸς ἣν συνάπτει τὰ μόρια. καὶ γὰρ ὁ μὲν ἀριθμὸς, ἐκ μονάδων σύγκειται, καὶ εἰς μονάδας διαιρεῖται. διὸ, οὐδὲ ἐπ' ἄπειρον ἡ διαίρεσις αὐτοῦ, ἀλλὰ μέχρι τῶν μονάδων. ἡ δὲ γραμμὴ, οὐδὲ σύγκειται ἐκ σημείων, οὔτε διαιρεῖται εἰς σημεῖα. διὸ καὶ ἐπ' ἄπειρον ἐστὶ διαιρετή. ἐπειδὴ δὲ καὶ τὸν λόγον τοῦ διωρισμένου ποσοῦ φησιν εἶναι, λόγον ἀκουστέον οὐ τὸν ἐν διανοίᾳ, ἀλλὰ τὸν ἐν τῇ φωνῇ. οὗτος γάρ ἐστι ποσόν. πᾶς γὰρ λόγος, ἐξ ὀνομάτων καὶ ῥημάτων συνέστηκε. πᾶν δὲ στοιχεῖον λόγου, ἐκ συλλαβῶν. πᾶσα δὲ συλλαβὴ, χρόνοις καταμετρεῖται. καὶ χρόνῳ, ἢ μακρῷ ἢ βραχεῖ. αἱ δὲ μακραὶ πρὸς τὰς βραχείας ἔχουσι λόγον, ὃν δύο πρὸς ἕν. τὸ δὲ ἓν καὶ δύο,

ἀριθμός. ὁ δὲ ἀριθμός, ποσὸν διωρισμένον. ὥστε καὶ ὁ λόγος διωρισμένος. καὶ γὰρ ἐν τούτῳ, οὐδένα ἐστὶ κοινὸν λαβεῖν, ὃ συνάπτει αὐτοῦ τὰ μέρη. οἷον, ἐν τῷ σωκράτης, οὐδένα ἐστὶ κοινὸν τῶν συλλαβῶν λαβεῖν, ὃ συνάπτει αὐτὰς πρὸς ἀλλήλας. οὐ δὲ γὰρ τὸ σημαινόμενον ἐστὶν εἰπεῖν ὅτι συνάπτει αὐτάς. καὶ γὰρ αἱ ἄσημοι φωναί, οἷον βλίτυρι, ὡσαύτως κατατέμνονται καὶ συνάπτονται. οὕτως μὲν οὖν ὁ ἐν τῇ φωνῇ λόγος διωρισμένος ἐστίν. ὁ δὲ ἐν τῇ διανοίᾳ, οὐδὲ ποσὸν ὅλως. ἀλλ᾽ ἢ ἐνέργεια ἢ πάθος, ἢ τὸ συναμφότερον, ὥς ὁ ἰάμβλιχος φησίν. ὁ μέντοι πορφύριος, ποιὸν αὐτὸν εἶναι λέγει. τοῦ μὲν οὖν διωρισμένου ποσοῦ εἴδη, ὅ, τε ἀριθμός ἐστι καὶ ὁ λόγος. τοῦ δὲ συνεχοῦς, γραμμὴ πρώτη. τὸ γὰρ σημεῖον καθ᾽ ὃ διαιρεῖται ἡ γραμμή, κοινὸν ὅρον ἔχει. καὶ κατὰ τοῦτο συνάπτεται ἀλλήλοις τὰ μόρια τῆς γραμμῆς. μετὰ δὲ τὴν γραμμήν, ἡ ἐπιφάνεια. καὶ αὕτη κοινὸν ὅρον ἔχουσα τὴν γραμμήν, καθ᾽ ἣν διαιρεῖται. καὶ μετὰ τὴν ἐπιφάνειαν, τὸ σῶμα τῇ ἐπιφανείᾳ διαιρούμενον. Ἐπιστῆσαι δὲ ἄξιον, πῶς τὰ τοῦ σώματος μόρια κοινὸν ὅρον ἔχειν γραμμήν φησιν ἢ ἐπιφάνειαν. ἔστι δὲ ὅπου καὶ ἐπιφάνεια γέγραπται. καὶ γὰρ ὁ κοινὸς ὅρος τῶν σωμάτων, ἐπιφάνεια πάντως ἐστίν, ὡς τῶν ἐπιφανειῶν γραμμή. καὶ τῶν γραμμῶν σημεῖον. Ὁ μὲν οὖν πορφύριος ἐπιστήσας, ἔστι φησί τινα τῶν στερεῶν σωμάτων, ἃ καὶ γραμμὴν τὴν συνέχειαν ἔχει. καὶ γὰρ σῶμα ἀξιοῖ ἀκούειν ὁ ἑρμῖνος, οὐ τὸ φυσικόν, οὐσία γάρ. ἀλλὰ τὸ μαθηματικόν. ὃ κατὰ ψιλὰς τὰς πάντῃ διαστατάς τε λαμβάνεται. καίτοι καὶ τὰ μαθηματικὰ σώματα, οὐ γραμμῇ, ἀλλ᾽ ἐπιπέδῳ μαθηματικῷ διαιρεῖται. μήποτε γοῦν διὰ τὴν στερεὰν εἶπε γωνίαν. τὰ γὰρ στερεά, παρ᾽ ἄλληλα ἐπίπεδα, κατὰ γραμμὴν γωνιακὴν συνάπτεται ἀλλήλοις. Ἀλλὰ πῶς ἡ διαιρεθεῖσα γραμμὴ ἔτι κοινὸν ὅρον ἔχει τὸ σημεῖον. ἡ δὲ διαιρεθεῖσα ἐπιφάνεια, κοινὸν ὅρον ἔχει τὴν γραμμήν, ἢ τὸ σῶμα τὴν ἐπιφάνειαν. τὰ γὰρ διαιρεθέντα οἰκείοις πέρασι περιγραφόμενα, καὶ οἰκείους ἔχοντα ὅρους, οὐκέτι κοινὸν ὅρον ἔχει, πρὸς ὃν συνάπτει τὰ μόρια αὐτῶν. ἢ δυνάμει δεῖ θεωρεῖν τὴν διαίρεσιν, ἀλλ᾽ οὐκ ἐνεργείᾳ. Καὶ δυνάμει ἐν μὲν τῇ γραμμῇ, τὸ κοινὸν σημεῖον. ἐν δὲ τῇ ἐπιφανείᾳ, τὴν γραμμήν. ἐν δὲ τῷ σώματι, τὴν ἐπιφάνειαν. ἃ ἔμελλον ἐν εἶναι τὰ ἀμφοῖν πέρας. ὅπερ δεῖ προσεῖναι τῷ συνεχεῖ. ἐνεργείᾳ γὰρ ληφθέντα ταῦτα καὶ δύο γενόμενα, εἰ μὲν παρακείμενα εἴη, ἅμα ποιεῖ τὰ πέρατα. καὶ ἁπτόμενα, τά τε πέρατα τὰ μόνα. εἰ δὲ μή, οὐδὲ ἁπτόμενα δύναται εἶναι. τὸ δὲ σῶμα καθόσον μὲν τρεῖς ἔχει διαστάσεις, καὶ μετρεῖσθαι πέφυκε, ποσὸν ὑπάρχει. καθόσον μέντοι ὑποκείμενόν ἐστι καὶ ταυτὸν καὶ ἓν ἀριθμῷ μένον, τῶν ἐναντίων ἐστὶ δεκτικόν, κατὰ τοῦτο οὐσία ἐστίν. ὥστε οὐ καλῶς οἱ περὶ τὸν λούκιον ἐγκαλοῦσιν, ὡς τὸ σῶμα τῆς οὐσίας ὄν, εἰς τὸ ποσὸν μετενεγκόντι. Ἐπιστῆσαι δὲ ἄξιον, ὅπως εἶπεν. ἔτι δὲ παρὰ ταῦτα, χρόνος καὶ τόπος ἐστὶ ποσά. διότι οὐχ ἥνωται τῷ σώματι. οὐ δὲ ὁ χρόνος, οὐ δὲ ὁ τόπος, ἀλλ᾽ ἔξωθεν ταῦτα ἐπακολουθεῖ. καὶ ὁ μὲν τόπος, περὶ τὸ σῶμα ὢν καὶ τὴν τοῦ σώματος διάστασιν, συνδιέστηκε τοῖς σώμασι. καὶ καθόσον μὲν διάστημα καὶ αὐτός, καὶ ἐπιφάνεια, ποσὸν ἂν εἴη. καθόσον δὲ περιέχει καὶ πέρας, πρός τι.

συνεχὴς δέ ἐστιν ὁ τόπος. διότι καὶ τὰ τούτου μόρια, πρὸς κοινὸν ὅρον συνάπτει. τὰ γὰρ τοῦ σώματος μόρια, πρός τινα κοινὸν ὅρον συνάπτοντα, τόπους τινὰς κατέχει μόρια ὄντα τοῦ τόπου. οἵτινες καὶ αὐτοὶ πρὸς κοινὸν ὅρον συνάπτουσι, πρὸς ὃν καὶ τὰ τοῦ σώματος μόρια. εἰ δὲ ἐπιφάνειά ἐστιν ὁ τόπος τοῦ περιέχοντος καθὸ περιέχει, ἡ δὲ ἐπιφάνεια συνεχής, πρόδηλον ὅτι καὶ ὁ τόπος. ἀλλ᾽ οὐκ ἐχρῆν σαφηνίζειν ταύτῃ τῇ ἀποδείξει. διότι οὔπω ἔγνωσται, τί ἐστι τόπος. φυσικῆς γὰρ ταύτης θεωρίας ἡ σκέψις. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι ἐνταῦθα τὰ τοῦ σώματος μόρια τὰ συνεχῆ, καθ᾽ ἑαυτὰ ἐν τόπῳ εἶναι. καὶ γὰρ κατέχει μὲν καὶ αὐτὰ τόπον. οὐ μὴν καθ᾽ αὑτά. ἐπειδὴ οὐδὲ ἔστιν ἐν τόπῳ καθ᾽ ἑαυτά, οὐδὲ περιέχεται καθ᾽ ἑαυτά. ὁ δὲ χρόνος, ποσὸν μέν ἐστι καὶ αὐτός, ὅτι ἐν διαστήματι θεωρεῖται. καὶ ἔστιν ἀριθμὸς κινήσεως. συνεχὲς δέ ἐστι, διότι τὸ παρεληλυθὸς αὐτοῦ καὶ τὸ μέλλον, πρὸς κοινὸν ὅρον τὸ νῦν συνάπτει. καὶ συνδεῖται κατὰ τοῦτο. ἔοικε δὲ ὁ χρόνος εἶναι κυριώτατα συνεχής. τῶν μὲν γὰρ ἄλλων συνεχῶν ἕκαστον, καὶ διαιρεθείη ἄν. ὁ δὲ χρόνος, ἀεὶ συνεχής, καὶ οὐδέποτε ἐξ ἀπομένων. κατά γε οὖν τοῦτο, διαφέρει τῶν ἄλλων συνεχῶν. καὶ ὅτι ἐκεῖνα μέν, ἐκ θέσιν ἐχόντων. οὗτος δέ, ἐξ οὐκ ἐχόντων θέσιν. ταῦτα μὲν οὖν εἰς σαφήνειαν τῶν τῷ Ἀριστοτέλει δεδιορισμένων εἰρήσθω.

Ἀποροῦσι δέ τινες, πῶς τὸ ποσὸν λέγεται τοῦ διωρισμένου γένος καὶ συνεχοῦς. εἰ γὰρ πρότερόν ἐστι φύσει τὸ διωρισμένον τοῦ συνεχοῦς. ἐν οἷς γὰρ τὸ μέν, μᾶλλον. τὸ δέ, ἧττον. καὶ τὸ μέν, πρότερον. τὸ δέ, ὕστερον, ἐν τούτοις οὐ δύναται εἶναι κοινὸν γένος. διότι τῶν μὲν εἰδῶν ἕκαστον ἀναιρεθέν, οὐ συναναιρεῖ τὸ γένος. τὰ δὲ ἀντικείμενα ἅμα εἴδη ἀναιρεθέντα, ἀναιρεῖ τὸ γένος. ἐφ᾽ ὧν οὖν τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὸ πρότερον καὶ ὕστερον, ἀναιρεθέντος τοῦ μᾶλλον καὶ τοῦ προτέρου, συναναιρεῖται καὶ τὸ ἧττον καὶ ὕστερον. ὥστε καὶ τὸ γένος. διὰ τοῦτο μὲν οὖν ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστιν, οὐ δύναταί τι ὡς γένος κατηγορεῖσθαι. ὅτι δὲ πρότερον φύσει τὸ διωρισμένον τοῦ συνεχοῦς, δεικνῦσιν ἐκ τοῦ συναναιρεῖν μέν, μὴ συναναιρεῖσθαι δέ.

Τριῶν μὲν γὰρ ἀναιρεθέντων, ἀναιρεῖται τὸ τρίγωνον. τριγώνου δὲ ἀναιρεθέντος, οὐκ ἀναιρεῖται τὰ τρία. καὶ τὸ μὲν διωρισμένον, συνεπιφέρεται. τῷ γὰρ τριγώνῳ, συνεισφέρεται τὰ τρία. τὸ δὲ συνεχές, συνεπιφέρει. τὸ γὰρ τρίγωνον, εἰσάγει τὰ τρία.

Ἔτι δὲ τὸ μέν, ἁπλοῦν φασί, καὶ καθ᾽ ἑαυτὸ ὑφεστηκός τε καὶ νοούμενον. τὸ δέ, καὶ θέσιν προσείληφεν. ἔτι δὲ καὶ ἐκ τῶν ἐπιστημῶν. διό φασι, πρεσβυτέρα ἐστὶν ἀριθμητικὴ γεωμετρίας. δῆλον δέ, ὅτι οὐκ ἂν εἴη τοῦτο ἀληθές, εἰ μὴ καὶ ὁ ἀριθμὸς τοῦ μεγέθους εἴη πρεσβύτερος. τινὲς δὲ τὸ ἄλλο κατασκευάζουσιν, ἐκ τοῦ τὸ συνεχὲς διαιρετὸν εἶναι εἰς ἀεὶ διαιρετόν. μὴ ὄντος οὖν τοῦ διωρισμένου, οὐδ᾽ ἂν ἄλλο εἴη. ἔστι δὲ οἶμαι καὶ τοῦτο λέγειν. ὅτι ποσόν, τὸ μετρούμενον εἶναί φαμεν. πᾶν δὲ μέτρον, κατ᾽ ἀριθμὸν γίνεται. ὁ δὲ ἀριθμός, διωρισμένον ποσόν. προηγεῖται δ᾽ ἄρα τοῦτο τοῦ συνεχοῦς. πρὸς δὴ ταῦτα τὸ μὲν φιλονεικεῖν, ὡς οὐκ ἔστι πρότερον φύσει τὸ διωρισμένον. διότι ἀπὸ τῆς τοῦ συνεχοῦς διαιρέσεως τὸ εἶναι ἔχει τὸ διωρισμένον. καὶ ἔστι τινὰ συνεχῆ ἀδιαίρετα ὡς αἱ ἄτομοι. βίαιον δοκεῖ. ῥητέον δὲ μᾶλλον, ὅτι καθ᾽ ὅσον μὲν τὸ πρότερον ἔχουσι καὶ ὕστερον,

Universitäts- und
Landesbibliothek Düsseldorf

οὐκ ἔστιν ὑπὸ τὸ αὐτὸ γένος. καθ' ὅσον δὲ δι' ἑαυτῶν προσεχῶς ἐπικοινωνεῖ τῷ ποσῷ, καὶ οὐδὲν μέσον τὸ κωλύον ἐπίσης μετέχειν, καὶ τὸ συνεχὲς τοῦ ποσοῦ. ὥσπερ καὶ τὸ διωρισμένον. κατὰ τοῦτο δὲ γένος ἂν εἴη τὸ ποσὸν ἀμφοῖν. ἀρκεῖ γὰρ πρὸς τοῦτο ἡ ἄμεσος μέθεξις. καὶ γὰρ πρὸ τοῦ τριγώνου τὰ τρία ποσόν, ἀλλὰ καὶ τὸ συνεχὲς πρὸ τοῦ τριγώνου ποσόν. οὕτως δὲ καὶ ἐπὶ τῆς καταφάσεως καὶ ἀποφάσεως ὁρῶμεν. καὶ γὰρ πρότερον τῇ φύσει τῆς ἀποφάσεως ἡ κατάφασις. καὶ ὅμως κατὰ τὸ ἀποφαίνεσθαι καὶ κατὰ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ἐπίσης ἔχοντα ὁρῶντες, ὑπὸ τὸ αὐτὸ γένος εἶναί φαμεν. ταῦτα δὲ καὶ Ἀριστοτέλης ἐπὶ τοῦ διωρισμένου καὶ συνεχοῦς ἐννοῶν, προτάττει μὲν πανταχοῦ τὸ διωρισμένον. καὶ γὰρ ἐν τῇ πρώτῃ διαιρέσει τοῦ ποσοῦ φησί, τὸ μέν ἐστι διωρισμένον. τὸ δέ, συνεχές. καὶ ἐν τῇ διαριθμήσει τῶν καθ' ἕκαστα, πρῶτα τὰ ὑπὸ τὸ διωρισμένον παραδίδωσι λέγων. ἔστι δὲ διωρισμένα μέν, οἷον ἀριθμός, καὶ ὁ λόγος. κατὰ δὲ τὴν ἐπίσης τοῦ ποσοῦ μέθεξιν ὑπὸ τὸ γένος, αὐτὰ τὸ ποσὸν ἀντιδιαιρεῖ. Ἔτι δὲ ὁ Πλωτῖνος ζητεῖ ἐν τῷ πρώτῳ περὶ τῶν γενῶν, εἰ τὸ συνεχὲς ποσόν ἐστιν, οὐκέτι τὸ διωρισμένον ποσόν. εἰ δὲ ἄμφω ποσά, δεικτέον τί τὸ ἐν ἀμφοτέροις κοινόν. Καὶ λύει τὴν ζήτησιν ἐν τῷ τρίτῳ λέγων. ὅτι κοινὸν αὐτοῖς ἐστι, τὸ τοσόνδε. δηλονότι τὸ ὡς μέτρον καὶ ὡς πέρας θεωρούμενον, καθὸ ποσὸν ἕκαστον γινώσκεται. τοῦτο γὰρ οὐκ ἀπὸ τοῦ ἀριθμοῦ τῷ μεγέθει ἐνεδόθη ὥς τισι δοκεῖ, ἀλλ' ἔστιν ἴδιον μέτρον καὶ τοῦ ἡνωμένου τε καὶ τοῦ ἀπ' ἀλλήλων διεχομένου. καὶ ἔτι μᾶλλον τοῦ διωρισμένου. ἰδία γὰρ καὶ φύσις ἑκάστῳ, ὡς καὶ ἐν τῷ παντὶ κόσμῳ θεωρεῖται. τοῦ μὲν συνεχοῦς ἡ φύσις ἥτις καλεῖται μέγεθος, κατὰ ἕνωσιν καὶ ἀπ' ἀλλήλων διοχήν. τοῦ δὲ διωρισμένου ἥτις καλεῖται πλῆθος, κατὰ σωρείαν καὶ παράθεσιν. καὶ γὰρ κατὰ μὲν τὴν τοῦ μεγέθους οὐσίαν, εἷς ὁ κόσμος ἐστί τε καὶ νοεῖται σφαιρικὸς καὶ συμπεφυκὼς ἑαυτῷ, διατεταμένος τε καὶ ἀπ' ἀλλήλων διεχόμενος. κατὰ δὲ τὸ πλῆθος, ἥ τε σύνταξις καὶ ἡ διακόσμησις. ἡ ἐκ τοσῶνδε φέρε εἰπεῖν στοιχείων καὶ ζώων ἢ φυτῶν θεωρεῖται, καὶ ἐναντιοτήτων ἢ ὁμοιοτήτων τόσων καὶ τόσων. εἰ οὖν ἐν ταῖς εἰκόσιν οὕτω ταῦτα κεχώρισται, πολὺ πρότερον ἐν τοῖς νοουμένοις γένεσι. καὶ πρὸ τούτων, ἐν τοῖς καθ' αὑτὰ ἀΰλοις εἴδεσι διέστηκε, κοινὸν ἔχοντα ὡς εἴρηται τὸ μέτρον καὶ πέρας. ἐγκαλοῦσι δὲ οἱ περὶ τὸν Λούκιον καὶ Νικόστρατον τῇ διαιρέσει. πρῶτον μέν, ὡς μηδὲ οὕτως καὶ τὸ μέγεθος ποσὸν λέγουσι. πηλίκον γὰρ ἔδει τοῦτο λέγειν. ποσὸν δέ, τὸν ἀριθμόν. τὸ δὲ κοινὸν ἢ ἀλλ' ὅτι ἢ ὁμωνύμως τῷ ἑνὶ τῶν εἰδῶν, ποσὸν καὶ αὐτὸ ὀνομάζειν. ἀλλ' ἐπειδὴ καὶ κατὰ τὸ πλεῖστον, τὸ μὲν συνεχές, πηλίκον. τὸ δὲ διωρισμένον, ποσόν. ἀλλὰ καὶ ὑπαλλάττει πολλάκις. τὸ γοῦν ὕδωρ συνεχὲς ὄν, ποσὸν λέγομεν ἀλλ' οὐ πηλίκον. πολὺ γὰρ καὶ οὐ μέγα. καὶ τὸν χρόνον ποσὸν λέγομεν. εἰκότως οὔτε δύο πεποίηκε κατηγορίας τὸ ποσὸν καὶ πηλίκον, οὔτε κατὰ τὸ πηλίκον καὶ ποσὸν διεῖλεν. ἀλλὰ κατὰ τὸ συνεχὲς καὶ διωρισμένον. ἅπερ οὐδέποτε ὑπαλλάττει. Αἰτιῶνται δέ, καὶ τὸ εἰς δύο γενέσθαι τὴν διαίρεσιν. ἔδει γὰρ μετὰ τὸν ἀριθμὸν καὶ τὸ μέγεθος, τρίτον εἶδος τάττειν τὸ βάρος ἢ τὴν ῥοπήν, ὡς Ἀρχύτας. καὶ ὡς ὕστερον Ἀθηνόδωρος ἔταξε, καὶ Πτολεμαῖος ὁ μαθηματικός. Ἀλλὰ ῥητέον. ὅτι

Universitäts- und
Landesbibliothek Düsseldorf

ἡ βαρύτης, ποιότης ἐστίν. ὡς ἡ πυκνότης καὶ ἡ παχύτης. οὐχ ἡ κατὰ τὸ ποσόν, ἀλλὰ κατὰ τὸ ποιόν. καὶ τὰ τούτοις ἀντικείμενα. ἀλλ' ἡ μνᾶ καὶ τὸ τάλαντον τὰ ὑπὸ βάρους λεγόμενα, ποῦ ἂν περιληφθείη; εἰ ὡς μὲν τὰ προηγούμενα, ποσὰ φήσομεν οὐδαμῶς. εἰ ὡς δὲ τὰ κατὰ συμβεβηκός. οὔτε γὰρ κατ' ἀριθμὸν ἁπλῶς, οὔτε κατὰ μέγεθος. Ἀλλ' ἐπιστῆσαι χρή, μήποτε οὐχ ὡς τὸ λευκὸν κατὰ συμβεβηκὸς ποσόν, ὅτι ἡ ἐπιφάνεια ποσόν, οὕτως καὶ ἡ ῥοπή, ἀλλ' αὐτὴ καθ' αὑτήν ἐστι ποσόν. διότι καθ' αὑτὴν ἐπιδέχεται τὸ τοῦ ποσοῦ ἴδιον, τὸ ἴσον καὶ ἄνισον. ὡς ἄλλαι, τὴν ὑπερβολὴν καὶ ἔλλειψιν. δεῖ γὰρ οἶμαι καὶ τῷ Ἀρχύτᾳ προσέχειν τὸν νοῦν, εἰ χρὴ καὶ αὐτῷ διελόντι τὸ ποσόν. γράφει γὰρ οὕτως. Τᾶς ποσότητος διαφοραὶ τρεῖς. τὸ μὲν γὰρ αὐτᾶς ἐντὶ ἐν ῥοπᾷ, ὡς τὸ τάλαντον. τὸ δὲ ἐν μεγέθει, ὡς τὸ δίπαχυ. τὸ δὲ ἐν πλάθει, ὡς τὰ δέκα. Καὶ ταύτην μὲν ὁ Ἰάμβλιχος ἀποδέχεται τὴν διαίρεσιν. καὶ ὡς κατὰ τὸ τελειότατον μέτρον τοῦ ποσοῦ τὴν τριάδα γενομένην, καὶ ὡς τοῖς πράγμασι σύμφωνον. ἡ γὰρ κατὰ ῥοπὴν ποσότης, οὔτε τῷ μεγέθει, οὔτε τῷ πλήθει ἐστὶν ἡ αὐτή. ἀλλ' ἐν κινήσει μᾶλλον θεωρεῖται. καὶ κατὰ βάρος ἢ κουφότητα ἔχει τὸ ποσόν. παραλέλειπται οὖν φησὶν ἡ αὐτὴ ἡ διαίρεσις, οὕτως ἔχουσα. τῶν ποσῶν τὰ μέν, ἔχει ῥοπήν. τὰ δέ, οὐκ ἔχει. καὶ δῆλον ὅτι οὔτε τοῖς συνεχέσι καὶ διωρισμένοις ἡ αὐτή ἐστιν, οὔτε τοῖς θέσιν ἔχουσιν εἴτε καὶ μή. καὶ ἐν τῷ παντὶ δέ φησιν ἐναργὴς ἡ διαίρεσις αὕτη φαίνεται. τῶν μὲν τεττάρων στοιχείων, ῥοπὴν ἐχόντων. τοῦ δὲ οὐρανοῦ ἀρρεποῦς ὄντος. καὶ ἐν ταῖς κινήσεσιν αἱ μὲν ἐπ' εὐθείας κινήσεις, μετὰ ῥοπῆς γίνονται, ἀρχὴν ἔχουσαι καὶ τελευτήν, καὶ στάσει μεταξὺ διαλαμβανόμεναι. ἡ δὲ κατὰ κύκλον συνεχὴς καὶ ἄναρχος οὖσα καὶ ἀτελεύτητος, ὥσπερ ἀκίνητος οὖσα, ἀρρεπής ἐστι. καὶ ἐν τοῖς ἀσωμάτοις δέ φησι ποσοῖς, ἐναργὴς ἡ τοιαύτη διαφορά. ἐὰν γάρ τις τὴν ψυχὴν ὑποθῆται ὡς καθ' ἑαυτὸ ποσόν, ἡ νεύει εἰς τὸ σῶμα, ῥοπὴν ἕξει τὴν ἐπὶ τὸ κάτω. ἡ δὲ ἀπὸ τῶν κάτω πρὸς τὸν νοῦν τὴν νεῦσιν, τὴν ἐπὶ τὸ ἄνω. ὁ δὲ νοῦς, ἀρρεπὲς ποσόν. Διὰ τοῦτο δέ φησι τὰ μὲν διαστήματα τῆς φωνῆς ποσὰ λέγομεν, τὰ δὲ τῆς ῥοπῆς διαστήματα οὐ λέγομεν ποσά. Πρὸς δὲ Κορνοῦτον καὶ Πορφύριον τὴν ῥοπὴν κατὰ βαρύτητα καὶ κουφότητα θεωρουμένων ποσότητα λέγοντας, φησὶ τὴν ῥοπὴν μὴ εἶναι βαρύτητα καὶ κουφότητα, ἀλλὰ μέτρον βαρύτητος καὶ κουφότητος. αὐτὰ μὲν γὰρ καθ' αὑτὰ τὰ βαρέα ἢ κοῦφα, ἐπ' ἄπειρον ἂν προΐῃ μηδένα ἔχοντα ὅρον ἐξ αὑτῶν. ἐπειδὴ δὲ ἡ ἀπὸ τῶν μέτρων τῆς ῥοπῆς δύναμις τάξιν καὶ ὅρον ἐντέθεικε, τηνικαῦτα εἰς εὐταξίαν κατέστη. κοινῶς μὲν δὴ περὶ τοῦ ποσοῦ ταῦτα διαπορεῖται, καὶ οὕτως διαλύεται. κατ' ἰδίαν δὲ περὶ ἑκάστου τῶν εἰδῶν τοῦ ποσοῦ διαποροῦντες, περὶ τοῦ ἀριθμοῦ πρώτου διαπορούμενοι λέγουσιν. ὡς ἄλλη μὲν ἥ ἐστι τοῦ ἀριθμοῦ φύσις, καθ' ἣν ἐστιν ὡρισμένος, καὶ πόσος βαρυτόνως. ἄλλη δέ, καθ' ἣν τὸ ποσὸν αὐτῷ ἀορίστως καὶ ὀξυτόνως ὑπάρχει. καὶ ταύτην εἶναι τὴν δηλουμένην, ὅταν ποσὸν τὸν ἀριθμὸν εἶναι λέγωμεν. τὴν δὲ ἑτέραν παραλελεῖφθαι τοῖς περὶ αὐτοὺς διαλεχθεῖσι. πρὸς οὓς εὐθὺς ἐνίστασθαι προσήκει. οὐ γὰρ ἄλλο μὲν ὁ ἀριθμὸς ἔχει τὸ πόσος εἶναι, ἄλλο δὲ τὸ τοσόσδε

εἶναι. εἰ γὰρ πᾶν τὸ μετασχὸν ἀριθμοῦ τὸ ποσὸν δὲ εἶναι ἔχει, πῶς ἂν ὁ ἀριθμὸς ἄλλο τι εἴη παρὰ τὸ ποσὸν δέ. οὐ γὰρ τὸ ποσὸν εἴληπται τὸ ὕλῃ ἀναλογοῦν ἐν τῷ ἀριθμῷ, ἀλλὰ τὸ διωρισμένον. ὃ ἤδη ἀριθμός ἐστι. τὸ μὲν γὰρ διωρισμένον μόνον ποσόν, πλῆθος ποιεῖ. τὸ δὲ καὶ ὡρισμένον, ἀριθμόν. ἔτι δὲ τῶν συνθέτων καὶ ἐνύλων τοῦτο ἴδιον, τὸ ἄλλα μὲν αὐτὰ εἶναι, ἄλλο δὲ τὸ εἶναι αὐτῶν. ὥσπερ ἄλλο μὲν ἄνθρωπος ὁ σύνθετος αὐτός, ἄλλο δὲ, τὸ ἀνθρώπῳ εἶναι ἡ κατὰ τὸ εἶδος ὑπόστασις. τὰ δὲ ἄυλα εἴδη καὶ ἀσύνθετα, ὡς καὶ Ἀριστοτέλης ἀποδείκνυσι, ταὐτὸν ἔχει τὸ ἕκαστον, καὶ τὸ ἑκάστῳ εἶναι. εἰ δέ τις ἑκάστου τῶν ὄντων οὐσιῶν παραστῆσαι βουλόμενος, ἄλλην μὲν τὴν οὐσίαν αὐτοῦ ἀπαιτεῖ εἶναι, ἄλλην δὲ τὴν ἰδιότητα καὶ τὸ εἶδος, ἐννοείτω ὡς ὁ εἰδητικὸς ἀριθμὸς καὶ τῶν ἄλλων εἰδῶν ἕκαστον, ταῖς οὐσίαις τῶν ὄντων συνυπάρχουσιν. οὔτε πρότερα αὐτῶν, οὔτε ὕστερα ὄντα, ἀλλὰ κατὰ τὰς οὐσίας οὐσιωμένα, ὥσπερ αἱ οὐσίαι κατὰ τοὺς ἀριθμοὺς ἠρίθμηνται. Ἀλλὰ διαφέρει φησὶν ὁ Πλωτῖνος, οὐσιώδους ὄντος ἐκείνου τοῦ ἀριθμοῦ, ὁ ἐν τούτοις οὐκέτι ἐστὶν οὐσία.

Ἢ ὅτι οὐδὲ τὰ ἄλλα ὅσα ἐστὶν ἐν τούτοις, ὡς ἑτέροις ἕτερα, καὶ ἐν τούτοις, ὡς συμβεβηκότα θεωρεῖται, ἀλλ᾽ αὐτὰ καθ᾽ αὑτὰ ἕστηκεν. οἷον, ἡ δικαιοσύνη ἐν τούτοις μὲν ἐστὶν ἕξις τῆς ψυχῆς, ὅτι κατὰ μέθεξιν ὑφίσταται, καὶ οἷον πεπόνθησιν. ἐν δὲ τῷ νῷ, αὐτὸ τοῦτο ὅπερ ἐστι. καὶ γὰρ καὶ ὁ ἐν τῇ ψυχῇ τῆς δικαιοσύνης λόγος, οὐσιώδης ἐστὶν ὑπόστασις. οὕτως δὲ καὶ ὁ ἀριθμὸς καὶ τῶν ἄλλων εἰδῶν ἕκαστον. ἐν μὲν τοῖς αἰσθητοῖς μεριστῶς μετεχόμενον, συμβεβηκὸς γίνεται. ἐν δὲ τοῖς ἀΰλοις εἴδεσι, μονοειδῶς ἕστηκε κατὰ τὴν ἐνέργειαν ἐν ταῖς οὐσίαις ἀφωρισμένα. οὗτος μὲν οὖν ἄλλος λόγων τρόπος, ὥς ὀρθῶς ὁ Ἰάμβλιχός φησι. Περὶ δὲ τοῦ μοναδικοῦ ἀριθμοῦ, διαπορεῖ πάλιν ὁ Πλωτῖνος. καθ᾽ ὃν δύο τε ἵπποι θεωροῦνται. καὶ τὰ ἄλλα ὡσαύτως, κατὰ σύνθεσιν μονάδων μετρεῖται. πότερον ἐνυπάρχει, ἢ χωρὶς ὢν μετρεῖ, ὥσπερ ὁ κανών. καὶ γὰρ εἰ χωρὶς ὢν μετρεῖ, πῶς οὐκ ἔσται τὰ ὑποκείμενα, μὴ μετέχοντα τοῦ ποσοῦ. ἔσται τὰ μέτρα μὲν ἔσω τὰ κεχωρισμένα ὡς μετροῦντα. διὰ τί δὲ ποσά. ἡ γὰρ αὐτοποσότης, οὐ πάντως ἐστὶ ποσόν. Τοῦτο δὲ αὐτὸς μὲν λύων, εἰ ἐν τοῖς οὖσιν ὄντες φησὶν οἱ ἀριθμοὶ εἰς μηδεμίαν ἄλλην κατηγορίαν ἀνάγονται, ποσὸν ἂν εἶεν. ὁ δὲ Ἰάμβλιχός φησιν ὅτι ὥσπερ τὰ ἄλλα ἔνυλα εἴδη, οὕτως καὶ ὁ ἀριθμὸς πάρεστι μὲν καὶ συνυπάρχει τοῖς διαριθμουμένοις πράγμασιν. οὐ μέντοι ἐν αὐτοῖς ἁπλῶς ἔχει τὴν ὑπόστασιν. οὐ δὲ ἐπιγινομένοις αὐτοῖς κατ᾽ ἐπακολούθησιν. οὐ δὲ ἐν συμβεβηκότος τάξει παραγινομένην. ἔχουσαν δέ τινα ἰδίαν μετὰ τῶν πραγμάτων οὐσίαν καθ᾽ ἣν ἀφορίζει καὶ πρὸς τὸ οἰκεῖον μέτρον συντάττει τὰ μετέχοντα. καὶ τὴν ποσότητα δὲ ποσὸν εἶναι, οὐκ ἄτοπον ὁ Ἰάμβλιχός φησιν. ὡς καὶ ἑαυτῇ παρέχουσαν, ὅπερ τοῖς ἄλλοις δίδωσι. καὶ γὰρ πρώτως φησὶν ἀφ᾽ ἑαυτῶν ἄρχεται τὰ χωριστὰ εἴδη τῆς ὄντως ἰδέας, καὶ κατὰ τὴν εἰς ἑαυτὰ ἐνέργειαν, ἑαυτοῖς τε παρέχει τὸ οἰκεῖον εἶδος, καὶ τοῖς ἄλλοις ἀφ᾽ ἑαυτῶν ὁμοῦ ἐνδιδόασιν. Ἀξιοῖ δὲ ἐφιστάνειν [illegible], πῶς ἂν ἡ ποσότης μετέχειν ἑαυτῆς λέγοιτο. ὥστε εἶναι ποσὸν καὶ ἡ ἰσότης ἴσον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ γὰρ μετέχον ἄλλο τι ὄν, ἑτέρου μετέχει. ἀλλ᾽ ὁ ἀριθμὸς ποσὸν οἰκείως λέγεται. διαφορὰ γὰρ

ἢ τοῦ διωρισμένου μετὰ τοῦ γένους τῆς ποσότητος, ποσὸν ποιεῖ τὸ ὅλον. εἴη δὲ ἂν καὶ ποσότης ἡ ἑκάστου ἀριθμός. ὅτι τὰ γένη τῶν εἰδῶν συνωνύμως κατηγορεῖται. εἴτε δὲ κατὰ τὸ ἀριθμεῖν, εἴτε κατὰ τὸ ἀριθμεῖσθαι ἐστὶν ὁ ἀριθμός, πανταχῆ ἂν οὕτως τοῦ ποσοῦ εἴη. περὶ μὲν τοῦ ἀριθμοῦ, τοσαῦτα. Περὶ δὲ λόγου, ἀποροῦσι πῶς ὁ λόγος ἐν ποσῷ. Πρῶτον μὲν, ὅτι τὰ ἄνευ συμπλοκῆς, εἰς τὰς κατηγορίας ἀνάγεται. λόγος δὲ πᾶς, κατὰ συμπλοκήν. ἔπειτα δὲ, εἰ τοσόσδε ὁ λόγος. κατὰ μὲν τὸ τοσόνδε, ποσὸν ἔσται ὡς κατὰ συμβεβηκός. καθὸ μέντοι λόγος σημαντικός ἐστι, κατὰ πληγὴν τοῦ ἀέρος ὑφεστηκώς. εἴτε οὖν πληγὴ ὁ λόγος, εἴτε τύπωσις τῆς πληγῆς μορφοῦσα αὐτὴν, ἢ πάθος ἐστὶν, ἢ ποίησις. ποίησις μὲν, τῆς κατὰ φαντασίαν ὁρμῆς τοῦ ἡγεμονικοῦ. πάθος δὲ, τοῦ ἀέρος. ἔσται οὖν ἢ τοῦ ποιεῖν, ἢ τοῦ πάσχειν ὁ λόγος ὁ ἐν τῇ φωνῇ. ἢ καὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν. ἀλλ' οὐχὶ τοῦ ποσοῦ. εἰ δέ τις κατὰ τὴν πληγὴν μόνην ἀφορίζοιτο τὴν φωνὴν καὶ τὸν λόγον, εἰς κίνησιν αὐτὸν ἀνάξει. εἰ δὲ κατὰ τὸν πληγέντα ἀέρα, οὐ μία κατηγορία, εἴγε οὐχ ἓν τὸ σημαντικὸν καὶ συσημαντικόν. καὶ τὸ ἐνεργοῦν, καὶ τὸ ἐν ᾧ ἐγγινόμενον ἐνεργεῖ. Πρὸς δὴ ταῦτα ἀπαντῶν ὁ Ἰάμβλιχος, οὐχ ἁπλῶς φησὶν ἐν πληγῇ ἀέρος τὴν φωνὴν τιθέμεθα. πλήττει γὰρ καὶ δάκτυλος τὸν ἀέρα, καὶ οὔπω ποιεῖ φωνήν. ἀλλ' ἡ ποσὴ πληγὴ καὶ σφοδρὰ, καὶ τοσήδε, καὶ τοιῶσδε, ὥστε ἀκουστὴ γενέσθαι καὶ ἡ τῷ μέτρῳ τῆς ἀκοῆς συνεξισουμένη, καὶ ἡ τὸ ὑποβάλλον καὶ τὸ ἐλλεῖπον ἐν αὐτῇ ἔχουσα, αὕτη κυρίως ἂν φωνὴ νομίζοιτο. κατὰ τὸ μέγεθος οὖν τῆς φωνῆς, καὶ ποσὸν καὶ μέτρον τὴν φωνὴν τιθέμενος, ποσὴν αὐτὴν εἶναι εἰκότως ἀποφαίνεται. ταῦτα μὲν οὖν αὐταῖς λέξεσιν ὁ θεῖος Ἰάμβλιχος γέγραφεν. Ἀπορίας δὲ ἄξιον οἶμαι, πῶς οὐχὶ τούτῳ τῷ λόγῳ, καὶ τὸ τῆς γεύσεως καὶ τὸ τῆς ὀσφρήσεως ἴδιον αἰσθητὸν, ποσὸν ἂν εἴη. ἡ γὰρ τοσήδε καὶ τοιάδε ποσότης τοῦ χυμοῦ καὶ τοῦ ἀτμοῦ ὥστε αἰσθητὴ γενέσθαι, αὕτη ἂν εἴη καὶ γεῦσις, καὶ ὄσφρανσις. ἀλλ' οὐδὲ ὁ Ἀριστοτέλης κατὰ τὸ κοινὸν τοῦτο ποσὸν φαίνεται εἰπὼν τὸν λόγον, ἀλλ' ὅτι καταμετρεῖται συλλαβῇ βραχείᾳ καὶ μακρᾷ. τοῦτο δ' ἔφασιν οὐκ αὔταρκες. οὐδὲ γὰρ ὁ λόγος καθὸ λόγος μετρεῖται. οὐδὲ ἡ βραχεῖα συλλαβὴ καθὸ συλλαβὴ, ἀλλ' ὅτι ἐν χρόνῳ πλείονι ἢ ἐλάττονι. ὥστε ὁ χρόνος ἂν εἴη ὁ μετρῶν τὸν χρόνον, ὁ ἐλάττων τὸν μείζονα. ὁ τῆς συλλαβῆς τὸν τοῦ λόγου. κατὰ συμβεβηκὸς οὖν ἡ συλλαβὴ τὸν λόγον μετρεῖ. πρὸς δὴ ταῦτα φησὶν ὁ Πορφύριος, ὅτι οὐκ ἐπειδὴ βραχεῖ χρόνῳ λέγεται ἡ βραχεῖα συλλαβὴ, διὰ τοῦτο ἐστὶ βραχεῖα, ἀλλὰ τῇ ἑαυτοῦ φύσει ἔχει τὴν σμικρότητα. ὁμοίως δὲ καὶ ἡ μακρά. καὶ γὰρ ἡ μὲν, στενουμένης τῆς ἀρτηρίας δι' ὀλιγότητα πνεύματος, λέγεται βραχεῖα. ἡ δὲ εὐρυνομένης διὰ πλῆθος, μακρά. ὥστε ἡ μὲν ὡς βραχεῖα φύσει, ἐν βραχεῖ χρόνῳ λέγεται. ἡ δὲ ὡς μακρὰ, ἐν μακρῷ. δύναται δὲ καὶ τὴν φύσει βραχεῖαν, ἐν μακρῷ χρόνῳ προσενέγκασθαι. καὶ τὴν φύσει μακρὰν, ἐν βραχεῖ. τούτου γὰρ διαφέρει μετρικὸς ῥυθμικοῦ. ὁ μὲν γὰρ, τοῖς κατὰ φύσιν μήκεσι χρῆται. ὁ δὲ, ἐναλλάττει τὰς φύσεις ἑκατέρου. ὅταν γὰρ μεταβάλλῃ τὸ δακτυλικὸν μέτρον εἰς παιώνιον ῥυθμὸν, ταῖς μακραῖς ὡς βραχείαις. καὶ ἀνάπαλιν ἐνίοτε χρῆται. ὁ δὲ μετρικὸς ἐὰν δεηθείη, τὰ στοιχεῖα μεταβάλλει. οἷον τὸ ξηρὸν, ξερὸν λέγει. καὶ τὸν διόνυσον, διώνυσον.

εἰ οὖν διέστηκεν ἀπὸ τούτων τὸ φύσει βραχὺ καὶ τῷ χρόνῳ, οὐ τῷ βραχεῖ χρόνῳ συλλαβὴ βραχεῖα λέγεται, ἀλλὰ τῷ βραχεῖα εἶναι, ἐν βραχεῖ χρόνῳ λέγεται. Διὰ τί δέ φασιν, οὐ τοῖς γράμμασιν εἶπε μετρεῖσθαι τὸν λόγον, ἀλλὰ ταῖς συλλαβαῖς. Ἢ ὅτι τὰ μὲν γράμματα κατὰ τὸν χαρακτῆρα θεωρούμενα, οὐ ποιεῖ ἐκφώνησιν. τὰ δὲ στοιχεῖα κατὰ τὴν δύναμιν νοούμενα καὶ τὴν ἐκφώνησιν, τὸ μῆκος ἔχει καθὰ τὸ ποσὸν τοῦ λόγου. διὸ καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσιν, οὐδὲν ἧττον συλλαβὴ γίνεται. καὶ τὸ μῆκος καὶ ἡ βραχύτης τῆς ἐκφωνήσεως γίνεται. ὡς ἂν ἔχοι φύσεως τὰ στοιχεῖα. Πῶς δέ φασι βραχεία καὶ μακρὰ καταμετρεῖσθαι τὸν λόγον εἶπεν. ἐκεῖ γὰρ καὶ ἡ βραχεῖα καταμετροῦσα καὶ τὴν μακράν. ἢ οὐ πᾶσα βραχεῖα δὶς γενομένη, καταμετρεῖ τὴν μακράν. καὶ γὰρ καὶ τῆς μακρᾶς μακροτέραν ὑποτίθενται. δεῖ οὖν τὴν μακρὰν μέν, ταῖς μακραῖς. τὴν δὲ βραχεῖαν, ταῖς βραχείαις μετρεῖν. ἢ πᾶσα μὲν βραχεῖα ὑπὸ βραχείας μετρεῖται. οὐχ ἅπαξ δὲ οὐδὲ ἀεὶ τῆς αὐτῆς. ἄλλοτε δὲ ἄλλης. καὶ ἡ μακρὰ δὲ ὡσαύτως, οὐκ ἀεὶ ὑπὸ τῆς αὐτῆς μακρᾶς, ἢ ὑπὸ τῆς αὐτῆς βραχείας μετρεῖται, ἀλλ' ὡς ἂν τύχοι συναπαρτίζοντα τὰ κατὰ μέρος ὄντα τῷ μήκει τῶν καταμετρουμένων. τὸ δὲ μετρεῖται, δύναται δηλοῦν καὶ τὸ σύγκειται ἐκ τούτων. εἰ γοῦν ὁ λόγος ἐκ μερῶν συνέστηκε τῶν συλλαβῶν, ποσὸν ἂν εἴη κατὰ τὸ αὐτὸ εἶναι. οὐχ ἁπλῶς δὲ ποσόν, ἀλλὰ σημαντικόν, ὥσπερ ὁ τόπος περιεκτικόν. τὸ οὖν τοσόνδε, οὐκ ἐπὶ ποσοῦ τοιόνδε. ὥσπερ οὐδὲ τῷ ἀριθμῷ, ἢ τῷ μεγέθει. ἀλλ' ἐκεῖνο οἶμαι ἀπορίας ἄξιον, εἰ πᾶν ποσὸν μετρούμενόν ἐστιν ὡς μετροῦν. ὁ γοῦν ἀριθμός, μετρεῖ τὰ διωρισμένα. καὶ ὁ πῆχυς, τὰ συνεχῆ. ὁ δὲ λόγος, τί μετρεῖ. ἢ μετροῦσι μὲν τὰ τοῦ λόγου μόρια, συλλαβαί. μετρεῖται δὲ ὁ λόγος. οὐ γὰρ τὰ μετροῦντα μόνον ἐστὶ ποσά, ἀλλὰ καὶ τὰ μετρούμενα. πρὸς δέ γε τὸ πρῶτον τῶν ἀπορηθέντων τῶν λόγων, ὅτι τὰ ἄνευ συμπλοκῆς, εἰς τὰς κατηγορίας ἀνάγεται. λόγος δὲ πᾶς μετὰ συμπλοκῆς θεωρεῖται. ῥητέον ὅτι καὶ τὸ ὄνομα καὶ τὸ ῥῆμα λόγος ἐστί, κατὰ τοῦτο τοῦ λόγου τὸ σημαινόμενον. μᾶλλον δὲ καὶ πᾶσα λέξις κἂν ἄσημος εἴη. καὶ αὕτη γὰρ συλλαβαῖς καταμετρεῖται. καὶ διὰ τοῦτο ποσόν. ἔπειτα δέ, κἂν κατὰ συμπλοκὴν ὁ λόγος, ἀλλ' ᾗ ποσόν, ὑπὸ τὸ ποσὸν ἀνάγεται τὸ ὡς γένος. ὥσπερ καὶ ἡ σύνθετος ἐκ πολλῶν οὐσιῶν, οὐσία ὑπὸ τὴν οὐσίαν. καὶ τὸ σύνθετον χρῶμα ὑπὸ τὸ χρῶμα καὶ τὸ ποιόν. ὑφ' ὃ γὰρ τὰ ἁπλᾶ, ὑπὸ τοῦτο καὶ τὰ ἐκ τῶν ἁπλῶν ἐκείνων συγκείμενα. Ἀλλὰ διὰ τί φασιν ἐνδιάζων εἶπεν, εἰ τὰ πάντα τῶν δέκα μόριον. Ἢ οὐ διὰ τὸ ἀμφίβολον, ἀλλ' ὅτι πολλαχῶς οἷόν τε διελεῖν τὰ δέκα. καὶ γὰρ εἰς ἓξ καὶ τέσσαρα. καὶ ἑπτὰ καὶ τρία. καὶ ὀκτὼ καὶ δύο. καὶ ἐννέα καὶ ἕν. τοσαῦτα μὲν οὖν περὶ τοῦ διωρισμένου ποσοῦ ἠπόρηταί τε καὶ διαλέλυται. Περὶ δὲ τοῦ συνεχοῦς, ὁ αὐτὸς ἀνὴρ ἀπορεῖ τοιάδε. τὸ σῶμά φησιν ᾗ σῶμα, καὶ ἐπιφάνεια καὶ γραμμή. καὶ ὅλως μέγεθος, ᾗ τοιαῦτα οὐκ ἔστι ποσά. ἀλλὰ ποσὰ λέγεται, τῷ μετασχεῖν τοῦ τοσοῦδε, καὶ τῷ ἀριθμοῦ μετασχεῖν. μόνος ἄρα ὁ ἀριθμὸς ποσόν. Λύων δὲ ταῦτα πάλιν ἐν τῷ τρίτῳ φησί, πρόοδον εἶναι τῆς στιγμῆς εἰς τὸ πόρρω. καὶ εἰ μὲν ἐφ' ἕν, γραμμὴ γίνεται. εἰ δὲ ἐπὶ δύο, ἐπίπεδον. εἰ δὲ ἐπὶ τρία, σῶμα. καὶ εἰ μὲν ἐπὶ πολὺ ἡ διάστασις, μέγα. εἰ δὲ ἐπ' ὀλίγον, μικρόν. καὶ ὅταν μὲν κατὰ κοινὸν ὅρον ἡ πρόοδος

Universitäts- und
Landesbibliothek Düsseldorf

γίνεται, συνεχὲς τὸ τοιοῦτον. ὅταν δὲ κατ' ἴδιον, διῃρημένον. ποσὸν οὖν καὶ τὸ μέγεθος. ἀλλ' ἀορίστως μὲν, μέγα, ἢ μικρόν. ἢ ὡς ἐπὶ πλήθους, πολὺ, ἢ ὀλίγον. ὁρισθὲν δὲ μέτρῳ τινὶ, ἢ ἀριθμῷ, ἢ πήχει, ὡρισμένως λέγεται. ἀλλ' ἐπιστῆσαι χρὴ, ὅτι κἂν ὁρισθῇ μέτρῳ ἡ γραμμὴ, ἢ ὅλως τὸ συνεχὲς ποσὸν, ὡρισμένον μὲν γίνεται ποσόν. ἀλλὰ κατὰ μέθεξιν ἴσχει τοῦτο. τῷ δὲ αὐτῆς λόγῳ, διάστασίς ἐστι μόνον καὶ οὐκ ἔχει ποσόν. εἰ γὰρ ποσὸν τοῦτό ἐστι, καθὸ καὶ ποσόν ἐστι, δυνατὸν λέγειν, ὅτι αὐτὴ ἡ διάστασις, μεταλαμβάνει μὲν ποσοῦ, οὐ μέντοι δὲ τῷ ἑαυτοῦ λόγῳ ποσόν. μήποτε οὖν, οὔτε καθὸ μεμέτρηται ὡρισμένον ποσόν ἐστι τῷ ἑαυτοῦ λόγῳ τὸ συνεχὲς, ἀλλὰ κατὰ μέθεξιν, οὔτε μὴ μεμετρημένον ἀόριστον ποσόν. ἢ ὅλως ποσὸν τῷ ἑαυτοῦ λόγῳ. ἀλλὰ ποσόν ἐστι, τὸ συνεχές. καθόσον ἢ ἐφ' ἓν, ἢ ἐπὶ δύο, ἢ ἐπὶ τρία διέστηκε τῷ ἑαυτοῦ λόγῳ. ὥσπερ γὰρ ὁ ἀριθμὸς κατὰ τὸν διορισμὸν ἔχει τὸ ποσὸν, οὕτως καὶ τὸ μέγεθος κατὰ τὴν διάστασιν. τὸ γὰρ ἀποστῆναι μὲν τοῦ ἑνὸς καὶ ἀμεροῦς, καὶ κινδυνεῦον εἰς ἄπειρον ἢ ἀόριστον ὑποσκεχυθῆναι, τοῦ μέτρου ἐδεήθη. καθὸ καὶ ποσὸν ἐγένετο. ἵνα ὁρισθῇ τῷ ποσῷ γενέσθαι. διπλοῦν δὲ ὄν, κατά τε τὸ διωρισμένον καὶ κατὰ τὸ συνεχές, διττῆς ἐδεήθη ποσότητος. Διὰ τί δέ φασι μὴ προδιδάξας περὶ τόπου ἢ χρόνου, ὡς ἐγνωσμένοις αὐτοῖς κέχρηται. Ἢ ὅτι οὐ τὴν οὐσίαν αὐτῶν παραδοῦναι προὔθετο. φυσικῆς γὰρ ἰδίας τοιαύτης σκέψεως, ἣν ἐν τῇ φυσικῇ ἀκροάσει πραγματεύεται. ἀλλ' ὅσον ἤρκει τῇ λογικῇ θεωρίᾳ κατὰ τὴν κοινὴν περὶ αὐτῶν ἔννοιαν, τὴν εἰς τὸ οἰκεῖον γένος τὸ ποσὸν ἀναγωγὴν τῶν αὐτῶν ἐποιήσατο. ἀλλ' ἄμεινον ἴσως φασὶν Ἀνδρόνικος ἐποίησεν. ἰδίας μὲν ποιήσας κατηγορίας, τὸν τόπον καὶ τὸν χρόνον. ὑποτάξας δὲ αὐταῖς, τὸ ποῦ, καὶ τὸ ποτέ. ἢ καὶ πρὸς τοῦτο ῥητέον. ὅτι ἄλλη μέν ἐστιν ἔννοια τοῦ χρόνου, καθ' ἥν ἐστι διάστημα ὁ χρόνος, ἄλλη δὲ τοῦ ποτὲ, καθ' ἣν ἡ σχέσις τῶν ἐν τῷ χρόνῳ θεωρεῖται πρὸς τὸν χρόνον. καὶ ἐπὶ τόπου δὲ καὶ τῶν ἐν τόπῳ, ὁ αὐτὸς ἁρμόσει λόγος. διόπερ Ἀριστοτέλης ὀρθῶς ἀλλαχοῦ μὲν, τίθησι τὰ ποσά. ἀλλαχοῦ δὲ, τὴν πρὸς τὰ ποσὰ ταῦτα σχέσιν κατέταξεν. Ἀλλὰ ζητήσει αὖθις οἶμαι δικαίως, διὰ τί ὥσπερ τὴν τοῦ χρόνου καὶ τοῦ τόπου μέθεξιν ἐν ἄλλαις τέθεικε κατηγορίαις, οὐχ οὕτως καὶ τὴν τῆς οὐσίας ἢ τοῦ ποιοῦ, ἢ ἄλλου τινὸς ποσοῦ. οἷον ἀριθμοῦ ἢ μεγέθους μέθεξιν, ἰδίας πεποίηκε κατηγορίας. ἢ κἂν τὰ συμβεβηκότα ἐν τῇ οὐσίᾳ θεωρῆται, κἂν ἡ οὐσία ἐν τοῖς συμβεβηκόσιν, ἐνυπάρχει ταῦτα ἀλλήλοις. καὶ διὰ τοῦτο καὶ ἡ σχέσις αὐτῶν συνήρηται. καὶ οὐκ ἄλλο μέν τι ἐστὶν ἡ οὐσία, ἄλλο δὲ ἡ πρὸς τὴν οὐσίαν σχέσις. ὁ δὲ χρόνος καὶ ὁ τόπος ἔξωθέν πως θεωρούμενοι, ἄλλοι μὲν αὐτοί εἰσιν, ἄλλη δὲ ἡ πρὸς ταῦτα σχέσις τῶν ἐν τόπῳ καὶ χρόνῳ ὄντων. καὶ γὰρ ἐν τῇ φύσει τῶν ἔξωθεν παρακολουθούντων, ὁ χρόνος καὶ ὁ τόπος δοκεῖ, ὥσπερ τῶν συμπληρούντων ὕλη καὶ εἶδος καὶ κίνησις. μήποτε δὲ τὸ ποτὲ οὐχ ἁπλῶς τὸ ἐν χρόνῳ δηλοῖ. οὐδὲ τὸ ποῦ τὸ ἐν τόπῳ. ἀλλὰ τὴν τοῦ χρόνου καὶ τὴν τοῦ τόπου ἰδιότητα, καθότι οὗτοι. ὥσπερ καθὸ διαστάσεις καὶ ποσὰ ἐν τῷ ποσῷ κατηρίθμηνται. εἰ δέ τις τὸν χρόνον ὡς μέτρον κινήσεως τῷ πρός τι νομίζει δεῖν ὑπάγειν, τὸ μέτρον διχῇ διαιρετέον. ἢ αὐτὸ καθ' αὑτὸ, ἢ κατὰ τὴν πρὸς τὸ μετρούμενον ἀναφοράν. καὶ ὡς μὲν καθ' αὑτὸ

τὸ μέτρον, ποσὸν καὶ γὰρ ἀρχὴ καὶ γένος ἐστὶ τῶν ποσῶν πάντων. ὡς δὲ πρὸς τὸ μετρούμενον,
πρός τι ἂν εἴη. οὕτως δὲ καὶ τὸ τῆς κινήσεως μέτρον ὁ χρόνος. ὡς μὲν καθ' αὑτό, ποσὸν
ἂν εἴη καθὸ μέτρον. ὡς δὲ πρὸς τὴν κίνησιν, πρός τι. καὶ οὐδὲν ἄτοπον κατ' ἄλλας καὶ
ἄλλας ἐννοίας, εἰς διαφόρους κατηγορίας ἀνάγεσθαι. μετὰ δὲ τὸν χρόνον, περὶ τοῦ τόπου
διαποροῦσιν εἰ τὸ περιεκτικός ἐστι σώματος. ἢ ὡς οὐσιώδης ποιότης συμπληρωτικὴ τῆς
οὐσίας ἐστί, καὶ οὐκέτι ποσόν. ἢ εἴπερ κατὰ ταύτην τὴν σχέσιν θεωρεῖται μόνην, τῷ πρός τι ἀπο-
δοθήσεται. κἀνταῦθα δέ, τὸ αὐτὸ ἐκλέον. ὅτι κατὰ μὲν τὴν διάστασιν, καθόσον πέρας ὂν
τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον, ἐπιφάνειά ἐστιν ὁ τόπος, καὶ κατὰ
τοῦτο ποσὸν αὐτὸν ἀνάγκη λέγειν. κατὰ δὲ τὴν πρὸς τὸ περιεχόμενον σχέσιν, οὐδὲν
θαυμαστόν, εἰ καὶ ὁ τόπος εἰς τὸ πρός τι ἀνάγοιτο, ὥσπερ καὶ ὁ χρόνος. μέχρι μὲν οὖν τού-
του, προχειρότεραι αἱ πρὸς τὴν πρώτην τοῦ ποσοῦ διαίρεσιν ἀπορίαι τε καὶ λύσεις. Ὁ δὲ
θεῖος Ἰάμβλιχος κἀνταῦθα τὴν ἑαυτοῦ θεωρητικὴν ἐπιστήμην παραδεικνὺς, τὰς
πρώτας ἀρχὰς ἡμῖν τῶν τε δύο τοῦ ποσοῦ εἰδῶν καὶ τῆς μιᾶς ἀμφοῖν περιοχῆς ἐμφαί-
» νων, ὧδέ πως γέγραφεν. ἐπειδὴ γὰρ ἡ τοῦ ἑνὸς δύναμις, ἀφ' οὗ πᾶν τὸ ποσὸν ἀπογεν-
» νᾶται, διατείνει δι' ὅλων ἡ αὐτή, καὶ ὁρίζει ἕκαστον προϊοῦσα ἀφ' ἑαυτῆς. ἡ μὲν δι' ὅλων
» διήκει πανταπᾶσιν ἀδιαιρέτως, τὸ συνεχὲς ὑφίστησι. καὶ ἡ τὴν πρόοδον ποιεῖται μίαν,
» καὶ ἀδιαίρετον καὶ ἄνευ διορισμοῦ. ἡ δὲ προϊοῦσα ἵσταται καθ' ἕκαστον τῶν εἰδῶν, καὶ ὁρί-
» ζει ἕκαστον, καὶ ἕκαστον ἓν ποιεῖ, ταύτῃ τὸ διωρισμένον παράγει. κατὰ δὲ τὴν περιέχου-
» σαν ἅμα τὰς δύο ταύτας ἐνεργείας, μίαν κυριωτάτην αἰτίαν τὰ δύο ποσὰ παράγει.
» καὶ κατὰ μὲν τὴν πανταχοῦ ταυτότητα, καὶ ὅλην ἐφ' ἑκάστων τε τῶν μορίων, καὶ ἐπὶ
» πάντων τὸ συνεχὲς ἀπεργάζεται. κατὰ δὲ τὴν ἐφ' ἕκαστον αὐτῶν πρὸς ἑαυτὰ ταυτότητα,
» καὶ κατὰ τὸ ἐν ἑνὶ ἑκάστῳ ὅλην εἶναι, τὸ διωρισμένον ἀπογεννᾷ. καὶ κατὰ μὲν τὴν ἐν ἀλλήλοις
» ἕνωσιν, τῶν νοητῶν ποσῶν, τὸ συνεχές. κατὰ δὲ τὴν διακεκριμένην αὐτῶν ἀπ' ἀλλήλων
» ἕνωσιν, τὸ διωρισμένον ὑφίστησι. καὶ κατὰ μὲν τὴν ἑστῶσαν αὐτοῦ ἐνέργειαν, τὸ διωρισμέ-
» νον. κατὰ δὲ τὴν προϊοῦσαν, τὸ συνεχὲς δημιουργεῖ. ἐπεὶ δὲ ἅμα καὶ μένει καὶ πρόεισι,
» τὰ δύο ἀπογεννᾷ. περιέχει γοῦν ἡ τῶν νοητῶν μέτρων δύναμις, ἅμα ἀμφότερα τὰ μέ-
» νοντα καὶ προϊόντα ἐν ἑνὶ τῷ αὐτῷ. ὅθεν δή, εἴ τις τοῖς νοητοῖς καὶ θείοις μέτροις τὰ
» ἕτερα τούτων μετρεῖ, εἰ μὲν τὰ ἀκίνητα μόνα, ὑπὸ τῶν ἀπατητικῶν παρακρουσμάτων
» ἐξηπάτηται. εἰ δὲ τὰ προϊόντα, ὑπὸ στωϊκῶν. ἔτι τὰ μέν, ἐκ θέσιν ἐχόντων πρὸς ἀλ-
» λήλα. ἕως τοῦ, τῶν δὲ ἄλλων οὐδὲν αὐτὸ καθ' ἑαυτὸ ἀλλ' ἢ ἄρα κατὰ συμβεβηκός. Μετὰ
τὴν πρώτην τοῦ ποσοῦ διαίρεσιν, καὶ ἑτέραν ἐπάγει. καθ' ἣν τὰ μέν, ἐκ θέσιν ἐχόντων
πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκε. τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν. ἐδεήθη δὲ καὶ
ταύτης, διὰ τὸ μίαν μὴ ἐπιδέχεσθαι τὰς ὅλας διαφοράς. καὶ γὰρ πᾶν μὲν τὸ ἐκ θέσιν
ἐχόντων, συνεχές ἐστιν. οὐκέτι δὲ τὸ συνεχὲς πᾶν ἐκ θέσιν ἐχόντων. ὁ γὰρ χρόνος οὐκ ἔχει
θέσιν. καὶ ἀνάπαλιν δέ. πᾶν μὲν τὸ διωρισμένον, οὐκ ἔχει θέσιν. οὐκέτι δὲ πᾶν τὸ μὴ
ἔχον θέσιν διωρισμένον ἐστί. πάλιν γὰρ ὁ χρόνος μὴ ἔχων θέσιν, διωρισμένος οὐκ ἔστι.
παρείληπται γοῦν καὶ ἡ δευτέρα διαίρεσις. ὥστε τὰς ὑπὸ τῆς προτέρας παραληφθεί-

σας διαφορὰς προστεθῆναι. καὶ καλεῖται ἡ τοιαύτη, ἐπιδιαίρεσις, δευτέρα τις οὖσα τοῦ αὐτοῦ γένους διαίρεσις καθ' ἑτέρας διαφοράς. ὡς γὰρ ἡ ἀπὸ τοῦ ζώου ἡ τὸ θνητὸν καὶ ἀθάνατον διαιροῦσα, οὐκέτι ἐπιδέχεται τὰς κατὰ τὸ λογικὸν καὶ ἄλογον, οὐδὲ ἐκείνας ταύτας, καὶ διὰ τοῦτο ἐδεήθησαν ἐπιδιαιρέσεως, οὕτως καὶ ἐνταῦθα. ἵνα πάσας περιλάβῃ τὰς ὑπὸ τὸ ποσὸν διαφοράς, ταῖς δύο ἐχρήσατο διαιρέσεσι. Ζητεῖν δὲ ἄξιον, τί τὸ θέσιν ἔχον. ἆρα ὥς τινες οἴονται, τριῶν δεῖται τούτων τὸ θέσιν ἔχον, τοῦ, τε τόπου ἐν ᾧ κεῖται, καὶ τοῦ, τὰ μόρια συνυπάρχειν, ἀλλὰ μὴ τῶν ἑτέρων γινομένων τὰ ἕτερα ἀφανίζεσθαι, καὶ τοῦ συνέχειαν καὶ ἀλληλουχίαν ἔχειν πρὸς ἄλληλα, ἢ τὸ μὲν συνυπάρχειν ἀλλήλοις τὰ μόρια πάντως προσεῖναι δεῖ τοῖς θέσιν ἔχουσι. τὸ δὲ ἐν τόπῳ εἶναι, οὐ πάντως οὔτε κατὰ τὴν φύσιν τῶν πραγμάτων, οὔτε κατὰ τὴν τοῦ Ἀριστοτέλους παράδοσιν. τὰ γὰρ μὴ διεστηκότα πλεοναχῶς, οἷον, ἡ γραμμή, ἐν τόπῳ μὲν οὐκ ἔστιν. ὥστε οὐδὲ ἐν τόπῳ τεθήσεται. θέσιν δὲ ἔχειν λέγεται. καὶ ὁ Ἀριστοτέλης δὲ οὐχ ἁπλῶς εἶπε θέσιν ἔχοντα αὐτὰ ἐν τόπῳ, ἀλλὰ πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων. τοῦτο δέ ἐστιν ὥς φησιν Ἰάμβλιχος, ὧν τὰ μόρια πάντα συνυπάρχει ἀλλήλοις. καὶ τῇ τούτων ἀθρόᾳ λήψει, τῷ ὅλῳ τῷ ἐξ αὐτῶν τὸ εἶναι ὑπάρχει. διὰ γὰρ τοῦ πρὸς ἄλληλα προσθεῖν, δεικνύειν ὅτι οὐ τὴν κατὰ τόπον θέσιν λέγει, ἀλλὰ τὴν κατὰ σχέσιν, ἀντιδιαστέλλων ταῦτα τοῖς πρὸς τῷ γίνεσθαι τὸ εἶναι ἔχουσιν. ὧν τὰ μόρια οὐδέποτε ὑπομένει. κυρίως μὲν γὰρ θέσις, ἡ ἀπὸ τῶν ἐν τόπῳ λέγεται. ἤδη δὲ καὶ ἐφ' ἑκάστου τῶν ποσῶν, ὧν τὰ μόρια συνυπάρχει, κεῖσθαι ἐν ἐκείνῳ ἐν ᾧ ἐστι λέγεται. ὥσπερ γραμμὴ ἐν τῇ ἐπιφανείᾳ. καὶ ἐπιφάνεια ἐν τῷ σώματι. καὶ τὸ σημεῖον γάρ, ὅταν μονάδα θέσιν ἔχουσαν λέγωσιν, οὐχ ὡς ἐν τόπῳ κεῖται, ἀλλ' ἐν γραμμῇ. ἕκαστον οὖν τῶν συνεχῶν ποσῶν, ὡς ἔχει φύσεως, οὕτως ἔχει καὶ τὴν οἰκείαν θέσιν. τὸ μὲν σῶμα ἐπειδὴ ἐν τόπῳ ἐστίν, ἐν τόπῳ καὶ τὴν θέσιν ἔχει. ἡ δὲ ἐπιφάνεια, ἐν τῷ σώματι. ἡ δὲ γραμμή, ἐν τῇ ἐπιφανείᾳ. τὸ δὲ σημεῖον, ἐν τῇ γραμμῇ. καὶ γὰρ σαφῶς καὶ Ἀριστοτέλης εἶπεν. ὅτι τὰ τῆς γραμμῆς μόρια, ἐν τῷ ἐπιπέδῳ κεῖται. καὶ ὅλως εἰ τὰ θέσιν ἔχοντα ἐν τόπῳ τὴν θέσιν ἐβούλετο, οὐκ ἂν καὶ τὰ τοῦ τόπου μόρια ἔλεγε θέσιν ἔχειν. οὐ γὰρ ἂν εἰκὸς τόπος ἐν τῷ τόπῳ. ἵνα μὴ ἐπ' ἄπειρον τόπους πρὸ τόπων ζητήσωμεν. ἀλλ' ὡς ἐπιφάνεια ὢν ὁ τόπος, ἐν τῷ σώματι τὴν θέσιν ἔχει, ὥσπερ ἐστὶν ὡς ἐπιφάνεια. καὶ αὐτὸς δὲ Ἀριστοτέλης ὡς τὸ εἶναι φησὶν ἔχει τὰ μαθηματικά, οὕτως καὶ τὸ κεῖσθαι αὐτοῦ. θαυμάσαι δ' ἄν τις τοῦ θείου Ἰαμβλίχου περὶ τοῦ τόπου γράφοντος. Ὁ δὲ τόπος, ὡς μὲν ἐπιφάνεια, εἰκότως ἐν τῷ σώματι. οὗπερ οὖσα, περιέχει τὸ σῶμα. ὡς δὲ τόπος, ἐν τῷ περιεχομένῳ ὑπ' αὐτοῦ. διὰ γὰρ τὸ εἶναι αὐτὸ τῷ τόπῳ ὑπάρχει. ἐν τούτῳ γὰρ κεῖσθαι λέγοιτο. τὸ γὰρ τόπον ἐν τόπῳ εἶναι. καὶ τὸ ἀγγεῖον ἐν τῷ οἴνῳ. καὶ τοῦ γὰρ κατὰ τὴν αὐτὴν ἀναλογίαν ἀκολουθήσει. πῶς δὲ οὐδὲν τῶν ἀπεμφαινόντων. προϊὼν δέ, μήποτε φησὶ κατὰ συμβεβηκὸς ἐστὶν ἐν τόπῳ. ταὐτὸν δὲ τόπος καὶ ἐπιφάνεια κατὰ τὸ ὑποκείμενον. καὶ ἄμεινον κατὰ τὴν Ἀριστοτελικὴν τοῦ τόπου ἔννοιαν οὕτως ἀπολύειν. ἀλλ' εἴ τις διάστημα λέγει τὸν τόπον ἀεὶ μὲν ἔχον σῶμα, αὐτὸ δὲ τὸ καθ' αὑτό, κενὸν σώματος. καὶ ἄλλο παρὰ

τὸ σῶμα θεωροῦμεν. ἆρα οὖν κἂν τὸ πῦρ ἐκ θέσιν ἐχόντων τῶν ἑαυτοῦ μορίων λέγοιτο, συνεχές τε ὄν, καὶ συνυπάρχοντα ἔχον τὰ μόρια ἀλλήλοις. ἔτι που ἂν κέοιτο. οὐδὲ τὸ πέρας ἐστὶ τινὸς τοῦτο. μήποτε οὖν ὥσπερ ἡ τάξις ἐστὶν ἐν τοῖς διωρισμένοις, οὕτως ἡ θέσις ἐν τοῖς συνεχέσιν. ὥσπερ γὰρ τὰ διωρισμένα, διὰ τὸ ἀπὸ τοῦ ἑνὸς ἕκαστον ἐληλυθέναι τάξεως, ἵνα κατὰ ταύτην πρὸς τῷ ἑνὶ μένῃ, καὶ μὴ ἀτάκτως διεσπασμένα συνέχηται, οὕτως καὶ τὰ συνεχῆ τοῦ ἀθρόους ἐκπεσόντα, ἐν ᾧ πάντα ἐν ταυτῷ ὦσιν, ἐδεήθη θέσεως καθ' ἣν ἄλλα ἄλλοις συνάπτει μόρια, κατὰ τὴν τοῦ εἴδους ἐπιπρέπειαν, ἵνα μὴ συμπεφορημένη ᾖ. καὶ κατά γε ταύτην τὴν ἔννοιαν, οὐκ ἀναγκαῖον που κεῖσθαι τὰ κείμενα ὡς ἐν ἄλλῳ. ἡ γὰρ θέσις, παρὰ τὸ θεῖναι οἶμαι καὶ ἵεσθαι λεγομένη, τὴν ἔκτασιν σημαίνει. ἀλλὰ ταῦτα μὲν περὶ τῶν θέσιν ἐχόντων. τὰ δὲ μὴ ἔχοντα θέσιν ἀπαριθμούμενος, πρῶτον ἔταξε τὸν λόγον. ἔτι φησὶν ἄλλον, μήτε κεῖσθαι που, μήτε τὰ μόρια θέσιν ἔχειν πρὸς ἄλληλα. τὰ γὰρ ὑπομένειν δεῖ τὰ θέσιν ἔχοντα, ὁ δὲ λόγος ἅμα τε εἴρηται καὶ οὐκ ἔστιν, πῶς ἂν ἔχοι θέσιν. καὶ ἐπὶ τοῦ χρόνου δὲ τὸ αὐτὸ ἀξιοῖ, ἀφ' οὗ καὶ σαφῶς ἐνεδείξατο ὅτι δεῖ τοῖς θέσιν ἔχουσι προσεῖναι τὸ ὑπομένειν τὰ μόρια. ὃ γὰρ μὴ ἔστι φησὶν ὑπομένον, πῶς ἂν τοῦτο θέσιν τινὰ ἔχοι. τάξιν δὲ ἔχειν ταῦτα λέγεται, καθόσον τοῦ τε λόγου ἡ μὲν προτέρα συλλαβὴ λέγεται, ἡ δὲ ὑστέρα. καὶ τοῦ χρόνου τὸ μὲν πρότερον ἐστὶ μέρος, τὸ δὲ ὕστερον. διὸ καίτοι συνεχὴς ὢν ὁ χρόνος, θέσιν οὐ λέγεται ἔχειν. ἐπειδὴ γὰρ συνακολουθεῖ τῇ κινήσει. πᾶσα δὲ κίνησις, ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι. καὶ ὁ χρόνος τὸ αὐτὸ πάσχει. καὶ διὰ τοῦτο καίτοι συνεχὴς ὤν, οὐκ ἔχει θέσιν. ὅτι οὐχ ὑπομένει αὐτοῦ τὰ μόρια. Ἀλλὰ διατί ὁ ἀριθμὸς οὐκ ἔχει θέσιν. ὑπομένειν γὰρ αὐτοῦ δοκεῖ τὰ μόρια. Ὅτι φησὶν Ἰάμβλιχος, ἡ μονάς, σημεῖον ἄθετόν ἐστιν. ὁ δὲ ἀριθμός, ἐκ μονάδων συνέστηκε. καὶ ὅτι οὐδὲ τὰ μόρια ὑπομένει. οὐδὲ γὰρ εἰ ἔστι τὰ ἠριθμημένα, ἔστι που ὁ ἀριθμός. ἐπεὶ οὐδὲ ὁ λόγος ἐστί που. ὅτι ἐστὶ ταῦθ' ὑπ' ἄλλου λεγόμενα. ὡς δὲ ὁ λόγος ἐν τῷ λέγεσθαι, οὕτως καὶ ὁ ἀριθμὸς ἐν τῷ ἀριθμεῖσθαι ὑφέστηκε. καὶ διὰ τοῦτο οὐχ ὑπομένει οὐδετέρου τὰ μόρια. ὥστε οὐκ ἔχουσι θέσιν. ταῦτα μὲν ὁ θεῖος φησὶν Ἰάμβλιχος. Θαυμάζω δέ, εἰ ὁ ἀριθμὸς διὰ τὸ μὴ ὑπομένειν τὰ μόρια, λέγεται μὴ ἔχειν θέσιν. οὐ γὰρ ὥσπερ ὁ λόγος ἐν τῷ λέγεσθαι ἔχει τὸ εἶναι, οὕτως καὶ ὁ ἀριθμὸς ἐν τῷ ἀριθμεῖσθαι. κἂν γὰρ μὴ ἀριθμῆται τοὺς πέντε μου δακτύλους, ἠρίθμηνται κατὰ τὸ ἑαυτῶν εἶδος. ἀλλὰ μᾶλλον, διὰ τὸ μὴ συνεχὲς εἶναι. δεῖ γὰρ καὶ συνεχῆ εἶναι, καὶ ἐκτετάσθαι τὰ θέσιν ἔχοντα. οὕτως γὰρ καὶ ἡ πρὸς ἄλληλα τῶν μορίων θέσις, ὁραθήσεται τίνα τίσι τῶν μορίων συνάπτεται. ἐν γὰρ τῇ τριάδι ποία μονὰς πρὸς ποίαν σύγκειται, οὐκ ἔστιν εἰπεῖν. ὥσπερ ἐπὶ τῆς γραμμῆς ποῖον μόριον ποίῳ συνάπτει, ἐναργές ἐστιν ἰδεῖν. Διατί δὲ οὐχ ὥσπερ ἐπὶ τοῦ λόγου καὶ ἐπὶ τοῦ χρόνου σαφῶς ἀνεῖλε τὸ θέσιν ἔχειν, οὕτως ἔτι ἐπὶ τοῦ ἀριθμοῦ. ἀλλ' ὅτι θέσιν, οὐ πάνυ λάβοις ἂν αὐτοῦ. Πῶς οἱ ἐξηγηταί φασιν, ὅτι δοκεῖ καὶ ὁ ἀριθμὸς ἐπιδέχεσθαι θέσιν, διὰ τὰ ἀριθμούμενα. μήποτε δὲ χαρακτηριστικοῦ ὄντος τῶν θέσιν ἐχόντων, μάλιστα τοῦ τὰ μόρια ὑπομένειν. ὁ μὲν λόγος καὶ ὁ χρόνος, οὐκ ἔχει τοῦτο. ὁ δὲ ἀριθμὸς ἔχει. καὶ εἴπερ εἶχε

τὸ συνέχειαν, ἵνα αὐτῶν θέσιν ἔχοντα. κἂν θέσιν δὲ μὴ ἔχῃ, ὅ,τε λόγος καὶ ὁ χρόνος καὶ ὁ ἀριθμός, ἀλλὰ τάξιν ἔχει ὥσπερ εἴρηται ταύτα ἀντὶ τῆς θέσεως. ἡ δὲ τάξις κυρίως μὲν, ὡς ἐπὶ τῶν διωρισμένων θεωρεῖται, κατὰ τὸ πρότερον καὶ ὕστερον λαμβανόμενα. καὶ ἐπὶ τοῦ χρόνου δὲ, καθόσον προηγεῖται τὸ παρεληλυθὸς τοῦ ἐνεστῶτος, καὶ τοῦ τοῦ μέλλοντος. ὥστε καὶ ἐπὶ τούτου, κατὰ τὸν διορισμὸν ἡ τάξις ἔοικε θεωρεῖσθαι. ἐν δὲ τῷ ἀριθμῷ, ἡ τάξις. οὐκ ἐν ἑκάστῳ. οὐ γάρ ἐστιν ἐν τῇ τριάδι τάξις τῶν μονάδων, ἀλλ' ἐν τῷ χύματι τῶν ἀριθμῶν. ὅτι ἡ μονὰς, προηγεῖται τῆς δυάδος. καὶ ἡ δυὰς, τῆς τριάδος. καὶ ἑξῆς. ἐν δὲ τῷ λόγῳ, ἡ τάξις. καθόσον ἄλλα μέρη τοῦ λόγου ἄλλων προηγεῖται, καὶ ἄλλαι συλλαβαὶ ἄλλων. Κἀνταῦθα δὲ ἀπορῶ, πῶς ὁ θεῖος Ἰάμβλιχος περὶ τοῦ λόγου φησὶν, ὅτι δοκεῖ μήτε τάξιν ἐμφαίνειν, εἴ τις αὐτοῦ τὸ μῆκος μόνον καὶ τὴν διέξοδον τῆς φωνῆς θεωροίη, κἂν ᾖ ἄσημος. τί γὰρ μᾶλλον ἡ ἑτέρα συλλαβὴ τῆς ἑτέρας προτέτακται. πάνυ τι γὰρ δῆλον, ὅτι ἔστι τάξις ἐν τῷ λόγῳ. καὶ οὐκ ἄν τις τὸ σωκράτης ὄνομα εἴποι, τὴν κρα συλλαβὴν πρώτην προσενεγκάμενος. θεωρητικῶς δὲ τοῖς θέσιν ἔχουσι ποσοῖς ἐπιβάλλων, τοῦτό φησι τὸ γένος. οἶμαι τὸ θέσιν λέγειν γένος. ἕδραν παρέχεται πᾶσιν ὅσα ποτέ ἐστι ποσὰ, τοῖς τε ἁπλουστέροις ἐν τοῖς συνθέτοις, καὶ τούτοις ἐν τοῖς ἁπλοῖς. διχῶς γὰρ τοῦ ἁπλῶς λαμβανομένου, τὸ μὲν, ὥσπερ ταῦτα πρὸ τῶν τοῖς συνθέτοις, καὶ περιεχόμενον ὑπ' αὐτῶν, ὡς ἡ ἐπιφάνεια ὑπὸ τοῦ σώματος θέσιν ἔχει ἐν τῷ σωκράτης. τὸ δὲ, ὡς ὑπερέχον καὶ ἐξῃρημένον, ἕδραν ἐν ἑαυτῷ παρέχει τοῖς συνθέτοις. προσδεόμεθα οὖν τῆς θέσεως, ἵνα τὴν πρὸς τὰ δεύτερα ποσὰ συνέχειαν νοήσωμεν. Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι κατὰ μὲν τὴν πρώτην διαίρεσιν, πέντε μὲν συνεχῆ. δύο δὲ διωρισμένα. κατὰ δὲ τὴν δευτέραν, τέτταρα μὲν τὰ θέσιν ἔχοντα. γραμμή. ἐπιφάνεια. σῶμα. τόπος. τρία δὲ τὰ μὴ ἔχοντα. ἀριθμός. χρόνος. λόγος. ὧν δύο μέν φησιν ὁ Ἰάμβλιχος τάξιν ἔχει, ἀριθμὸς καὶ χρόνος. λόγος δὲ πῶς μὲν ἔχει τάξιν, πῶς δὲ οὐκ ἔχει, φησὶν, ὡς ἐν τοῖς πρὸ τούτου διώρισται. ὥστε καὶ ἄλλη τρίτη γέγονε διαίρεσις. καθ' ἣν τῶν ποσῶν τὰ μὲν, ἔχει τάξιν. τὰ δὲ, οὐκ ἔχει. καὶ ἄλλην δὲ τετάρτην ἐφεξῆς προστίθησι διαίρεσιν. καθ' ἣν τῶν ποσῶν τὰ μέν ἐστι προηγουμένως ποσὰ, ὅσα καθ' αὑτά ἐστι τοιαῦτα. ὡς ἀριθμός. καὶ μέγεθος. καὶ χρόνος. καὶ τὰ τοιαῦτα. ὧν τὸ ποσὸν, ἐν τῷ τί ἐστι κατηγορεῖται. τὰ δὲ, κατὰ συμβεβηκός, ὅσα κατ' ἄλλο τι ποσὰ εἶναι λέγεται. οἷον, τὸ λευκὸν πολὺ λέγεται ἢ μέγα. οὐ καθὸ λευκὸν, ἀλλὰ κατὰ τὴν ἐπιφάνειαν. καὶ ὁ ἄνθρωπος μακρὸς κατὰ τὸ μῆκος. καὶ ἡ κίνησις δὲ πολλή. ἢ διὰ τὸν χρόνον, ἢ διὰ τὸν τόπον. ἐὰν γὰρ ἀποδιδῷ τις τὸ ποσὸν αὐτῆς, ἢ ἐνιαυσιαίαν λέγων, κατὰ τὸν χρόνον ἀποδώσει. ἢ σταδιαίαν, κατὰ τὸν τόπον. δοκεῖ οὖν κατὰ ταῦτα καὶ ἡ κίνησις μετέχειν τοῦ ποσοῦ, ἀλλ' οὐκ εἶναι ποσόν. καὶ ἔοικε πολλή τις ἀμφιβολία γεγονέναι περὶ τὴν κίνησιν. εἴπερ οἱ μὲν, ὑπὸ τὸ πρός τι αὐτὴν ἀνάγεσθαι φασίν. οἱ δὲ, ὑπὸ πλείονας κατηγορίας, ἐν αἷς θεωρεῖται. καὶ γὰρ ἐν ποσῷ κίνησις, ὡς αὔξησις καὶ μείωσις. καὶ ἐν ποιῷ, ὡς ἀλλοίωσις. καὶ κατὰ τόπον ἄλλη. καὶ ἤδη, καὶ κατ' οὐσίαν. ἄλλοι δέ τινες τὸ δυνάμει καὶ ἐνεργείᾳ, κοινῶς ἐπὶ πάντων τῶν γενῶν θεωροῦντες τὴν κίνησιν ἐντελέχειαν οὖσαν τοῦ κινητοῦ,

τὴν κίνησιν, κατὰ τὴν Ἀριστοτέλους ἀπόδοσιν, κοινὴν εἶναι τῶν δέκα γενῶν φασίν. οἱ δὲ, ἐν τῷ ποιεῖν καὶ πάσχειν αὐτὴν κατατάττουσι. Πλωτῖνος δὲ αὐτὴν καθ' αὑτὴν πρὸ τοῦ ποιεῖν καὶ πάσχειν, ὥσπερ γένος ἴδιον τὴν κίνησιν ἀφορίσας. ὁ μέντοι Ἰάμβλιχος, ποσὸν αὐτὴν εἶναι βούλεται. εἰ γὰρ τὸ εἶναι αὐτῇ ἐν τῇ κινήσει ἐκ διαστήματος ὑφέστηκε, καὶ ἐν διαστήματι φησὶν αὐτὴ καθ' αὑτὴν ἔχει τὴν διέξοδον, ποσὴ ἂν εἴη δι' ἑαυτήν. ἐπεὶ καὶ ὁ λόγος ποσὸς θεωρεῖται. ὅτι ἐκ διαστήματος ποσῶν χρόνος δὲ ὑφέστηκε. καὶ καταμετρεῖται τῷ χρόνῳ δὲ μήκει. καὶ ἔστι μετρητός. ὥστε θαυμαστὸν οὐδέν. κατὰ μὲν τὸ διάστημα, ποσὸν εἶναι τὴν κίνησιν. κατὰ δὲ τὴν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολήν, ἐν πάσαις θεωρεῖται ταῖς κατηγορίαις. ἑκάστης ἄλλην καὶ ἄλλην ἑαυτῆς φύσιν, ἄλλως καὶ ἄλλως θεωρεῖσθαι. μήποτε δὲ καὶ τὸ λευκὸν οὐ κατὰ τὴν ἐπιφάνειαν διέστηκεν ἁπλῶς, ἀλλ' ἔχει ἰδίαν διάστασιν τὸ ἐν σχέσει λευκόν, τὴν συνεκτεινομένην τῇ ἐπιφανείᾳ, ἄλλην οὖσαν παρὰ τὸ λευκόν. ὥσπερ ἡ κίνησις ἐλέγετο, διάστασιν ἔχειν ἰδίαν ἄλλην παρὰ τὸν χρόνον καὶ τὸν τόπον. καὶ γὰρ αἱ ποιότητες προϊοῦσαι εἰς τὴν γένεσιν, οὐ φυλάττουσι τὴν εἰδητικὴν ἀμέρειαν. ἀλλ' εἰς τὴν ὕλην τὴν διάστασιν ὑπομένουσι καὶ καθ' ἑαυτάς. Ἀποροῦσι δὲ καὶ πρὸς τὰ ἐνταῦθα λεγόμενα οἱ αὐτοὶ ἄνδρες, οὐδὲν ἔχειν θέσιν λέγοντες. εἰ γὰρ θέσιν ἔχειν ἐκεῖνα λέγεται ὧν τὰ μόρια ὑπομένει, πάντων δὲ ῥεόντων, οὐδὲν ὑπομένει, οὐδὲ θέσιν ἄν τι κυρίως ἔχοι. εἰ καὶ ἡ ὕλη ῥέει συνεχῶς, καὶ τοῦτο διηνεκῶς, καὶ τὰ σώματα ἐπ' ἄπειρον ἔχει προσθήκας καὶ ἀφαιρέσεις, ἀλλ' ὅμως ἔστι τι καὶ τὸ μένον ἐναργῶς. εἴτε τὸ δεύτερον ὑποκείμενον ὥς τινες λέγουσιν, εἴτε τὸ ἰδίως ποιὸν ὥς ἄλλοι, εἴτε ἡ κατὰ τὸ εἶδος οὐσία. ἢ ἡ ἄτομος καὶ σύνθετος οὐσία. ἢ καὶ ἄλλο τι τοιοῦτον, ὃ καὶ ἐν ταῖς μεταβολαῖς ὑπομένει, καὶ ἀπ' ἀρχῆς ἄχρι τέλους γνωρίζεται. περὶ γὰρ τῶν ἐναργῶν ὁ λόγος. ἀλλ' οὐχὶ περὶ τῶν ἀφανῶν καὶ ἀμφισβητουμένων. δεύτερον δέ, ᾧ λόγῳ φασὶ τὸ λευκὸν κατὰ συμβεβηκὸς εἶναι ποσόν, ὥς ὁ Ἀριστοτέλης λέγει, τῷ τὴν ἐπιφάνειαν ποσὸν εἶναι. τούτῳ τῷ λόγῳ καὶ ἡ ἐπιφάνεια κατὰ συμβεβηκὸς ἔσται ποσὸν τῷ πλήθους μετέχειν. ἀλλ' ὑπομνηστέον τῶν ἔμπροσθεν εἰρημένων ἐν οἷς ἐλέγομεν. ἄλλο μὲν εἶδος εἶναι τοῦ ποσοῦ τὸ κατὰ πλῆθος, ἄλλο δὲ τὸ κατὰ τὸ μέγεθος ἴδιον ποσόν. κἂν ἀντιθέτως ἔχῃ πρὸς τὸ κατὰ πλῆθος ποσόν. Ἔτι δὲ εἰ τοῖς προηγουμένοις ποσοῖς ἐπεὶ τὸν ἀριθμὸν οὖσι, συνακολουθεῖ τινὰ ἀόριστα κατηγορήματα. οἷον, τῷ μὲν πλήθει, τὸ πολὺ καὶ ὀλίγον. τῷ δὲ μεγέθει, τὸ μέγα καὶ μικρόν. καὶ ταῦτα κατηγορεῖν εἰώθαμεν. οἰκείως μέν, τῶν καθ' αὑτὰ ποσῶν. κατὰ συμβεβηκὸς δὲ τῶν ἄλλων, διὰ τὴν προηγουμένην, οἷον διὰ τὴν ἐπιφάνειαν. διὰ τὸν χρόνον δηλονότι προηγουμένως, ποσὴ δείκνυται ἡ ἐπιφάνεια καὶ ὁ χρόνος. εἴπερ διὰ ταῦτα, ὥσπερ ἄλλοις συνυπάρχει τὰ παρακολουθοῦντα τῷ ποσῷ.

• Ἔτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον. ἔως γάρ, οὐκ ἔστιν ἄρα τὸ μέγα τῷ μικρῷ ἐναντίον.
• οὐδὲ τὸ πολὺ τῷ ὀλίγῳ. Ὥσπερ ἐπὶ τῆς οὐσίας μετὰ τὴν διαίρεσιν τῶν εἰδῶν αὐτῆς καὶ τῶν διαφορῶν, ἐπὶ τὰ ἴδια αὐτῆς καὶ τὰ παρακολουθοῦντα μεταβέβηκεν, οὕτως καὶ ἐπὶ τοῦ ποσοῦ ποιεῖ. καὶ πρῶτον, ἵνα τὰ κοινῇ ὑπάρχοντα τῷ ποσῷ πρὸς ἄλλας κατηγορίας παραδῷ, εἶτα οὕτως, τὰ ἴδια αὐτοῦ θεωρεῖ. λέγει δὴ οὖν, ὅτι τῷ ποσῷ

Universitäts- und
Landesbibliothek Düsseldorf

οὐδέν ἐστιν ἐναντίον. καὶ κάλλιον ἴσως πρὸ τῆς τοῦ Ἀριστοτέλους ἐξεργασίας, ἕκαστον τῶν εἰδῶν τοῦ ποσοῦ προχειρισαμένους ἰδεῖν, ὅπως οὐκ ἔχει ἐναντίον. καὶ ὅπως τὰ δοκοῦντα εἶναι ἐν ἑκάστῳ εἴδει τοῦ ποσοῦ ἐναντίως, οὐ καθὸ ποσὸν ὑπάρχει αὐτῷ, ἀλλὰ κατ᾽ ἄλλην κατηγορίαν ὑφ᾽ ἣν ὑπάγεται. αὐτίκα ἡ γραμμή, καθ᾽ ὅσον μὲν ἐστὶ γραμμή, οὐδὲ μίαν ἔχει ἐναντίωσιν. καθ᾽ ὅσον δὲ ποιὰ γραμμή, κατὰ τοσοῦτον τὸ εὐθὺ καὶ τὸ κυρτὸν ἔχει περὶ τὴν γραμμὴν θεωρούμενα. πάλιν ἡ ἐπιφάνεια, καθὸ μὲν διχῆ διέστηκεν, οὐδὲν ἔχει ἐναντίον. τραχύτης δὲ καὶ λειότης περὶ αὐτήν. οὐχ ᾗ ἐπιφάνεια, ἀλλ᾽ ᾗ ποιά δὲ ἐπιφάνεια θεωρεῖται κατὰ τὸ ποιὸν αὐτῆς, ὡς λευκὴ καὶ μέλαινα. οὐ καθὸ γραμμή, ἀλλὰ καθὸ ποιὰ ἐπιφάνεια. καὶ τὸ σῶμα δὲ καθὸ σῶμα, τουτέστι καθὸ τρεῖς ἔχει διαστάσεις, οὐδὲν ἔχει ἐναντίον. τὸ γὰρ ἀσώματον, οὐκ ἔστι τῷ σώματι ἐναντίον. ὡς μὲν ὁ Ἰάμβλιχός φησι, διότι τὰ ἐναντία, ὑπὸ τὸ αὐτὸ γένος ἐστί. ταῦτα δὲ οὐκ ἔστιν ὑπὸ τὸ αὐτὸ γένος. μήποτε δὲ γένος μὲν αὐτῶν οὐδὲν κωλύει τὸ αὐτὸ εἶναι τὴν οὐσίαν. τῆς γὰρ οὐσίας τὸ μέν, σῶμά φαμεν. τὸ δέ, ἀσώματον. ἀλλὰ τὸ ἀσώματον, εἰ μὲν ἀπόφασιν καὶ στέρησιν σημαίνει, οὐκ ἂν εἴη ἐναντίον τῷ σώματι. τὰ γὰρ ἐναντία ἐν καταφάσει. εἰ δὲ κατάφασιν καὶ αὐτὸ δηλοῖ, ἢ κρεῖττον τοῦ σώματος ἐστὶ καὶ αἴτιον τοῦ σώματος, ἢ χεῖρον καὶ ἐν τῷ σώματι τὸ εἶναι ἔχον. ἑκατέρως δέ, οὐκ ἂν εἴη ἐναντία. τὰ γὰρ ἐναντία ἰσοσθενῆ βούλεται εἶναι. καὶ ὁμοίως τῷ οἰκείῳ γένει προσέχειν. ἀλλ᾽ οὐδὲ τῷ χρόνῳ ἐστί τι ἐναντίον, καθ᾽ ὅσον ἀφορίζεται τῷ οἰκείῳ μέτρῳ τὴν κίνησιν. εἰ δέ τις τὴν ἡμέραν τῇ νυκτὶ νομίζοι ἐναντίον, οὐ καθὸ χρόνος ποιεῖται τὴν ἐναντίωσιν. ὁ γὰρ αὐτός ἐστιν, εἴπερ ὅταν ἀλλαχοῦ ἡμέρα, ἀλλαχοῦ νύξ ἐστιν. ἀλλὰ καθὸ πῆ μὲν πεφώτισται, πῆ δὲ ἐσκίασται ὁ ἀήρ. οὐ καθὸ δὲ τοιοῦτος, οὐ ποσός ἐστιν, ἀλλὰ ποιός. καὶ τῷ ἀριθμῷ δὲ οὐδέν ἐστιν ἐναντίον. ἀφώρισται γάρ, καὶ οὐδὲν ἔχει ἐναντίον. οἷον τὰ δύο ἢ τὰ τρία. παντὶ γὰρ τὸ διωρισμένον ἕν τί ἐστι. καὶ κατὰ τοῦτο οὐκ ἐπιδέχεται οὐδὲ μίαν ὑπεροχὴν καὶ ἔλλειψιν, ὥσπερ τὸ ἴσον. τὸ δέ γε ἄνισον ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. διόπερ ἐστὶν ἀόριστον. Ἀλλὰ τί ἂν λέγοιμεν, εἴ τις τὸ περιττὸν καὶ ἄρτιον ἐναντία λέγοι τοῦ ἀριθμοῦ, δύο εἴδη ταῦτα τιθέμενος. καὶ αὐτοῦ δὲ τοῦ ποσοῦ, τὸ μέν, συνεχὲς εἶναι φάσκων, τὸ δέ, διωρισμένον. καὶ ταῦτα ὡς ἐναντία τιθέμενος. Ἢ καὶ αὐτῆς τῆς οὐσίας ἡ εἰς τὰ ἐναντία κείμενα διαίρεσις. τοῦ γὰρ ζώου τὸ μέν, λογικόν. τὸ δέ, ἄλογον ἐστί. καὶ τὸ μέν, θνητόν. τὸ δέ, ἀθάνατον. καὶ ὅμως συγχωροῦμεν τῇ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον. ἄλλο γάρ ἐστι τὸ περὶ τὴν οὐσίαν καὶ περὶ τὸ ποσὸν θεωρεῖν ἐναντίωσιν, κατὰ τὰς περὶ αὐτὰ ποιότητας συμβαῖνον. καὶ ἄλλο τὸ αὐτῇ τῇ οὐσίᾳ, ἢ τῷ ποσῷ μὴ εἶναι ἐναντίον. καὶ ὁ λόγος δέ, καθὸ ποσός ἐστιν, οὐκ ἔχει ἐναντίον. τὸ γὰρ ἀληθὲς καὶ ψεῦδος ὑπάρχει τῷ λόγῳ καθὸ σημαντικός ἐστιν, ἀλλ᾽ οὐ καθ᾽ ὅσον ἐν διαστάσει προφέρεται καὶ καταμετρεῖται, συλλαβῇ βραχείᾳ καὶ μακρᾷ. λοιπὸς δὲ τῶν ποσῶν ἐστιν, ὁ τόπος. Καὶ ἀμφισβητεῖται οὕτως μήποτε κατὰ τὸ ἄνω καὶ τὸ κάτω τὴν ἐναντίωσιν ἐπιδέχεται. ἅπερ καὶ εἴδη ἢ μέρη τοῦ τόπου δοκεῖ.



Universitäts- und
Landesbibliothek Düsseldorf

ἄλλοι μὲν οὐδὲ εἶναι φύσει τὸ ἄνω καὶ τὸ κάτω νομίζουσιν, ἀλλὰ κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν θεωρεῖσθαι. ὅσοι τὸ ὑπὲρ κεφαλῆς ἡμῶν ἄνω λέγουσι, τὸ δὲ ὑπὸ τοὺς πόδας κάτω, καὶ τὸ αὐτὸ ἄνω καὶ κάτω τίθενται, κατὰ τὰς διαφόρους σχέσεις. καὶ δῆλον ὅτι οὐκ ἂν εἴη οὕτως ἐναντία. οὐ γὰρ ὑπάρχει τῷ αὐτῷ κατὰ ταὐτὸν τὰ ἐναντία. οἱ δὲ τὸ ἄνω καὶ τὸ κάτω οὐ κατὰ σχέσιν, ἀλλὰ κατὰ τὴν τοῦ παντὸς διάστασιν λαμβάνουσι, τήν τε ἀπὸ τοῦ μέσου πρὸς τὰ πέρατα, καὶ τὴν ἀπὸ τῶν περάτων πρὸς τὸ μέσον. φύσει γὰρ διάφορα ταῦτα. Ἀλλὰ καὶ πρὸς τούτοις ῥητέον, ὡς τὸ ἄνω καὶ κάτω, οὐ τόπον σημαίνει, ἀλλὰ τὴν τοῦ ποῦ κατηγορίαν. ὥσπερ τὸ χθὲς καὶ αὔριον, οὐ χρόνον, ἀλλὰ τὸ ποτέ. τουτέστι τὸ κατὰ χρόνον. ταῦτα γὰρ καὶ τῷ Ἀνδρονίκῳ δοκεῖ. μήποτε δὲ καὶ τὸ ἄνω καὶ τὸ κάτω τόπου διαφοραί εἰσι. καὶ τὸ χθὲς καὶ τὸ αὔριον χρόνου. οὐ μέντοι καθὸ ποσὸν ὁ τόπος καὶ ὁ χρόνος ἔχει τοῦτο. ἀλλ᾽ ὁ μὲν κατὰ τὴν θέσιν καὶ τὸ τοπικὸν ἰδίωμα, ὅπερ ἐν τῇ τοῦ ποῦ κατηγορίᾳ παραδέδοται. ὁ δὲ κατὰ τὰ ὑπὸ τῆς κινήσεως μέτρα. καὶ γὰρ ὁ τόπος καὶ ὁ χρόνος ἐν μὲν τῷ ποσῷ, κατὰ τὴν διάστασιν μόνην παραδίδονται. κατὰ μέντοι τὸν ἴδιον χαρακτῆρα, ὁ μὲν τόπος, ἐν τῇ τοῦ ποῦ κατηγορίᾳ. ὁ δὲ χρόνος, ἐν τῇ ποτέ. ὥστε καθὸ ποσὸν ὁ τόπος, οὐκ ἔχει τὸ ἄνω καὶ τὸ κάτω, ἀλλὰ καθὸ τοιόνδε ποσόν. ὁ μέντοι Ἀριστοτέλης εἰ μή τις φησὶ τὸ πολὺ τῷ ὀλίγῳ φαίη ἐναντίον, ἢ τὸ μέγα τῷ μικρῷ. δοκεῖ γὰρ ταῦτα ποσὰ ὄντα, ἐναντία εἶναι. ἀλλὰ δείκνυσι πρότερον μέν, ὅτι οὐκ ἔστι ποσά, ἀλλὰ πρός τι. ἔπειτα ὅτι κἂν ποσὰ ᾖ, κἂν μὴ ποσά, οὐκ ἔστιν ἐναντία. καὶ ὅτι μὲν οὐκ ἔστι ποσὰ ἀλλὰ πρός τι τὸ μέγα καὶ τὸ μικρόν, δείκνυσιν οὕτως. εἰ τὰ μικρὰ μεγάλα λέγεται καὶ τὰ μεγάλα μικρά, πρὸς τὰ ὁμογενῆ παραβαλλόμενα, οὐδὲν ἔσται καθ᾽ αὑτὸ μέγα ἢ μικρόν, ἀλλὰ πρὸς ἕτερα ἕξει τὴν ἀναφορὰν καὶ πρός τι ἔσται. ἀλλὰ μὴν τὸ ἡγούμενον, τὸ ἄρα λῆγον. ἐν δὴ τούτῳ τῷ συλλογισμῷ, τὸ μὲν συνημμένον, ὡς σαφὲς παρῆκεν. εἰ γὰρ τὰ μεγάλα μικρὰ λέγεται, καὶ τὰ μικρὰ μεγάλα, δῆλον ὅτι οὐδὲν ἔσται καθ᾽ αὑτὸ τοιοῦτον. τὴν δὲ πρόσληψιν ἀποδείκνυσιν, ἐκ τοῦ καὶ ὄρος μικρὸν λέγεσθαι. καὶ κέγχρον μεγάλην, πρὸς τὰ ὁμογενῆ παραβαλλόμενα. εἶτα τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πολλοῦ καὶ ὀλίγου δείκνυσι. πολλοὺς μὲν ἐν τῇ κώμῃ λέγων, ἢ ἐν τῷ οἴκῳ, ὡς πρὸς κώμην καὶ οἶκον. ὀλίγους δὲ ἐν τῷ ἄστει καὶ τῷ θεάτρῳ, ὡς πρὸς αὐτά. δεύτερον δὲ ἐπιχείρημα, ἀπὸ τῆς ἐνεργείας ἐπάγει τῆς σημαντικῆς. οὐ γὰρ ὁμοίως τι σημαίνει τὸ δίπηχυ καὶ τὸ μέγα. ἀλλὰ τὸ μὲν δίπηχυ, ποσόν. τὸ δὲ μέγα, πρός τι. καὶ οἰκείως ἀπὸ τῶν σημαινόντων ποιεῖται τὴν ἀπόδειξιν. ἐπειδὴ κατ᾽ αὐτὰς αἱ κατηγορίαι διεστήκασι. καὶ ἔστι καὶ οὗτος ὁ συλλογισμός, τοιοῦτος. πᾶν ὃ δηλοῖ ποσὸν τοῦτό ἐστι ποσόν. τὸ δὲ πολὺ καὶ ὀλίγον ἢ τὸ μέγα καὶ μικρόν, οὐ δηλοῖ ποσόν. οὐκ ἄρα ἐστὶ ποσά. εἶτα κατασκευάζει ἐκ περιουσίας, ὅτι κἄν τε ποσὰ ᾖ, κἄν τε μή, οὐκ ἔστιν ἐναντία. δείκνυσι δὲ αὐτὸ οὕτως. τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον, οὐκ ἔστι καθ᾽ αὑτά, ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται. τὰ δὲ τοιαῦτα, οὐκ ἔστιν ἐναντία. τὰ γὰρ ἐναντία καθ᾽ ἑαυτά ἐστι, καὶ ἐπὶ τῆς οἰκείας φύσεως ὑφέστηκεν. εἶτα τὸ αὐτὸ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀποδείκνυσιν. εἰ γὰρ ἔσται τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, συμβήσεται ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι. ἀλλὰ

μὴ τοῦ τὸ ἀδιάφορον. τὸ δὲ συγκειμένον πρόδηλον, ἐκ τοῦ, αὐτὸ μέγα καὶ μικρὸν εἶναι.
εἶτα καὶ ἄλλο ἐπάγει συμπέρασμα τοῖς αὐτοῖς λήμμασιν. Ἔτι παρ' ὑπότερον τὸ αὐτὸ
ἑαυτῷ ἐναντίον εἶναι. καὶ τοῦτο γὰρ δῆλον, εἴπερ τὸ αὐτὸ, μέγα καὶ μικρόν ἐστιν. ἀδύνατον
δὲ αὐτὸ ἑαυτῷ ἐναντίον εἶναι. διότι τὰ μὲν ἐναντία, ἀναιρετικὰ ἀλλήλων ἐστίν. οὐδὲν
δὲ ἑαυτοῦ ἀναιρετικόν ἐστι κατὰ φύσιν. καὶ δῆλον ὅτι τὰ μὲν πρός τι, οὐδὲν κωλύει ἅμα
ἔχειν τὰ ἀντικείμενα. διότι πρὸς ἄλλο καὶ ἄλλο ἀναφέρεται. τὰ δὲ ἐναντία συνυπάρ-
χειν, ἀδύνατον. μάχεται γὰρ ἀλλήλοις. Μήποτε δέ φησιν ἰάμβλιχος τῷ ἀνδρονίκῳ κατὰ
τὸ μέγα καὶ μικρόν, καὶ τὸ πολὺ καὶ ὀλίγον, οὐ μόνον πρός τι ἐστίν, ἀλλὰ καὶ ποσὸν ἀόριστον.
ὅταν γὰρ λέγωμεν μέγα, ποσὸν ἀόριστον δηλοῦμεν. οὐ γὰρ δηλοῦται πόσῳ ἤ τινι με-
γέθει μέγα ἐστίν, ἢ πόσῳ πλήθει πολύ. ὅταν δὲ μεῖζον καὶ μικρότερον λέγωμεν, κατὰ τὴν
πρὸς ἄλληλα σχέσιν θεωρεῖται. ὁ δέ γε ἀριστοτέλης κατὰ τὸ πρός τι μόνον τὸ μέγα καὶ τὸ
μικρὸν ἐθεώρησεν. ὥσπερ ὁ πλωτῖνος κατὰ τὸ ἁπλῶς μόνον. τὸ γὰρ πρός τι μέγα, ἂν
μεῖζον λέγεσθαι φησί. ἐπαινοῦντες δὲ τοῦ ἀριστοτέλους, ὅτι τὸ μὴ ἐστὶ καθ' αὑτὸ λαβεῖν, ἀλλὰ
πρὸς ἕτερον ἀναφέρεται, τοῦτο οὐκ ἔχει ἐναντίον, ἐνίστανταί τινες πολλὰ καὶ ἐν τοῖς
πρός τι ἐναντία λέγοντες εἶναι. οἷον, τὴν ἐπιστήμην τῇ ἀγνοίᾳ. καὶ τὴν ἀρετὴν τῇ κακίᾳ.
Μήποτε οὖν φησιν ἰάμβλιχος ἐλλιπῶς εἴρηται. τὸ δὲ πλῆρες ἐστὶ τοιοῦτον. ὃ μὴ ἔστι
καθ' αὑτὸ ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, οὐδενὶ τούτων τῶν πρὸς ὃ ἀναφέρεται ἐστὶν ἐναν-
τίον. ἡ γὰρ μεγάλη κέγχρος, πρὸς τὴν μικρὰν ἀναφέρεται. καὶ οὐκ ἔστι τὸ μέγα τῷ μικρῷ
ἐναντίον. Μήποτε δὲ ἄμεινον λέγειν, ὅτι οὐ πᾶσαν ἀντίθεσιν ἀνεῖλεν ἀπὸ τοῦ ποσοῦ
ὁ ἀριστοτέλης. οὐ γὰρ καὶ τὴν κατὰ τὸ πρός τι, ἀλλὰ μόνην τὴν κατὰ τὸ ἐναντίον. ὥστε κἂν εἴη
τις ἐν τῷ ποσῷ κατὰ τὸ πρός τι ἀντίθεσις, οὐ σαλεύεται διὰ τοῦτο ὁ ἀριστοτέλους λόγος,
λέγων τῷ ποσῷ οὐδὲν εἶναι ἐναντίον. Εἰδέναι δὲ χρή, ὅτι τοῦ ποσοῦ, τὸ μέν ἐστιν ἀόρι-
στον. τὸ δέ, ὡρισμένον. καὶ ὡρισμένον μέν, τὸ περιγεγραμμένον ἤδη, καὶ κατὰ μέτρον
ὡρισμένον νοούμενον. οἷον, δίπηχυ ἢ τρία ἢ πηχυαῖον. ἀόριστον δέ, τὸ ἄνευ περιγραφῆς.
καὶ ἄδηλον κατά τινα ὑπεροχὴν ὑπερέχει. ἢ κατά τινα ἔλλειψιν ἐλλείπει. τοιαῦ-
τα δὲ τὰ πολλὰ καὶ ὀλίγα, καὶ τὸ μέγα καὶ μικρόν. καὶ αὐτὸ δὲ τὸ ἀόριστον ποσόν, δι-
χῶς λέγεται. τὸ μέν, ἁπλῶς. τὸ δέ, πρός τι. τὸ μὲν γὰρ μὴ ἀναφερόμενον ὑφ' ἕτε-
ρον, ὁμογενές. κατὰ δὲ τὴν οἰκείαν διαφορὰν νοούμενον τὴν πρὸς τὰ ἀνομοιογενῆ,
ἁπλῶς λέγεται. οἷον, ὅταν τὸ μικρὸν ὄρος μὴ πρὸς τὰ ὁμογενῆ ἀναφέροντες, πρὸς
δὲ τὴν μεγάλην οἰκίαν, ὡς πρὸς ὁμογενῆ τιθέμενοι μέγα λέγωμεν, τότε ἁπλῶς
λέγομεν αὐτὸ μέγα. τῷ γὰρ καθ' αὑτὸ μεγέθους μετέχειν, μεῖζον τῆς οἰκίας λέγε-
ται. τὰ δὲ πρὸς τὰ ὁμογενῆ συγκρινόμενα, καὶ ὡς κατὰ σύγκρισιν τὸ μέγα καὶ τὸ
μικρὸν ἔχοντα, οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν πρός τι σχέσιν θεωρεῖται. καὶ ἐπὶ τῶν
πολλῶν δέ, ὁ αὐτὸς λόγος ἁρμόζει. ἄλλο μὲν γάρ ἐστι τὸ καθ' αὑτὸ θεωρούμενον
πλῆθος, ἄλλο δὲ τὸ κατὰ τὴν πρὸς ἕτερον σχέσιν θεωρούμενον. ὅθεν καὶ τὸ μᾶλλον
καὶ τὸ ἧττον ἐπιδέχεται τὰ τοιαῦτα. καὶ τὰ ἐναντία ἅμα ὑπάρχει αὐτοῖς. βούλεται δὲ ὁ θεῖ-
ος ἰάμβλιχος τὰ μὲν καθ' αὑτά, μέγα. καὶ μικρόν, καὶ πολύ, καὶ ὀλίγον. ἐν τοῖς καθ' αὑτὰ

καὶ ἐν ἄλλοις εἴδεσι θεωρεῖσθαι. τὰ μὲν καθ' αὑτά, τὴν ὑπεροχὴν τῆς δυνάμεως. τὰ δὲ κατὰ τὸ πλῆθος, τῶν καθαρῶν λόγων. τὰ δὲ πρός τι, ἅπερ κατὰ σύγκρισιν λέγεται, ἐν τοῖς ἐνύλοις ὁρᾶν. ἐν οἷς καὶ τὸ μᾶλλον καὶ ἧττον καὶ τἀναντία ἅμα κατὰ τὴν πρὸς ἕτερον καὶ ἕτερον ἀναφοράν. προσιόντος γὰρ τοῦ εἴδους τῇ ὕλῃ, συμμικτός τις ἀπ' ἀμφοῖν γίνεται δύναμις. καθ' ὅσον μὲν γὰρ μεταλαμβάνει τοῦ εἴδους, ὁμοιοῦται πρὸς αὐτό, καὶ γίνεται πολὺ καὶ μέγα τὸ ἔνυλον. κατὰ δὲ τὴν οἰκείαν ἀπειρίαν τοῦ μᾶλλον καὶ ἧττον, καὶ τῆς πρός τι σχέσεως, καὶ τῆς εἰς τὰ ἐναντία μεταβολῆς μεταλαμβάνει. τούτων δὴ οὖν φησιν οὕτως ἐχόντων, οὐκ ὀρθῶς ὑπολαμβάνουσιν οἱ ἁπλῶς ταῦτα πάντα ἡγούμενοι λέγεσθαι, ὥσπερ ὁ Πλωτῖνος. καὶ γὰρ ἡ συνήθεια εἰς τὴν τῶν πρός τι πολλάκις αὐτοῖς χρῆται. καὶ οἱ κέγχρον μεγάλην λέγοντες, κατὰ τὴν πρὸς τὸ ὁμογενὲς σύγκρισιν ὡς τὸ μεῖζον δηλοῦσαν, κατὰ τὸ πρός τι λέγουσιν. ἀλλὰ τὸ μέγεθος φησὶν ὁ Πλωτῖνος, οὐκέτι τῶν πρός τι, ἀλλὰ τὸ μεῖζον, ὥσπερ καὶ τὸ διπλάσιον. ἢ οὐχ οὕτως ἔχει. διατείνει γὰρ ἡ τοῦ μεγέθους ἔννοια, ἐπί τε τὰ καθ' ἑαυτὰ μεγέθη, καὶ τὰ πρὸς ἄλληλα. οὐδὲ γὰρ ἂν μεῖζον ἐλέγετο, μὴ μετέχον τοῦ μεγέθους καὶ παραδηλοῦν τὴν κατὰ τὸ μέγεθος ὑπεροχήν.

Ἀλλὰ τὰ πολλά φασιν, οὐδὲν ἄλλο δηλοῖ, ἢ πολὺ πλῆθος ἐν ἀριθμῷ θεωρούμενον. ὥστε οὐκ ἂν εἴη πρός τι. ἢ ῥᾴδιον ἄλλο εἶδος τοῦ ἀριθμοῦ ἀντιθεῖναι, ὃ καὶ πρός τι ποσὸν λέγεται. ἐν ᾧ αἱ δέκα σχέσεις τῶν λόγων περιέχονται. ἐν τούτῳ γάρ ἐστι καὶ τὸ πλεῖον καὶ τὸ ἔλαττον. εἰ δὲ καὶ ἀριθμοῦ ἐπέκτασιν τις ἁπλῶς λέγοι τὸ πλῆθος, τὸ δὲ ὀλίγον ἀριθμοῦ συστολήν, οὐδὲν ἧττόν ἐστι καὶ ἐν ταῖς προόδοις τῶν διαφόρων ἀριθμῶν ἐναρμόνιός τις πρὸς ἀλλήλους διαφορά. καθ' ἣν ὑπερέχουσί τε καὶ ὑπερέχονται. καὶ πλείονές εἰσι καὶ ἐλάττονες. καὶ ἐπὶ τοῦ συνεχοῦς δὲ τοῦ σημείου, ἢ πόρρω, ἢ ἐγγὺς προϊόντος, πολλαὶ γίνονται διαφορότητες τῆς σχέσεως, καὶ τῆς ὑπεροχῆς, καὶ ἐλλείψεως. ἢ ταχὺ ἱσταμένου ἐν τῇ προόδῳ, ἢ βραδέως. καὶ ἢ ἐν λόγῳ τὴν ὑπεροχὴν πρὸς τὴν ἔλλειψιν ἀφορίζοντος, ἢ ἀλόγως. ὥσπερ γὰρ τὸ ἓν ἐπὶ πολλὰ καὶ ἐπ' ὀλίγα προϊὸν ποιεῖ τὰς τῶν ἀριθμῶν παραλλαγάς, οὕτως καὶ τὸ σημεῖον τὰς διαφόρους σχέσεις τῶν μεγεθῶν ἀπεργάζεται. ἀλλὰ τίς ὅρος τῆς προόδου κατά τε τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ τὸ μέγα καὶ τὸ μικρόν. οὐ γὰρ δὴ ἐπ' ἄπειρον πρόεισιν, ἀλλ' ἔχει καὶ ἐν τῷ προϊέναι τι μέτρον. ἢ δῆλον ὅτι ἕκαστον εἶδος συνυπάγει μετὰ τῆς οἰκείας ἰδιότητος καὶ ποσοῦ, τι μέτρον σύμμετρον τῇ ἰδιότητι. οὐ γὰρ σχῆμα μόνον ἐπιφέρει μεθ' ἑαυτοῦ τὸ εἶδος, ἀλλὰ καὶ μέγεθος. ὃ μετὰ διαστάσεως εἰς τὴν ὕλην παραγίνεται. πλάτος δὲ ἔχει καὶ τοῦτο ἐνθάδε, διὰ τὸ ἀόριστόν πως τῆς ἐνύλου φύσεως. ἐὰν δὲ πολὺ τὸν ὅρον παραλλάξῃ, ἢ πρὸς τὸ μεῖζον, ἢ πρὸς τὸ ἔλαττον, τέρας νομίζεται, ὥσπερ ἡ ἐφ' ἡμῶν ὀφθεῖσα κίλισσα γυνὴ τεσσάρων πηχῶν ἔχουσα τὸ μῆκος. καὶ οἱ νᾶνοι πολλαχοῦ γεγονότες. ἀόριστον οὖν τι καθ' ἕκαστον γένος καὶ εἶδος, ἐν τοῖς ἐνύλοις παρεισέρχεται, κατά τε ὑπεροχὴν καὶ κατὰ ἔλλειψιν. λόγοι μέτριοι αὐτοὶ διήκουσι πάντῃ. οἱ μεταληφθέντες, ποιοῦσι τοιαῦτα

εἶναι τὰ μετέχοντα, οἷοι περ ἂν ὦσιν αὐτοί. ὡς περ μεγέθους καλοῦ καὶ τῶν ἄλλων. καὶ τὰ μὲν ἀπολύτως αὐτῶν μετέχοντα, ἔσται ἁπλῶς τὰ οὕτω ποιούμενα. τὰ δὲ ἐν σχέσει τῶν πρός τι, ὡς περ ἂν λέγοι τις θερμὸν μὲν ἁπλῶς, θερμότερον δὲ τὸ πρός τι. καὶ τὰ μὲν, ὡς καθ' αὑτά. τὰ δὲ, ἐν ἑτέροις. καὶ τὰ μὲν, ὡς ἄυλα. τὰ δὲ, ὡς ἔνυλα. θεωρητικώτερον δὲ τοῖς εἰρημένοις περὶ τοῦ ποσοῦ ἐπιβάλλων ὁ θεῖος Ἰάμβλιχος, πάντως φησὶ ποσοῦ κοινὴ ἔννοια τοιάδε ἐστί. ποσὸν ὑπάρχει, τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα μέρη. τοῦτο γὰρ ἐπὶ πλήθεσι καὶ μεγέθεσιν ὡσαύτως διατείνει. τούτου δὲ τὸ μὲν, ἀριθμητόν ἐστι. τὸ δὲ, μετρητόν. καὶ ἑκάτερον λέγεται καὶ ἀορίστως πῶς καὶ ὡρισμένως. οἷον τὸ μῆκος ὡρισμένως, ὅτι μετὰ περάτων. ἀορίστως δὲ, ὅτι ἄδηλον μέχρι πόσου τὰ πέρατα ἀφορίζονται. εἰ δὲ πάντα κατὰ τὴν κοινωνίαν τοῦ αὐτοῦ γένους ἤτοι τοῦ ποσοῦ ἀφώρισται, οὐδὲν διαφέρει. εἰ τὸ μὲν, ἐφ' ἕν. τὸ δὲ, ἐπὶ δύο. τὸ δὲ, ἐπὶ τρία διέστηκεν. οὐ γὰρ διὰ τοῦτο ἀπογνωστέον τὴν μετουσίαν τοῦ κοινοῦ γένους. οὐδὲ ἐπὶ τῶν ἀριθμῶν. ὅτι ἡ δυὰς τῆς τριάδος προηγεῖται. καὶ αὕτη τῆς τετράδος. καὶ ἐφεξῆς. οὐ γὰρ ἡ δυὰς τὴν τριάδα ποιεῖ. ὡς προτέρα οὖσα, τὴν δευτέραν. ἀλλὰ κατ' ἄλλο μὲν τὸ πρότερον αὐτῆς καὶ ὕστερον διηρίθμηνται. κατ' ἄλλο δὲ ἡ κοινωνία αὐτῆς τοῦ γένους ἐνυπάρχει. καθ' ἣν, οὐδὲ μᾶλλον οὐδὲ ἧττον τὰ ἕτερα ἐν αὐτῇ περιέχεται. ἐν δὲ τούτοις τὰ μὲν ἄλλα μοι φανερὰ δοκεῖ καλῶς εἰρημένα.

Πῶς δὲ ποσὸν εἶναί φησι τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα μέρη. οὐ πάνυ τι παρακολουθῶ. τοῦτο γὰρ ὅλου μᾶλλον οὐχὶ ποσοῦ παραστατικὸν μοι δοκεῖ. ἄλλη δὲ ὅλου καὶ ἄλλη ποσοῦ ἔννοια. τὸ μὲν γὰρ ὅλον, καὶ τὰ μέρη ἔχειν καὶ τὴν οὐσίαν ὑπάρχειν. καὶ οὐ κατὰ τὸ ποσὸν, ἀλλὰ κατὰ τὸ εἶδος, ἢ ἄτομον. διὸ καὶ Ἀριστοτέλης, μὴ ταραττέτω φησὶν ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν, ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις. διττῶς μέρη ἔχει ἡ οὐσία, ἡ μὲν κατὰ τὸ εἶδος, τὰ συμπληρωτικὰ τοῦ εἴδους. οἷον, τὸ ζῷον. τὸ λογικόν. τὸ θνητόν. ἡ δὲ κατὰ τὸ ἄτομον, τὰ συμπληρωτικὰ τοῦ ἀτόμου. οἷον, κεφαλὴν. χεῖρας. πόδας. δηλονότι, καὶ διαιρεῖται εἰς τὰ ἐνυπάρχοντα μέρη. ὥστε οὐκ ἔστι τοῦ ποσοῦ ἴδιον. ἀλλ' ἐκεῖνο καθὸ δύναταί τις εἰπεῖν, πόσον ἐστὶν ἕκαστον. οἷον, δύο. ἢ τρία. ἢ δίπηχυ. τὸ γὰρ μέτρον, ἴδιον τοῦ ποσοῦ. κἂν γὰρ ἀόριστον ᾖ τὸ ποσὸν, οὕτως ἀόριστον λέγεται, ὡς μήπω τοῦ μέτρου γνωσθέντος. κἂν ἄπειρον ὑποτεθῇ τι, οὕτως ἄπειρον ὑποτίθεται, ὡς ἀδιεξιτήτως κατὰ μέρος μετρούμενον. ὅ περ γὰρ καὶ πρότερον εἶπον, οὐδὲ ἡ διάστασις καθ' αὑτὴν μόνη δοκεῖ μοι ποσὸν εἶναι, ἀλλὰ μᾶλλον ποιόν. ἡ δὲ γραμμὴ καὶ ἡ ἐπιφάνεια καὶ τὸ σῶμα, διὰ τὸ ἐφ' ἓν καὶ ἐπὶ δύο καὶ ἐπὶ τρία διεστάναι, ποσόν ἐστι καθ' αὑτά. Μήποτε δὲ ὁ θεῖος Ἰάμβλιχος, κατὰ τὸ διαιρετὸν ἀφωρίσατο τὸ ποσὸν, ἀλλ' οὐχὶ κατὰ τὸ εἰς μέρη μόνον. τὸ γὰρ διαιρετὸν εἰς τὰ μέρη, οὐχ ὡς ὅλον μόνον, ἀλλὰ καὶ ὡς ἓν εἰς πολλὰ διαιρεῖται. ὅ περ ὡς ποσῷ ὑπάρχει.

Μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ, περὶ τόπον δοκεῖ ὑπάρχειν. ἕως τοῦ, ἐναντία ὁρίζονται.

Εἰπὼν τῷ ποσῷ μηδὲν εἶναι ἐναντίον, πάνυ ἐπιστημονικῶς παρατίθεται τὰ δοκοῦντα ποσὰ καὶ ἐναντία. τούτων γὰρ διελεγχθέντων,

ἀσφαλὴς λοιπὸν ὁ λόγος ὁ καθόλου δεικνὺς τῷ ποσῷ μηδὲν εἶναι ἐναντίον. καὶ πρότερον μὲν τὸ μέγα καὶ μικρὸν ὡς ποσὰ ἐναντία παραλαβών, ἔδειξεν ὅτι οὐ ποσά ἐστιν, ἀλλὰ πρός τι. οὐδὲ γὰρ ποσά τις αὐτὰ συγχωρήσει εἶναι, ἐναντία ἐστίν. νῦν δὲ τὸν τόπον παρατίθεται. τὴν ἐναντιότητα τοῦ ποσοῦ λέγων, περὶ τὸν τόπον μάλιστα δοκεῖν ὑπάρχειν. οὐκ ἀρεσκόμενος τούτῳ ὥς οἴεται. αὐτὸς γὰρ εἶπε σαφῶς, ὅτι τῷ ἀφωρισμένῳ ποσῷ οὐδέν ἐστιν ἐναντίον. ἀφωρισμένον δὲ ποσόν ἐστι τὸ ἄνω τοῦ τόπου μέρος. λέγει οὖν ὅτι οὐκ ἔστι μὲν οὐδὲ περὶ τοῦτο ἐναντίωσις. δοκεῖ δὲ εἶναι. τί οὖν οὐκ ἀντίκειται τὸ ἄνω τῷ κάτω. ἢ οὐ καθὸ ποσὸν ἀντίκειται. ποσὸν γάρ ἐστι, καθὸ ἐπιφάνεια, καὶ διχῇ διάστασις. κατὰ δὲ τοῦτο, οὐδὲ μίαν ἔχει ἀντίθεσιν. ἀλλ' ἢ ἄρα καθὸ πρός τι. ἢ καθὸ ποῦ, ἡ τοῦ ἄνω πρὸς τὸ κάτω ἀντίθεσις γίνεται. τῶν γὰρ πρός τι τινὰ δέχεται ἐναντίωσιν, ὥσπερ καὶ τὸ ποῦ. καὶ εἴρηται πολλάκις, ὅτι πολλὰ τῶν ὄντων, κατ' ἄλλο καὶ ἄλλο ὑπὸ διαφόρους ἀνάγεται κατηγορίας. ἄμεινον δὲ ἴσως λέγειν, ὅτι ὡς πρὸς τὸ πᾶν, κάτω μέν ἐστιν, ἐφ' ὃ τὰ βάρη ἔχοντα φέρεται. ἄνω δέ, ἐφ' ὃ τὰ κοῦφα. καὶ κάτω μέν ἐστι, καὶ τὸ κέντρον τὸ μέσον. ἄνω δέ, τὴν περὶ τὸ μέσον, καὶ τὴν περὶ τὸ κέντρον. ἐν σφαίρᾳ γὰρ τὸ κάτω καὶ ἄνω οὕτως θεωρεῖται. ὡς δὲ πρὸς ἡμᾶς, κάτω μὲν τὰ ὑπὸ τοὺς ἡμετέρους πόδας. ἄνω δέ, τὰ ὑπὲρ τὴν ἡμετέραν κεφαλήν. τούτων οὖν οὕτως ἐχόντων, τὰ μὲν πρὸς ἡμᾶς λεγόμενα ἄνω καὶ κάτω, μόνως ἐστὶ πρός τι. συμμεταβάλλεται ἑκάστοτε, καὶ οὐκ ἔστι φύσει. τὰ δὲ ἐν τῷ κόσμῳ, καθόσον μὲν ἤρτηται αὐτοῖς δι' ἀλλήλων, τὸ εἶναι πρός τι ἐστί. καθόσον δὲ τῇ αὐτῶν φύσει τοιαῦτά ἐστιν, ὁποῖα λέγεται, καὶ οὐδέποτε μεταπίπτει. καὶ τῶν ἐναντίων ἐστὶ δεκτικά. καὶ ᾗ πλεῖστον διέστηκε, ταύτῃ ἐναντία ἐστίν. ὥστε οὐδὲ καθὸ πρός τι, ἐναντία ἐστίν, ὅπερ ἐδόκει λέγεσθαι πρότερον. οὐδ' ὅτι μᾶλλον καθὸ ποσόν ἐστι ταύτῃ, πρός τι ἐστὶν ἢ ἐναντία, ἀλλ' ἄμφω ταῦτα. καὶ τὸ πρός τι καὶ τὸ ἐναντίον, τῷ αὐτῷ συμβήσεται τῷ ποσῷ τῷ κατὰ τὸν τόπον, κατὰ τὰς εἰρημένας διαφοράς. ἀλλ' οὐ καθὸ ποσόν. δηλοῖ δὲ καὶ αὐτός, οὐ τῷ ποσῷ εἰπών, ἀλλὰ τοῦ ποσοῦ εἶναι τὴν ἐναντιότητα. καὶ οὐ τῷ τόπῳ, ἀλλὰ περὶ τὸν τόπον. καὶ οὐκ εἶναι ἁπλῶς, ἀλλὰ δοκεῖν ὑπάρχειν. οἱ γὰρ τοιοῦτοι προσδιορισμοί, σαφῶς ἐκεῖνο ἐμφανίζουσιν. ὅτι ὥσπερ τὸ εὐθὺ καὶ τὸ κυρτόν, οὐ καθὸ ποσὰ ἠναντίωται, ἀλλὰ ποσοῖς οὖσι καὶ τι ἄλλο συμβέβηκεν, οὕτως καὶ περὶ τὸν τόπον ταῦτα συμβέβηκε. καὶ ὥσπερ τὸ ζῷον αὐτὸ μὲν ἐναντίον οὐδὲν ἔχει κατὰ διαφορὰς ἐναντίας τέμνεται, οὕτω καὶ ὁ τόπος κατὰ διαφορὰς ἐναντίας διαιρεῖται. οὐ καθὸ ποσὸν οὖν ἡ ἐναντίωσις γέγονεν, ἀλλὰ κατ' ἄλλο τι ὑπάρχοντι τῷ τόπῳ ποσῷ. ἐπεὶ δὲ καὶ περὶ ἄλλα ποσὰ ἡ ἐναντίωσις συμβαίνει, τὸ μάλιστα ἐναντίον τῷ τόπῳ προσέθηκε. διὰ τὸ καὶ τὰ ἄλλα ἐναντία, ἀπὸ τῆς κατὰ τὸν τόπον διαστάσεως χαρακτηρίζεσθαι. λέγονται γοῦν ἐναντία, τὰ πλεῖστον ἀλλήλων διεστηκότα. ἀλλ' ἐπὶ μὲν τοῦ ποιοῦ, ἤδη τίς ἐστιν ἡ διάστασις. ἐπὶ δὲ τοῦ ποσοῦ, διαστηματική. ἥτις καὶ κυριωτέρα διάστασις λέγεται. καὶ ἀπὸ ταύτης, καὶ αἱ ἄλλαι. Ἀλλ' εἰ τὸ πλεῖστον διεστηκὸς ἐναντίον, πλεῖστον δὲ διέστηκεν ἐν σφαίρᾳ τὰ κατὰ διάμετρον, πῶς φησιν οὐ ταῦτα ἐναντία, ἀλλὰ τὸ μέσον τῷ πέριξ.

Ἡ οὕτως μὲν κατὰ διάστασιν, τὸ κατὰ διάμετρον ἀντίκειται. ὡς δὲ ἐν σφαίρᾳ καὶ ἐν κόσμῳ, καὶ κατὰ τὸ εἶδος αὐτὸ, τὰ μὲν κατὰ διάμετρον ἐν τῷ περιέχοντι, ἄμφω τῆς αὐτῆς ἐστὶ φύσεως, καὶ οὐδὲν ἀλλήλων διαφέρει. τὸ δὲ μέσον, τοῦ περιέχοντος καὶ αὐτὸ τὸ εἶδος διέστηκε. διὸ καὶ αὐτός εἶπε τῷ μέσῳ, διάστασιν πλείστην εἶναι πρὸς τὰ πέρατα τοῦ κόσμου. ἵνα ὅλον τὸ ἄνω λαμβάνῃ, ὡς ὁμοφυὲς πρὸς ὅλον τὸ κάτω. ἵνα δὲ μὴ τὸ ὡς πρὸς ἡμᾶς ἄνω καὶ κάτω νομίζῃ τις λέγεσθαι, τὸ μέσον καὶ τὸ περιέχον προσέθετο κατὰ φύσιν, καὶ ἀμετάβλητον ἔχοντα τὴν διαφοράν. Ἀλλὰ πῶς ἄνω τὸ κυκλοφορικὸν ἔσται σῶμα. κούφου γὰρ καὶ πυρὸς ἡ χώρα αὕτη. Ἢ ἔστι μὲν φύσις τοῦ πυρὸς ὁ ἄνω τόπος. κατὰ συμβεβηκὸς δὲ ἔσται καὶ τῆς πέμπτης οὐσίας. ἰδία μὲν γὰρ αὐτῆς, ἡ κύκλῳ. αὕτη δὲ τοῦ περιέχοντος. συμβέβηκε δὲ αὐτῇ ἀνωτέρῳ εἶναι τοῦ πυρὸς ὡς φησιν ἰάμβλιχος. ἀπὸ τοῦ συμβεβηκὸς λέγων, καὶ οὐχ οἷον τὸ ἐν τῇ σχέσει ὑφιστάμενον. ἀλλ' ἐπειδὴ καὶ τοῦ ἄνω ἐπέκεινα, καὶ περὶ ἐκεῖνον ἐστὶ τοῦ ἄνω, διὰ τοῦτο ἀνωτάτω ἂν λέγοιτο δικαίως. Ἀλλὰ τὸ ἄνω καὶ κάτω φασὶν, ὅσα μὴ πρός τι λέγεται, αὐτόθεν ἐναντία ἐστὶ μέρη τόπου ὄντα, ἃ οὐ διαφοραὶ κατὰ μέτρων κατηγορούμεναι. κάτω μὲν γάρ ἐστι, τὸ μέσον. ἄνω δὲ, τὸ περιέχον. ὁρίζει δὲ ταῦτα, τὴν τῶν κούφων καὶ βαρέων φυσικὴν κατὰ τόπον κίνησιν, πλεῖστον ἀλλήλων διεστηκότα. Ἀλλ' εἰ μὲν οὕτω φασὶν ὁ τόπος αἴτιος τῆς αὐτῶν προσόδου δὲ κινήσεως, καὶ τῆς ἐν τῇ στάσει καὶ φορᾷ τῶν σωμάτων ἀποπερατώσεως, ἠδύνατό τις λέγειν, ὅτι ὁ τόπος καθ' αὑτὸν ὁρίζει τὰ κινούμενα. εἰ δὲ ἡ σύστασις τῶν σωμάτων καὶ ἡ κατὰ τὴν οὐσίαν κίνησις τὰ πέρατα ἀφορίζει τοῦ τόπου, οὐκ ἂν εἴη καθ' ἑαυτὸν ὁ τόπος, οὐδ' ἂν ἔχῃ μέρη ταῦτα. Πολλὴ δὲ καὶ περὶ τόπου γέγονε τῶν δοξασμάτων διαφορά. οἱ μὲν γὰρ κατὰ τὸ πρός τι φασὶν αὐτὸν ἀφορίζεσθαι. καθ' ὃ γάρ περιεκτικόν ἐστι τοῦ σώματος, νενόηται ὡς τόπος. τὸ δὲ περιέχον, πρὸς τὸ περιεχόμενον λέγεται ὡς πρός τι. οἱ δὲ διάστημα αὐτὸν εἶναι λέγοντες, ποσὸν εἶναι φασὶν, ἀλλ' οὐ πρός τι. καὶ τὸ ἄνω δὲ καὶ τὸ κάτω. οἱ μὲν, ἐν τῷ παντὶ ἀπολείπουσι. καὶ ἐναντία αὐτὰ τίθενται. οἱ δὲ, οὔτε ἐναντία ταῦτα εἶναι συγχωροῦσιν, οὔτε ἐν τῷ παντὶ ὅλως ὑφεστάναι λέγουσιν. εἶναι γὰρ τῶν πρός τι. ὥσπερ τὸ δεξιὸν καὶ ἀριστερόν. οἱ δὲ πυθαγόρειοι τὸν τόπον, πέρας ἁπάντων εἶναι τῶν ὄντων φασί. τῇ μὲν λέξει, ταυτὸν τῷ ἀριστοτέλει λέγειν δοκοῦντες. τῷ δὲ ἀληθεῖ, πάμπολυ διαφέρουσιν. ὁ μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος καθὸ περιέχει τὸ περιεχόμενον, τὸν τόπον εἶναι φησί. διὸ τὸν ἐξωτάτω οὐρανὸν, οὐδέ φησιν εἶναι ἐν τόπῳ. οἱ δὲ, τὸ ἑκάστου τῶν ὄντων πέρας εἶναι λέγουσι τὸν τόπον. τὸν ἑκάστου εἰδικὸν ὅρον. ἐν ᾧ ἵδρυται καὶ ὑφ' οὗ ἀνέχεται, τόπον λέγοντες. οὕτως δὲ τοῦ τόπου καθολικώτερον καὶ θεωρητικώτερον ἀποδοθέντος, καὶ τὸ ἄνω κατὰ τὴν τῆς οὐσίας ὑπεροχὴν θεωρητέον, καθαρότητι καὶ δυνάμει προέχον. καὶ πᾶσι τοῖς τιμιωτέροις. τὸ δὲ κάτω, τοῖς ἀντικειμένοις. καὶ δῆλον ὅτι κοινῶς οὕτως καὶ ἀπολύτως ἐπὶ πάντων ταῦτα δυνατὸν θεωρεῖν. καὶ κατὰ τὴν ἰδίαν ἑκάστου φύσιν αὐτὰ περιλαμβάνειν. διὰ τοῦτο γὰρ καὶ ἡ ἐν τῷ παντὶ ἀνέχουσα πάντα καὶ σφίγγουσα δύναμις, ἐν τῷ οὐρανῷ ἵδρυται, κατὰ τὴν ὑπεροχὴν τοῦ παντὸς πέρατος.

»Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. ἕως τοῦ, ὥστε τὸ ποσὸν
»οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. Καὶ τοῦτο τῇ οὐσίᾳ προσεοικὸς ἔχει τὸ ποσόν. φημὶ δὲ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ γὰρ καὶ αὐτὸ ὥσπερ ἡ οὐσία οὐ μετέχει τῆς κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀπειρίας, διότι ὡρισμένῳ εἴδει κεκράτηται. καὶ διὰ τούτου δὲ δείκνυται τὸ μὴ εἶναι ἐναντίωσιν ἐν τῷ ποσῷ. τὰ γὰρ μὴ ἐπιδεχόμενα τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐδ' ἂν ἐναντίωσιν ἔχειν λέγοιτο. ἀρχὴ γὰρ τῆς ἐπὶ τὸ ἐναντίον μεταβολῆς, ἡ ὕφεσις καὶ ἡ ἐλάττωσις τοῦ προϋπάρχοντος εἴδους. μεταξὺ γὰρ τοῦ ἐναντίου ἡ ἀμύδρωσις. διὸ οἷς ἔστιν ἐναντίον, τούτοις ὑπάρχει τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ ἀνάπαλιν. τὴν δὲ ἀπόδειξιν ἐκ τῆς ἐπαγωγῆς ὁ ἀριστοτέλης ἐποιήσατο τοῦ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, ἐπί τε τὰ ἀφωρισμένα ποσὰ ἐπιών, ὅταν λέγῃ τὸ δίπηχυ καὶ τὰ τρία. καὶ ἐπὶ τὰ ἀόριστα, ὅταν λέγῃ οὔτε χρόνος ἑτέρου μᾶλλον χρόνος. αἴτιον δὲ οἶμαι τοῦ, τὸ ποσὸν μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ καὶ τὰ ἄλλα κατὰ τὸ ποσὸν ὁρίζεσθαι καὶ μετρεῖσθαι. εἰ οὖν καὶ τῶν ἄλλων ὅρος γίνεται τὸ ποσόν, πῶς ἂν αὐτὸ τῆς κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀοριστίας μεταλαμβάνει. εἰ δὲ μεῖζον μέγεθος μεγέθους λέγομεν, καὶ πλείονα ἀριθμὸν ἀριθμοῦ, καὶ ἐν τούτῳ πολὺ τὸ μᾶλλον καὶ ἧττον θεωροῦμεν. μᾶλλον γὰρ μείζων γὰρ ὑμηττοῦ ὁ καύκασος, ἢ ὁ ἄθως. καὶ μᾶλλον πλείω τῶν τριῶν τὰ ἑπτὰ ἢ τὰ πέντε. κατὰ τὸ πρός τι αὐτοῖς τὸ μᾶλλον καὶ ἧττον ὑπάρχειν ἐροῦμεν. εἰ δὲ καὶ μᾶλλον μείζων ὁ καύκασος, ἧττον δὲ ὁ ἄθως, καὶ ἔτι ἧττον ὁ ὑμηττός, κατὰ τὸ ἀόριστον συγχωρήσοι ἄν τις ἐπιδέχεσθαι καὶ τὸ ποσόν, τὸ μᾶλλον καὶ τὸ ἧττον, ὥσπερ καὶ ἐναντίωσιν. τὸ γὰρ μὴ πρός τι λεγόμενον μέγα, ἀλλὰ καθ' αὑτό, ἀντίκειται τῷ καθ' αὑτὸ λεγομένῳ μικρῷ. καὶ οὕτως ἀνδρόνικος διατάττεται. πλωτῖνος δέ, οὐδὲ εἶναι ὅλως πρός τι μέγα φησίν, ἀλλ' ἀκύρως πολλάκις ἀντὶ τοῦ μεῖζον τὸ μέγα λέγειν ἡμᾶς.

»Ἴδιον δὲ μάλιστα τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. ἕως τοῦ, ὥστε τοῦ πο-
»σοῦ μάλιστα ἂν εἴη ἴδιον τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. Ἀποδοὺς τῶν παρακολουθούντων τῷ ποσῷ τὰ κοινά, καὶ πρὸς ἄλλας κατηγορίας τὸ ἴδιον νῦν ἀποδίδωσιν. ὃ καὶ παντὶ καὶ μόνῳ τῷ ποσῷ ὑπάρχει. τοῦτο δέ ἐστι, τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. πάλιν διὰ τῆς ἐπαγωγῆς ἀποδείκνυσιν ἐπί τε τὰ συνεχῆ καὶ ἐπὶ τὰ διωρισμένα ποσά, καθ' ἕκαστον ἐπιών. ὅτι δὲ ἴδιον τοῦτο τοῦ ποσοῦ, δείξαις ἂν οὕτως. Τὸ ποσὸν καθὸ ποσόν, μεριστόν ἐστι. τὸ δὲ μεριστόν, ποτὲ μὲν τοῖς αὐτοῖς μέτροις μετρεῖσθαι πέφυκε. ποτὲ δὲ πλείοσιν ἢ ἐλάττοσιν. ἔστι δὲ τὸ μὲν τοῖς αὐτοῖς μέτροις μετρούμενον, ἴσον. τὸ δὲ πλείοσιν ἢ ἐλάττοσιν, ἄνισον. τὸ ἄρα ποσὸν καθὸ ποσόν, ἴσον τε καὶ ἄνισον λέγεται. καθὸ γὰρ ποσόν, μεριστόν. καθὸ δὲ μεριστόν, ταῦτα αὐτῷ ὑπάρχει. καὶ γὰρ καὶ τοῖς ἄλλοις τὸ μετροῖς εἶναι, διὰ τὸ ποσὸν ὑπάρχει. οὐ γὰρ ἢ ξύλον μερίζεται τὸ ξύλον, ἀλλ' ἢ μέγεθος καὶ ποσόν. κυρίως οὖν ἐπὶ τοῦ ποσοῦ, τὸ ἴσον τε καὶ ἄνισον λέγεται. ἐπὶ δὲ τῶν ἄλλων, οὐ κυρίως. λευκὸν γὰρ λευκῷ ἴσον οὐ κυρίως, ἀλλὰ καταχρηστικῶς λέγεται. κυρίως δέ, ὅμοια τὰ λευκά. καὶ πάντα τὰ κατὰ ποιότητα

ἀφωρισμένα. οὕτως γοῦν καὶ διάθεσις, διαθέσει. ἴση μὲν κυρίως οὐκ ἂν λέγοιτο. ὁμοία δέ. ἀλλ' οὖν καὶ πᾶσιν ὑπάρχει τοῖς ποσοῖς, ὡς διὰ τῆς ἐπαγωγῆς ἔδειξε. καὶ μόνοις, ὡς νῦν ἐδήλωσεν. οὔτε γὰρ ἐπὶ ποιότητος κυρίως λέγεται τὸ ἴσον, ἀλλὰ τὸ ὅμοιον. οὔτε ἐπὶ οὐσίας καθὸ οὐσία, ἀλλὰ καθὸ μεγέθους καὶ ποσοῦ μετέχει, ὥστε ὡς ἴδιον λέγεται τοῦ ποσοῦ. ἀρχύτας δὲ καὶ αὐτὸς τὸ ἴσον καὶ ἄνισον ἴδιον τοῦ ποσοῦ λέγων, ἐν πλήθει καὶ μεγέθει θεωρεῖσθαί φησιν αὐτὸ καὶ ἐν ῥοπῇ. οὔτε δὲ οὐσίᾳ, οὔτε ποιότητι τοῦτο τὸ ἴδιον ἐπιπρέπεσθαι. διχῶς οὖν αὐτὸς τὸ ἴσον καὶ ἄνισον ἀφορίζεται, κατὰ τὰς δύο τοῦ ποσοῦ διαφοράς. ὁ μέντοι ἀλέξανδρος ἀκολούθως τῷ ἀριστοτέλει τὴν ῥοπὴν οὐκ ἐν ποσῷ τιθέμενος, ἀλλ' ἐν τῷ ποιῷ, καὶ ἐπὶ τῶν βαρέων τὸ ἴσον καὶ ἄνισον, οὐ κυρίως λέγεσθαί φησιν, ἀλλὰ καταχρηστικῶς. τὸ γὰρ ὅμοιον καὶ ἀνόμοιον καὶ ἐπὶ τούτου ἁρμόσει, ὡς περ ἐπὶ τῶν ἄλλων ποιῶν. καὶ τὸ καταμετρεῖσθαι δέ φησι, κοινότερον ἐπ' αὐτῶν λέγεσθαι. ὡς γὰρ ἐπὶ τοῦ λευκοῦ δεκαπλασίως λέγεται λευκότερον τόδε τοῦδε, οὐ τῷ τοῦ λευκοῦ δεκάτῳ μέρει καταμετρούμενον, ἀλλὰ τῷ τῆς ἐπιφανείας ἐν ᾗ τὸ λευκόν. εἰ δὲ οὕτως κατὰ συμβεβηκὸς ἔσται καταμετρούμενον τὸ λευκόν, οὕτως δὲ καὶ τὸ βαρὺ καταμετροῖτο ἄν. τῷ γὰρ τὸ σῶμα ἐν ᾧ ἡ βαρύτης καταμετρεῖσθαι. κατὰ ποιότητα γὰρ οὐ κατὰ μέγεθος τὸ βαρὺ ἴσον. ἐπεὶ πάντως τὸ βαρύτερον εὐθὺς, καὶ μεῖζον τοῦ κουφοτέρου. εἴ γε ἴσον καὶ πλειόνων μέτρον. εἰ δὲ μὴ καταμετρεῖται, οὐκ ἂν τὸ ἴσον καὶ τὸ ἄνισον λέγοιτο ἐπὶ τοῦ βαρέος ἢ τοῦ κούφου. Ταῦτα τοῦ ἀλεξάνδρου καὶ αὐτῇ λέξει κατὰ πολὺ λέγοντος, οἱ νεώτεροι τῶν ἐξηγητῶν ἰδίαν εἶναι τοῦ ποσοῦ κατὰ τὸν ἀρχύταν τιθέμενοι, οὐ διὰ τὸ σῶμα μετρεῖν τὸ βάρος φασίν, ἴσον γὰρ ἂν τὸ αὐτὸ τοῦ σώματος καὶ τοῦ βάρους μέτρον. νῦν δὲ πολλαχοῦ ὑπεναντίως ἔχει τὸ τοῦ σώματος μέτρον καὶ τῆς ῥοπῆς. ὡς περ ἐπὶ μολύβδου τε καὶ ἐρίου. ἡ μὲν τοῦ σώματος μέτρησις, ἄνισος ἐστὶν ἂν οὕτω τύχῃ. ἡ δὲ ῥοπή, ἴση. ἢ καὶ ἀνάπαλιν. οἱ μὲν ὄγκοι ἴσως ἔχοιεν. αἱ δὲ ῥοπαί, ἄνισοι. καὶ σχεδὸν ἐπὶ πάντων τῶν σωμάτων, ἄνισοι τοῖς ὄγκοις εἰσὶν αἱ ῥοπαί. καὶ γὰρ καὶ ἄλλο ποσοῦ εἶδος ἐν τῷ μεγέθει, καὶ ἄλλο ἐν τῇ ῥοπῇ. ἡ γὰρ μνᾶ καὶ τὸ τάλαντον, κατ' εἶδος διαφέρει τοῦ ποδὸς καὶ τοῦ πήχεος. ὥστε ἢ οὐ ὑπ' ἄλλου ποσοῦ μετρεῖται, οὔτε ποιόν ἐστιν, οὔτε ἀμυδρὸν τῶν ἄλλων ποσῶν τι ἔχει. ὁ δὲ ἀλέξανδρος προσλαβὼν οὐκ οἶδα ὅπως τὸ ἐν ἀρχῇ τῷ κατὰ μέγεθος μόνον εἶναι τὸ μετρεῖν, ἀλλὰ μὴν καὶ κατὰ ῥοπὴν συνήγαγε τὸ εἶναι μὴ ποσὸν τὴν ῥοπήν, ἀλλὰ ποιόν. καίτοι εἰ τὸ βαρὺ τοῦ βαρέος κατὰ ποιότητα διέφερε, χαρακτήρων ἄν τισι διαφοραῖς ἐγεγένητο ἡ παραλλαγή. ὡς καὶ ἐπὶ τῶν ἄλλων τούτων θεωρεῖται, ὅσα ποιότησι παραλλάττει. νῦν δὲ ἡ μὲν ῥοπή, καθόσον ἐστὶ ῥοπή, τὴν αὐτὴν ἔχει ἰδιότητα. τὸ δὲ ἕλκειν τοσόνδε ἢ τοσόνδε, παραλλάττει κατὰ τὸν λογισμὸν τῆς ἐπὶ τὸ μέσον συννεύσεως. δύο οὖν εἴδη τοῦ ποσοῦ. καὶ διχῶς ἐπ' αὐτῶν θεωρεῖται, τό, τε ἴσον καὶ τὸ ἄνισον. Ἀποροῦσι δέ τινες, πρὸς τὰ ὑπ' ἀριστοτέλους εἰρημένα. εἰ τὸ ὅμοιον καὶ ἀνόμοιον μὴ ἔστι ποσοῦ ἴδιον ἀλλὰ ποιοῦ, πῶς ὅμοια μεγέθη λέγεται. ὅμοια γὰρ τρίγωνα καὶ τετράγωνα ἔχομεν παρὰ τοῖς γεωμέτραις ἀναγεγραμμένα. καὶ δῆλον ὅτι καὶ ἀνόμοια. Μήποτε οὖν ὡς περ τοῖς ποιοῖς τὸ ἴσον ὑπάρχει κατὰ τὸ συνυπάρχον

αὐτοῖς ποσόν, οὕτως καὶ τοῖς ποσοῖς τὸ ὅμοιον κατὰ τὸ εἶναι αὐτοῖς ποιόν. καὶ γὰρ τὸ τρίγωνον, ποσὸν μέν ἐστι κατὰ τὸ τῆς διαστάσεως αὐτοῦ μέγεθος. ποιὸν δὲ κατὰ τὴν μορφὴν καὶ τὴν ἰδιότητα, καθ' ἣν καὶ τὸ ὅμοιον ἔχει. ὥσπερ τὸ ἴσον κατὰ τὴν ποσότητα. διὸ καὶ ὅμοια ὄντα, ἄνισα πολλάκις ἐστίν. ὡς κατ' ἄλλο μὲν αὐτοῖς τῆς ὁμοιότητος, κατ' ἄλλο δὲ τῆς ἀνισότητος ὑπαρχούσης. Ἄλλοι δὲ ἀποροῦσι, πῶς ἐναντιότητα ἀπὸ τοῦ ποσοῦ ἀνελών, ἐν τῷ ἰδίῳ αὐτῷ ἐναντίωσιν ὑπέθετο τοῦ ἴσου καὶ ἀνίσου. Καὶ λύουσι λέγοντες τὴν τοῦ ἴσου καὶ ἀνίσου ἀντίθεσιν, μὴ εἶναι ὡς ἐναντίων, ἀλλ' ὡς πρός τι περὶ τὸ ποσὸν θεωρουμένην. ὥσπερ τὸ ὅμοιον καὶ ἀνόμοιον, πρός τι περὶ τὸ ποιόν. ὅλως δὲ ὅπως ἂν ἔχοι τὸ ἴσον καὶ ἄνισον, οὐ ταὐτόν ἐστι τῷ ποσῷ, ἵνα καὶ ἐναντίωσιν ἔχῃ ἐν ἑαυτῷ τὸ ποσόν, ἀλλ' ἐπισυμβαίνει τῷ ποσῷ. εἰ δέ τις ἐπὶ τῶν οὐσιῶν τὸ ἴσον καὶ ἄνισον τάττων, τὸν πύργον τῷ πύργῳ ἴσον λέγοι. ἢ ἐπὶ διαθέσεων, ἢ ἐνεργειῶν, οὐ καθὸ οὐσίαι, οὐδὲ καθὸ ποιά, ἀλλὰ καθὸ ποσοῦ μετέχουσιν, ὑπάρχει αὐτοῖς. ποῖον δέ ἐστι τὸ μέτρον ἐπὶ δυνάμεων καὶ ἐνεργειῶν, ἆρα ἀριθμός, ἢ τὸ τῆς ῥοπῆς ποσόν. Ἄξιον ἂν εἴη ἐπιζητήσεως. ἐκ δὲ τρίτου ἀποροῦσι, πῶς ἴδιον λέγεται τοῦ ποσοῦ τὸ ἴσον καὶ ἄνισον, εἴπερ μὴ παντὶ τῷ ποσῷ ὑπάρχει. οὔτε γὰρ ἡ μονάς, οὔτε ἡ στιγμὴ ἴσα ἢ ἄνισα λέγεται. ἴσα γὰρ μὲν τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα ἰσάκις. ἄνισα δέ, τὰ ἀνισάκις. οὔτε δὲ ἰσάκις οὔτε ἀνισάκις τῷ αὐτῷ μέτρῳ μετρεῖται ὁποτερονοῦν τούτων. ὃ γὰρ ἂν οὐκ ἔστιν ἀμερές, δηλονότι οὔτε ἴσον, οὔτε ἄνισόν ἐστιν οὐδέτερον. ταύτην δὲ τὴν ἀπορίαν οἱ μέν, λύουσι καὶ ποσὰ ὑποτιθέμενοι, ταῦτα καὶ ἴσα καὶ ἄνισα δεικνύοντες. καὶ εἴη ἂν οἶμαι τοιαύτη τις δεῖξις ἡ μονάς. καὶ ἑαυτὴν καὶ τὰς ἄλλας μονάδας ἰσάκις μετρεῖ. ἅπαξ γὰρ μία. ὥστε ἴσαι ἔσονται αἱ μονάδες. καὶ τὸ σημεῖον ὁμοίως. εἰ γὰρ ἐφαρμόττει τῷ σημείῳ παντί, ἅπαξ ἑαυτό τε μετρεῖ καὶ τὰ ἄλλα. τινὲς δὲ λύουσι τὴν ἀπορίαν, μὴ προσιέμενοι τὰ ποσὰ εἶναι τὴν μονάδα καὶ τὸ σημεῖον. εἰ γὰρ μήτε συνεχῆ ἐστι ποσά, μήτε διωρισμένα, ἐν δὲ τούτοις πάντα ἐστὶ τὰ ποσά, οὐκ ἂν εἴη ποσά, οὐδὲ μέρη τὰ ἄρα. ὥστε οὐχ ἁρμόσει αὐτοῖς, οὐδὲ τὸ ἴσον οὐδὲ τὸ ἄνισον λέγεσθαι. καὶ γὰρ ἡ μὲν μονάς, ἀρχή ἐστιν ἀριθμοῦ καὶ οὐκ ἀριθμός. ἡ δὲ στιγμή, ἀρχὴ μεγέθους καὶ οὐ μέγεθος. ὥστε ἀρχὴ ποσῶν ἄμφω, καὶ οὐ ποσά. καὶ τοῦ ἴσου τοίνυν καὶ ἀνίσου ἀρχαί εἰσιν. οὔτε οὖν ποσά, οὔτε ἴσα καὶ ἄνισα. ἀλλ' οὔτε παντελῶς τούτων ἐκβεβήκασι, διότι ἀρχαὶ αὐτῶν εἰσιν. ἐπειδὴ δὲ ἐν τούτοις διαρθροῦν ὁ πορφύριος ἐπιχειρεῖ τῷ ἀνδρονίκῳ κατακολουθῶν, τὴν ἔννοιαν τοῦ, τε ἑνὸς καὶ τῆς μονάδος καὶ τῆς στιγμῆς. οὐ τῶν κατ' ἰδέας λεγομένων, ἀλλὰ τῶν κατ' αἴσθησιν ἢ διάνοιαν ἐναργῶν, περὶ ὧν καὶ ἡ παροῦσα πρόθεσις πραγματεύεται, φέρε καὶ ἡμεῖς τοῖς λεγομένοις παρακολουθήσωμεν. ὅταν γάρ φησιν ἓν λέγωμεν, ἢ μῆκος, ἢ πλάτος, ἢ βάθος, σκεπτέον πῶς τὸ ἓν φαμέν. ἢ δῆλον, ὡς ὁπόταν τις σῶμα θεάσηται συνεχὲς μὲν ὅλον ἑαυτὸ περὶ πάντα τὰ μόρια, περιγεγραμμένον δὲ ἰδίᾳ, καὶ τῶν ἄλλων ἁπάντων κεχωρισμένον, ἓν τὸ τοιοῦτον συνεχὲς ὀνομάζομεν, καὶ τὴν τῶν μορίων αὐτοῦ πρὸς ἄλληλα συνέχειαν, ἕνωσιν. καὶ οὕτως τὸ τῷ ἀριθμῷ ἓν νοοῦμεν. τὸ δὲ τῷ εἴδει

ἓν καὶ ὁμοειδές, γινώσκομεν τὰ συμβεβηκότα τοῖς ἀτόμοις, καὶ τὰς οὔσας διαφορὰς χωρίζοντες. ὅταν δὲ μὴ μόνον ἕν, ἀλλὰ καὶ χωρὶς ἄλλου παντὸς τοῦ ὁμογενοῦς, ἢ ὁμοειδοῦς, ἢ ὅλως συζύγου ὑπάρχει, τηνικαῦτα μόνον ὀνομάζομεν, σύνθετον ἤδη τοῦτο μόνον σημαίνοντες. ἔκ τε τοῦ ἑνός, καὶ τῆς μονάδος, καὶ τὸ ἀπηρημωμένον τῶν ἄλλων καὶ μεμονωμένον λέγει. μόνωσις γὰρ συνελθοῦσα τῷ ἑνί, ὀνομάζεται μόνον. οὐ διαφέρει δὲ μόνωσιν εἰπεῖν, ἢ μονάδα. καθ' ἑνὸς γὰρ ὑποκειμένου πράγματος, ἀμφότερα λέγεται. οὐκέτι μέντοι ἐπὶ τῶν δύο, καὶ τριῶν, καὶ τῶν ἐφεξῆς τὸ ἀνάλογον τῇ μονώσει λέγεται. διότι ἐν πλήθει ἐστὶν ἕκαστος ἀριθμός. ἔστιν οὖν σχέσις τῷ ἑνί, καὶ τὴν πρὸς τὰ ἄλλα πάντα ἀντίθεσιν, ὅταν ἐκείνων μονωθῇ. ἐπεὶ δὲ τὴν στιγμὴν μονάδα τεθεῖσαν λέγουσί τινες, τὴν δὲ μονάδα στιγμὴν ἄθετον, οὕτως ἀκουστέον τούτων. οὐχὶ τῆς μονάδος στιγμῆς γενομένης, κατὰ προσθήκην τῆς θέσεως. οὔτε γὰρ ἡ μονὰς μένουσα ἐπὶ μονὰς θέσιν προσλαμβάνει, οὔτε ἡ στιγμὴ μένουσα στιγμή, τὴν θέσιν ἀποβάλλει. ἔοικεν οὖν ἀναλογίαν ταυτότητος ἐμφαίνειν μόνην. τὴν δὲ ὑπόστασιν, ἑτέραν τῆς στιγμῆς ἀπὸ τῆς μονάδος. καὶ οὐχ ἧττόν γε τὸ σημεῖον ἀρχὴ καὶ πέρας ἐστὶ τῶν μεγεθῶν, ἤπερ ἡ μονὰς τῶν ἀριθμῶν. λάβοι δὲ ἄν τις στιγμῆς ἐναργῶς νόησιν, ἐκ τῆς ἀναλύσεως. ἡ δὲ ἀρχὴ τῆς ἀναλύσεως, ἐκ τῆς ἐννοίας γίνεται φυσικῆς, ὑπαρχούσης ἅπασι. τὸ σῶμα μῆκος ἔχει καὶ πλάτος καὶ βάθος. καὶ καθ' ἓν ἕτερον μὲν τὸ μέρος τινός. ἕτερον δὲ τὸ πέρας λαμβάνεται. καὶ τὸ μὲν μέρος, τὰς αὐτὰς ἔχει τῷ ὅλῳ διαστάσεις. τὸ μὲν τοῦ σώματος μέρος, τριχῇ διεστώς. τὸ δὲ τῆς ἐπιφανείας, διχῇ. τὸ δὲ τῆς γραμμῆς, μοναχῇ. τὸ δὲ πέρας, ἀεὶ μιᾷ διαστάσει λείπεται τοῦ περαινομένου. εἰ γὰρ ἡ γραμμὴ κατὰ μίαν διάστασιν ὑφέστηκε, τὸ πέρας αὐτῆς οὐδὲ ταύτην ἕξει. ὥστε ἀδιάστατόν τε καὶ ἀμερὲς ἔσται. αἱ δὲ ἀποφάσεις τοῦ ποσοῦ καὶ αἱ πτώσεις, ὅμοιαι ταῖς ἐπὶ τῆς οὐσίας. ἐπὶ μέντοι τῶν πληθῶν, διαφωνεῖ. οὔτε γὰρ ἐπὶ τοῦ ἑνός ἐστι πληθυντικῶς ἐξενεγκεῖν, οὔτε ἐπὶ τοῦ πλήθους ἑνικῶς. δίπηχυ δὲ καὶ πολλὰ καὶ μεγάλα λέγεται. καθάπερ δίπηχυ καὶ μέγα καὶ πολύ. λέγεται δὲ καὶ στερητικῶς ἐν τῷ ποσῷ. τὸ γὰρ ἄπειρον, κατὰ στέρησιν λέγεται τοῦ πέρας ἔχειν. ὁμοίως δὲ καὶ τὸ ἀμερές. ὅτι τοῦ γένους ὄν, τὰ τῶν ἐχόντων οὐκ ἔχει. τὸ μέν, ἐπὶ τοῦ ἀριθμοῦ. τὸ δέ, ἐπὶ τῆς γραμμῆς. ὡς δὲ ἀπὸ τοῦ ποιοῦ τὸ πῶς παρεγκέκληται, οἷον, δικαίως, καλῶς, οὕτως ἀπὸ τοῦ ποσοῦ, τὸ ποσαχῶς. οἷον, διχῶς, τριχῶς. καὶ ἐπὶ τοῦ ποσάκις. δίς. τρίς. πολλάκις. ὀλιγάκις. ἕκαστον δὲ τῶν ὄντων, ἓν καὶ ὅλον λέγεται. στιγμὴ δὲ καὶ μονάς, ὅλα οὐ λέγεται. ὅλον γάρ ἐστι, τὸ συμπεπληρωμένον πᾶσι τοῖς μέρεσι. ταῦτα δὲ ἀμερῆ ἐστιν. ἐπὶ δὲ τούτοις ὁ Ἰάμβλιχος, τύποις τισὶ παραδίδωσι, πῶς χρὴ ἐπί τε τοῦ ποσοῦ καὶ τῶν ἄλλων κατηγοριῶν τὸ ἴδιον καθ' ἑκάστην εὑρίσκειν. Δεῖ δέ φησι τῶν ὑπαρχόντων ἑκάστῃ κατηγορίᾳ, τὰ σύμφυτα λαμβάνειν συμβεβηκότα. καὶ ταῦτα, κοινῶς ἐπὶ πάντων τῶν εἰδῶν ἑκάστοις ἐνυπάρχοντα θεωρεῖν. οἷον ἐπὶ παντὶ ποσῷ, σύνεστιν ὑπεροχὴ καὶ ἔλλειψις. συμφυῆ οὖν ὑπάρχοντα κοινῶς τε ἐπὶ πᾶσι τοῖς εἴδεσι τοῦ ποσοῦ ἐνυπάρχει. καὶ κατὰ ταῦτα ζητεῖν μάλιστα δεῖ τὸ ἴδιον τοῦ ποσοῦ. καὶ ἐπειδὴ τὸ μὲν ὑπερέχον καὶ ἐλλεῖπον ὡς ἐν τῷ

σῶμα ἀμφότερον ἄνισον τιθέμεθα, τούτου δὲ ἀντὶ τιθέμεν τὸ ἴσον ἢ ὅπως, διὰ τοῦτο ἔσται ἴδιον τοῦ ποσοῦ, τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. καὶ ἐπὶ τῆς οὐσίας δὲ συμφυὲς καὶ κοινὸν τὸ αὐτὸ θεωρεῖται ἰδίωμα, ἐπὶ πασῶν τῶν ἐν γενέσει οὐσιῶν, τὸ τῆς δυνάμεως ἐπιτήδειον ὡς πρὸς ὑποδοχὴν τῶν ἐναντίων παρεσκευασμένον. καὶ ἐπὶ τῆς ποιότητος δὲ, τὸ τῆς ὁμοιότητος καὶ ἀνομοιότητος, ὡσαύτως ἐνυπάρχει. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν παραπλησίως ἔξεστιν ἀνευρίσκειν τὰ ἑκάστης. Ἀλλ' ἐπὶ τὴν ἑξῆς κατηγορίαν τῷ Ἀριστοτέλει συμμεταβαίνωμεν :~

## ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΤΙ.

Πρός τι δὲ τὰ τοιαῦτα λέγεται, ἕως τοῦ, παρωνύμως δὲ ἀπὸ τῶν εἰρημένων θέσεων λέγονται. Τινὲς μὲν ψέγοντες τὰς ἐπαγομένας ἀπορίας τῇ ἀποδοθείσῃ τῶν κατηγοριῶν τάξει, ἄτακτον φασὶν αὐτῶν τὴν διδασκαλίαν, καὶ κατὰ τὸ ἐπιτυχὸν τῆς διαριθμήσεως τυχοῦσαν. οὐκ εἰδότες ὡς εἰς χείρονας ἀπορίας ταῦτα λέγοντες, ἐμπίπτουσιν. οἱ γὰρ οὕτω λέγοντες, καὶ τὴν τῶν ὄντων σύνταξιν πρὸς ἄλληλα ἀναιροῦσι, καὶ τὴν τοῦ λόγου πρὸς ἑαυτὸν ὁμολογίαν. Δεῖ τοίνυν ἐν τάξει πάντως αὐτῶν τὴν διδασκαλίαν λεγομένην ὑπολαμβάνειν. διττῆς δὲ οὔσης τῆς τάξεως, τῆς μὲν, κατὰ φύσιν, καὶ τὴν ἑκάστης τῶν κατηγοριῶν οὐσίαν. τῆς δὲ, πρὸς διδασκαλίαν καὶ τὴν ἡμετέραν ἀμαθίαν, ἕνα ὅρον ἔδει ποιεῖσθαι τῆς παραδόσεως. καὶ μὴ νῦν μὲν, τὴν κατὰ φύσιν τάξιν προσέχεσθαι, αὖθις δὲ τὴν πρὸς διδασκαλίαν. κυριωτέρου δὲ ὄντος τοῦ κατὰ φύσιν, εἰκότως τὴν οὐσίαν προτάττομεν. ἐπειδὴ, πρώτη πάντων τῶν γενῶν ἐστι, καὶ αὐτὸ τὸ εἶναι θεωρουμένη, καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἰτία γινομένη. καὶ τῶν ἄλλων οὖν κατηγοριῶν τὴν τάξιν κατά τε τὴν τοῦ εἶναι φύσιν ἀποδοτέον, καὶ κατὰ τὴν πρὸς τὴν οὐσίαν οἰκειότητα. ὥστε τὰ μὲν συγγενέστερα πρὸς τὴν οὐσίαν, προτάττεσθαι. τὰ δὲ ἀλλοτριώτερα, ὕστερα ἀπαριθμεῖσθαι. τοίνυν προτέτακται τὰ καθ' αὑτὰ τῶν πρός τι, καὶ τὰ ὡς ἐν ὑποκειμένῳ τάξει προυπάρχοντα, τῶν ὡς συμβεβηκότων ἐπιγινομένων, δηλονότι προηγεῖται τὸ ποιόν, τῶν πρός τι. καὶ τῇ οὐσίᾳ δὲ οἰκειότερον, ὡς καὶ οἱ περὶ τὸν Λούκιον ἐγκαλοῦσιν. οἰκειότερον γὰρ τὸν Σωκράτην δηλῶσαι ἀπὸ τοῦ σιμοῦ καὶ τοῦ ἐξοφθάλμου καὶ προγάστορος, ἅπερ ἐστὶ ποιά, ἢ ἀπὸ τοῦ δεξιοῦ καὶ φίλου, καὶ τῶν ἄλλων τῶν πρός τι. ἄλλως τε φασὶν, εἰς δύο διαιρουμένων τῶν λεγομένων, εἴς τε τὸ καθ' αὑτὸ καὶ εἰς τὸ πρὸς ἕτερον, ἀρξάμενον περὶ τῶν καθ' αὑτὸ λέγειν, ἐν οἷς ἡ οὐσία καὶ τὸ ποσὸν, ἔδει καὶ τὸ ποιὸν προστιθέντα, οὕτως ἐπὶ τὰ πρός τι μεταβῆναι. εἰ δὲ καὶ κατ' αὐτὸν τὸν Ἀριστοτέλην παραφυάδι ἔοικε τὰ πρός τι καὶ τοῖς καθ' αὑτὰ νοουμένοις ὡς ὕστερα ἐπιγίνεται, πῶς οὐκ ἂν εἴη μετὰ τὸ ποιόν.
„καὶ Ἀρχύτας δὲ, Πρώταν μὲν τὰν οὐσίαν φησὶν εἶναι δεῖ, καὶ τὰς συνυπάρχοντα αὐτᾷ.
„καὶ οὕτως ποτὶ ἄλλο τι πῶς ἔχον αὐτά. μετὰ δὲ ταύταν, τὰν τῶν ἐπικτάτων σχέσιν.
Οὐσίαν μὲν πρώτην τιθέμενος, ἐν ᾗ πάντα, καὶ ἧς χωρὶς οὐδὲν εἶναι δύναται. μετὰ δὲ ταῦτα τὰ συνυπάρχοντα αὐτῇ, ποιόν τε καὶ ποσόν. γενομένων δὲ πλειόνων, ἀνάγκη

προσελθεῖν σχέσιν, δι' ἣν οἰκείως καὶ ἀλλοτρίως ἔχει τὰ πλείονα. καὶ οὕτως ἡ τῶν πρός τι σχέσις συναπετελέσθη. μετὰ δὲ ταύτην, αἱ ἄλλαι πᾶσαι εἰσὶ κατηγορίαι. οὐ κατὰ τὴν σύμφυτον σχέσιν, ἀλλὰ κατὰ τὴν ἐπίκτητον καὶ ποικίλως συνισταμένην θεωρούμεναι. μαρτυρεῖ δὲ τῇ τάξει, καὶ αὐτὸς ἀριστοτέλης. ὅτε γὰρ ἐν ἀρχῇ διῄρει τὰς κατηγορίας, προέταξε τοῦ πρός τι τὸ ποιόν. εἰ δέ τις αἰτίαν τῆς τοιαύτης τάξεως ἀποδιδοίη, τὸ μὴ μεταξὺ παρεμπίπτον τὸ πρός τι διακόπτειν τὴν ποιότητα ἀπὸ τοῦ ποιεῖν καὶ πάσχειν, συμφυοῦντα αὐτῇ. καὶ γὰρ τῇ ποιότητι καὶ τὸ ποιοῦν ποιεῖ, καὶ τὸ πάσχον πάσχει. μαθέτω καὶ οὗτος, ὡς οὔτε δύναμις, οὔτε ἐνέργεια, οὔτε ποίησις, οὔτε κίνησις, ποιήσειεν ἄν τι εἰς ἕτερον, οὔτε πάθοι τι ὑφ' ἑτέρου, εἰ μὴ προκατάρχοι ἡ τοῦ πρός τι πως ἐχόντων σχέσις, συνάπτουσα δι' οἰκειότητος τὸ ποιοῦν τῷ πάσχοντι. ὥστε τὸ μὲν, δύνασθαι ποιεῖν. τὸ δὲ, δύνασθαι πάσχειν. ἔδει οὖν καὶ ἄλλως προτετάχθαι τὴν τοῦ πρός τι σχέσιν, ὡς κοινὴν καὶ συμφυῆ. καὶ μετὰ τοῦ εἶναι θεωρουμένην. τὸ γὰρ εἶναι ἔχει, ἐν τῷ πρός τι πως ἔχειν. καὶ διὰ τοῦτο προτέρα τῶν ἐπικτήτων σχέσεων ἐστί. καὶ παρὰ τὰ δοκοῦντα δὲ τῷ ἀριστοτέλει, ὁ τοιοῦτος ἐστὶν ἀπολογισμός. οὐ γὰρ ἐν μόνῳ τῷ ἐν τῷ κινεῖν καὶ κινεῖσθαι τῆς ἐνεργείας σχέσιν, πρὸς τὴν δύναμιν καθ' ἣν ἐξ ἀνάγκης προτέτακται προσεχῶς τῶν ποιούντων καὶ πασχόντων τὰ πρός τι. ὥστε οὐκ ἔδει διὰ τοῦτο μετατιθέναι τὴν τῆς ποιότητος κατηγορίαν ὑστέραν. ἀλλ' οὐ δὲ ἀνδρόνικον ἀποδεκτέον, τὰ πρός τι μετὰ πάσας θέντα τὰς κατηγορίας. διότι σχέσις ἐστί, καὶ παραφυάδι ἔοικε. προηγεῖται γὰρ ἡ συμφυὴς τῶν πρός τι σχέσις, τῶν ἐπικτήτων σχέσεων. ὡς καὶ τῷ ἀρχύτᾳ δοκεῖ. Ταῦτα μὲν οὖν ἱστορείσθω, περὶ τῶν κατὰ τάξιν διαφόρων δογμάτων. Ζητεῖν δὲ πάλιν ἄξιον, πῶς τοῦ ἀρχύτα τὴν ποιότητα καὶ τῆς ποσότητος προτάξαντος, ὁ ἀριστοτέλης οὐ μόνον τὴν ποσότητα, ἀλλὰ καὶ τὸ πρός τι προέταξε τῆς ποιότητος. καὶ ὁ μὲν ἀρχύτας ὡς εἴρηται πρότερον, ὡς τοῖς νοητοῖς εἴδεσι φίλος, μετὰ τὴν οὐσίαν εὐθὺς τὴν ποιότητα ἔταξε, καθ' ἣν ἡ τῶν εἰδῶν ἰδιότης ἀφορίζεται. καὶ τὸ ποσὸν εὐθὺς ἐπήγαγεν, ὡς συγγενὲς καὶ τὸ αὐτὸ τῇ οὐσίᾳ, καὶ τῶν καθ' αὑτὸ ὑφεστηκότων ἀρχήν. καὶ τοῦτο μετὰ τὴν οὐσίαν καὶ τὴν ποιότητα. καὶ λοιπὸν μετὰ τὸ ποσὸν, ἔταξε τὰ πρός τι, τὴν κοινὴν καὶ συμφυῆ σχέσιν τῶν ἰδίων καὶ ἐπικτήτων προτάξας. ὁ δὲ ἀριστοτέλης τὴν γενικὴν καὶ σωματικὴν οὐσίαν ἐν τῇ παρούσῃ διδασκαλίᾳ προτιμῶν, τὴν ποσότητα ὡς σωματοειδεστέραν προέταξε τῆς ποιότητος. ἀκολούθως δὲ λοιπὸν κατὰ πάντας τοὺς τρόπους τῆς τάξεως, μετὰ τὴν ποσότητα ἐπήγαγε τὸ πρός τι. καθ' ἕνα μὲν λόγον, τὸν τῆς φύσεως. ἐπεὶ τοῦ ποσοῦ, τὸ μὲν, καθ' αὑτό ἐστι. τὸ δὲ, πρός τι. συνεχὴς δὲ τῷ ποσῷ γέγονεν ὁ περὶ τοῦ πρός τι λόγος. καὶ ἐπεὶ δὴ τῷ ποσῷ συνυφίσταται ὑπεροχὴ καὶ ἔλλειψις, ὅθεν λόγοι θεωροῦνται τοῦ ὑπερέχοντος πρὸς τὸ ὑπερεχόμενον, ἐν οἷς ἅπασιν αἱ πρός τι σχέσεις ὑφεστήκασι. καὶ ἐπεὶ δὴ προυφεστῶτος μεγέθους καὶ πλήθους, ἔστι τὸ μεῖζον καὶ βραχύτερον, καὶ πλεῖον καὶ ἔλαττον, εἰκότως μετὰ τὸ ποσὸν τέτακται τὰ πρός τι. καὶ ἐπειδὴ κατὰ τὸ ποσὸν πλήθους τῇ οὐσίᾳ συνεισελθόντος, εὐθὺς καὶ σχέσις συναναφαίνεται, καθ' ἣν ἡ πρὸς ἄλληλα αὐτῶν κοινωνία καὶ διαφορὰ θεωρεῖ-

ται. οὕτως μὲν οὖν κατὰ φύσιν ἐπεὶ τῷ ποσῷ τὸ πρός τι. καὶ πρὸς διδασκαλίαν δὲ οἰκείως ἔχει ἡ τοιαύτη τάξις. διότι γὰρ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ, τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον ποσὰ δοκοῦντα, ἐδείκνυτο τῶν πρός τι μᾶλλον ὑπάρχοντα, ἔδει καὶ ἵνα δὴ τὰ πρός τι ταχέως ἐπαγαγεῖν. διό καὶ αὐτὰ παρατέθεικε παραδείγματα τοῦ πρός τι τὰ πρότερον ἀμφισβητούμενα. ἐκεῖνά τε ἀποσυλώμενος διὰ τούτων, καὶ ταῦτα ἐκείνοις συνεχῆ δεικνύς. τὸ γὰρ μεῖζον φησίν, αὐτὸ ὅπερ ἐστὶν, ἑτέρου λέγεται. τινὸς γὰρ μεῖζον λέγεται. καὶ τὸ ὄρος μέγα φησὶ λέγεσθαι, πρὸς ἕτερον ὄρος. ὥστε εἰ τὰ προσεχῶς ἀμφισβητούμενα, ταῦτα διὰ τῆς ὑπογραφῆς τῶν πρός τι ἀποδείκνυται ἐν τοῖς πρός τι ὄντα, ἐξεπίτηδες ἂν δόξειε ταύτην ἐπιθεῖναι τὴν τάξιν, ἵνα ἔχῃ προσεχῆ τὴν ἐξ ἀλλήλων πίστωσιν. δεῖ δὲ δηλονότι καὶ τῆς εὐμαθείας στοχάζεσθαι. καὶ μάλιστα ὅταν τὴν κατὰ φύσιν τάξιν συντρέχῃ. καὶ τοῦτο δὲ αὐτὸς εἰκότως λέγοι, ὅτι εἰ καὶ τῇ φύσει τὰ πρός τι δεύτερα ἐστίν, ἀλλ᾽ ὁ περὶ αὐτῶν λόγος προηγουμένης δεῖται διδασκαλίας, ἵνα τὰς σχέσεις εὐθὺς ἀπὸ τῶν ὑποκειμένων διακρίνειν δυνώμεθα, καὶ μὴ καὶ αὐτὰς ὑπὸ τὴν αὐτὴν κατηγορίαν τοῖς ὑποκειμένοις ἀνάγωμεν, ὥσπερ ἐπὶ τοῦ μεγάλου καὶ μικροῦ. τῶν πρός τι γὰρ ὄντα ταῦτα, ποσὰ ἐδόκει, διὰ τὸ ἐν οἷς ἡ σχέσις ποσὰ εἶναι. Ὁ δὲ πορφύριος παρασχῆναι τὴν κατὰ τὸν ἀριστοτέλην τάξιν βουλόμενος, ἐκ συνόδου φησὶ τοῦ ποσοῦ, καὶ τοῦ πρός τι τὴν γένεσιν ἔχειν τὸ ποιόν. ὥσπερ ἄλλοις τισὶ καὶ ἐμπεδοκλεῖ δοκεῖ, ἀπὸ τῆς ἐναρμονίου τῶν στοιχείων κράσεως τὰς ποιότητας ἀναφαίνοντι. καὶ πλάτωνι δὲ διὰ τῶν ἡμιολίων, καὶ διπλασίων, καὶ ἐπιτρίτων, καὶ ἐπογδόων, καὶ τῶν τοιούτων, ἀπὸ τοῦ ποσοῦ καὶ τοῦ πρός τι θεωρουμένων λόγων, τοῦ τε σώματος τὸ ποιὸν δὲ εἶδος καὶ τῆς ψυχῆς συνέστησε, τὸ κατὰ τοιάνδε ποιότητα ἀφωρισμένον. καὶ τὸ μὲν εὔπορον τοῦ λόγου καὶ εὐμήχανον, ἄξιον ἐπαίνου. ῥητέον δὲ ὅτι ἐν μὲν τοῖς ἀποτελέσμασι καὶ τοῖς συνθέτοις, οὐδὲν ἀπεικὸς καὶ οὕτως ταῦτα ἀπογεννᾶσθαι. ἐν μέντοι τοῖς αἰτίοις αὐτῶν λόγοις, καθ᾽ ἕνωσιν καὶ κατὰ μίαν ἀρχὴν ταῦτα πάντα περιέχεσθαι ἐν τῇ προσηκούσῃ τάξει. οὐ γὰρ δὴ προτάττεται ἐν αἰτίοις λόγοις, τὸ πλῆθος τοῦ ἑνὸς καὶ τὴν σχέσιν τοῦ ἀσχέτου, καὶ τὴν ἐν συνθέσει συμμετρίαν τοῦ μονοειδοῦς καὶ ἀσυνθέτου, ἀλλ᾽ οὐδὲ τὰ μυθικῶς καὶ κατ᾽ ἔνδειξιν εἰρημένα, οὕτως ἐπὶ τὰ πράγματα μεταφέρειν ὡς λέγεται. Καὶ περὶ μὲν τῆς πρός τι τάξεως, τοιαῦτα εἰρήσθω. ἐπὶ δὲ τὴν λέξιν ἰόντες, λέγομεν ὅτι ὅρον μὲν ἀποδιδόναι τῶν πρός τι ἀδύνατον ἦν. τῶν γὰρ πρωτίστων γενῶν ὅρους ἀποδιδόναι, ἀμήχανον ἦν, διὰ τὰς εἰρημένας πρότερον αἰτίας. δι᾽ ὑπογραφῆς δέ τινος τὴν ἡμετέραν ἔννοιαν ἀνακινεῖν τὴν συναρμόζουσαν τοῖς πρός τι, δυνατὸν ἦν. καὶ τοῦτο ποιεῖ, τῷ πλάτωνι κατὰ τὴν ἀπόδοσιν τὴν πρώτην ἀκολουθῶν, ὥς φησιν ὁ βοηθός. λέγεται γὰρ καὶ ὁ πλάτων οὕτως ὑπ᾽ αὐτὴν ἀποδοῦναι περὶ τῶν πρός τι, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. καὶ ὡς ἔοικεν ἐπιλέλησται τῶν ὑπὸ τοῦ πλάτωνος εἰρημένων ὁ βοηθός. οὐ γὰρ δὴ εἴποιμι ἄν, ὅτι ἠγνόει ἐλλόγιμος ἀνὴρ γεγονώς. ὅτι γὰρ οὐ τῷ λέγεσθαι πρὸς ἄλληλα, ἀλλὰ τῷ εἶναι τὰ πρός τι χαρακτηρίζει, ὡς καὶ τῷ ἀριστοτέλει δοκεῖ. δηλοῖ μὲν καὶ ἐν πολιτείᾳ λέγων. Ἀλλὰ μέντοι ἦν δ᾽ ἐγώ, ὅσα γέ ἐστι τοιαῦτα οἷα εἶναι αὐτὰ μὲν ποιὰ ἄττα ποιοῦ τινός. καὶ ἐν σοφιστῇ

» δὲ βουληθεὶς τὸ ἕτερον αὐτῶν πρός τι ὂν ἐπιδεῖξαι, οὕτως φησίν. Ὅτι γὰρ ἂν ἕτερον
» ᾖ, συμβέβηκεν ἐξ ἀνάγκης ἑτέρου τοῦτο αὐτὸ ὅπερ ἐστὶν εἶναι. πληθυντικῶς δὲ τὸ πρόν-
τος τοῦ ἀριστοτέλους, πρός τι δὲ τὰ τοιαῦτα λέγεται, οἱ περὶ τὸν ἀχαϊκὸν καὶ σωτίωνα ᾠή-
θησαν μὴ ὡς γὰρ οὐσίαν, καὶ οὐσίας, καὶ ποσὸν καὶ ποσά, καὶ ἑνικῶς καὶ πληθυντικῶς λέγομεν,
οὕτως καὶ ἐπὶ τῶν πρός τι, τὸ πρός τι καὶ τὰ πρός τι λέγεσθαι, ἀλλὰ μόνον πληθυντικῶς.
οὐδὲ γὰρ ὡς μία οὐσία ἐστὶ τὸ ζῷον οὕτως καὶ τὰ πρός τι ἐν ἑνί ἐστιν, ἀλλ' ἐν πλείοσιν. οἷον πα-
τήρ. υἱός. ἥμισυ. διπλάσιον. τὰ γὰρ πρὸς ἄλληλα, οὐκέτι ἕν. οὐδ' ἄν τις εἴποι τὸ πρὸς
ἄλληλα, ἀλλὰ μόνως τὰ πρὸς ἄλληλα, οὕτως οὖν οὐδὲ τὸ πρός τι, ἀλλὰ μόνως τὰ πρός
τι. ταῦτα δὲ ἐπιστήσαντες οὗτοι, τοὺς παλαιοὺς τῶν κατηγοριῶν ἐξηγητὰς αἰτιῶνται,
βοηθόν, καὶ ἀρίστωνα, καὶ εὔδωρον, καὶ ἀνδρόνικον, καὶ ἀθηνόδωρον. μήτε ἐπιστήσαντας,
μήτε ἐπισημηναμένους, ἀλλὰ καὶ τοῖς ὀνόμασι συγκεχυμένως χρησαμένους. καὶ ἑνι-
κῶς ἐκφέροντας ἐνίοτε τὸ πρός τι, τοῦ ἀριστοτέλους πληθυντικῶς ἀεὶ προφερομέ-
» νου. Ἔστι δὲ καὶ τὰ τοιαῦτα τῶν πρός τι. καὶ πάλιν, ἡ διάθεσις τῶν πρός τι. καὶ πάλιν,
» ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι. καὶ ἐναντίον ἑκάτερον τῶν πρός τι. καὶ ἑξῆς.
» οὐ πᾶσι δὲ τοῖς πρός τι ὑπάρχει ἐναντίον. καὶ ἐφεξῆς καθόλου τὸν λόγον, πληθυντικῶς
αὐτῶν μέμνηται, καὶ οὐδαμοῦ ἑνικῶς. κἂν γὰρ λέγῃ, οὐ μὴν τοῦτό γε ἐστὶν αὐτοῖς τὸ
πρός τι εἶναι, οὐχ ἑνικῶς λέγει τὸ πρός τι, ἀλλὰ τὸ εἶναι. ὡς εἰ ἔλεγεν, οὐ μὴν τοῦτό γε
ἐστὶ τὸ εἶναι τοῖς πρός τι. τούτους δὲ τοὺς λόγους ὁ μὲν πορφύριος ὡς ἀρεσκομένους, ἀναγρά-
φει. ὁ δὲ ἰάμβλιχος, μάχεται φησὶ τὸ τοιοῦτον καὶ πρὸς τὸν ὀρθὸν λόγον, καὶ τὴν τῶν παλαιῶν
συνήθειαν. καὶ γὰρ πληθυντικῶς καὶ ἑνικῶς αὐτῇ χρῆται. ὡς δῆλον ἀπὸ τῶν ἀρχυ-
τείων τε καὶ τῶν ἀριστοτελικῶν λέξεων. καὶ ὧν βοηθὸς καὶ οἱ ἄλλοι μιμούμενοι τοὺς
παλαιοὺς προφέρονται, ἐπίσης ἀμφοτέροις χρώμενοι τοῖς ὀνόμασι. καὶ ὁ λόγος δὲ ἀξι-
οῖ πᾶσαν κατηγορίαν, καὶ ἓν εἶναι καὶ πολλά. καὶ ἓν μέν, καθόσον ἐστὶ γένος. πολλὰ δέ, κατὰ
τὸ πλῆθος τῶν περιεχομένων ἐν αὐτῷ. καὶ τὰ πρός τι οὖν, κατὰ μὲν τὸ πλῆθος τῶν ἐχόντων τὴν
σχέσιν καὶ πρὸς ἄλληλα λεγομένων, πολλά ἐστι. κατὰ δὲ τὴν μίαν σχέσιν τὴν ἐν τοῖς πλείοσιν
ὡσαύτως ἐνυπάρχουσαν, καθ' ἓν νοεῖται. κατὰ γὰρ τοῦτο, καὶ μία αὐτῶν ἡ κατηγορία.
προστίθησι δὲ καὶ ὅτι πᾶσα σχέσις ἐν πλείοσι θεωρουμένη, ἐν μιᾷ ἰδιότητι σχετικῇ
ἀφορίζεται. εἰ δὲ ὥσπερ οὐ δυνατὸν ἑνικῶς λέγειν τὸ πρὸς ἄλληλα, οὕτως οὐδὲ τὸ πρός τι
οὐδὲν θαυμαστόν. τὰ γὰρ μετέχοντα τῆς σχέσεως λαμβάνομεν, καὶ οὐκ αὐτὴν τὴν σχέσιν.
δεῖ δὲ μήτε τῇ τῆς συνηθείας ἀνωμαλίᾳ προσέχειν τὸν νοῦν τὸν βουλόμενον κατὰ τὴν φύσιν
τῶν ὄντων διαιρεῖσθαι τὰς κατηγορίας. καὶ γὰρ πολλὰ μὲν ἑνικὰ ὄντα τῇ φύσει, πληθυν-
τικῶς λέγεται. ὡς ἀθῆναι, καὶ θῆβαι. πολλὰ δὲ πληθυντικὰ ὄντα τῇ φύσει, ἑνικῶς λέγεται.
ὡς στρατός, καὶ φυλή. καὶ αὐτὸς δὲ ὁ ἀριστοτέλης ἐν ἀρχῇ μὲν ὅταν τὰς κατηγορίας ἀπηρι-
θμεῖτο, ἑνικῶς μᾶλλον δοκεῖ λέγειν. ὡς γὰρ καὶ τὰ πρὸ αὐτοῦ. ἤτοι οὐσίαν σημαίνει, ἢ ποσόν, ἢ
ποιόν, ἢ πρός τι. καὶ πάλιν πρός τι δέ, οἷον διπλάσιον. ἥμισυ. ἐνταῦθα δέ, πληθυντι-
κῶς τὰ πρός τι λέγει. ὅτι σαφέστερον τοῦτο ἐστὶ πρὸς τὴν μάθησιν. διὰ γὰρ τῶν ἐχόντων
τὴν σχέσιν, καὶ αὐτὴ ἡ σχέσις εὐκολωτέρα φαίνεται. ταῦτα μὲν οὖν καὶ τὰ τοῦ ἰαμβλίχου.



Universitäts- und
Landesbibliothek Düsseldorf

μήποτε δὲ καὶ τὴν ἰδιότητα τῶν πρός τι ἑνικῶς θεωρεῖν δεῖ αὐτήν, ἀλλ' οὕτως ὥσπερ καὶ τὴν τῶν τριῶν καὶ ἑκάστου τῶν ἀριθμουμένων ἐν πλήθει ὑφεστώτων, μίαν ἰδιότητα. καὶ καὶ δεῖ αὐτὴν καὶ ἐπὶ ταύτης τῆς κατηγορίας, ὥσπερ ἐπὶ τῶν ἄλλων, καὶ ἑνικῶς προφέρεσθαι καὶ πληθυντικῶς, ἀλλ' οὐχ ὁμοίως. ἐκεῖ μὲν γάρ, τὸ μὲν ἕν, ἦν αὐτὸ τὸ γένος. τὰ δὲ πολλά, τὰ ἐν τῷ γένει περιεχόμενα εἴδη. ἐνταῦθα δὲ πολλά, οὐχὶ τὰ εἴδη τῶν πρός τι λεγομένων, ἀλλὰ τὰ συνιστῶντα τὴν σχέσιν, καὶ ἐν οἷς ἡ σχέσις θεωρεῖται. ἴδιον γὰρ τῆς σχέσεως μόνης, τὸ ἐν πολλοῖς ὑφεστάναι μόνως. ὅπερ οὐδεμιᾷ πρόσεστι τῶν ἄλλων κατηγοριῶν. τοσοῦτον οὖν ἐκ τῶν εἰρημένων εἰδικῶς συνακτέον, ὅτι ἔχει τινὰ πρὸς τὰς ἄλλας κατηγορίας διαφοράν, κατὰ τὸ μὴ ὁμοίως ἐκείναις ἑνικῶς καὶ πληθυντικῶς λέγεσθαι, ἐν πλήθει πάντως τὴν ἑαυτῆς ὑπόστασιν ἔχουσα. τὴν δὲ διαίρεσιν τῶν πρός τι, οἰκείως τῇ ἀλλαχοῦ περὶ αὐτοῦ γινομένην. καὶ νῦν πεποίηται, εἴτε τὸ μεῖζον καὶ βραχύτερον. καὶ πλέον καὶ ἔλαττον. καὶ διπλάσιον καὶ ἥμισυ. καὶ ὅσα ἄλλα τοιαῦτα. ταῦτα γὰρ πάντα τῶν πρός τί ἐστι. καὶ

» ἕξις δὲ καὶ διάθεσις φησί. πάντα γὰρ τὰ εἰρημένα τοῦτο ὅπερ ἐστίν, ἑτέρων λέγεται. Ὁ δὲ
» θεῖος ἰάμβλιχος, ἡ διαίρεσις φησὶ τοῦ πρός τι, εἴς τε τὰ καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τέ-
» μνει, ὧν ἐστι τὸ διπλάσιον. τὸ πολυπλάσιον. ὅλως τὸ πολύ. καὶ εἰς τὰ κατ' ἰσότητα,
» ὧν ἐστι τὸ ἴσον. τὸ ὅμοιον. τὸ ταυτόν. καὶ εἰς τὰ ἐν τῷ ποιεῖν καὶ πάσχειν. ὥσπερ τὸ θερμαντι-
» κόν, καὶ τὸ θερμαινόμενον. τὸ μέν, κατὰ δύναμιν. τὸ δέ, κατ' ἐνέργειαν. καὶ εἰς τὰ κατὰ στέρησιν δυ-
» νάμεως. ὥσπερ τὸ ἀδύνατον ὁρᾶσθαι πρὸς τὸ ἀδύνατον ἰδεῖν. τὸ δέ, κατὰ τὸ κρῖνόν τε καὶ κρι-
» νόμενον. ὥσπερ μέτρον. αἴσθησις. ἐπιστήμη. πάντα γὰρ ταῦτα, ὥσπερ κρίνοντά ἐστι πρὸς κρινόμε-
» να. τὸ δέ, κατὰ τὴν ὥσπερ ἐπὶ τὸ γένος ἀναφοράν. ὥσπερ ἡ γραμματικὴ πρός τι ἐστί, κατὰ τὴν ἀναφο-
» ρὰν τὴν ἐπὶ τὸ γένος. τουτέστι τὴν ἐπιστήμην. καὶ ἡ ἀρετὴ καὶ κακία, κατὰ τὴν ἐπὶ τὴν ἕξιν
» ἀναφορὰν πρός τι οὖσαν. ὑπὸ δὲ ταύτην φησὶ τὴν διαίρεσιν, ὑποπίπτει τὰ νῦν εἰρημέ-
» να. καὶ τὰ μὲν ἄλλα, πρόδηλα. τὴν δὲ θέσιν καὶ τὴν διάθεσιν, ἀμέσως ὑπάγειν ὑπὸ τὸ πάσχειν.
» τὴν δὲ ἕξιν, κατὰ τὸ κρίνειν. Ταῦτα δὲ τοῦ ἰαμβλίχου λέγοντος, ἄξιον ζητεῖν, κἂν ἀνά-

γωνται πάντα ὑπὸ τὰ εἰρημένα, τίς ἀνάγκη. ἢ τῆς ὑπ' αὐτοῦ, ἢ τῆς ὑπὸ τοῦ ἀριστοτέλους παραδοθείσης διαιρέσεως. ἀπαρίθμησις γάρ τις ἔοικεν εἶναι αὕτη, ἀλλ' οὐχὶ διαίρεσις. Μήποτε οὖν κατὰ τὰς κατηγορίας ἐποιήσατο τὴν διαίρεσιν ὁ ἀριστοτέλης. πρότερον μέν, κατὰ τὸ ποσόν. καὶ τούτου πρότερον, κατὰ τὸ ἀόριστον. τοιοῦτον γὰρ τὸ μεῖζον. εἶτα κατὰ τὸ ὡρισμένον. οἷον τὸ διπλάσιον. ἐφεξῆς δέ, κατὰ τὸ ποιόν. τοῦ γὰρ ποιοῦ, καὶ ἡ ἕξις καὶ ἡ διάθεσις εἰκὸς ἄν. καὶ τοῦ ἔχειν ἡ ἕξις, ὥσπερ ἡ διάθεσις τοῦ πάσχειν. ἡ δὲ αἴσθησις καὶ ἡ ἐπιστήμη, κατ' ἐνέργειαν θεωρούμεναι τοῦ ποιεῖν. ἡ δὲ θέσις, τοῦ κεῖσθαι. τὰ δὲ κατὰ στέρησιν, καθ' ἑκάστην ἂν εἴη κατηγορίαν. ἀλλὰ καὶ οὕτως παραλέλειπται τά τε ἐν τῇ οὐσίᾳ θεωρούμενα, ὥσπερ πατὴρ καὶ υἱός, καὶ τὰ ἐν τῷ ποῦ, ὥσπερ τὸ ἄνω καὶ κάτω. εἴρηται δέ, ὅτι τῶν πρός τί ἐστι. τὸ δὲ πότε, εἴτε τὸ ἀόριστον ἐστὶν ὥσπερ τὸ πάλαι, εἴτε τὸ ὡρισμένον, ὥσπερ τὸ χθές, καθ' αὐτὰ λέγεται καὶ οὐ πρός τι. μήποτε οὖν οὐδὲ ἡ οὐσία κατὰ τὸν ἑαυτῆς λόγον ἐπιδέχεται τὸ πρός τι, ἐν τῷ καθ' ἑαυτὴν ὑφεστάναι θεωρουμένη. ἀλλὰ τὸ μὲν μέγα ὄρος, κατὰ τὸ ποσόν. ὁ δὲ πατήρ, κατὰ τὸ γεννῆσαι, ἤτοι ποιῆσαι. ὥσπερ ὁ υἱὸς κατὰ τὸ γεννηθῆναι, ὅ ἐστιν

ὑπὸ τοῦ πάσχειν. ἀλλὰ ταῦτα μὲν καὶ ἐπιπλέον ζητητέον. νῦν δὲ τὴν ὑπογραφὴν σαφηνιστέον. τὸ μὲν γὰρ ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, δηλοῖ τὸ, κατὰ τὴν αὐτῶν φύσιν τὰ πρός τι πρὸς ἕτερον ἀναφέρεσθαι. οἷον, ὁ Σωκράτης, ἢ ἄνθρωπος, ἢ φιλόσοφος, ἢ σιμός, ἢ τι τοιοῦτον, καθ' αὑτὸν λέγεται, καὶ οὐκ ἀναφέρεται πρὸς ἕτερον. ἐὰν δὲ αὐτὸν πατέρα, ἢ υἱὸν, ἢ διδάσκαλον εἴπῃς, ταῦτα πρὸς ἕτερον ἀναφέρεται. ὁ γὰρ πατὴρ, υἱοῦ πατήρ. καὶ ὁ υἱὸς, πατρὸς υἱός. καὶ ὁ διδάσκαλος, μαθητοῦ διδάσκαλος. ὅσα οὖν κατὰ τὴν ἑαυτῶν φύσιν ἑτέρων εἶναι λέγεται, ταῦτα τῶν πρός τι ἐστίν. ἐπεὶ δὴ δὲ οὐ πάντα ὅσα πρὸς ἕτερον λέγεται, οὕτως λέγεται, ὡς ἑτέρῳ ἢ ἑτέρου. ἀλλὰ τὰ μὲν ἑτέρου, κατὰ γενικὴν πτῶσιν, ὡς τὸ μεῖζον, ἐλάττονος μεῖζον. καὶ τὸ ἔλαττον, μείζονος ἔλαττον. τὰ δὲ πρὸς δοτικήν, ὡς τὸ ἴσον ἴσῳ ἴσον, καὶ τὸ ὅμοιον, ὁμοίῳ ὅμοιον. τὰ δὲ καὶ πρὸς γενικὴν καὶ πρὸς δοτικήν, ὡς τὸ μεῖζον καὶ ὑπερέχον, καὶ ἑτέρου τοῦ ὑπερεχομένου ὑπερέχει. καὶ ἑτέρῳ τῷ ὑπερέχειν ὑπερέχει τοῦ ὑπερεχομένου. οἷον, ὁ δέκα, τοῦ ἑπτὰ ὑπερέχει τῷ τρία. ἄλλα δὲ, οὔτε κατὰ γενικὴν, οὔτε κατὰ δοτικήν, ἀλλὰ μετὰ τῆς πρὸς προθέσεως. ὡς τὸ μέγα, οὔτε μικροῦ μέγα, οὔτε μικρῷ μέγα, ἀλλὰ πρὸς μικρὸν λέγεται μέγα. καὶ τὸ μικρὸν, πρὸς μέγα μικρόν. καὶ ἡ μικρὰ κέγχρος, πρὸς μεγάλην κέγχρον. τὸ μέντοι τεμνόμενον κατ' ἄλλον τρόπον, ὑπὸ τοῦ τέμνοντος λέγεται τέμνεσθαι. καὶ τὸ κινούμενον, ὑπὸ τοῦ κινοῦντος. τινὰ δὲ καὶ παρά τινος λέγεται. ὡς τὸ δῶρον παρὰ τοῦ δωρουμένου. ἐπειδὴ οὖν πολυειδής ἐστιν ἡ τῶν πρός τι εἰς ἕτερον ἀναφορὰ, διὰ τοῦτο οὐκ ἠρκέσθη εἰπεῖν, ὅσα αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων εἶναι λέγεται, ἀλλὰ καὶ ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον ἔχει. τουτέστιν, εἴτε κατὰ γενικὴν πτῶσιν ἡ ἀναφορὰ, εἴτε κατὰ δοτικήν. ἢ οὐδ' ὅλως κατὰ πτῶσιν, ἀλλὰ ἄλλον τινὰ τρόπον ὡς εἴρηται. εἴτε οὖν Πλάτωνος εἴτε ἄλλου τινὸς ὁ ὅρος, οὐ κατὰ διόρθωσιν ἔχει τὴν προσθήκην τὴν τοῦ καὶ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον, ἀλλὰ μέρος ἐστὶ τοῦ ὅρου. σαφηνίζει δὲ αὐτὸ ὁ Ἀριστοτέλης διὰ τῶν παραδειγμάτων τῶν ἐπαγομένων. οἷον ὄρος μέγα λέγεται πρὸς ἕτερον εἰπών. ἐὰν μὴ κατὰ πτῶσιν ἀποδίδοσθαι, ἀλλὰ κατ' ἄλλον τρόπον. καὶ τὸ ὅμοιον δὲ, τινὶ ὅμοιον λέγεται. ὅτι καὶ κατὰ δοτικὴν πτῶσιν ἀποδίδοται τινά. ὁ μέντοι Βοηθὸς ὅλον βιβλίον γράψας περὶ τοῦ πρός τι, καὶ πρός τί πως ἔχοντος, οἴεται τὸν ὅρον ἀπὸ τοῦ Πλάτωνος ἀποδεδόσθαι, μέχρι τοῦ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. τὸ δὲ ἑξῆς ὑπὸ τοῦ Ἀριστοτέλους προσκεῖσθαι διορθώσεως ἕνεκα. ἔοικε δὲ, ὅλως μὲν ἀποδεδόσθαι ὁ ὅρος ὑπὸ τοῦ ἀποδεδωκότος. σαφηνισθῆναι δὲ, διὰ τῶν παραδειγμάτων. πρότερον μὲν οἰκείως ἀποδοθέντων τῶν ἑτέρων εἶναι λέγεται. τὸ γὰρ μεῖζον φησὶ, τινὸς μεῖζον λέγεται. καὶ τὸ διπλάσιον, ἑτέρου λέγεται. εἶτα καὶ τῷ ὁπωσοῦν ἄλλως πρὸς αὐτά. τοῦ, οἷον ὄρος μέγα λέγεται, πρὸς ἕτερον. καὶ τὸ ὅμοιον δὲ, τινὶ ὅμοιον λέγεται. ἀλλὰ καὶ τὴν περὶ τὸν ὅρον ὁ Βοηθὸς αἰτιᾶται λέγων. ἔοικε δὲ μέμφεσθαι καὶ ὁ οὕτως ἔχων λόγος. οὐ γὰρ ἐχρῆν τὸ πρός τί πως ἔχον ὁριζόμενον, ἐμπεριλαμβάνειν τὸ πῶς ἔχον πρὸς ἄλλο. τοῦτο γὰρ ἴσον ὃ καὶ προέκειτο ὁρίσασθαι. οὐκ ἐχρῆν δὲ οὐδὲ τὸ ἕτερον ἢ τὸ ἄλλο περιλαμβάνειν τῷ ὅρῳ, τὸ πρός τι ὁριζόμενον. καὶ γὰρ ταῦτα τῶν πρός τι. Ἀγνοεῖν δὲ δοκεῖ, ὅτι μοχθηρὸς ὁ ὅρος. οὐχ ὅταν διὰ τῶν ὁμογενῶν γράφηται τῶν εἰς τὸν λόγον παραλαμβανομένων. καὶ γὰρ τὴν ἀνθρώπου οὐσίας



Universitäts- und
Landesbibliothek Düsseldorf

ὄντος, ὁ ἀποδοθεὶς ὅρος, ζῷον λογικὸν, θνητὸν, διὰ οὐσιωδῶν ἀποδίδοται. ἀλλ' ὅταν ὄνομα ἀντ' ὀνόματος ἀποδοθῇ, οἷον εἴ τις ὁριζόμενος τὸν ἄνθρωπον, μέρος τι ἀποδιδοίη. ὥστε τὸ μὲν τὰ πρός τι πρὸς ἄλλο εἶναι εἰπεῖν, ἦν ἂν ὄνομα ἀντὶ ὀνόματος. τὸ δὲ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι ἀφωρίσατο αὐτά, ὑπογραφή τοῦτό ἐστι, καὶ οὐχὶ ὀνόματος μετάληψις. οὐδὲν οὖν ἄτοπον ἐκ τῶν τοῦ πρός τι μορίων τὴν ὑπογραφὴν συμπεπληρῶσθαι.

Καὶ αὐτὸς δὲ προελθὼν ἀπολογεῖται, ὅτι τῶν πρώτων γνωστῶν ἀνάγκη διὰ τῶν ὑστέρων καὶ δι' αὐτῶν τὰς ἀπογραφὰς ἀποδίδοσθαι. ἐπεὶ δὲ καὶ τὴν ἕξιν καὶ τὴν διάθεσιν τῶν πρός τι φησὶν εἶναι, ζητεῖν ἄξιον. πότερον, πρὸς τὸ ἑκτὸν καὶ ἐχόμενον λέγει ἡ ἕξις. ἡ δὲ διάθεσις, πρὸς τὸ διαθετόν. ὥσπερ ἡ αἴσθησις, πρὸς τὸ αἰσθητόν. καὶ ἡ ἐπιστήμη, πρὸς τὸ ἐπιστητόν. ἢ ἡ μὲν ἕξις, πρὸς τὸν ἔχοντα. τοῦ γὰρ ἔχοντος ἐστὶν ἡ ἕξις. ἡ δὲ διάθεσις, πρὸς τὸ διακείμενον. ὥσπερ καὶ ἡ θέσις τοῦ κειμένου. καὶ ἔοικεν οὕτως μᾶλλον ὁ Ἀριστοτέλης νῦν ἀποδέχεσθαι, καὶ οἱ τούτου ἐξηγηταί. τὸ γὰρ ἐν τῷ ἔχεσθαι ἡ ἕξις, πρὸς τὸν ἔχοντα ἀνερήθει, ἢ τὸ ἐχόμενον ὑπ' αὐτῆς. ὁ δὲ φιλόσοφος Ἀδριανός, ζητήσας διὰ τί ἡ μὲν αἴσθησις πρὸς τὸ αἰσθητὸν λέγεται, καὶ ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν, ἡ δὲ ἕξις οὐ πρὸς τὸ ἑκτὸν, ἀλλὰ πρὸς τὸν ἔχοντα, ἴσως φησὶν ἐπειδὴ ἡ αἴσθησις ἐπείγεται πρὸς τὸ αἰσθητὸν ὡς πρὸς ἐφετὸν, καὶ ἔτι μᾶλλον ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν, ἡ δὲ ἕξις καὶ ἡ διάθεσις, οὔτε τάκται πρός τι. ὥσπερ οὐδὲ ἡ τοῦ σώματος, ἀλλ' αὐτὴ καθ' αὑτήν ἐστι. καὶ ὅτι δῆλον ὡρισμένα τὰ ἐφετὰ, διὰ τοῦτο πρὸς ταῦτα λέγεται. τὸ δὲ ἑκτὸν καὶ διαθετὸν, ἀόριστά ἐστι. καὶ διὰ τοῦτο οὐ πρὸς ταῦτα, ἀλλὰ πρὸς τὸ ἔχον μᾶλλον ὡς ὡρισμένον ἡ ἕξις καὶ ἡ διάθεσις λέγεται. καὶ αὕτη μὲν ἡ διάταξις τοῖς λεγομένοις ἐν τοῖς τόποις κατακολουθεῖ. ἐν δὲ τῷ τετάρτῳ τῆς μετὰ τὰ φυσικὰ, καὶ αὐτὸς ὁ Ἀριστοτέλης, οὐδὲ ταῦτα πρὸς τὸν ἔχοντα λέγεσθαι φησὶν, ἀλλὰ πρὸς ἃ ἡ ἐνέργεια. τουτέστιν ἡ ἕξις πρὸς τὸ ἑκτὸν, καὶ ἡ διάθεσις πρὸς τὸ διαθετόν. καὶ γὰρ ὅταν μὲν ἡ ἕξις καὶ ἡ διάθεσις ὡς τῆς ψυχῆς λέγηται, κατὰ μετοχὴν ἐστὶ τὸ τοιοῦτον, ὡς ἐχούσης τῆς ψυχῆς τὴν ἕξιν καὶ τὴν διάθεσιν, ὡς περὶ τὸ σῶμα τὸ ἱμάτιον. καὶ οὐκ ἔστι τῶν πρός τι, ἀλλ' ὡς εἰώθασι λέγειν, τῶν κατ' ἔλλειψιν ὅτι μάχεται. ὅταν δὲ ἡ ἕξις ὡς μεταξὺ τοῦ ἔχοντος καὶ ἐχομένου λαμβάνηται, οὐκέτι ὡς ἐχομένη θεωρεῖται. οὐ γὰρ ἔχεται ἡ ἕξις, ἵνα μὴ ἐπ' ἄπειρον, ἀλλ' ἔστι σχέσις καὶ πρός τι τὸ τοιοῦτον. καὶ ἡ διάθεσις δὲ ὡσαύτως, καὶ ἡ θέσις. ἄλλο γάρ ἐστι τὸ κατ' ἔλλειψιν λεγόμενον πρὸς ἀναπλήρωσίν τινος, καὶ ἄλλο τὸ ἐν τῇ πρὸς ἕτερον, καὶ ἐν ἑτέρῳ, καὶ ἑτέρου πρὸς αὐτὸ σχέσει θεωρούμενον. κἂν τὸ αὐτὸ τύχῃ καὶ ποιότης καὶ πρός τι ᾖ ὥσπερ ἡ ἕξις, διακριτέον αὐτὰ, τῇ μὲν κατ' ἔλλειψιν σημασίᾳ, ὡς ποιότητα ἀφορίζοντες. τῇ δὲ πρὸς ἕτερον, καὶ ἐν ἑτέρῳ, καὶ ἑτέρου πρὸς αὐτὸ σχέσει, ὡς πρός τι. ἑτέρων δὲ λέγεσθαι τὸ πῶς, προσέθηκε καὶ οὐκ ἄλλο τι διὰ τὰ ἐναντία. ἑκάτερα γὰρ, ἔστι μὲν καὶ αὐτὰ ἑτέρων τῶν ἐναντίων. τὸ γὰρ ἐναντίον, ἐναντίου δῆλον ἐναντίον. καὶ κατὰ τοῦτο, καὶ πρός τι δῆλον. ἀλλὰ καὶ ἄλλο τί ἐστι. λευκὸν γάρ ἐστιν ἢ θερμόν. τὸ μέντοι πρός τι ὡς πρός τι, οὐδὲν ἄλλο δῆλον,

ἢ τοῦτο ὃ λέγεται. δεξιὸν γάρ, ἢ πατήρ, ἢ μεῖζον, καθὸ πρός τι, καὶ οὐδὲν ἄλλο ἐστίν. ὥσπερ ἐκεῖνο λευκὸν ἢ θερμόν. καὶ τὴν ἀνάκλισιν δὲ καὶ τὴν στάσιν καὶ τὴν καθέδραν τῶν πρός τι λέγει, διότι θέσεις τινές εἰσιν. ἕκαστον γὰρ αὐτῶν, ποιὰν θέσιν δηλοῖ. ἡ δὲ θέσις, τῶν πρός τι. ἡ γὰρ θέσις, θετοῦ θέσις. καὶ τὸ θετόν, θέσει θετόν. εἰ δὲ ἡ θέσις τῶν πρός τι, καὶ τὰ εἴδη τῆς θέσεως τῶν πρός τι. καὶ γὰρ καὶ ἡ ἀνάκλισις, ἀνακειμένου. καὶ ὁ ἀνακείμενος, ἀνακλίσει ἀνακείμενος. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Ἀλλ' ἐπιστῆσαι ἄξιον, διατί οὐ καὶ αὐτὰ καθ' αὑτὰ εἶπε τῶν πρός τι, ἀλλὰ διὰ τὴν ἐπὶ τὴν θέσιν ἀναφοράν. ὃ καὶ αἴτιον ἐγένετο τῷ Ἰαμβλίχῳ εἶδος ἕν τι τῶν πρός τι θέσθαι, κατὰ τὴν ἐπὶ τὸ γένος ἀναφοράν. Ἢ ὅτι ἐκεῖνα καθ' ἃ λέγεται, οἷον, τὸ ἀνακεῖσθαι, καὶ καθῆσθαι, ἢ ἑστάναι, οὐκ ἔστι τῶν πρός τι, ἀλλ' ὑπὸ τὸ κεῖσθαι ἀνάγεται. εἰ γὰρ ἀπὸ τῆς στάσεως τὸ ἑστάναι, καὶ ἀπὸ τῆς καθέδρας τὸ καθῆσθαι, οὐδὲν δὲ παρώνυμον τῆς αὐτῆς κατηγορίας ἐστὶν ἐκείνῳ, ἀφ' οὗ παρωνόμασται. ὥσπερ ὁ γραμματικός, οὐκ ἔστιν ἐν τῇ αὐτῇ κατηγορίᾳ, ἐν ᾗ καὶ ἡ γραμματική. ἀλλ' ὥσπερ αὕτη μέν, ὑπὸ τὴν ποιότητα. ἐκεῖνος δέ, ὑπὸ τὴν οὐσίαν. οὕτως δὲ καὶ ἡ μὲν στάσις, ὑπὸ τὸ πρός τι. τὸ δὲ ἑστάναι, ὑπὸ τὸ κεῖσθαι. διὰ τοῦτο τὸ ἑστάναι, καὶ τὰ τοιαῦτα παρακείμενα τῇ στάσει καὶ τοῖς ὁμοίοις, οὐδ' αὐτὰ ταῦτα, ἀλλὰ διὰ τὴν θέσιν ὡς ἐναργεστέραν ὑπὸ τὸ πρός τι ἀνήγαγε. τὸ γὰρ ἀνακεῖσθαι καὶ ἑστάναι, οὐκ ἔστι θέσις. διό, οὐδὲ πρός τι. ἀλλὰ κατὰ τὸ πρός τι γίνονται. τὸ γὰρ κείμενον, οὐ θέσει κεῖται, ἀλλ' ἐν θέσει. διό, οὐδὲ ἡ στάσις, οὔτε ἡ ἀνάκλισις, οὔτε ἡ καθέδρα κεῖσθαι λέγονται. ἆρα οὖν αἴτιόν ἐστι τὸ παρωνύμως λέγεσθαι, καὶ οὐ πάντως τοῦτο. καὶ γὰρ τὸ πτερὸν καὶ τὸ πτερωτόν, παρωνύμως τὸ ἕτερον ἀπὸ ἑτέρου λέγεται. καὶ ὅμως ἄμφω ἐν τῇ αὐτῇ ἐστὶ κατηγορίᾳ. ἀλλ' ἐπειδὴ ἄλλης κατηγορίας γίνεται τὸ παρονομαζόμενον. οἷον ἀπὸ τῆς ἀνακλίσεως, τὸ ἀνακείμενον. ἀκριβέστερον οὖν διαιρούμενοι τὰ παρώνυμα, οὐκ ἐροῦμεν εἶναι ὑπὸ ἄλλην κατηγορίαν, εἰ μὴ ὅτι μεθίσταται εἰς ἄλλο γένος. Διατί δὲ εἶπεν, ἔστι δὲ κατὰ τοιάδε τῶν πρός τι. Ἐπειδὴ τῶν κατηριθμημένων, τὰ μέν, καὶ ἐν τῇ ποιότητι ἦν, ὡς ἕξις. καὶ διάθεσις. καὶ αἴσθησις. καὶ ἐπιστήμη, καθόσον ποιά. ἡ δὲ θέσις, πρὸς τὸ κεῖσθαι συγγενῶς ἔχει. μνημονεύει δὲ αὐτῶν, ὡς καὶ ἐν τοῖς πρός τι ὄντων. διὰ τοῦτο καὶ τῶν πρός τι εἶπε τὰ τοιάδε. Ταῦτα μέν, τὰ περὶ τὴν λέξιν. οἱ δὲ στωϊκοὶ ἀνθ' ἑνὸς γένους, δύο κατὰ τὸν τόπον τοῦτον ἀριθμοῦνται. τὰ μέν, ἐν τοῖς πρός τι τιθέντες. τὰ δέ, ἐν τοῖς πρός τί πως ἔχουσι. καὶ τὰ μὲν πρός τι, ἀντιδιαιροῦσι τοῖς καθ' αὑτά. τὰ δὲ πρός τί πως ἔχοντα, τοῖς κατὰ διαφοράν. πρός τι μὲν λέγοντες, τὸ γλυκὺ καὶ πικρόν, καὶ τὰ τοιαῦτα. καὶ ὅσα τοιῶσδε διατίθησι. πρός τι δὲ πως ἔχοντα, οἷον δεξιόν. πατέρα. καὶ τὰ τοιαῦτα. κατὰ διαφορὰν δέ φασι, τὰ κατά τι εἶδος χαρακτηριζόμενα. ὥσπερ οὖν ἄλλη τῶν καθ' αὑτὰ ἔννοια, καὶ ἄλλη τῶν κατὰ διαφοράν, οὕτως ἄλλα μὲν τὰ πρός τι ἐστίν, ἄλλα δὲ τὰ πρός τί πως ἔχοντα. ἀντεστραμμένη δέ ἐστι τῶν συζυγιῶν ἡ ἀκολουθία. τοῖς μὲν γὰρ καθ' αὑτά, συνυπάρχει τὰ κατὰ διαφοράν. καὶ γὰρ

τὰ καθ' αὑτὰ ὄντα, διαφορὰς ἔχει τινάς, ὥσπερ τὸ λευκὸν καὶ μέλαν. οὐ μέντοι τοῖς κατὰ διαφορὰν τὰ καθ' αὑτὰ συνυπάρχει. τὸ γὰρ γλυκὺ καὶ πικρὸν, διαφορὰς μὲν ἔχει, καθ' ἃς χαρακτηρίζεται. οὐ μέντοι καθ' αὑτά ἐστι τοιαῦτα, ἀλλὰ πρός τι. τὰ δὲ πρός τί πως ἔχοντα, ὥσπερ ἀντίκειται τοῖς κατὰ διαφοράν, πάντως καὶ πρός τι ἐστίν. ὁ γὰρ δεξιὸς καὶ πατὴρ, μετὰ τοῦ πὼς ἔχειν, καὶ πρός τι ἐστί. τὸ γλυκὺ δὲ καὶ πικρὸν πρός τι ὄντα, κατὰ διαφοράν ἐστι. τὰ δὲ πρός τί πως ἔχοντα, ἐναντία τοῖς κατὰ διαφορὰν ὑπάρχει. καὶ γὰρ τὰ μὲν πρός τί πως ἔχοντα, ἀδύνατον καθ' αὑτὰ εἶναι, ἢ κατὰ διαφοράν. ἐκ γὰρ τῆς πρὸς ἕτερον σχέσεως ἤρτηται μόνης. τὰ μέντοι πρός τι, καθ' αὑτὰ μὲν οὐκ ἔστιν. οὐ γάρ ἐστιν ἀπόλυτα. κατὰ διαφορὰν δὲ πάντως ἔσται. μετὰ γάρ τινος χαρακτῆρος θεωρεῖται. εἰ δὲ δεῖ σαφέστερον μεταλαβεῖν τὰ λεγόμενα, πρός τι μὲν λέγουσιν, ὅσα κατ' οἰκεῖον χαρακτῆρα διακείμενά πως, ἀπονεύει πρὸς ἕτερον. πρός τί δέ πως ἔχοντα, ὅσα πέφυκε συμβαίνειν τινί, καὶ μὴ συμβαίνειν ἄνευ τῆς περὶ αὐτὰ μεταβολῆς καὶ ἀλλοιώσεως, μετὰ τοῦ πρὸς τὸ ἐκτὸς ἀποβλέπειν. ὥστε ὅταν μὲν κατὰ διαφοράν τι διακείμενον πρὸς ἕτερον νεύσῃ, πρός τι μόνον τοῦτο ἔσται, ὡς ἡ ἕξις καὶ ἡ ἐπιστήμη, καὶ ἡ αἴσθησις. ὅταν δὲ μὴ κατὰ τὴν ἐνοῦσαν διαφοράν, κατὰ ψιλὴν δὲ τὴν πρὸς ἕτερον σχέσιν θεωρῆται, πρός τί πως ἔχον ἔσται. ὁ γὰρ υἱὸς καὶ ὁ δεξιός, ἔξωθεν τινῶν προσδέονται πρὸς τὴν ὑπόστασιν. διὸ καὶ μηδεμιᾶς γινομένης περὶ αὐτὰ μεταβολῆς, γένοιτ' ἂν οὐκέτι πατὴρ τοῦ υἱοῦ ἀποθανόντος. ὁ δὲ δεξιός, τοῦ παρακειμένου μεταστάντος. τὸ δὲ γλυκὺ καὶ πικρὸν, οὐκ ἂν ἀλλοῖα γένοιτο, εἰ μὴ συμμεταβάλλοι καὶ ἡ περὶ αὐτὰ δύναμις. εἰ γίνωσκε καὶ μηδὲν αὐτὰ παθόντα μεταβάλλοι κατὰ τὴν τοῦ ἄλλου πρὸς αὐτὰ σχέσιν, δηλονότι ἐν τῇ σχέσει μόνῃ τὸ εἶναι ἔχει, καὶ οὐ κατά τινα διαφορὰν τὰ πρός τί πως ἔχοντα. προσθετέον δὲ τὴν ἀκριβολογίαν τῆς τοῦ ἑνὸς γένους διαιρέσεως, ἐκτέον ὅτι οὐ κατὰ τὰ πράγματά ἐστιν ἡ διαφορὰ τοῦ πρός τι, καὶ τοῦ πρός τί πως ἔχοντος, ἀλλὰ κατὰ τὴν λέξιν μόνην. ἐπ' ἴσης γὰρ ἄμφω κατά τε διαφοράν τινα ὑποῦσαν, καὶ κατὰ τὴν πρὸς ἄλλο σχέσιν ὑφίστανται. τὸ δὲ ὅπου μὲν τὴν διαφορὰν μᾶλλον προσπίπτειν, ὅπου δὲ τὴν σχέσιν μᾶλλον μὴ ποιεῖν γενικὴν διαφοράν, καὶ ὅτι μὲν τοῖς πρός τι μετὰ τοῦ οἰκείου χαρακτῆρος, καὶ ἡ σχέσις συνυφίσταται, παρὰ πάντων ὁμολογεῖται. ὅτι δὲ καὶ τοῖς πρός τί πως ἔχουσιν, ἀνάγκη χαρακτῆρα ἐνυπάρχειν τοῖς ὑποκειμένοις, ἱκανῶς ὁ Βοηθὸς ἀπέδειξε. καὶ ἄλλοθεν δὲ πρόδηλον τοῦτο. οὐ γὰρ ἔχει φύσιν αὐτὴ καθ' αὑτὴν ἡ πρὸς ἕτερον σχέσις ὑφίστασθαι, ἀλλ' ἀνάγκη αὐτὴν ἐν τῷ κατὰ διαφορὰν χαρακτῆρι ἐνυπάρχειν. ὁ δὲ χαρακτὴρ οὗτος, ὅπου μὲν ποιότης ἐστίν, ὡς τὸ λευκότερον σὺν τῇ χρόᾳ τοιοῦτον. ὅπου δὲ ποσότης, ὡς ἐν τῷ πλεῖον καὶ μακρότερον. ὅπου δὲ κίνησις, ὡς ἐν τῷ ὠκύτερον. ὅπου δὲ χρόνος, ὡς ἐν τῷ πρεσβύτερον. ὅπου δὲ τόπος, ὡς ἐν τῷ ἀνώτερον. ὁ δὲ ἀριστερὸς καὶ δεξιός, σὺν πλείοσι διαφοραῖς ὑφίσταται. καὶ γὰρ μετὰ τόπου ἐμφαίνεται, καὶ μετὰ μέρους τοιούτου. τῷ γὰρ ἡμᾶς μέρη ἔχειν τοιαῦτα, τὸ δεξιὸν καὶ ἀριστερὸν λέγεται. ἐπεὶ ὅ γε λίθος πρὸς τὸν λίθον οὐκ ἔσται δεξιός, εἰ μή τις καὶ τοῦτον πρὸς τὰ ἡμέτερα

Universitäts- und
Landesbibliothek Düsseldorf

δεξιὰ καὶ ἀριστερὰ παραβάλλοι. ὅμως δὲ τοῦ αὐτοῦ, καὶ παραδόξως τὸ πρός τι ὑπάρχει. οὐδὲ γὰρ πρὸς ἕτερον, ἀλλὰ πρὸς ἑαυτὸ λέγεται. τὸ γοῦν καθάπαξ ὄν, ἀλλὰ μὴ κατά τι μηδὲ πῶς, τοῦτο ταυτόν ἐστιν. οὕτως ἀεὶ ἡ σχέσις τοῖς χαρακτῆρσι τῆς διαφορᾶς συνυφίσταται. καὶ οὐδὲ ταῦτα ἀληθῆ, ὡς ὑπονοοῦσιν ἔνιοι, ἀλλ' ἐν τὸ συναμφότερον. ἐπεὶ δὲ ἀτόποις κἀκεῖνο ἄτοπον τὸ, σύνθετα ποιεῖν τὰ γένη ἐκ προτέρων τινῶν καὶ δευτέρων. ὡς τὸ πρός τι, ἐκ ποιοῦ καὶ πρός τι. ἀλλὰ καὶ περὶ τῆς ἀκολουθίας, οὔτε ὡς οἱ στωϊκοὶ λέγουσι, τῷ μὲν πρός τί πως ἔχοντι, τὸ πρός τι ἕπεται. τῷ δὲ πρός τι, οὐκέτι τὸ πρός τί πως ἔχον. οὐδὲ ὡς ὁ Βοηθὸς ἀμυνόμενος αὐτοὺς, τῷ μὲν πρός τι φησί, τὰ πρός τί πως ἔχοντα συνακολουθεῖ. μετὰ γὰρ τοῦ πρὸς ἕτερον πῶς ἔχειν, ταῦτα προσείληφε καὶ τὴν οἰκείαν διαφοράν. τῷ δὲ πρός τί πως ἔχοντι, οὐκέτι τὰ πρός τι συνάπτεται. οὐδὲ γὰρ ἁπλῶς ὑπάρχειν τοῖς πρός τι, πρὸς ἕτερόν τε λέγεσθαι τῇ σχέσει, καὶ τὴν διαφορὰν τὴν οἰκείαν ἔχειν, ἀλλ' ἅμα μόνον ἀντακολουθεῖν ἀλλήλοις ταῦτα λέγειν. ὥστε εἴ τι πρός τι ἐστὶ, καὶ πῶς ἔχον εἶναι. καὶ εἴ τι πῶς ἔχον, καὶ πρός τι. εἶναι γὰρ δεῖ καὶ τὴν ἐπιπλέκουσαν δύναμιν κατὰ διαφορὰν θεωρουμένην, καὶ τὴν ἐπινεύουσαν αὐτὴν καὶ σχέσιν. ὁπότερον γὰρ ἂν ἐπιλείπῃ τούτων, οὐ σώζει ἡ τοιαύτη κατηγορία. οὔτε γὰρ ἡ σχέσις ψιλὴ καθ' ἑαυτὴν ἐστὶν, οὔτε ἡ διαφορὰ χωρὶς τῆς σχέσεως ταύτην ποιεῖ τὴν κατηγορίαν. ἀλλ' οὐδὲ χωρίζειν δεῖ τήν τε διαφορὰν ἀπ' ἀλλήλων καὶ τὴν σχέσιν, ἀλλὰ κατὰ μίαν κοινὴν ἰδιότητα συνισταμένην θεωρεῖν τοῦ τε ἔχοντος τὴν σχέσιν, καὶ πρὸς ὃ πῶς ἔχει. ταῦτα μὲν οὖν ὡς πρὸς τὰς στωϊκὰς ὑποθέσεις ἱκανῶς ἀντείρηται. αὐτὸ δὲ καθ' αὑτὸ τὸ πρόβλημα ζητεῖ ὁ Ἰάμβλιχος. Πρότερον ποιεῖ τὴν διαφορὰν ἐν τοῖς πρός τι, καθόσον τὰ μὲν, μόνον τοὺς χαρακτῆρας ἐνδείκνυται, ὡς τὸ γλυκὺ, καὶ ἡδύ. τὰ δὲ, τὴν σχέσιν μόνην, ὡς ὁ πατὴρ καὶ υἱός. τὰ δὲ, ὁρίσου ἐπαμφοτερίζει τῇ τε ἐν αὐτοῖς ποιότητι, καὶ τῇ πρὸς ἕτερον σχέσει, ὡς τὸ λευκότερον. καὶ εἰ ἔστι διαφορὰ, πότερον κατὰ γένος ἐστὶν αὕτη, ἢ κατά τι ἄλλο ὑποπίπτον. ἢ ὅ ἐστιν ὡς οὔτε κατὰ γένος διενήνοχεν, οὔτε κατ' ἄλλην οὐδεμίαν διαφοράν. καὶ ζητήσας μίαν πάντων εἶναι λύσιν φησί, τὸ γνῶναι τὴν τῶν πρός τι φύσιν. ὅτι οὐ κατὰ τὰς συνιόντα, ἢ τῶν πρός τι σχέσεις συμπεπλήρωται, ἢ διὰ τοὺς πλεονασμοὺς, ἢ τὰς ἐπισώσεις, ἢ τὰς ἐλλείψεις, ἀλλὰ κατὰ αὐτὸν τὸν λόγον τῆς σχέσεως, ἡ ἰδιότης τῶν πρός τι θεωρεῖται, τὰ ὁπωσοῦν διαφέροντα εἰς κοινωνίαν συνάγουσα, καὶ κατὰ ταύτην τὴν κοινωνίαν ἀφοριζομένη. κατὰ μέντοι τὰ μετέχοντα, καὶ ἐν τῇ σχέσει θεωρούμενα, αἱ τοιαῦται θεωροῦνται παραλλαγαί. πλεοναζόντων, καὶ ἐλλειπόντων, καὶ ἰσαζόντων, καὶ ἐχόντων κατὰ τὰ πράγματα πολλὰς διαφοράς. αἵτινες οὐδὲν διαφέρουσι κατ' ἐκεῖνο τὸ ἓν τῆς σχέσεως γένος. ὃ πάντῃ κεχώρισται τῶν ἐν τοῖς συνθέτοις παραλλάξεων. πλειόνων δὲ, τῶν πρός τι λεγομένων ὑπὸ τοῦ ἀριστοτέλους. καὶ ἐνταῦθα ὡς τὸ μεῖζον καὶ διπλάσιον. καὶ ἕξις, καὶ ἀνάκλισις, καὶ τὰ λοιπά. καὶ ἄλλων δὲ ὑπ' αὐτοῦ παραδοθέντων ὧν πρότερον ἐμνημονεύσαμεν. τῶν τε καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, καὶ τῶν κατὰ δύναμιν καὶ ἀδυναμίαν, καὶ τῶν ἄλλων τοιούτων. Ἀπορεῖ ὁ Πλωτῖνος, τίς ἡ ἐν πᾶσι τούτοις κοινότης. ἆρα γενική τις, ἢ κατ' ἄλλον τρόπον, κατὰ τὴν εἰς ἓν ἀναφοράν,

ὡς τοὺς Ἡρακλείδας, οἷς ἕν κοινὸν ἀναφέρεσθαι τὸν Ἡρακλέα φαμέν. καὶ τὰ μὲν ἑφεπόμενα τῶν ὑποκειμένων καὶ ἐχόντων τὴν σχέσιν, ὧν τὰ μέν ἐστιν, ἐν οὐσίᾳ. τὰ δέ, ἐν ποσῷ. τὰ δέ, ἐν τοῖς ἄλλοις, συναλλοιωθήσεται τοῖς ἄλλοις τὰ πρός τι. εἰ δὲ μηδεμίαν ἔχει κοινωνίαν πρὸς τὰ ἔχοντα τὴν σχέσιν, ἀλλ' ἄσχετός ἐστιν ἡ τῶν πρός τι κατηγορία, οὐχ ἕξει σχέσιν ἐκείνη. οὐδὲ ἔσται πρός τι. οὐδὲ τοῦ κοινοῦ τῆς ἐκείνης. Μήποτε οὖν οὐδὲ συναλλοιοῦσθαι δεῖ τοῖς πράγμασιν, οὔτε παντάπασιν αὐτῶν ἀπέχεσθαι, ἀλλ' ἅμα ἐξῃρημένην τῶν διαφερόντων τὴν πρὸς ἄλληλα κοινωνίαν, συνέχειν κατ' αὐτὴν τὴν τῆς σχέσεως ἰδιότητα. καὶ τὸ μὲν τοῖς διαφέρουσι καὶ ἀντιδιαιρουμένοις ἓν ὂν τὸ αὐτό πανταχοῦ πάρεστι, χωριστὸν ἔσται καὶ κρεῖττον τῶν ἐναντίων. ὥστε, οὐκ ἂν ὑφ' ἑνὸς αὐτῶν κατέχοιτο, οὐδὲ ἐμποδίζοιτο, καὶ τῷ ἑτέρῳ παρεῖναι. εἰ δὲ ταῦτα ἀληθῆ λέγομεν, ὅσαι ἂν ὦσι καὶ ὁποῖαι διαφοραὶ τῶν πρός τι, πᾶσαι ὑπὸ μίαν τὴν χωριστὴν ταχθήσονται κατηγορίαν. μηδαμῶς ἐκείνης ὑπὸ τῆς διαφορᾶς τῶν μετεχόντων αὐτῆς ἐξισταμένης ἀφ' ἑαυτῆς.

Ἕτερον δ' ἀποροῦσι. πότερον, ὑπόστασις ἐστὶν ἡ σχέσις αὕτη, ἢ ὄνομα μόνον συνεκφερόμενον. ἀνάγκη γὰρ ἢ μηδεμίαν σχέσιν τῶν ὄντων εἶναι, ἢ τινὰς μὲν ὑφεστάναι, τινὰς δὲ ἀνυποστάτους ὑπάρχειν. Ἀλλ' ὅτι μὲν οὐ πᾶσαν σχέσιν ἀναιρετέον, δῆλον ἐκ τοῦ δεῖν ὥσπερ τοῦ οὐσίαν καὶ ποσότητα καὶ ποιότητα καὶ τῶν ἄλλων γενῶν ἕκαστον, οὕτως καὶ τὴν σχέσιν ἐν τοῖς οὖσι τίθεσθαι, πολλὴν χρείαν καὶ αὐτὴν παρεχομένην. οὔτε γὰρ τὰ γένη, οὔτε τὰ ὑπ' αὐτῶν ὄντα, κοινωνίαν ἕξει τινὰ πρὸς ἄλληλα, εἰ μή τις σχέσεως ἦν λόγος ἐν τοῖς οὖσιν. ἄρ' οὖν οὐδὲ τὴν κοινωνίαν ἀναιρεῖ τῶν διαφερόντων πρὸς ἄλληλα. ἄρ' οὖν δὲ καὶ τὴν ἁρμονίαν ἀναιρεῖν, οὔτε τὴν ἐν τοῖς φθόγγοις μόνην, οὐδὲ τὴν ἐν τοῖς ἀριθμοῖς, ἀλλὰ καὶ τὴν ἐν ταῖς οὐσίαις καὶ δυνάμεσι πάσαις καὶ ἐνεργείαις. ἥτις ἐγγινομένη τοῖς οὖσι, συνάγει εἰς ταὐτό. καὶ σχέσιν ἔχειν πρὸς ἄλληλα ἀπεργάζεται. ἀναιρεθήσεται δὲ καὶ τὸ σύμμετρον καὶ ἴσον, καὶ ἐπιστητὸν, καὶ ἐπιστήμη. εἰ δὲ καὶ γεωμετρία καὶ μουσικὴ περὶ σχέσεις ἔχουσιν, ἀνυπόστατοι δὲ ὦσι, καταγέλαστοι ἂν εἶεν ἐκεῖναι περὶ τὰ ἀνυπόστατα κατατριβόμεναι. πῶς δὲ καὶ ἐφετὸν πάντων ὁ θεὸς λέγεται, εἰ μηδεμία σχέσις ἐστὶ πρὸς τὸ ἐφετὸν τῶν ἐφιεμένων. ἔτι δὲ τῶν μέν, ὄντων προτέρων ἐν τοῖς οὖσι. τῶν δέ, δευτέρων εἰ μηδεμία σχέσις ἐστίν, ἀναιρεθήσεται καὶ ἡ τῶν πρώτων πρὸς τὰ δεύτερα σχέσις. καὶ ἡ τῶν δευτέρων πρὸς τὰ πρῶτα. ταύτης δὲ ἀνῃρημένης, οὐδεμία αὐτοῖς ἔτι κοινωνία παραλειφθήσεται. οὔτε γὰρ ἕνωσιν αὐτοῖς πρὸς ἄλληλα δυνατὸν ὑπάρχειν. οὐ γάρ ἐστιν ὁμοούσια ἀλλήλοις. σῶμα. καὶ ψυχή. καὶ νοῦς. καὶ θεός. οὔτε συμφυοῦσιν. οὔτε γάρ ἐστιν ὁμοφυῆ, ἀλλὰ κατὰ σχέσιν μόνην, ἀνάγκη τὴν τῶν οὕτως διαφερόντων κοινωνίαν ὑφίστασθαι. εἰ οὖν ταῦτα ἄτοπα, πολύ τι ἐστὶ τὸ τῆς σχέσεως γένος. οὐκ ἐν τοῖς αἰσθητοῖς μόνοις, ἀλλὰ καὶ ἐν τοῖς νοητοῖς. καὶ ἐν τοῖς μετὰ τὰ νοητὰ ἀσωμάτοις. τοιγαροῦν καὶ χρῶνται πάντες αὐτῷ. καὶ ἀδύνατον ὁτιοῦν χωρὶς σχέσεως διαλεχθῆναι. ἀναιροῦσι δὲ οὐκ οἶδ' ὅπως αὐτό, καὶ δυσχεραίνουσιν αὐτοῦ τὴν ὑπόστασιν, οὐκ ἐννοοῦντες ὅτι τὸ ταὐτὸν καὶ ἕτερον. ὧν οὐδὲν χωρὶς φθέγγεσθαι δυνάμεθα, ἃ τῆς τοῦ πρός τι σχέσεως ἐστὶν ἴδια. καὶ ὅτι ἡ τῶν συνθέτων σύστασις, κατὰ σύνοδον τῶν διαφερόντων γινομένη, κατὰ σχέσιν ὑφέστηκεν. Ἀλλ' ἔτι φασὶ περὶ τὸ αὐτὸ τἀναντία, ἐὰν ἐν ὑποστάσει τὰ

πρός τι λέγομεν. ὅταν γὰρ τὸ αὐτὸ πρὸς ἄλλο μεῖζον ἢ καὶ ἔλαττον, ἔσται τὸ αὐτὸ μεῖζον καὶ ἔλαττον. τοῦτο δὲ οὐδὲν ἄτοπον, εἰ πρὸς ἄλλο καὶ ἄλλο. ἐναντία γὰρ πρὸς τὸ αὐτὸ ἂν εἴη, εἰ τὸ αὐτὸ τὸ αὐτὸ καὶ ἴσον καὶ ἄνισον εἴη. Ἀλλὰ δυνατόν φασιν ἂν γίνεσθαι τὸ αὐτοῦ μεῖζον καὶ ἔλαττον, προσθήκῃ καὶ ἀφαιρέσει. Ἢ οὐδὲ τοῦτο ἄτοπον. οὐ γὰρ μένοντος τοῦ μείζονος ἐπιγίνεται τὸ ἔλαττον. ὥστε οὐ χρῆμα τὰ ἐναντία. καὶ ὅτι μὲν οὐ πᾶσαν σχέσιν ἀναιρετέον, δῆλον. εἰ δὲ ἀπολείπομεν τὴν ὁποιανοῦν σχέσιν, καὶ τὴν τοῦ πρός τι κατηγορίαν παραδεξόμεθα ὡς ἐν ὑποστάσει οὖσαν, ὑφ' ἣν πᾶσα σχέσις ὑπάγεται. Ἀλλὰ διατί φασιν Ἀριστοτέλης, ἔν τε τοῖς εὐδημίοις ἠθικοῖς καὶ ἐν τῇ μετὰ τὰ φυσικὰ τὰς κατηγορίας ἐκτιθέμενος, οὐ μνημονεύει τῶν πρός τι, εἴπερ καὶ τοῦτο τὸ γένος ὁμοίως ὑφεστάναι τοῖς ἄλλοις ἐνόμιζεν. Ἢ ὅτι ὅπου μὴ προηγουμένως περὶ τῶν γενῶν ποιεῖται τοὺς λόγους, οὐκ ἀκριβολογεῖται περὶ πάντα, ἀλλ' ἐκείνοις χρῆται μάλιστα, ὧν δεῖται πρὸς τὸ προκείμενον. ἴσως δὲ καὶ ὅτι τὰ πρός τι ἐν τοῖς ἄλλοις γένεσιν ὑφέστηκε, διὰ τοῦτο σὺν αὐτοῖς θεωρεῖται, κἂν μὴ προηγουμένης ἔτυχε μνήμης. Ἐπεὶ δὲ καὶ οὕτως περὶ τῆς κοινῆς κατὰ τὴν σχέσιν ὑποστάσεως ἀπορούντων. οὐκ εἰ ἐπινοεῖται φασὶ τὰ κατὰ σχέσιν, ἤδη καὶ ἔστιν. οὐδὲ εἰ τῶν ἀνυποστάτων κοινὴ σημασία ἐστίν, ἤδη καὶ ὑφέστηκε ταῦτα. δῆλον δὲ τοῦτο, καὶ ἐφ' ὧν ἀναφορά τις μόνη διαμένει ἐπὶ τὸ ποτὲ γεγονός. καὶ οὕτως ἐπινοεῖται ἡ σχέσις ὥστε τεθνηκότος. καίτοι μὴ ὄντος τοῦ παιδός. ἀπὸ γὰρ τῆς μνήμης τῶν ἰδόντων τὸν τεθνηκότα ἢ ἀκουσάντων περὶ αὐτοῦ, οὕτως λέγεται. εἰ δὲ τοῦ εἰρηκότος πρὸς μὴ ὄν, οὐ δύναται εἶναι ὑπόστασις σχέσεως. κἂν δοκῇ, οὐδὲ ἐπὶ τῶν ὄντων ἀρκεῖ πρὸς ὑπόστασιν ἡ ἡμετέρα δόκησις. τινῶν γὰρ δὲ ἄχρι μέν τινος διαμένει ἡ σχέσις. εἶτα παύεται, ὡς ἐπὶ τοῦ ὀρφανοῦ ἄχρι ὀκτωκαιδεκαετῶν. ἀφ' οὗ γὰρ ἂν ἄρξηται τίκτειν, οὐκέτι καλεῖται ὀρφανός. εἰ οὖν ἄνευ τῆς περὶ αὐτὴν διαφορᾶς μεταβάλλουσαν εἶχε σχέσιν πρότερον ἐκ μόνης τῆς τοῦ χρόνου παραλλαγῆς, πῶς ἂν ἔχοι τὴν κατὰ τὸ εἶναι σχέσιν. καὶ ὁ πρότερον δεξιὸς ὤν, αὐτὸς μηδὲν μεταβάλλων ἄλλου μεθισταμένου, ἀριστερός ἐστι καὶ μεταβάλλει τὴν σχέσιν. δύσκολον οὖν παραδέξασθαι τὴν τῆς σχέσεως ὑπόστασιν. δύσκολον δὲ καὶ ὑποδεῖξαι τί τὸ κοινὸν ὃ παρ' ἀλλήλων ἔχουσιν αἱ σχέσεις. οὔτε γὰρ σῶμα, οὔτε ἀσώματον εἶναι τοῦτο δυνατόν. εἰ μὲν γὰρ σῶμα ἦν, οὐκ ἂν ἐπὶ τοῖς διαφέρουσι σώμασιν ἐθεωρεῖτο. εἰ δὲ ἀσώματον, ἤτοι ἐν αὐτοῖς τοῖς ἔχουσιν, ἢ ἔξωθεν. καὶ εἰ μὲν ἄλλη καὶ ἄλλη ἐφ' ἑκάστου τῶν μετεχόντων ἡ σχέσις, ὁμώνυμος ἂν εἴη. καὶ οὐκέτι γένος ἓν τὸ πρός τι. εἰ δὲ ἡ αὐτὴ ἐπὶ πάντα χωροῦ, συνωνύμως μὲν καὶ γένος ἓν εἶναι δύναται διαφοραῖς χωριζόμενον. ἀλλὰ πῶς διαιρήσομεν αὐτό, χαλεπὸν διαγνῶναι. πῶς γὰρ τὰ μὲν τῶν πρός τι οὐδὲν πλέον ἐνδείκνυται τῶν ὑποκειμένων αὐτοῖς, ὡς τὰ ὅμοια καὶ ἴσα. τὰ δὲ, ἐνεργητικὰ μὲν, διαφόρως δὲ ταῖς ἐνεργείαις ὑφιστάμενα. τὸ μὲν γὰρ γλυκύ, τῷ οὕτως ἐνεργεῖν εἰς αἴσθησιν. τὸ δὲ τμητικόν, τῷ εἰς σῶμα. πατὴρ δὲ καὶ υἱός, εἰς ἀλλήλους. τῷ τὸν μὲν, τὴν ἀρχὴν ἐνδοῦναι. τὸν δὲ, ἀποτέλεσμα εἶναι τοῦ ἑτέρου. ὥστε τὸ ὑποστὰν τοὔνομα μόνον τῷ πατρὶ παρασχεῖν. τὸν δὲ, τὴν ὑπόστασιν. πῶς δ' ἂν εἴη ταῦτα τοῦ αὐτοῦ γένους προσεχῆ εἴδη, ὑπάλληλα ὄντα. Ἐπεὶ δὲ πότερον τὸ διπλάσιον ἑαυτῷ συνήγαγε τὸ ἥμισυ, ἢ τὸ ἥμισυ τὸ διπλάσιον,

ἢ ἅμα συνυπάρχουσιν. ἢ αἱ μὲν, οὕτως. αἱ δὲ, οὕτως ἀπογίνονται. ὥσπερ οὖν ἐπιγινομένων αἱ σχέσεις, κοὐκ ἐπιγινομένων. τούτου οὖν ἀπορουμένου, περὶ μὲν τῆς ὑποστάσεως, ῥητέον, ὅτι ὥσπερ αἱ ποιότητες κατὰ τὴν αὐτῶν φύσιν χωρὶς τῶν σωμάτων νοούμεναι ἀσώματοί εἰσιν, οὕτω καὶ αἱ σχέσεις κατὰ τὴν αὐτῶν φύσιν, χωρὶς τῶν συνθέτων νοούμεναι, ἀσώματοί εἰσι. λόγος γάρ ἐστι καθ' ἑαυτὸν ἡ σχέσις. ἰδιότητα δὲ ὁ λόγος οὗτος ἔχει, τὴν οὐσιώδη τῆς οἰκείας διαφορᾶς πρὸς ἕτερον ἀπόνευσιν. τὴν δὲ διαφορὰν ληπτέον, οὐ καθόσον τὸ πρός τι τῶν ποιῶν καὶ τῶν οὐσιῶν διενήνοχε μόνον, ἀλλὰ καθόσον πάντων τῶν ὁπωσοῦν ὄντων. κατὰ γὰρ τὴν τῆς διαφορᾶς σχετικὸν λόγον, τὸ εἶδος ἀφορίζεται τῶν πρός τι. ἃ μὲν οὖν καθ' αὑτὰ ἔχει οἰκείαν διαφορὰν, προσέοικε τοῖς ἄλλοις γένεσιν. ἃ δὲ πρὸς ἕτερα ἀπονεύει καὶ οὐκ ἐν αὑτοῖς ἵσταται, τῇ ἰδιότητι ταύτῃ διενήνοχε τῶν ἄλλων. δεῖ δὲ οὐ τὸ ἀπονεῦον, ἀλλ' αὐτὴν τὴν πρὸς ἕτερον ἀπόνευσιν τὴν σχέσιν λαβεῖν. ἢ ἐν ἑτέροις οὖσαν καὶ πρὸς ἕτερον, ἢ ἐν ἑαυτοῖς ὡς πρὸς ἕτερον. περὶ μὲν οὖν τῆς ὑποστάσεως αὐτῶν, ταῦτα ῥητέον. ἐπειδὴ δὲ ἐν ἑτέροις ἐστὶ καὶ πρὸς ἕτερα ἡ σχέσις, διὰ τοῦτο καὶ ἡ γένεσις τῶν πρός τι, καὶ ἡ φθορὰ ἐκείνων ἔχεται, πρὸς ἅ πως ἔχει. καὶ κἂν μηδὲν αὐτὰ καθ' ἑαυτὰ πάσχῃ, ἐκείνων μεταβαλλόντων μεταβάλλει, οὕτως οὖν μεταβάλλει τὰ πρός τι ὡς πέφυκε. τοῦ οὖν ἐκ δεξιᾶς καὶ τοῦ πατρὸς καὶ υἱοῦ ληψόμεθα τὴν μεταβολὴν, καθόσον εἰσὶ τοιοῦτοι. τοῦ μὲν γὰρ πατρός ἐστιν ἡ μεταβολὴ, ἡ τοῦ υἱοῦ ἀλλοίωσις, καὶ τὴν ἐκ δεξιᾶς ὡσαύτως. ὥσπερ οὖν ἐπὶ πάντων δὲ τῶν πρός τι, ὁ αὐτὸς ἐξαρκεῖ λόγος. εἰ γὰρ ἡ φύσις αὐτῶν ἐν ἑτέρῳ τέ ἐστι, καὶ πρὸς ἕτερον ἐκείνου τοῦ ἑτέρου μεταβαλλομένου, καὶ αὐτὰ συμμεταβάλλει. ταράττει δὲ τοὺς πολλοὺς, τὸ μὴ περὶ αὐτὰ τὴν μεταβολὴν ὁρᾶν. τοῦτο δὲ οὐκ ἄξιον ἀπαιτεῖν. οὐ γὰρ ἡ καθ' ἑαυτά ἐστιν, ἀλλ' ἡ πρός τι δεῖ θεωρεῖν περὶ αὐτὰ τὴν μεταβολήν. εἰ γὰρ τῶν ὄντων ἐστὶ διὰ τὸ πρὸς ἕτερον εἶναι, οὐ θαυμαστόν. εἰ ἡ ἐκείνου τοῦ ἑτέρου μεταβολὴ καὶ ἀλλοίωσις, αὐτοῦ ἐστι μεταβολὴ τοῦ πρός τι πως ἔχοντος. οὐ γὰρ ἡ ποιός, οὐδὲ ἡ ποσὸς, ἀλλ' ἡ πρός τι θεωρητέον αὐτοῦ τὴν μεταβολήν. ὥστε καὶ ἔστι καὶ φθείρεται μετὰ ἀλλοιώσεως καὶ μεταβολῆς, ἀλλὰ τῆς αὐτῷ προσηκούσης. καὶ οὐ καλῶς οἱ στωϊκοὶ νομίζουσι, πάσης τῆς κατὰ διαφορὰν ἰδιότητος ἀπηλλάχθαι τὰ πρός τι πως ἔχοντα. διότι πέφυκε συμβαίνειν καὶ ἀποσυμβαίνειν, μηδεμιᾶς μεταβολῆς περὶ αὐτὰ γινομένης. ψεῦδος γὰρ τοῦτο λέγειν. ἐπεὶ καὶ τῶν πρός τι ἐστὶ μεταβολὴ, ὡς πέφυκε ταῦτα μεταβάλλειν. εἴτε δὲ ἐν τοῖς ποιοῖς, ἢ τοῖς ἄλλοις γένεσιν ὑφέστηκε, καὶ ἰδίαν ἔχει ὑπόστασιν ἐν ἐκείνοις. εἴτε καὶ χωρίζομεν ὡς ὁ λόγος δηλοῖ, καὶ μᾶλλον ὑφέστηκε. κατ' ἀμφότερα οὖν ἔχει τὴν ὑπόστασιν τὰ πρός τι τοιαύτην, ὁποίαν εἰρήκαμεν ἐκ διαφορᾶς τε ὁμοῦ καὶ σχέσεως συνισταμένην. ὅτι μὲν οὖν ὑφέστηκε τὰ πρός τι, καὶ ἥν τινα ἔχει φύσιν, διὰ τούτων εἰρήσθω. Περὶ δὲ τοῦ τί κοινὸν ἐπὶ πάντων τῶν πρός τι τοσαύτην ἔχοντι διαφορὰν, τινὲς λύουσι λέγοντες, ὅτι εἰς μίαν ὁμοιότητα λέξεως ἀνάγεται καὶ σημασίας ἰδιότητα. καὶ διὰ τοῦτο τὸ κοινὸν ἐπ' αὐτοῖς λέγεται κατὰ τὰς ὁπωσοῦν ἐνθεωρουμένας κοινότητας τῶν σημασιῶν, ὡς τὸ ἑτέρου λέγεσθαι, ἢ ὁπωσοῦν πρὸς ἕτερον λέγεσθαι. εἴτε τῷ ἑτέρου εἶναι, ἢ ἄλλο πρὸς αὐτό πως ἔχειν.

καὶ γὰρ τὰ καθ' ὁμοιότητα σημασίας, ὑπὸ τὴν αὐτὴν ἀνάγεται κοινότητα, κἂν μὴ τὴν αὐτὴν ἔχῃ φύσιν. καὶ διὰ τοῦτο καὶ τὰς ἀποφάσεις καὶ τὰ παρονομαζόμενα, ἔστιν ὅτε ἐν τῷ αὐτῷ γένει τιθέμεθα. ἐπειδὴ περὶ τὸ αὐτό εἰσι ταῖς καταφάσεσι. καὶ γὰρ ἔστιν ἡ κατάφασις ἐν τῷ εἶναι, τούτου ἡ ἀπόφασις ἐν τῷ μὴ εἶναι. τούτου δὲ ὑπόστασις μὲν, οὐδαμῶς. ὁμοιότητι δὲ σημασίας εἰς τὴν αὐτὴν κατηγορίαν ἀνάγεται. τὴν δὲ τοιαύτην λύσιν ἀποδοκιμάζουσιν, ὡς ἐνδιδοῦσαν τῇ ἀπορίᾳ, κατὰ λέξεως ὁμοιότητα, καὶ αὐτὴν λεγούσῃ ὑφ' ἕν τι κοινὸν ἀνάγεσθαι. δεῖ δὲ καὶ γένος τι εἶναι τῶν πρός τι, ἀφ' οὗ αἱ τῶν κατ' εἴδη θεωρουμέναι πρός τι πως ἐχόντων, ἀπομερίζονται παραλλαγαί. οὐ γὰρ ἀφ' ἑνός καὶ πρὸς ἕν, ἀλλ' εἷς ὁ λόγος τῆς σχέσεως ὁ αὐτὸς ἐν πᾶσι θεωρεῖται, καθ' ὃν τὸ κοινὸν γένος ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ἀφορίζεται. δεῖ δὲ διαιρεῖσθαι, τό, τε καθ' αὑτὸ πρός τι, καὶ τὸ κατὰ συμβεβηκός, ἵνα μὴ πλανώμεθα πολλάκις εἰς ἄλλο γένος ἀπ' ἄλλου περιαγόμενοι. διότι γὰρ τὸ κατὰ συμβεβηκὸς ἀεὶ ὑπάρχει τινὶ προηγουμένῳ παρακολουθεῖ, διὰ τοῦτο ἐκεῖνο ἕξει τὸ κῦρος, ὃ ὑπάρχει προηγεῖται. τὸ δὲ συμβεβηκός, ἄλλως ἐπακολουθήσει. καὶ οὐκέτι ἂν εἴη τοιοῦτον, ὁποῖον εἶναι κατὰ φαίνεται. καθ' αὑτὰ μὲν οὖν λεγέσθω πρός τι, οἷον, τὸ ἴσον καὶ ὅμοιον. προηγουμένην γὰρ ἔχει ταῦτα τὴν σχέσιν, καὶ κατὰ ταύτην ὑφέστηκεν. ἀλλ' οὐδ' ἄλλο τι ἐν σχέσει θεωρεῖται. κατὰ συμβεβηκὸς δὲ πρός τι λέγοιτο ἂν ὁ ἄνθρωπος, διότι συμβέβηκεν αὐτῷ διπλασίῳ εἶναι. μετὰ δὲ τὰς κοινὰς ἀπορίας τε καὶ λύσεις, μὴ δὲ τὰς κατὰ μέρος ἐπαχθείσας παραλίπωμεν. τὸ γὰρ ὅμοιον φασίν, οὐδέν ἐστι παρὰ τὸ ἐν ἑκατέρῳ ποιόν. ὅπερ προϋπάρχει τῆς σχέσεως. ἡ δὲ σχέσις οὐδὲν ἂν εἴη, ἢ ἡμετέρα τις κρίσις παραβαλλόντων τὰ ἀφ' ἑαυτῶν ὄντα, καὶ λεγόντων τοῦτο καὶ τοῦτο, τὸ αὐτὸ μέγεθος ἔχει καὶ τὴν αὐτὴν ποιότητα. καὶ ἡ κάθισις δέ φασι καὶ ἡ στάσις, τί ἂν εἴη παρὰ τὸ καθῆσθαι καὶ ἑστώς. πρὸς δὲ τὰ τοιαῦτα πάντα, κοινῶς ὑπαντᾶν χρή. ὡς εἰ μὲν ψεύδεται ἡ κρίσις, καὶ διάκενός ἐστιν ἡ τούτων ἔννοια, οὐδὲν ἂν εἴη ἡ σχέσις. εἰ δὲ ἀληθεύει, καὶ τι τὸ ὅμοιον καὶ τὸ ἴσον ἐννοοῦμεν, καὶ τὴν θέσιν πιστεύειν δεῖ. καὶ ταῖς νοήσεσιν ἡμῶν, ὡς τὰ ὄντα ἀπαγγελλούσαις. καὶ τι θεᾶσθαι τῶν ὄντων τὴν σχέσιν καὶ τὸ πρός τι ἐν ἰδίᾳ ὑποστάσει. τὸ γὰρ ποιὸν καὶ ποσόν, καθ' αὑτὰ μένει τοιαῦτα. ὅμοια δὲ καὶ ἴσα οὐ λέγεται, πρὸ τοῦ τῶν καθ' αὑτὰ σχέσεων μετασχεῖν. ἄλλο γὰρ τὸ ἴσον παρὰ τὸ ποσόν, καὶ ἄλλο τὸ ὅμοιον παρὰ τὸ ποιόν. τὸ αὐτὸ τούτων διαφερόντων ἴσως ἢ ὁμοίως λεγομένων, ἔχον καὶ τὸ αὐτὸ τὴν ὑπόστασιν οὐκ ἐπιγεννηματικήν, ἀλλὰ προηγουμένην μετὰ τῶν προηγουμένων γενῶν, κατὰ ταὐτὴν καὶ τούτων εἰδοποιουμένων. κατὰ μὲν τὸ ἴσον τῶν ποσῶν, εἰς συμμετρίαν ἀναγομένων. κατὰ δὲ τὸ ὅμοιον, συμπεραινομένων τῶν ποιῶν. περὶ δὲ τὸ ταὐτὸν τῶν ὄντων ἀφοριζομένων, οὐ κατὰ τὰς ἐπισυνισταμένας σχέσεις, ἀλλὰ κατὰ τὰς προηγουμένας τῶν ὄντων, ἢ συνυφισταμένας μετ' αὐτῶν. ἐφ' ὧν δὲ λέγομεν ὅτι οὗτος πεποίηκε τοῦτον, καὶ οὗτος κρατεῖ τούτου, οὐ ψιλὰ τὰ πράγματα παραλαμβάνομεν, ἀλλὰ καὶ ἔργον τι ἐν μέσῳ θεωροῦμεν, ὃ συνάπτει τὸ ποιοῦν πρὸς τὸ ποιούμενον. καὶ τὸ κρατοῦν πρὸς τὸ κρατούμενον. ἔδει γὰρ εἶναι τῶν ποιητικῶν πρὸς τὰ ἀποτελέσματα, κοινὴν ἐπιπλοκήν. ὁ δὲ τὴν στάσιν καὶ τὴν κάθισιν

μὴ προσποιούμενος, ἔοικε στωϊκῇ τινὶ συνηθείᾳ συνεπέσθαι, οὐδὲν ἄλλο ἢ τὸ ὑποκεῖσθαι μόνον εἶναι νομίζων. τὰς δὲ περὶ αὐτὸ διαφορὰς ἀνυποστάτους ἡγούμενος, καὶ πῶς ἔχοντα αὐτὰ ἀποκαλῶν ὡς ἐν τοῖς ὑποκειμένοις ἔχοντα, αὐτὸ τοῦτο τὸ πῶς ἔχειν. εἰ γὰρ ἡ ὑπόστασις ἓν γένος τῶν ὄντων, ἔστι δὲ ἡ ἑτέρου ἐν ἑτέρῳ ἵδρυσις ἔχοντα ἰδίας ὑποστάσεις, ἔσται καὶ ἡ στάσις ἑτέρα τοῦ ἑστηκότος. καὶ ἡ κάθισις ἑτέρα τοῦ καθημένου. καὶ πρότερα τὰ μετεχόμενα τῶν μετεχόντων, καὶ τὰ καθ' ἑαυτὰ τῶν ἐν ἄλλοις. Ἀλλ' ἡ ἕξις φασὶν, ἡ μὲν κατὰ τὸ ἐχόμενον λεγομένη ὡς ἡ ὅπλων ἕξις φησὶ πλάτων, ποιὸν ἂν εἴη. ἡ δὲ κατὰ τὸ ἔχειν, ἔχειν ἂν μᾶλλον σημαίνοι. Ἀλλ' οὐ δεῖ οὕτως ἀποδιαλαμβάνοντας τὸ ἐχόμενον καὶ ἔχον ἐπινοεῖν τὰ πρός τι, ἀλλὰ τὸ μέσον τοῦ τε ἔχοντος καὶ ἐχομένου, τὸ κατὰ τὴν συναφὴν τὴν πρὸς ἄλληλα θεωρούμενον. καὶ ἐπὶ τῆς διαθέσεως δὲ, τὸ κοινὸν τοῦ τε διακειμένου καὶ ᾧ πρὸς διάκειται, θεωρεῖν χρὴ κατὰ τὴν πρὸς ἄλληλα αὐτὸ σχέσιν ὑφεστός. ἀλλ' ὁ δεξιὸς φασὶ πρὸς ἀριστερὸν, καὶ ὁ ἔμπροσθεν καὶ ὄπισθεν, ἐν τῷ κινεῖσθαι μᾶλλον ἂν λέγοιντο. ἐπεὶ ὁ μὲν, ὧδε. ὁ δὲ, ὧδε. ἡμεῖς δὲ, τὸ δεξιὸν καὶ ἀριστερὸν ἐνοήσαμεν. καὶ τὸ πρότερον δὲ καὶ ὕστερον ἡμεῖς ὡσαύτως προστεθείκαμεν. πάλιν δὲ ἐκεῖνο ῥητέον, ὡς εἰ μὲν ἀληθεύομεν κατά τινος ταῦτα λέγοντες καὶ ἐννοοῦντες, ἔστι τις ἡ σχέσις. εἰ δὲ μὴ, οὐδέν. εἰ δὲ καὶ μὴ δὲ λεγόντων ἡμῶν, μὴ δὲ νοούντων ἔχει ταῦτα τινὰ φύσιν ἀφωρισμένην, ἐναργῶς ἄτοπον τὸ τῇ ἡμετέρᾳ θέσει παραμετρεῖν αὐτά. ταῦτα μὲν οὖν καὶ πρὸς τὰς κατὰ μέρος ἀπορίας εἰρήσθω.

Αἰτιᾶται δὲ ὁ εὔδωρος, διατί ἀντιδιῃρημένου τοῦ καθ' αὑτὸ τῷ πρός τι. περὶ μὲν τοῦ πρός τι, διείλεκται ὁ ἀριστοτέλης. περὶ δὲ τοῦ καθ' αὑτὸ, οὐκέτι. Καὶ ῥητέον ὅτι ἐν τῷ καθ' αὑτὸ, αἱ ἐννέα κατηγορίαι θεωροῦνται. τὸ οὖν καθ' αὑτὸ λαβὼν κατὰ τὰς ἐννέα κατηγορίας, τὴν τοῦ πρός τι προστίθησιν, ὡς παραφυομένην ταῖς ἐννέα. καὶ γὰρ ἐν ταῖς ἐννέα θεωρεῖται. ἐπὶ μὲν τῆς οὐσίας, ἀναμφιβόλως ὡς εἴρηται. ἐπὶ δὲ τῶν ἄλλων, ἐναργῶς. ὡς ἐπὶ μὲν τοῦ ποιοῦ, ἡ ἕξις. ἐπὶ δὲ τοῦ ποσοῦ, διπλάσιον. ἐπὶ δὲ τοῦ ποῦ, ἐπέκεινα. ἐπὶ τάδε. ἐπὶ δὲ τοῦ ποτὲ, πρεσβύτερον. νεώτερον. ἐπὶ δὲ τοῦ ποιεῖν καὶ πάσχειν, καῦσις. τμῆσις. ἐφ' ὧν καὶ ἡ ἐνέργεια καὶ ἡ πεῖσις ὁμώνυμοι. ἐπὶ δὲ τοῦ κεῖσθαι, ἐπίκειται. ὑπόκειται. ἐπὶ δὲ τοῦ ἔχειν, ἀφ' ὧν τὸ ἔχειν παρωνύμως λέγεται, ὡς ὑπόδεσις. καὶ ἐπὶ τῆς οὐσίας δὲ, πατήρ. υἱός. διὰ ταῦτα δὲ, ὡς παραφυομένην ταῖς ἄλλαις κατηγορίαις, τὴν τοῦ πρός τι ἐπεισοδιώδη νομίζουσι. καίτοι προηγουμένην οὖσαν, καὶ κατὰ διαφορὰν οἰκείαν θεωρουμένην. αὕτη γὰρ κοινότης ἐστὶ διὰ πάντων διήκουσα, τῶν τε ἐναντίων, καὶ τῶν ὁπωσοῦν διαφερόντων, καὶ τῶν ὅλων γενῶν, καὶ τῶν ὑπ' αὐτὰ τεταγμένων. ἥ τις εἰ μὴ παρῆν, διεσπάσθη ἂν πάντη ἀπὸ πάντων. καὶ ἡ μὲν τις ἐστὶ σχέσις, ἐν εἴδει καὶ λόγῳ ὑφεστῶσα. ἡ δὲ μετάσχεσις αὐτῆς, ἐν τοῖς μετειληφόσιν. οὐκ ἀπὸ γενέσεως ἢ κινήσεως, ἢ ἄλλου τρόπου, ἐπεισοδιώδη τὴν εἰς τὸ εἶναι πάροδον ἔχουσα. οὔτε γὰρ ἀπόστασις, οὔτε παράθεσις, οὔτε εἰσαγωγὴ, ἢ διάσχεσις, ἢ προσθήκη, ἢ ἀφαίρεσις, ἢ θέσις μορίων, ἢ ὅλως τι τῶν τοιούτων, τὴν σχέσιν ὑφίστησιν. ἐπεὶ καὶ τὰ αὐτὰ, τῶν ἐναντίων ἐστὶ σχέσεων

διϊστικτά. καὶ τὰ ἐναντία τῶν αὐτῶν. μόνως ἄρα κυρίως αἴτιόν ἐστι τῆς σχέσεως, τὸ μετασχὸν τοῦ τῆς σχέσεως εἴδους. καὶ τὸ πρός τι, κατὰ τὴν σχέσιν μόνην ἀνιχνευέσθω. μὴ συλλαμβανόντων ἡμῶν τὰ πράγματα, ὧν ἐστὶν ἡ σχέσις. τῶν δὲ σχέσεων αἱ μὲν, συνυπάρχουσι τοῖς ὑποκειμένοις, ὅσαι συνουσιοῦνται αὐτοῖς. ὡς τὸ δεξιὸν καὶ ἀριστερὸν, ἐν τοῖς τοῦ ζώου μέρεσιν. αἱ δὲ, μενόντων τῶν ὑποκειμένων ἀπολείπουσιν αὐτὰ, ὡς τὸ κατὰ τὴν στάσιν δεξιόν. ὅταν ἀνεπιτηδείως ἔχοι πρὸς τὴν τῆς σχέσεως μετουσίαν. καὶ ἐοίκασιν αὗται συμβεβηκέναι μᾶλλον. αἱ δὲ, καὶ φθειρομένων διαμένουσιν, ὡς ἡ τῶν προτέρων ὑφεστηκότων, καὶ τοῦ ὑστέρου κατὰ χρόνον πρὸς τὸ πρότερον. διότι καθ' ἑαυτὰς ἔχουσιν ἀσωμάτους λόγους αἱ σχέσεις. ἀλλὰ τούτων μὲν, ἅλις. περὶ δὲ τὰ ἑξῆς, ἰτέον. καὶ τὰ ἴδια τῶν πρός τι πῶς ἀποδέδωκεν ὁ ἀριστοτέλης ἐπισκεπτέον. Ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι. ἕως τοῦ, οὐδὲ τῶν τοιούτων οὐδέν. Μετὰ τὸν ὁρισμὸν, ἤτοι τὴν ὑπογραφὴν τῶν πρός τι περὶ τὰ παρακολουθοῦντα, κἀνταῦθα μεταβαίνειν καιρὸς ἦν. τούτων δὲ τὰ μὲν, ἐστὶ κοινὰ καὶ πρὸς ἄλλας κατηγορίας. τὰ δὲ, ἴδια. καὶ πρότερον τὰ κοινὰ παραδίδωσιν. εἶθ' οὕτως τὰ ἴδια. διότι ἕκαστον τῶν ὄντων τοῖς τε κοινοῖς καὶ τοῖς ἰδίοις λόγοις κατ' οὐσίαν περιλαμβάνεται. πρῶτον δὲ, τὸ ἐναντίον ὑπάρχειν, τοῖς πρός τι φησίν. ὅπερ ἐν μὲν τῇ οὐσίᾳ καὶ ἐν τῷ ποσῷ ἐλέγετο μὴ ὑπάρχειν. ἐν δὲ τῷ ποιῷ, καὶ ἄλλαις κατηγορίαις πλείστην ἔχον ἐπικράτειαν δειχθήσεται. λέγει δὲ ὑπάρχειν ἐναντιότητα ἐν τοῖς πρός τι, οὐχ ὅτι τὸ πρός τι ἐναντίον ἐστὶν ἐκείνῳ πρὸς ὃ λέγεται. ἄλλη γὰρ ἀντίθεσις ἡ τῶν πρός τι, καὶ ἄλλη ἡ τῶν ἐναντίων, ὡς ἐν τῷ περὶ τῆς ἀντιθέσεως λόγῳ μαθησόμεθα. ἀλλ' ὅτι τινὰ πρός τι ὄντα, καὶ ἐναντία ἐστὶν ἀλλήλοις. οὐ κατὰ τὸν πρός τι λόγον, ἀλλ' ὅτι πρός τι οὖσιν αὐτοῖς, ὑπάρχει τὸ, καὶ ἐναντίοις εἶναι. ἐναντία δέ φησι τῶν πρός τι ὄντα, ἀρετὴν, καὶ κακίαν, καὶ ἐπιστήμην, καὶ ἄγνοιαν. οὐχ ὅτι ἡ ἀρετὴ καὶ ἡ κακία πρὸς ἄλλο τὸ εἶναι ἔχουσιν, οὔτε ἡ ἐπιστήμη καὶ ἄγνοια, ἀλλ' ὅτι κατὰ τὴν περὶ τὸ γένος ἀναφορὰν τουτέστι τὴν ἕξιν, καὶ αὐτὰ τῶν πρός τι ἂν εἴη. ἡ γὰρ ἕξις, τῶν πρός τι. πῶς οὖν προελθὼν φαίη τις ἂν τὴν ἐπιστήμην καὶ τὴν ἀρετὴν καὶ τὰ τούτοις ἀντικείμενα, ποιότητας τίθεσθαι. ἢ ὅτι τὸ αὐτὸ καθ' ἕτερον καὶ ἕτερον, ὑπὸ ἄλλην καὶ ἄλλην γίνεται κατηγορίαν. καὶ ταῦτα μὲν ὡς μὲν ποιοὺς παρεχόμενα, ποιότητες ἔσονται. καθὸ δὲ πρὸς ἕτερον σχέσιν ἐμφαίνουσι, τῶν πρός τι. οὐ πᾶσι δέ φησι τοῖς πρός τι ὑπάρχει τὰ ἐναντία. οὐ γὰρ δὴ τῷ διπλασίῳ, οὔτε τῷ τριπλασίῳ, οὔτε τῶν πολλαπλασίων οὐδενί. ἅπερ πάντα, τῶν πρός τι ἐστί. διατί οὖν ἄρα καὶ ὑπάρχει καὶ οὐχ ὑπάρχει τοῖς πρός τι ἡ ἐναντιότης, ἢ ὅτι ἄνευ μὲν ἄλλης κατηγορίας καθ' αὑτὰ, οὐδὲ ἐπινοηθῆναι δύναται πρός τι. συνυφίσταται δὲ ἀεὶ ταῖς ἄλλαις. διὰ τοῦτο οὖν ὅταν μὲν περὶ τῆς κατηγορίας ληφθείη ἐχούσης ἐναντίωσιν, ἕξει καὶ αὐτὸ τὴν ἐναντίωσιν. ἐὰν δὲ ἐν τοῖς μὴ ἔχουσιν ἐναντίωσιν θεωρῆται, οὐδὲ αὐτὰ ἕξει τὴν ἐναντίωσιν. ὅσα γὰρ ὑπάρχει τῷ ὑποκειμένῳ γένει τοῖς πρός τι, ταῦτα καὶ αὐτοῖς τοῖς πρός τι συμβέβηκεν ὡς ἐπὶ τὸ πλεῖστον. ὥστε ὅταν μὲν ἐν ἕξει, ἢ ὅλως ποιότητι συνθεωρῆται, ἐπιδέχεται ἐναντίωσιν, διότι καὶ ἡ ποιότης. ὅταν δὲ διπλασίῳ, ἢ



Universitäts- und
Landesbibliothek Düsseldorf

τριπλασίῳ, ἢ ὅλως ποσότητι, οὐκέτι. διότι, οὐδὲ ἡ ποσότης ἐναντίωσιν ἐπιδέχεται. ὁμοίως δὲ καὶ ὅταν οὐσία συνέπηται, ὡς ἐπὶ πατρὸς καὶ υἱοῦ. οὐδὲ γὰρ ἡ οὐσία ἐπιδέχεται. καὶ δῆλον ὅτι καθόσον μὲν ἐπιδέχεται ἐναντίωσιν, τοῖς ἐπιδεχομένοις γένεσι κοινωνεῖ. καθόσον δὲ μὴ ἐπιδέχεται, τοῖς μὴ ἐπιδεχομένοις. κατ᾽ ἄμφω δὲ, πάντων ὁμοῦ τοῖς γένεσιν. ὥστε οὐδὲ ἴδιόν ἐστι τῶν πρός τι, τὸ ἐπιδέχεσθαι τὰ ἐναντία. οὔτε γὰρ παντὶ, οὔτε μόνῳ ὑπάρχει ἐναντιότης. δοκεῖ δέ φησι καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι τὰ πρός τι. τὸ μὲν δοκεῖ προσθεὶς, οὐχ ὡς μὴ ἐπιδεχομένου μὲν, δοκοῦντος δὲ ἐπιδέχεσθαι, ἀλλ᾽ ὡς ἀρχαίαν δόξαν ἐξηγούμενος. τὸ δὲ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται, κατὰ τὸ ὅμοιον. μᾶλλον γὰρ ὅμοιον, τὸ μᾶλλον τοῦ αὐτοῦ εἴδους μετέχον. καὶ ἧττον τὸ ἧττον. τὸ δὲ ὅμοιον, τῶν πρός τι. ἀλλὰ τοῦτο μὲν, σαφές. πῶς δὲ ἀντὶ τοῦ εἰπεῖν, καὶ ἄνισον μᾶλλον καὶ ἧττον. εἰ γὰρ ἀνισαίτερόν ἐστιν ἄνισον, ἤδη προσειληφὸς τὸ μᾶλλον, πῶς ἀνισαίτερον μᾶλλον καὶ ἧττον εἶπεν. ἢ διὰ τὸ ἀσυνηθέστερον τῆς λέξεως, αὐτὸ τὸ μετὰ τοῦ μᾶλλον ἄνισον προήγαγε. πῶς οὖν καὶ τὸ ἧττον ἐπήγαγεν. ἢ ὅτι καὶ τὸ μᾶλλον ἀνισαίτερον καὶ ἧττον εἶναι. καὶ γὰρ μᾶλλον ὁμοιότερον καὶ ἧττον λέγομεν. ὅταν ὁμοιότερον ὂν τι ἄλλου τινὸς, τοῦτο τὸ ὁμοιότερον ἐπιτείνηται, καὶ ἀνίηται. καὶ ἄλλως δὲ ὁ Ἰάμβλιχος ἐξηγεῖται. ὅτι τὴν ἐπὶ θάτερον τοῦ ἀνίσου πρόοδον ἐνδεικνύμενος, ἀνισαίτερον αὐτὸ προσηγόρευσεν. οὐ γὰρ ἵσταται τοῦτο. οὐδὲ μέγα ποτὲ γίνεται, ἀλλ᾽ ἀεὶ μεῖζον. οὔτε μικρὸν, ἀλλ᾽ ἀεὶ ἧττον κατὰ τὴν ἐπὶ θάτερον πρόσθεσίν τε καὶ ἀφαίρεσιν. Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι οὐ κεῖται ἰσαίτερον, ἀλλὰ ἀνισαίτερον. διότι οὐχ ὁμοίως, ἢ οὐδ᾽ ὅλως. τὸ γὰρ ἴσον ἐνέστιν. οἷον ἐὰν ᾖ ἐν τῷ ἴσῳ, θεωρεῖται τὸ μᾶλλον καὶ ἧττον, ὡς ἐν τῷ ἀνίσῳ. καὶ εἴη ἂν ζητήσεως ἄξιον. διατί ἐν μὲν τῷ ὁμοίῳ καὶ ἀνομοίῳ, ὁμοίως τὸ μᾶλλον καὶ ἧττον θεωρεῖται. ἐν δὲ τῷ ἴσῳ καὶ ἀνίσῳ, οὐχ ὁμοίως. ἀλλὰ πῶς ἴδιον ὂν τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον, ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον τοῦ ποσοῦ μὴ ἐπιδεχομένου. ἢ ὅτι τὸ μὲν ποσὸν ᾗ ποσὸν, οὐκ ἐπιδέχεται. τὰ δὲ συμβεβηκότα τῷ ποσῷ οὐ καθὸ ποσὰ, ἀλλὰ καθὸ ποιὰ μᾶλλον, κατὰ τοῦτο ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. πάλιν δὲ, οὐκέτι πάντα τὰ πρός τι ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. τὰ γὰρ ἐν ὑποκειμένοις συνιστάμενα μὴ ἔχουσιν, οὐδὲ αὐτὰ ἔχει. τὸ δὲ διπλάσιον καὶ τριπλάσιον, καὶ ὅλως τὰ ὡρισμένα ποσὰ, οὐκ ἐπιδέχεται. τὰ γὰρ ἤδη διωρισμένα, οὐκ ἐπιδέχεται τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀοριστίαν. ἀλλ᾽ ἐπὶ τὰς ἀντιλήψεις πάλιν τὰς παρακολουθούσας ἐκτεθῆναι, καὶ τὰς τῶν ἀντιλήψεων διαλύσεις, ῥητέον. Ἀπορήσειε γὰρ ἄν τις, πῶς ἡ ἀρετὴ καὶ ἡ κακία τῶν πρός τι. τὸ γὰρ τινὸς εἶναι, οἷον τοῦ σπουδαίου καὶ τοῦ φαύλου, μεθέξεως ἀλλ᾽ οὐ σχέσεως δηλωτικόν. καὶ διὰ τὸ μὴ λέγειν ὅπερ καὶ πρότερον εἴρηται. ὅτι κατὰ τὴν ἐπὶ τὸ γένος ἀναφορὰν, ἔχει τὰ πρός τι ταῦτα. ἡ γὰρ ἕξις, οὐχ ὡς μετεχομένη μόνον θεωρεῖται, ἀλλὰ καὶ καθόσον ἔχει πρὸς τὸ ἐχόμενον. καὶ τὸ ἔχον, καθὸ καὶ πρός τι ἐστίν. ἔστι δὲ καὶ ἄλλως τὴν ἀρετὴν καὶ τὴν κακίαν τῶν πρός τι λέγειν. καθ᾽ ὅτι ποιότητες οὖσαι καὶ μεσότητες οἷον τινὲς, ἡ μὲν, ὡς συμμετρία. ἡ δὲ, ὡς ἀσυμμετρία. ἔχει γὰρ σχέσιν πρὸς τὰ ἄκρα, τὸ μέσον. καὶ ἥ τε

συμμετρία πρὸς τὰ σύμμετρα. καὶ ἡ ἀσυμμετρία, πρὸς τὰ ἀσύμμετρα. ὥστε καθόσον
μὲν ποιότητες, ἐναντίαι εἰσί. καθόσον δὲ μεσότητες, πρός τι. ὥστε οὐδὲ τοῦτο ἀπο-
ρεῖν χρή. πῶς ἄλλης οὔσης ἀντιθέσεως τῶν πρός τι καὶ ἄλλης τῶν ἐναντίων, οὐ συγ-
χυθήσονται αἱ ἀντιθέσεις, εἴπερ ἔσται καὶ ἐν τοῖς πρός τι ἐναντία, οὐ καθὸ πρός τι
ἐστὶν ἐναντία, ἀλλ' ὥς αὐτός φησιν ἐν τοῖς πρός τι ἐστὶν ἐναντιότης. ἔχει γὰρ ἔνια τῶν ὑπο-
κειμένων αὐτοῖς ἐναντιότητα καθὸ ποιά, ἀλλ' οὐ καθὸ πρός τι. οὔτε γὰρ ἐναντία κα-
θὸ ἐναντία πρός τί ἐστιν, οὔτε τὰ πρός τι ἐναντία. καὶ ὅλως πρός τι μέν εἰσι, καθὸ
ἕξις. ἕξις δὲ ἕξει, οὐκ ἔστιν ἐναντία. ἀλλὰ τὸ ἐναντίον ἔχουσι καθὸ τοιαίδε ἕξεις. ταυτὸν
δὲ εἰπεῖν καθὸ ποιότητες. ἐπισημαίνονται δέ, ὅτι ἡ ἐπιστήμη, καὶ εἴδησις, καὶ γνῶ-
σις. ἤτοι τῇ φωνῇ μόνῃ διαφέρουσιν, ἢ εἴπερ εἴδησιν μὲν τὴν τῶν εἰδῶν θεωρητικὴν
λέγομεν. γνῶσιν δὲ τὴν τῶν ὅλων. ἐπιστήμην δέ, τὴν ἐπαναβεβηκυῖαν ταύτας, ἔσται
οὐ κατὰ φωνὴν μόνον, ἀλλὰ καὶ πραγματική τις τούτων διαφορά. ἀλλ' οὐδὲ μία σχέ-
σις φασὶν αὖ ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεται. τὸ γὰρ πρὸς ἕτερον, ὁμοίως ἔχου-
σιν, ἢ οὐ καθὸ σχέσις, ἢ πρός τι. ἀλλὰ καθὸ τοιάδε καὶ ποιά, τὸ μᾶλλον καὶ ἧττον ἐπι-
δέχονται. Ἀλλ' οὐκ ἐν τοῖς ποιοῖς μόνοις αὐτοῖς φασὶ θεωρεῖται τὸ μᾶλλόν τε καὶ
ἧττον, ἀλλὰ καὶ ἐν τοῖς ποσοῖς. ὥσπερ ἐν τῷ ἴσῳ τε καὶ ἀνίσῳ. καὶ μείζονι καὶ μικροτέ-
ρῳ. ἢ καὶ αὗται ποσαί τινές εἰσι ποιότητες. καὶ κατὰ τὴν ποιότητα γίνεται, ἐπίτα-
σίς τε καὶ ἄνεσις. εἰ δέ τις τὸ διπλάσιον ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεσθαι νομίζει, τῇ
αὐξήσει καὶ μειώσει, τῶν ἐν τῷ αὐτῷ λόγῳ ἀριθμῶν. ὥστε τὸ ἐν τοῖς διακοσίοις καὶ ἑκα-
τὸν, μᾶλλον διπλάσιον νομίζειν τοῦ ἐν τοῖς τέτρασι καὶ δύο, ἀγνοεῖ οὗτος. ὅτι καὶ ἐν πλείο-
σι καὶ ἐν ἐλάττοσιν ἀριθμοῖς, ὁ αὐτὸς θεωρεῖται λόγος. οὔτε ἐπίτασιν, οὔτε ἄνεσιν
ἐπιδεχόμενος. ἴσον δὲ ὅτι ὁ Ἀρχύτας τούτων τῶν παρακολουθημάτων, τὸ μὲν τὰ
ἐναντία ἐπιδέχεσθαι παρῆκε, καίτοι καὶ ἐπὶ τῆς οὐσίας καὶ ἐπὶ τῆς ποιότητος μνημο-
» νεύσας αὐτοῦ. Καὶ γὰρ τὰ ποιότητι φησὶ κοινά, συναρτητέον τό, τε ἐναντιότητα
» τινὰ ἐπιδέχεσθαι καὶ στέρησιν. τὸ δὲ μᾶλλον καὶ ἧττον, προσεκαλέσατο λέγων. καὶ τὸ ποτὲ
» ἄλλο δὲ πῶς ἔχον, ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. μᾶλλον μὲν γάρ ἐστιν, ἡ μὲν μεῖ-
» ζον τινὸς καὶ μεῖον. πάλιν τῷ αὐτῷ τούτῳ, πλὴν οὐ κατὰ πάντων τῶν ἄλλως πως ἐχόν-
» των. οὐ γάρ ἐστι μᾶλλον πατέρα ἢ μὲν, οὐδὲ ἧσσον. οὐδὲ μὰν ἀδελφὸν, ἢ υἱόν. λέγω
» δὲ ταῦτα, ἐπιλογιζόμενος οὐ κατὰ τὰς διαθέσιας ἀμφοτέρων τῶν ἠθέων πῶς ἔχοντι
» εὐνοίας ποτ' ἀλλάλως τοὶ συγγενέες, καὶ τοὶ ὁμάδελφοι, ἀλλ' ἐπὶ ταύταν τὰν τᾶς φύσιος
» ὁμόνοιαν. Διὰ τί οὖν παρῆκε τὰ ἐναντία. ἢ ὅτι οὐ καθ' αὑτὸ ὑπάρχει τοῖς πρός τι, ἀλλὰ
κατὰ συμβεβηκός. διότι ἐν τοῖς ὑποκειμένοις. ηὐλαβήθη οὖν, ἵνα μή τις εἰς ταυτὸ
συγχέῃ τὰς μεσότητας, καὶ τὰ ὑποκείμενα αὐταῖς. καὶ ἤτοι ἀναιρεῖ τὰς μεσότητας
μηδὲν ἄλλο παρὰ τὰ ὑποκείμενα ἀπολιπών. ἢ τὴν ἐκείνων σύνοδον ἀποφαίνηται αὐτὰς
ὑπάρχειν. καίτοι τὸ μέσον, ἕν τι γένος ἐστὶ κοινὸν καὶ συνδετικὸν τῶν ἄκρων, ἕτερον
ἐκείνων ὑπάρχον, ἐν οἷς ἡ ἐναντίωσις θεωρεῖται, κατὰ τὸ ποιῶς δέ, ἀλλ' οὐ κατὰ σχέ-
σιν αὐτῶν θεωρουμένη. τὰ μὲν οὖν ἐναντία, διὰ τοῦτο παρῆκε. τὸ δὲ μᾶλλον καὶ ἧττον,

προσήκοντο. ὡς οἰκειοῦνται τῶν πρός τι. ἐπεὶ γάρ ἐστι τινὰ καὶ ἐν τῇ τοιαύτῃ κατηγο-
ρίᾳ ἐν τῷ μᾶλλον τὰ ἄπειρον ὑφεστηκότα. ἐν ὧ τὸ μᾶλλον, καὶ ἧττον, καὶ σφόδρα, καὶ ἠρέμα, καὶ τὰ
τοιαῦτα πρόσθεσιν ἀορίστως ἐπιτεινόμενα, καὶ ἀνιέμενα. καὶ εἰκότως, ὡς αὐτὸς τῷ πρός
τι συμφυὲς τὸ μᾶλλον καὶ ἧττον ὑποτίθεται, αὐτίκα καὶ τὸ μεῖζον καὶ ἴσον. ἐφ' ὧν
αὐτὸς τὰ τοῦ μᾶλλον καὶ ἧττον παραδείγματα προεβάλετο, ἅ τῆς τοῦ ἀπείρου φύ-
σεως ἐστίν. ἐπειδὴ δὲ ἄλλα εἴδη τοῦ πρός τι τῷ πέρατι ἐστὶ συγγενῆ, ὡρισμένην ἕξει τὴν κα-
τηγορίαν ἐκεῖνα. καὶ οὔτε ἄνεσιν, οὔτε ἐπίτασιν ἐπιδέξεται. τοιαῦτα δ' ἐστίν, ὅσα
πρὸς οὐσίαν ἔχει συγγενῶς. οἷον, πατὴρ. ἀδελφός. διότι καὶ ἡ οὐσία ὥρισται. καὶ οὐκ ἐπι-
δέχεται τὸ μᾶλλον καὶ ἧττον. οὕτως δὲ οὐδὲ τὸ ἴσον, οὐδὲ τὸ διπλάσιον. ἐπειδὴ δέ τινες ἀπο-
φέρονται πολλάκις καὶ τὰς κατὰ συμβεβηκὸς φαινομένας κοινότητας, τούτου ἕνε-
κα προσέθηκεν, ὅτι οὐ χρὴ τὰς διαθέσεις αὐτῶν ἐπισκοπεῖν, πῶς ἔχουσι πρὸς ἀλλή-
» λας εὐνοίας. αὗται γὰρ μᾶλλον κατὰ ποιότητα θεωροῦνται. δεῖ δὲ, οὐχ ὡς ποιὰ
» θεωρεῖν τὰ πρός τι, ἀλλ' ὡς αὐτός φησιν εἰς αὐτὴν τὴν τῆς φύσεως ἔννοιαν ἀποβλέπειν,
» καὶ αὐτὴν τὴν σχέσιν καθόσον ἐστὶ σχέσις, κυρίως ἐξετάζειν. ἀξιοῖ δὲ ὁ διορισμὸς οὗτος,
καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. ὅταν τὰ κοινὰ ἢ ἴδια αὐτῶν θεωρῶμεν, καθαρὰ τὰ
» γένη καταμανθάνειν, καὶ μὴ συμμεμιγμένα πρὸς τὰ ἄλλα. Πάντα δὲ, πρὸς ἀντιστρέφον-
» τα λέγεται. ἕως τοῦ, αἰσθητὸν αἰσθήσει αἰσθητόν. Μετὰ τὰ κοινὰ πρὸς ἄλλα γένη
παρακολουθήματα τῶν πρός τι, τὸ ἴδιον αὐτῶν νῦν ἀποδοῦναι προτίθεται. τοῦτο
δὲ ἐστὶ τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι, ὅταν τὰ πρὸς ὃ λέγεται, καὶ αὐτὸ πρὸς αὐτὸ
τὸ πρὸς αὐτὸ λεγόμενον, λέγηται ἀντικατηγορούμενον αὐτοῦ, ὡς ἐπὶ τῶν παρατεθέν-
των παραδειγμάτων. ὡς γὰρ ὁ δοῦλος δεσπότου δοῦλος λέγεται, οὕτω καὶ ὁ δεσπό-
της δούλου δεσπότης λέγεται. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως ἐξισάζει ἡ ἀφ' ἑκατέ-
ρου πρὸς τὸ ἕτερον κατηγορία. διὸ καὶ ἀντιστροφὴ λέγεται, ὅταν ὡς τοῦτο πρὸς ἐκεῖ-
νο, οὕτω καὶ ἐκεῖνο πρὸς τοῦτο ἀντικατηγορῆται. εἰπὼν δὲ ὅτι ὡσαύτως ἔχει καὶ ἐπὶ τῶν
ἄλλων, ἐπειδὴ τὰ ἐκτεθέντα παραδείγματα πρὸς γενικὴν ἐποιεῖτο τὴν ἀντιστρο-
φὴν ὁμοίως τῇ ἐξ ἀρχῆς κατηγορίᾳ. οὐ πάντα δὲ οὕτως, ἀλλὰ καὶ πρὸς δοτικήν τινὰ
ἀντιστρέφει. ὡς ὅταν λέγωμεν, ἡ ἐπιστήμη, ἐπιστητοῦ ἐπιστήμη. καὶ ἐπιστητὸν, οὐκέτι
ἐπιστήμης, ἀλλ' ἐπιστήμῃ ἐπιστητόν, εἰκότως προσέθηκε. πλὴν τῇ πτώσει ἐνίοτε διοί-
σει κατὰ τὴν λέξιν, διότι κατὰ μὲν τὰ πράγματα, οὐδεμία ἐστὶ τῆς σχέσεως παραλ-
λαγή. μένει γὰρ τὰ αὐτὰ, καθόσον ἔχει πως. κατὰ δὲ τὴν λέξιν μόνην, ἡ ἐναλλαγὴ
ἐστί. ἐνίοτε μὲν, ὡσαύτως ποιουμένων ἡμῶν τὴν ἀντιστροφήν, ὡς ἐπὶ δούλου, καὶ δεσπό-
του, καὶ πατρὸς, καὶ υἱοῦ. ἐνίοτε δὲ πρὸς ἄλλην πτῶσιν, ὡς ἐπὶ ἐπιστήμης εἴρηται καὶ ἐπι-
στητοῦ. ἐνίοτε δὲ οὔτε ἐκφορὰν ἐπιδέχεται πρὸς ὃ λέγεται, ἀλλὰ δεῖται καὶ τῆς προσ-
θέσεως. μέγα γὰρ πρὸς μικρὸν, ἀλλ' οὐ μικροῦ λέγεται μέγα. πολλαχῶς δὲ γι-
νομένης τῆς ἀντιστροφῆς, δεῖ τὴν ἰδιάζουσαν τοῦ προκειμένου λαβεῖν. ἔστι γὰρ καὶ
συλλογισμοῦ ἀντιστροφή, ὅταν τοῦ συμπεράσματος ἀντιστραφέντος, καὶ τῆς ἑτέρας
προτάσεως τῆς αὐτῆς μενούσης, ἡ ἑτέρα ἀντιστρέφηται πάντως. ἐὰν γὰρ ὁ ἀριστο-

Τέλης φησὶν ἐν τῷ δευτέρῳ τῶν προτέρων ἀναλυτικῶν δεδειγμένου ἢ τὸ α κατὰ τοῦ γ, διὰ μέ-
σου τοῦ β. τὸ δὲ α ληφθῇ μηδενὶ τῶν γ. ἢ μὴ παντὶ ὑπάρχον διʼ ἀντιστροφῆς. ἢ τῆς εἰς
τὸ ἐναντίον, ἢ τῆς εἰς τὸ ἀντικείμενον. καὶ ληφθῇ αὐτῆς ἡ μία πρότασις. μενούσης τῶν δύο
προτάσεων τῆς ἑτέρας ὁποιασοῦν, ἡ λοιπὴ τὴν αὐτὴν ἀντιστροφὴν ἀντιστρέφει, συμπέ-
ρασμα γινομένη. ἐὰν γὰρ ληφθῇ τὸ α κατὰ παντὸς τοῦ β, καὶ τὸ β κατὰ παντὸς τοῦ
γ, συνάγεται συμπέρασμα, τὸ α κατὰ παντὸς τοῦ γ. ἐὰν δὲ τοῦτο ἀντιστραφῇ καὶ
γένηται πρότασις λέγουσα, τὸ α κατʼ οὐδενὸς τοῦ γ, καὶ ληφθῇ ἡ τῶν ἐξ ἀρχῆς ἡ
μείζων πρότασις ἡ λέγουσα, τὸ α κατὰ παντὸς τοῦ β, συνάγεται τὸ β κατʼ οὐδε-
νός. ἢ οὐ κατὰ παντὸς τοῦ γ ἐν δευτέρῳ σχήματι. ἐὰν δὲ ἡ ἐλάττων μείνῃ πρότερον
συνάγεται ἐν τρίτῳ σχήματι μερικὸν πάντως, τὸ α οὐ κατὰ παντὸς τοῦ β. ἔστι δὲ καὶ
προτάσεως ἀντιστροφὴ κατὰ ἐνάλλαξιν τῶν ὅρων γινομένη μετὰ τοῦ συναληθεύειν
καὶ συμψεύδεσθαι. οὐδεὶς ἄνθρωπος λίθος. οὐδεὶς λίθος ἄνθρωπος. πᾶς ἄνθρω-
πος ζῶον. τὶ ζῶον ἄνθρωπος. ἔστι δὲ καὶ κατὰ τὰ πράγματα ἀντακολούθησις κατὰ τὸ
συνυπάρχειν τὰ διαφέροντα. ὡς τῷ σπουδαίῳ, τὸ θεοσεβές. καὶ ἀνάπαλιν. ἔστι
δὲ καὶ ἄλλη παρὰ ταύτας, ἡ κατὰ τὸ πρός τι. ἥτις οὐκ ἀντακολούθησιν μόνον ἔχει, ἀλλὰ
μετὰ τῆς σχέσεως τῆς πρὸς ἄλληλα τῶν ἀντικατηγορουμένων. οὐ γὰρ ταυτόν ἐστι τὸ
τόδε τοῦδε, καὶ τόδε τοῦδε. καὶ τὸ μετὰ σχέσεως ἔχειν τοῦτο. ἄλλο γὰρ τὸ εἰπεῖν ὁ σπουδαῖος
θεοσεβής, καὶ ὁ θεοσεβὴς σπουδαῖος, καὶ ἄλλο δοῦλος δεσπότου δοῦλος, καὶ ὁ δεσπότης, δού-
λου δεσπότης. τοῦτο μὲν γὰρ κατὰ σχέσιν, ἐκεῖνο δὲ κατὰ μέθεξιν. τῶν δὲ τῇ αὐτῇ πτώσει ἀντι-
στρεφόντων, τὰ μὲν, τῷ αὐτῷ πράγματι λέγεται ἐφʼ ἑκατέρου, ὡς ἴσον καὶ ὅμοιον. τὸ γὰρ
ἴσον, ἴσῳ ἴσον. καὶ τὸ ὅμοιον, ὁμοίῳ ὅμοιον. τοῦ αὐτοῦ ὄντος τοῦ τε ἔχοντος τὴν σχέσιν, καὶ τοῦ
πρὸς ὃ ἔχει. τὰ δὲ καθʼ ἑτερότητα παραλλάττει, ὡς δεσπότης, καὶ δοῦλος, καὶ διπλά-
» σιον, καὶ ἥμισυ, ὡς καὶ Ἀρχύτας δηλοῖ. Ἐπιδέχεται διαφορὰν τὰν ἀντιστροφάν. ὁμοίαν μὲν, ὡς
» τὸ ἴσον καὶ ἀδελφόν. ἀνομοίαν δὲ, ὡς τὸ μεῖζον καὶ μεῖον. ἀπὸ δὲ τῶν ἁπλῶν, γένοιτʼ ἂν καὶ
σύμπλεκτά τινα τῶν πρός τι κατὰ τὴν τῶν ἄλλων κατηγοριῶν μέθεξιν ὡς οἱ ὁμήλικες, ἀπὸ
τῆς τοῦ ποτὲ μεθέξεως. καὶ οἱ ἰσομάχοι, ἀπὸ τῆς τοῦ πάσχειν. καὶ ὁμόταχεῖς, ἀπὸ τοῦ ποι-
εῖν. ὅταν κατὰ τὴν φορὰν τῶν σωμάτων θεωρῆται τὸ τάχος, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Ἀπορήσειε δʼ ἄν τις μήποτε οὐκ ἴδιον τῶν πρός τι τὸ τῆς ἀντιστροφῆς. οὐ γὰρ μόνον
αὐτοῖς ὑπάρχει, ἀλλὰ καὶ ἄλλοις πολλοῖς. καὶ γὰρ εἴ τι καλόν ἐστι, καὶ ἀγαθὸν ὑπάρχει. καὶ
εἴ τι ἀγαθόν, καὶ καλόν. Ταύτης δὲ τῆς ἀπορίας ἀκούοντες, οἱ μὲν πρὸς τὸ παράδει-
γμα ἐνίστανται ὡς στωϊκοῖς μᾶλλον, ἀλλʼ οὐχὶ τοῖς περιπατητικοῖς ἀρέσκον. οἱ τὸ μὲν καλὸν τὸ
διʼ αὑτὸ αἱρετὸν λέγουσι. τὸ δὲ ἀγαθὸν, τὸ κατὰ φύσιν. καὶ διὰ τοῦτο εἴ τι μὲν καλόν, καὶ ἀγα-
θὸν εὐθὺς εἶναι τίθενται. οὐκ ἀνάπαλιν δέ. τὴν γὰρ ὑγείαν, ἀγαθὸν μὲν φασὶν ὡς κατὰ
φύσιν καὶ ὠφέλιμον. καλὸν δὲ οὐκέτι. ὡς οὐ διʼ αὑτὸ αἱρετὸν, ὀργάνου πλεονέκτημα
ὄν. τινὲς δὲ, ταύτην μὲν ἀποδοκιμάζουσι τὴν ἔνστασιν, ὡς οὐ πρὸς τὴν ἀπορίαν, ἀλλὰ
πρὸς τὸ παράδειγμα γινομένην. κἂν γὰρ ἐπὶ τούτου τοῦ παραδείγματος συγχωρήσῃ τις
μὴ ὑγιῶς ἔχειν τὴν ἀντακολουθίαν, ἀλλʼ ἔστιν ἄλλα πολλὰ συνυπάρχοντα. τὰ μὲν,

οὐσίαι, ὡς τὸ κέντρον τῆς σφαίρας καὶ ἡ περιφέρεια. τὰ δέ, ὡς δεύτερα καὶ πρῶτα, ὡς τῷ
ἡλίῳ συνυπάρχει τὸ φῶς. τὰ δέ, ἀχώριστα συμβεβηκότα, ὡς τῷ πυρὶ ἡ θερμότης.
καὶ οἱ ὅροι δὲ τῷ κεφαλαίῳ συνυφεστήκασι καὶ ἀντακολουθοῦσιν. οἱ δὲ ταῦτα αἰτιώμενοι,
οὐ δὲ αὐτοὶ λύουσι τὴν ἀπορίαν, ἀλλ' ἐνδεδώκασιν αὐτῇ λέγοντες, μὴ κυρίως ἴδιον εἶναι
τῶν πρός τι τὸ ἀντιστρέφειν, ὡς καὶ πᾶσι καὶ μόνοις ὑπάρχον. ἀλλὰ πᾶσι μέν, οὐκέτι δὲ
καὶ μόνοις. εἶναι γὰρ καὶ ἄλλα τὰ ἀντιστρέφοντα, ὡς ἀντακολουθοῦντα ἀλλήλοις καὶ
συνυπάρχοντα. λέγεσθαι δὲ ἐνίοτε ἄρα ἴδια κατὰ συνήθειαν τὰ πᾶσιν ὑπάρχοντα. καὶ
μὴ μόνοις ἴδια λέγειν ἀξιοῦσαν. Μήποτε οὖν ἀκριβέστερον ἀκούειν δεῖ τοῦ εἰρημέ-
νου. οὐ γὰρ εἶπεν ὅτι τὰ πρός τι συνυπάρχουσιν ἀλλήλοις, ὡς τὸ φῶς, καὶ ὁ ἥλιος, καὶ ἡ θερ-
μότης, καὶ τὸ πῦρ. οὐδὲ ὅτι τὸ ἕτερον ἐστὶν ὅπερ τὸ ἕτερον, ὡς τὸ καλὸν καὶ τὸ ἀγαθόν,
ἀλλ' ὅτι πρός τινα λέγεται, τὰ καὶ αὐτὰ πρὸς αὐτὰ λεγόμενα. τὸ μὲν γὰρ πρὸς ἕτερον ἀπο-
νεύειν καὶ πρὸς ἕτερον λέγεσθαι, τὸ εἶδός ἐστιν αὐτὸ τοῦ πρός τι. τὸ δὲ καὶ ἐκεῖνο πρὸς ὃ
λέγεται ὁμοίως λέγεσθαι, πρὸς τὸ πρὸς αὐτὸ λεγόμενον, τοῦτο ἴδιον τῶν πρός τι παρακο-
λούθημα. ὅλως γὰρ τὰ ἅμα τὰ συνυπάρχοντα, οὐ δὲ λέγεται πρὸς ἄλληλα. τὸ γὰρ
φῶς καὶ εἰ τοῦ ἡλίου ἐστίν, οὐ λέγεται πρὸς τὸν ἥλιον. ἄλλο γάρ τινος εἶναι ἢ γέννημα, ἢ ἐνέργειαν
ἢ πάθος, ἢ κτῆμα. καὶ ἄλλο τὸ πρός τι εἶναι καὶ λέγεσθαι. ἐκεῖνα μὲν γὰρ καὶ ἄλλου ἦ, ἀλλ' ἔχει
φύσιν ἰδίαν. τὸ δὲ πρός τι, ἐν τῇ πρὸς ἕτερον ἀπονεύσει οὐσίωται καὶ ἐξ ἀλλήλων ἤρ-
τηται, ταῦτα ὁμοίως καὶ οὐ τὸ ἕτερον ἐκ τοῦ ἑτέρου, ὡς ἐπὶ τῶν πρώτων καὶ δευτέρων.
διὰ τοῦτο γὰρ καὶ πρὸς ἀντιστρέφοντα λέγεται, ὅτι διὰ τὸ ἐξ ἀλλήλων τε καὶ ἐν ἀλλήλοις ὑφε-
στηκέναι. ὥσπερ ἐστίν, οὕτω καὶ λέγεται. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς οὐκ ἐν τῷ λέγεσθαι μό-
νως συμβαίνει ἡ ἀντιστροφὴ τῶν πρός τι. τοῦτο μὲν γάρ, λέξεών τινα κοινότητα καὶ
συνήθειαν ἰδίαν ἐπίστησι. τὸ μέντοι ἀπὸ τῆς κοινῆς ὑπάρχειν τὴν σχέσιν τοῦτο εἰσάγει τὴν
κατὰ τὰ πρός τι κατηγορίαν. καὶ ἀρχύτας δὲ τὴν ἀντιστροφὴν ἀποδίδωσι τῶν πρός τι,
» λέγων. Ἔτι δὲ ἔχοντι ταὶ ἀντιστροφαὶ ὁμοίαν μέν, οἷον ὡς τὸ ἴσον καὶ ἀδελφόν. ἀνομοίαν
» δέ, ὡς τὸ μεῖζον καὶ μεῖον. ἀποδίδωσι δὲ αὐτοῖς καὶ τὸ ἀντίστροφον, οὕτω λέγων περὶ τῶν
» εἰδῶν τοῦ πρός τι. Τὸ μὲν γάρ τι αὐτῶν, οὐκ ἔστιν ἀντίστροφον. οἷον ἐπιστάμα καὶ αἴσθασις.
» ἐπιστάμα μὲν γὰρ λέγεται, τῶ ἐπιστατῶ. καὶ αἴσθασις, τῶ αἰσθατῶ. τὸ δὲ ἐπιστατὸν, οὐκέτι
» λέγεται τᾶς ἐπιστάμας. οὐδὲ αἰσθατὸν τᾶς αἰσθήσιος. τὸ δὲ αἴτιον, ὅτι τὸ μὲν ἐπι-
» στατὸν καὶ αἰσθατὸν καὶ ἄνευ τᾶς αἰσθήσιος καὶ ἐπιστήμας δύναται ἦμεν. ἃ δὲ ἐπιστήμα καὶ
» αἴσθασις, οὐ δύναται ἦμεν ἄνευ τοῦ ἐπιστατοῦ καὶ ἄνευ τοῦ αἰσθατοῦ. ὁ δὲ αὐτὸς κατὰ τὸ
» εἶναι μᾶλλον πρὸς ἄλληλα καὶ μετ' ἀλλήλων χαρακτηρίζει τὰ πρός τι λέγων. τοῦ δὲ πρὸς
» ἕτερόν πως ἔχοντος ἴδιον, τό, τε συνυπάρχειν ἅμα ἀλλήλοις, καὶ ἀλλάλων δὲ αἴτια ἦμεν.
διὰ γὰρ τὴν κατ' αἰτίαν καὶ τὴν κατ' οὐσίαν συνύπαρξιν, συνέπεται καὶ ἡ τοῦ λέγεσθαι. ὥσπερ
ἐστίν, οὕτω καὶ λέγεται. καὶ διότι ἐστὶ λέγεται. ἀλλ' οὐχ ὅτι λέγεται ἐστί. καὶ καθόσον μὲν ἐστὶ τοιοῦ-
τον τὸ ἴδιον τοῦ γένους εἰσάγει. καθόσον δὲ λέγεται μόνον, οὐκ ἔχει παραδεῖξαι τίς τὴν κατὰ τὸ
γένος αὐτοῦ διάκρισιν. ὥστε καὶ ἡ κατὰ τὸ λέγεσθαι ἀντιστροφή, τῆς κατὰ τὸ εἶναι συνυπάρ-
ξεως ἤρτηται. πῶς δὲ συνυπάρχει ἀλλήλοις καὶ ἅμα τῇ φύσει ἐστί. καίτοι δοκούντων

πτῶν καὶ τὰ αἴτια προηγεῖσθαι ὡς ἡ ἐνέργεια προηγεῖται τοῦ πάθους, καὶ ὁ πατὴρ τοῦ
υἱέος, τότε μαθησόμεθα, ὅταν τῷ ἀριστοτέλει συνακολουθῶμεν. τὰ πρός τι ἅμα
„ τῇ φύσει εἶναι λέγοντι. Οὐ μὴν δὲ ἐνίοτε οὐ δόξειεν ἀντιστρέφειν, ἕως τοῦ, φανερὸν
„ ὅτι πάντα τὰ πρός τι πρὸς ἀντιστρέφοντα ῥηθήσεται. Εἰπὼν πάντα τὰ πρός τι πρὸς ἀν-
τιστρέφοντα λέγεσθαι, ἐπειδὴ τινὰ δοκεῖ μὴ ἀντιστρέφειν, ὡς τὸ πτερὸν ὄρνιθος λεγόμενον,
οὐκ ἀντιστρέφει πρὸς τὸν ὄρνιθα. οὐ γὰρ λέγομεν ὁ ὄρνις πτεροῦ ὄρνις, ἢ πτερωτοῦ ὄρνις ἐστίν.
ἔστι γὰρ καὶ ἄλλα πτερωτά, ἃ οὐκ εἰσὶν ὄρνιθες. τῶν γὰρ πτερωτῶν, τὰ μὲν ἐστὶ δερμόπτερα. τὰ
δὲ, κολεόπτερα. τὰ δὲ, σχιζόπτερα. ὧν, τὰ σχιζόπτερα μόνα ὄρνιθές εἰσι. βούλεται ἐν του-
τοις, ἅμα μὲν τὴν αἰτίαν εἰπεῖν, τοῦ τινὰ δοκεῖν μὴ ἀντιστρέφειν, ἔτι παντὸς τοῦ ἀντιστρέφοντος.
ἅμα δὲ τοὺς τρόπους παραδοῦναι τῆς ἀποδόσεως. ὧν, οἱ μὲν ὀρθῶς γινόμενοι, σώζουσι τὴν
ἀντιστροφήν. οἱ δὲ μὴ ὀρθῶς, οὐκέτι. καὶ τὸ μὲν αἴτιον τοῦ ποτὲ δοκεῖν μὴ ἀντιστρέφειν, τὸ
μὴ οἰκείως πρὸς ὃ λέγεται ἀποδίδοσθαι. τρόποι δὲ τῆς μὲν ὀρθῆς ἀποδόσεως, τὸ πρὸς ὃ
λέγεται κατὰ φύσιν, πρὸς τοῦτο ποιεῖσθαι τὴν ἀπόδοσιν, καὶ τὸ ἐξισάζειν. τὰ γὰρ τοιαῦτα,
ἀκολουθεῖ τε ἀλλήλοις καὶ ἀντιστρέφει. τῆς δὲ οὐκ ὀρθῆς ἀποδόσεως τρόποι, ἐὰν μὴ πρὸς
ὃ λέγεται κατὰ φύσιν, πρὸς τοῦτο ποιῆται τὴν ἀπόδοσιν. καὶ ὅταν ὑπερβάλλῃ ἢ ἐλλείπῃ,
ἀλλὰ μὴ ἐξισάζῃ τὰ ἀποδιδόμενα. παράδειγμα δὲ ἦν, τοῦ μὲν ὀρθοῦ τρόπου τῆς ἀπο-
δόσεως, δοῦλος πρὸς δεσπότην. καὶ γὰρ ἐξισάζει ταῦτα, καὶ καθ' αὐτὰ ἀποδίδονται. ὅ τε
γὰρ δοῦλος, δεσπότου ἐστί. καὶ ὁ δεσπότης, δούλου. καὶ διὰ τοῦτο καὶ ἀντικατηγορεῖται
ὡσαύτως. τῆς δὲ μὴ ὀρθῆς ἀποδόσεως παράδειγμα, τὸ πτερὸν φησὶν ἐὰν ἀποδοθῇ ὄρνι-
θος, οὔτε γὰρ ὁ ὄρνις πτερωτή, ἀλλὰ καὶ ἄλλα ὡς ἡ νυκτερὶς καὶ ἕτερα, μόνη ἐστίν. οὔτε
ἐξισάζει. πολλὰ γὰρ καὶ ἄλλα ὡς εἴρηται, πτερωτά ἐστι, καὶ διὰ τοῦτο οὐκ ἀντιστρέφει. οὐ
γὰρ λέγομεν ὁ ὄρνις πτεροῦ ὄρνις, ἢ πτερωτοῦ ὄρνις, διὰ τὸ ἐξ ἀρχῆς μὴ ὀρθῶς ἀποδεδό-
σθαι, τὸ πτερὸν ὄρνιθος. ἐπὶ πλέον γὰρ λέγεται τὸ πτερὸν τοῦ ὄρνιθος. διότι πτερωτὰ μὲν καὶ
ἄλλα ἐστί. μόνα δὲ τὰ σχιζόπτερα ὄρνιθες. ὑπερβάλλον οὖν τὸ πτερόν, εἰκότως οὐκ ἀν-
τιστρέφει. αἴτιον δὲ τὸ τὴν ἀρχὴν μὴ οἰκείως ἀποδοθῆναι, τὸ πτερὸν ὄρνιθος. διὰ τοῦτο φησὶν
ἐνίοτε, οὐ δόξει ἀντιστρέφειν, καλῶς τὸ οὐ δόξει εἰπών. ἐπεὶ διὰ τὴν ἡμετέραν πλημμέλειαν τῶν
ὀνομάτων τὴν ἀπόδοσιν συμβαίνει, τὸ μὴ δοκεῖν ἀντιστρέφειν. πῶς οὖν ἔχειν τὴν ἀπόδοσιν
γενέσθαι βουλόμενος εἰπεῖν. ἐπεὶ μὴ εὑρίσκεται τῷ ἢ τῷ προτέρῳ πτερῷ ἐξισάζον ὄνομα
κείμενον, ὀνοματοποιεῖν ἀναγκάζει τὸ πτερόν, πτερωτοῦ λέγων δεῖν ἀποδίδοναι. ἐξι-
σαζόντων γὰρ τούτων, ἀκόλουθος ἡ ἀντιστροφὴ γίνεται. τὸ πτερὸν πτερωτοῦ, πτερῷ πτερωτὸν λεγόντων
ἡμῶν. ἐν ᾧ καὶ μέθοδον παραδέδωκε, πῶς δεῖ λαμβάνειν τὰ ἐξισάζοντα καὶ ἀντακο-
λουθοῦντα. ὅτι ἀπὸ τῶν πρώτων καὶ τῇ συνηθείᾳ ἐγνωσμένων δεῖ, καὶ τοῖς πρὸς αὐτὰ λεγο-
μένοις τίθεσθαι τὰ ὀνόματα, ὡς ἀπὸ τοῦ πτεροῦ τὸ πτερωτόν, καὶ τοῦ πηδαλίου τὸ πηδαλιω-
τόν. οὕτως γὰρ οὔτε ὑπερβάλλον, οὔτε ἐλλεῖπον, ἀλλὰ συναπαρτίζον τεθήσεται τὸ τι-
θέμενον. ἐπισημήνασθαι δὲ χρὴ τῷ, οὐ γὰρ ᾗ ὄρνις, ταύτῃ τὸ πτερὸν αὐτῆς λέγεται. ὡς γὰρ ὀφεί-
λοντος τοῦ ᾗ, οὐ μόνον ἐν τῇ οὐσίᾳ κατηγορεῖσθαι, ἀλλὰ καὶ ἐξισάζειν οὕτως εἶπεν. εἰ δὲ
τοῦτο οὕτως ἔχει, οὐκέτι τὰ γένη τῶν εἰδῶν ἢ αὐτὰ κατηγορεῖται. οὐ γὰρ ἐπίσης

κατ' ἄλλων λέγεται, ἀλλ' οὐδὲ ἴσον ἔσται τῷ καθ' αὑτὸ ἢ ἄλλο. τὸ μὲν γὰρ καθ' αὑτό, ἐπὶ τῶν κατ' οὐσίαν λέγεται. τὸ δὲ ᾗ αὐτό, ἐπὶ τῶν ἀφοριζόντων. ἀλλ' εἰ μὴ ἔστιν ὄρνις χωρὶς πτεροῦ, διὰ τί μὴ ἐκληθήσεται ἡ ὄρνις πτερωτὴ ὄρνις. ἐπὶ μὲν γὰρ τοῦ πλοίου, ὀρθῶς εἴρηται. τὸ οὐ γὰρ ᾗ πλοῖον ταύτῃ αὐτοῦ, τὸ πηδάλιον λέγεται. διότι δὲ τινὰ πλοῖα οὐκ ἔχοντα πηδάλιον, ὡς τὰ μικρὰ τὰ κώπαις ἅμα καὶ ἐρεττόμενα καὶ ἰθυνόμενα. καί τινα τῶν ἐν τοῖς ποταμοῖς πορθμείων. ὧν τὰ μὲν, κοντοῖς ὠθεῖται. τὰ δὲ, σχοίνοις διέλκεται. ὀρθῶς οὖν οὐχ ᾗ πλοῖον, ταύτῃ αὐτοῦ τὸ πηδάλιον λέγεται. ἐπὶ δὲ τοῦ ὄρνιθος, οὐκέτι. πᾶς γὰρ ὄρνις, ἔχει πτερά. ὥστε οὐ ταύτῃ λέγεται τὸ οὐχ ᾗ ὄρνις, ἀλλ' ὅτι μὴ ἀφορίζει, διὰ τοῦτο ἀληθὲς εἶναι εἰπεῖν τὸ οὐχ ᾗ ὄρνις. ἔχει γὰρ καὶ ἄλλα πτερά. πρὸς δὲ τὸ πτερωτὸν ἀφορίζει τὸ πτερόν. καὶ διὰ τοῦτο οὕτως ἔχειν ἀποδίδοναι. ἐνίοτε δέ φησι καὶ ὀνοματοποιεῖν ἴσως ἀναγκαῖον. οὐχ ὅτι καινοτομεῖν δεῖ τῶν κειμένων ὀνομάτων τὴν συνήθειαν. δηλοῖ δὲ τὴν εὐλάβειαν αὐτοῦ τὸ ἐνίοτε, καὶ τὸ ἴσως, καὶ τὸ ἀναγκαῖον, ἀλλ' ὅτι ἡνίκα μὴ ᾖ κείμενον ὄνομα τῶν ἀντιστρεφόντων, τότε δεῖ θέσθαι ὀνόματα, πρὸς ὃ οἰκείως ἂν ἀποδοθείη ἡ ἀντιστροφή, οὐκ εἰς χρῆσιν ἁπλῶς τὸ ὀνόματα τιθέντας, ἀλλ' εἰς ἔνδειξιν τοῦ κατὰ τὰ πράγματα ἀντιστρέφοντος. μεταβαίνει δὲ ἑξῆς ἐπὶ τὸ τοῦ πλοίου καὶ πηδαλίου παράδειγμα, ἐφ' οὗ ἀνάγκη πάλιν οὐκέτι τὸ ἔχον μὴ πλεονάζειν, ὡς τὸ πτερὸν τοῦ ὄρνιθος ἐπλεόναζεν, ἀλλὰ τὸ ἔχον. ἐπὶ πλέον γὰρ τὸ πλοῖον ἐστὶ τοῦ πηδαλίου, ὥσπερ ἐκεῖ ἐπὶ πλέον τὸ πτερὸν τοῦ ὄρνιθος. ὀρθῶς οὖν εἶπεν ὅτι οὐχ ᾗ πλοῖον ταύτῃ αὐτοῦ τὸ πηδάλιον λέγεται. καθόσον οὐκ οὐσιωδῶς ὑπάρχει, καὶ καθόσον οὐκ ἀφορίζεται. τὸ μέντοι, οὐδὲ ᾗ πηδάλιον πλοίου ψεῦδος. ἀδύνατον γὰρ εἶναι πηδάλιον ὃ μὴ πλοίου ἐστίν. εἰ οὖν ἐπὶ πλέον τὸ πλοῖον τοῦ πηδαλίου, εἰκότως εἴρηται μὴ ἀντιστρέφειν. εἰ δὲ τὸ πηδαλιωτὸν ληφθῇ, οἰκεία τε γέγονεν ἡ λῆψις. ᾗ τε γὰρ πηδάλιον, πηδαλιωτοῦ. καὶ ᾗ πηδαλιωτόν, πηδαλίῳ. τοιοῦτον καὶ ἀφορίζεται πρὸς ἄλληλα. καὶ διὰ τοῦτο εἰκότως ἀντιστρέφει. τρίτον δὲ παράδειγμα τίθησι, ζῷον καὶ κεφαλήν. καὶ ἐπὶ τούτου δὲ ὁμοίως, ὡς ἐπὶ τοῦ πλοίου, καὶ τοῦ πηδαλίου, πλεονεκτεῖ τὸ ζῷον τῆς κεφαλῆς. πολλὰ γὰρ ζῷα, κεφαλὴν οὐκ ἔχει. ὡς τῶν ἐνθαλαττίων πνεύμονες, καὶ λοπάδες, καὶ ὄστρεα πάντα. καὶ καρκίνοι δέ. πάλιν οὖν τὸ οὐχ ᾗ ζῷον κεφαλὴν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον ὃν ἐπὶ τοῦ πλοίου καὶ τοῦ πηδαλίου ἀκουσόμεθα. ὅτι οὔτε οὐσιωδῶς, οὔτε ἀφοριζόντως. τὸ γὰρ οὐχ ᾗ ὄρνις πτερὸν ἔχει, οὐχ ὅτι οὐκ οὐσιωδῶς, ἀλλ' ὅτι μόνον οὐκ ἀφορίζεται. κατ' οὐσίαν γὰρ τῷ ὄρνιθι, τὸ πτερὸν ὑπάρχει. δῆλον οὖν ἀπὸ τούτων, ὅτι οἰκείως γινομένης τῆς ἀποδόσεως, πρὸς ἀντιστροφὴν τοῦτο λέγεται. εἰ δὲ μὴ οἰκείως ἀποδοθείη, οὐκ ἀντιστρέψει. οὐ δὲ ἐπὶ τῶν ὁμολογουμένως ἀντιστρεφόντων λεγομένων, καὶ ὀνόματα ἐχόντων κείμενα. ὅταν γὰρ μὴ αὐτὸ ληφθῇ πρὸς ὃ λέγεται οἰκείως, ἀλλὰ τι τῶν συμβεβηκότων ἐκείνῳ. οἷον ἐὰν μὴ ὁ δεσπότης ληφθῇ, ἀλλ' ἄνθρωπος, ἢ δίπουν. κἂν ἀληθὲς εἶναι εἰπεῖν, ὁ δοῦλος ἀνθρώπου δοῦλος, ἀλλ' οὐκ ἀντιστρέφει. οὐ γὰρ ὁ ἄνθρωπος δούλου ἄνθρωπος, ἢ τὸ δίπουν. διότι οὐκ οἰκείως, ἀλλὰ κατὰ συμβεβηκὸς ἐλήφθη τὸ ἐξ ἀρχῆς ὁ τῆς κατηγορίας τρόπος. καὶ κοινὸν δὲ τινὰ κριτήριον παραδίδωσι τοῦ οἰκείου τρόπου τῆς ἀποδόσεως. ἂν γὰρ οἰκείως ἀποδοθῇ, οὐ μὴ ᾖ πρὸς ὃ λέγεται

πάντων περιαιρουμένων τῶν ἄλλων, ὅσα συμβεβηκότα ἐστί. μένοντος δὲ ἐκείνου μόνου, πρὸς ὃ οἰκείως ἀποδέδοται, ἀεὶ πρὸς αὐτὸ ῥηθήσεται, ὥσπερ ἐπὶ τοῦ δεσπότου καὶ δούλου. ἀφαιρουμένων γὰρ ἀπὸ τοῦ δεσπότου τῶν ἄλλων πάντων, ὁ δοῦλος πρὸς τὸν δεσπότην ῥηθήσεται. ὅτι οἰκείως ἀποδέδοται. ἐὰν δὲ μὴ οἰκείως ἀποδοθῇ, ἀλλ' ὁ δοῦλος ἀνθρώπου λέγοιτο, περιαιρουμένων τῶν ἄλλων τοῦ ἀνθρώπου, καὶ ὁ δεσπότης περιαιρεθήσεται. καὶ ὁ δοῦλος οὐκέτι οὐδὲ πρὸς ἄνθρωπον ῥηθήσεται. οὐδὲ ἔσται ὅλως πρός τι. μὴ γὰρ ὄντος δεσπότου, οὐδὲ δοῦλος ἔσται. εἰ καὶ εἴη, οὐ πρός τι ἔσται. ὁμοίως δὲ καὶ τὸ πτερὸν ἐὰν πρὸς ὄρνιν ἀποδοθῇ, περιαιρουμένων καὶ τῶν ἄλλων τοῦ ὄρνιθος, καὶ τοῦ πτερωτοῦ, οὐκέτι ἔσται τὸ πτερὸν πρός τι. μὴ γὰρ ὄντος πτερωτοῦ, οὐδὲ πτερόν ἐστιν. εἰ καὶ εἴη, οὐ πρός τι ἔσται. ὄρνιθος δὲ ἀναιρεθέντος, πτερωτοῦ δὲ ὄντος, πρὸς τὸ πτερωτὸν ἀποδοθήσεται, ὥσπερ ἐπὶ σφηκῶν. ἔστι γὰρ ὥσπερ σφηκῶν καὶ ἄλλων. ὁρᾷς οὖν ὅτι δύο παραδείγματα παρέλαβε τῆς ἀνοικείως γινομένης ἀποδόσεως. κοινὸν μὲν ἔχοντες τὸ κατ' ἄλλο τι λαμβάνεσθαι. ἴδιον δὲ, ὅτι τὸ μὲν κατὰ τὸν δοῦλον καὶ δεσπότην παράδειγμα, τὴν πρὸς τὰ κατὰ συμβεβηκὸς ἀνοικείως γινομένην ἀποδείκνυσιν ἀπόδοσιν. τὸ δὲ κατὰ τὴν ὄρνιν καὶ τὸ πτερὸν, ἐν μὲν τοῖς καθ' αὑτὸ ἐστί. τὸ δὲ ἀνοίκειον, ἔχει κατὰ τὴν ὑπερβολὴν καὶ ἔλλειψιν. ταῦτα μὲν οὖν εἰς τὴν τῆς λέξεως σαφήνειαν ὀρθῶς εἰρήσθω. τῶν δὲ ἀντιλεγόντων τινὲς, εὐθὺς διασύρουσι τὰ ὀνόματα. τὸ κεφαλωτόν. καὶ πηδαλιωτόν. καὶ πτερωτόν. καὶ ἐκείνων μὲν, ἔδει καταφρονεῖν. ἀλλ' ἐπειδὴ συνέβη τῶν ἐξηγητῶν τοὺς φιλοσοφωτέρους ἀντιλέγοντας αὐτοῖς, πολλῶν καὶ καλῶν λόγων ἐπὶ σμικρὸν ἀνακινῆσαι, διὰ τοῦτο καὶ ἐγὼ τῶν ἀντιρρήσεων συντόμως μνημονεύσω. καὶ πρῶτον μὲν, ἀγνοοῦσιν ὡς οὐκ ἐχρήσατο τούτοις τοῖς ὀνόμασιν. ἄχρι δὲ παραδείγματος ὑπέδειξεν οἷα ἀνάγκη, εἰ ἔκειτο τοῖς θεαθεῖσιν ὑπ' αὐτοῦ πράγμασιν ὀνόματα. ἔπειτα τῷ εὑρεθέντι πράγματι, τὸ οἰκεῖον ὄνομα ἀποδοῦναι, ὅπερ ἂν καὶ αὐτὸς ὁ ὀνοματοθέτης ἔθετο, εἰ τοῦ πράγματος ἔννοιαν ἔλαβε, σπουδῆς ἄξιον ἀλλ' οὐ γέλωτος ἂν εἴη. πρὸς δὲ τούτοις, καὶ αὐτὴν τὴν ὀνοματοποιίαν, οὐκ ὥσπερ ξένα ὀνόματα παρήγαγεν, ἀλλ' ἀπὸ τῶν κειμένων ἐν τῇ συνηθείᾳ. μικρὸν παρακλίνας τοῖς συνήθεσι μὲν, οὐ συνήθως δὲ ἐχρήσατο. οἷον τῷ πηδαλιωτῷ ἀπὸ τοῦ πηδαλίου. οὕτως ἔσπευδε πανταχοῦ τὴν συνήθειαν φυλάττειν. καὶ γὰρ ἀσφαλέστατος τρόπος ὀνοματοποιίας, ὁ ἀπὸ τῶν ἤδη κειμένων καὶ τῆς κρατούσης συνηθείας. καὶ γὰρ οἱ πρῶτοι ὀνοματοθέται φαίνονται ἀπὸ τῶν συνήθων καὶ ἁπλουστέρων, τὰ ἄλλα συντιθέντες, ὥσπερ αἱ ἐτυμολογίαι δηλοῦσι. καὶ μέντοι ὁ οὕτως ποιῶν, περὶ τὴν λέξιν ὀλίγον καινίζει, τὴν συνήθειαν περὶ τῶν πραγμάτων ἔννοιαν φυλάττων. ἔτι δὲ πάσης τέχνης οἰκεῖον τὸ ὀνόματα ποιεῖν. καὶ γὰρ ὁ γεωμέτρης καὶ ὁ μουσικὸς περὶ πράγματα τοῖς πολλοῖς ἄγνωστα διατρίβοντες, ἴδια τιθέναι τοῖς πράγμασιν ἐκείνοις ὀνόματα καὶ συνήθη τοῖς πολλοῖς ἀναγκάζονται. διχῶς δὲ τοῦτο ποιοῦσιν. ἢ τοῖς κειμένοις ἤδη αὐτοὶ χρώμενοι ἐπ' ἄλλοις, ὥσπερ τῷ χρώματι καὶ τῇ διέσει ὁ μουσικός, καὶ τῷ κέντρῳ ὁ γεωμέτρης, ἢ τὰ μηδὲ ὅλως κείμενα ἐξευρίσκοντες. καὶ εἰ μὲν θέσει τὰ ὀνόματα, στοχαστέον τοῦ σκοποῦ τῆς θέσεως. εἰ δὲ φύσει, προσέχειν τῇ φύσει τοῖς οἰκείοις πράγμασι τοὺς οἰκείους φθόγγους συντάττοντες. Εὔδωρος δὲ ὁ ἀκαδημαϊκός, ἐγκα-

ἀλλ' ὡς οὐ συντάττεται τὸ πτερὸν τῷ πτερωτῷ. τὸ μὲν γὰρ πτερόν, ἐνεργείᾳ λέγεται. τὸ δὲ πτερωτὸν, δυνάμει, ὡς δυνάμενον πτερωθῆναι. εἰ δὲ ἐνεργείᾳ γένοιτο, οὐ πτερωτὸν, ἀλλ' ἐπτερωμένον λέγεται. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πηδαλίου διορίζεται. ὅτι, οὐ πρὸς πηδαλιωτὸν, ἀλλὰ πρὸς πεπηδαλιωμένον ἂν λέγοιτο. καὶ ἡ κεφαλὴ πρὸς κεκεφαλαιωμένον.

Ο δὲ ταῦτα ἀπορῶν, ἀγνοεῖ ὅτι διχῶς τούτων ἕκαστον λέγεται. καὶ ὡς δυνάμει, καὶ ὡς ἐνεργείᾳ. ὥσπερ καὶ τὸ ὑφαντὸν καὶ τὸ ἐνδυτόν. καὶ ἐπὶ τοῦ ἤδη ὄντος ἱματίου λέγεται. καὶ ἐπὶ τοῦ δυναμένου γενέσθαι. ἐπὶ δὲ τῶν μὴ ὄντων, ἐν χρήσει ἔτι μᾶλλον ὡς ἂν βούληται ὅτι θεὶς, χρήσαιτο ἄν. προσεκτέον δὲ φασὶν οἱ ἐξηγηταὶ, μήποτε καὶ τὴν ἀρχὴν ἡ μάτην ἀπορία παραλογίζεται. εἰ γὰρ ἡ πρώτη θέσις τοῦ πτερωτοῦ πρὸς τὸ πτερὸν συντάττεται, καὶ τοῦ πηδαλιωτοῦ πρὸς τὸ πηδάλιον, καὶ ἀπ' ἐκείνων παρωνόμασται, πῶς οὐχ ὁμοίως συνέζευκται πρὸς ἄλληλα, ἐν οἷς ἡ πρώτη σύστασις αὐτῶν εἶχε τὸ κοινὸν καὶ συνηρμοσμένον. ἄλλοι δὲ λέγουσιν ἄτοπον εἶναι τὸν διορισμὸν τῆς τοιαύτης ἀποδόσεως. τὸ γὰρ πτερὸν καὶ τὸ πηδάλιον καὶ τὴν κεφαλὴν, ὅπως ἂν ἀποδοθῇ μὴ δεόντως ἀποδίδοσθαι. μηδὲ γὰρ εἶναι ὅλως τῶν πρός τι. διότι ἕκαστον αὐτῶν, μέρος ἐστὶν οὐσίας καὶ οὐσία. οὐδεμία δὲ οὐσία τῶν πρός τι, ὡς καὶ αὐτῷ δοκεῖ τῷ ἀριστοτέλει. εἴτε οὖν ὡς ἀθηνόδωρος οἴεται πρός τι εἶναι κατὰ ἀριστοτέλην, ἐφ' οὗ ἡ προσηγορία ἐπιζητεῖ τὸ πρὸς ὃ λέγεται. ὁ γὰρ δοῦλον ἀκούσας, ἐπιζητεῖ τὸ οὗ ἐστι δοῦλος. εἴτε ὡς κορνοῦτος, πρός τι εἶναί φησιν οἷς συμπροσπίπτει πρὸς ἕτερον ἡ σχέσις. οὐ μέντοι ἡ συντακτικὴ, ὡς ἐπὶ τῶν ἐχόντων καὶ ἐχομένων, ἀλλ' ἡ πρὸς ὑπόστασιν. ὅταν αὐτῷ τῷ εἶναι, τὴν πρὸς ἕτερον ἀπόνευσιν ἔχει. κατ' οὐδέτερον τρόπον τὸ πηδάλιον ἢ τὸ πτερὸν πρός τι ἐστίν. οὔτε γὰρ ἐπιζητεῖ τί πρὸς ὃ λέγεται, οὔτε κατὰ τὴν πρὸς ἕτερον ὑποστατικὴν σχέσιν λέγεται. οὐσία γὰρ τὸ πηδάλιον, καὶ ἡ κεφαλὴ, καὶ τὸ πτερόν. δεῖ δὲ, μὴ τὴν μὲν συντακτικὴν μόνην καὶ τὴν κατ' ἔλλειψιν ἐπίνοιαν λαμβάνειν, ἀλλὰ καὶ τὴν κατὰ σύστασιν. οὕτω γὰρ καὶ τὸ μέρος σχέσιν ἔχει πρὸς τὸ ὅλον οὗ μέρος ἐστὶ, καθ' αὐτὸ τοῦτο καθὸ μέρος ἐστί. καὶ ὀρθῶς ὁ βοηθὸς, τὴν χεῖρα καὶ τὴν κεφαλὴν καθ' ὅσον μέρη συνεχώρει τῶν πρός τι εἶναι. οὐ μὴν καθὸ ἐστι χεὶρ, καὶ ὅ ἐστι χείρ. οὐδὲ ὅ ἐστι κεφαλὴ, ἀλλὰ κατὰ τοῦτο οὐσίας εἶναι. νῦν οὖν τὸ πρός τι αὐτῶν θεωρείσθω, ὡς μερῶν πρὸς ὅλα. καὶ οὐδὲν ἀδύνατον συμβαίνει. Τινὲς δὲ πρὸς τὴν εἰρημένην ἀπορίαν ἀπολογούμενοι λέγουσιν, ὡς τὸ πηδάλιον, καὶ τὸ πτερὸν, οὐ πάντως ἀριστοτέλης πρός τι λέγει, ἕνεκά γε τῶν ἐν ταῖς κατηγορίαις διατεταγμένων, ἀλλὰ παραδείγματα αὐτὰ ποιεῖται τῆς διδασκαλίας τῶν παρονομαζόντων καὶ ἐλλεῖπόν τι, ὡς εἰ καὶ τὸ ζῶον παρέλαβε. δεικνὺς, ὅπως χρὴ τὰ ἐξισάζοντα παραλαμβάνειν εἰς τὴν ἀντιστροφήν. οἱ δὲ ταῦτα λέγοντες, ἐπιλελῆσθαι δοκοῦσιν, ὅτι ὡς εἰς ἄτοπον ἀπάγων τὸν λόγον ὁ ἀριστοτέλης, ἐπήγαγεν. οὐκ ἄρα ἔσται τὸ πτερὸν τῶν πρός τι. καίτοι εἰ μὴ πρός τι αὐτὸ ἐβούλετο εἶναι, πῶς ὡς ἄτοπον ἐπῆγε τὸ ἀντικείμενον. Ἀπολλώνιος δὲ ὁ ἀλεξανδρεὺς, ἀκαταλλήλως φησὶν εἰρῆσθαι τῶν δύο παραδειγμάτων τὴν ἀπόδοσιν. διότι ὅπου μὲν εἴρηκεν οὐ χρῆν ὄρνις ἐστὶ, πτερὰ ἔχει. πολλῶν γάρ ἐστι πτερὰ οὐκ ὀρνίθων. ὅπου δὲ οὐ χρῆν ζῶον, κεφαλὴν ἔχει. πολλὰ γὰρ τῶν ζώων κεφαλὴν οὐκ

ἔχει. δέον δὲ εἰπεῖν, πολλαὶ γὰρ κεφαλαί εἰσιν οὐ ζῴων, ὥσπερ ἐκεῖ. πολλὰ γὰρ πτερὰ οὐκ
ὀρνίθων. εὔκολον δὲ εἰπεῖν, ὅτι ἀμφοτέρων μὲν παραδείγματα παρέθετο τοῦ πλεονάζειν
καὶ ἐλλείπειν, καὶ διὰ τοῦτο τὸ μὴ ἀντιστρέφειν. καὶ ὅπου μὲν τὸ πτερὸν πλεονάζει τοῦ ὄρνιθος,
τουτέστι τὸ ἐχόμενον τοῦ ἔχοντος. ὅπου δὲ ἀνάπαλιν τὸ ἔχον τοῦ ἐχομένου, ὥσπερ τὸ ζῷον
τῆς κεφαλῆς. τὸ γὰρ λέγειν ὅτι ὥσπερ τὸ πτερὸν ἐπὶ πλέον τοῦ ὄρνιθος, οὕτως καὶ ἡ κε-
φαλὴ τοῦ ζῴου. διότι καὶ σκορόδων εἰσὶ κεφαλαὶ, καὶ φοινίκων, πολλὴ τῇ ὁμωνυμίᾳ καὶ
τῇ μεταφορᾷ χρωμένων ἐστί. δεῖ δὲ τὰ πρός τι κυρίως ἀντιστρέφοντα λαμβάνειν, ἀλλ'
οὐ χρὴ ὁμωνύμως ἢ κατὰ μεταφοράν. οὕτως δὲ λαμβανομένων, τὸ ζῷον ἔσται ἐπὶ πλέον
τῆς κεφαλῆς. ἀφ' οὗ τὸ μὴ ἀντιστρέφειν διελέγχεται, ὥσπερ ἐπὶ τῆς ἄλλης συζυγίας
ἀπὸ τοῦ πτεροῦ. Ὁ δὲ ἀρίστων, τοιαύτην ἀπορίαν τοῖς εἰρημένοις ἐπάγει. εἰ πάντα πρός τι
ὅσα πρὸς ἕτερόν τι ἀπολελυμένου ἑαυτοῦ πρός τι λέγεται. οἷον, ὁ πατὴρ πρὸς υἱόν. ὁ δὲ κό-
σμος, οὐδὲν ἀπολελυμένον ἑαυτοῦ ἔχει. οὐ γάρ ἐστί τι τοῦ κόσμου ἐκτὸς, οὐκ ἔσται πρός-
τι ὁ κόσμος. καίτοι τῶν πρός τι ἐστίν. ὥσπερ γὰρ τὸ πτερὸν πτερωτοῦ πτερὸν, οὕτως καὶ τὸ ἐν
κόσμῳ κοσμωτοῦ, καὶ τὸ ἐν γῇ γεωτοῦ. καὶ τὸ ἐν ἀέρι ἀερωτοῦ. Πρὸς δὴ τοῦτο ῥητέον,
ὅτι κακῶς εἴληπται ἐν ἀρχῇ, τὸ πᾶν πρός τι ἀπολελυμένου πρὸς ἕτερον λέγεσθαι. τὸ
γὰρ ὅλον καὶ τὸ μέρος τῶν πρός τι ὄντα, οὐ λέγεται πρὸς ἀπολελυμένα. καὶ ὁ κόσμος
οὖν ὡς μὲν οὐσία καὶ ὅ ἐστιν, οὐκ ἔστι πρός τι. ὡς δὲ ὅλον καὶ κόσμημα τῶν ἑαυτοῦ μερῶν,
πρὸς τὰ μέρη λέγεται, καὶ τὰ μέρη πρὸς τὸ ὅλον. εἰ δὲ καὶ κόσμος λέγεται, ὡς ἀποτέλε-
σμα τοῦ κοσμήσαντος, ἔσται καὶ ὑποστάσει κεχωρισμένου. εἰ δὲ μὴ ὑποστάσει, ἀλλ' ἐπινοίᾳ
κεχώρισται. Μήποτε δὲ οὐδὲ καλῶς εἴληπται τὸ κοσμωτόν. εἰ μὲν γὰρ τὸ ὅλον ἐστὶ τὸ κο-
σμωτὸν, ὁ κόσμος οὐκέτι τὸ ὅλον, ἀλλὰ τὸ ἐν τῷ ὅλῳ ἐστίν. ὥσπερ τὸ πτερὸν ἐν τῷ πτε-
ρωτῷ. καίτοι ἀπορεῖν τὸ ἐν κόσμῳ, κοσμωτοῦ ἔλεγεν, ὡς τοῦ κόσμου ὄντος τοῦ κοσμω-
τοῦ. ὥσπερ τοῦ ὄρνιθος τοῦ πτερωτοῦ. εἰ δὲ τὸ μέρος ἐστὶ τὸ ἐν τῷ κόσμῳ, τὸ κοσμωτὸν ἐστὶ τὸ
ὅλον, ἐν τῷ ἐν ἑαυτῷ μέρει, ὥσπερ τὸ πτερὸν ἐν τῷ πτερωτῷ. ἔστι δὲ μᾶλλον ἄτοπον ἐπὶ τῆς γῆς
καὶ τοῦ γεωτοῦ. εἰ γὰρ ἡ γῆ τὸ ὅλον, καὶ ἔστιν ἐν τῷ γεωτῷ, ἔσται τὸ ὅλον ἐν τῷ μέρει, ὥσπερ τὸ πτε-
ρὸν ἐν τῷ πτερωτῷ. Ἀλλὰ διὰ τί ἀρχύτας καίτοι μηδὲν ἔλαττον τοῦ ἀριστοτέλους
ἀκριβολογούμενος, παρῆκε τοῦτο τὸ ἴδιον τῶν πρός τι, τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι.
Ἢ ὅτι συνυπάρχειν αὐτὰ θέμενος, καὶ αἴτια εἶναι ἀλλήλων, τὴν κατὰ τὸ εἶναι ἀντιστροφὴν
αὐτῶν παρέδειξε, τῆς κατὰ τὴν λέξιν καὶ τὸ λέγεσθαι καταφρονήσας. ἢ καὶ ὡς συνυ-
» παρχομένην αὐτὴν ἐκείνῃ παραλιπών. Δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει. ἕως τοῦ, ὥστε
» πρότερον ἂν τῆς αἰσθήσεως τὸ αἰσθητὸν εἶναι δόξειε. Τὸ μάλιστα ἴδιον τῶν πρός τι,
νῦν ἀποδίδωσι τὸ ἅμα εἶναι τῇ φύσει. οἰκειότερον γάρ ἐστι πρὸς ἐπιστήμην, τὸ διὰ τῶν
κατ' ἰδίαν ὑπαρχόντων, τὴν θήραν τοῦ γνωστοῦ ποιεῖσθαι. ἐπὶ δὲ τῶν πρὸ τοῦ γένους, καὶ ἀνα-
γκαῖον ἐστὶ τοῦτο. οὕτως γὰρ μόνως ἕκαστον αὐτῶν αὐτὸ καθ' ἑαυτὸ, θεωρεῖν δυνατόν. οὕτως
» δὲ καὶ ὁ ἀρχύτας ὡς ἴδιον ἀποδίδωσι τῶν πρός τι. Τό, τε συνυπάρχειν ἅμα ἀλλήλοις,
» καὶ ἀλλήλων δὲ αἴτια ἦμεν. ἐὰν γὰρ διπλάσιον ᾖ, ἀνάγκα καὶ ἥμισυ ἦμεν. εἰ δὲ καὶ ἡμί-
» σεον, ἀνάγκη καὶ διπλάσιον, αἴτιον τῷ ἡμισέω ἦμεν. καὶ τὸ ἡμίσεον τῷ διπλασίω ἦμεν.

Universitäts- und
Landesbibliothek Düsseldorf

Δοκεῖ δὲ καὶ ἀριστοτέλης τὰ πρός τι, ἅμα τῇ φύσει εἶναι. ἢ διὰ τὴν ἀμφιβολίαν τῆς πῇ τοῦτο δ' ἔχει τὸ δοκεῖ προσθείς, ἢ διὰ τὸ καὶ παλαιοῖς φιλοσόφοις τοῦτο δεδόχθαι. καὶ γὰρ ἀρχύτας ὡς εἴρηται, τοῦτο ἴδιον ἔθετο τῶν πρός τι. καὶ πλάτωνι ἀρεσκόμενος αὐτῷ φαίνεται. ἢ ὅτι ἐπιδέχεταί τινα διορισμόν, πότε καὶ πῶς ἀληθὲς εἶναι δύναται τὸ λεγόμενον. τὸ δὲ ἅμα, τῇ φύσει προσέθηκεν. ἐπεὶ δὴ πολλαχῶς τοῦ ἅμα λεγομένου ὡς αὐτὸς προϊὼν ἐπιδείξει, ἓν τῶν σημαινομένων ἐστὶ τὸ τῇ φύσει ἅμα. δηλοῖ δέ, τὸ συμπεφυκέναι ἀλλήλοις, καὶ αἴτια εἶναι ἀλλήλων, καὶ ἀπ' ἀλλήλων ἠρτῆσθαι, καὶ συνεισάγειν τε ἄλληλα, καὶ συναναιρεῖν. πατρὸς γὰρ ὄντος, υἱός ἐστι. καὶ ἀνάπαλιν. καὶ μὴ ὄντος, οὐκ ἔστιν. τὴν δὲ τούτου, δι' ἐπαγωγῆς αὐτοῦ ποιεῖται τὴν πίστιν, ἐφ' ἕκαστον ἐπιὼν τῶν πρός τι τῶν ἀμφιβόλως συνυφεστηκότων. διχῶς δὲ ποιεῖται τὴν ἐπιχείρησιν, ἔκ τε τοῦ συνυπάρχειν ὃ δηλοῖ, διὰ τοῦ ἅμα γὰρ διπλάσιον, καὶ ἥμισυ ἐστί, καὶ ἐκ τοῦ συνεισάγειν καὶ συνεισάγεσθαι. ὃ δηλοῖ διὰ τοῦ καὶ ἡμίσεος ὄντος, διπλάσιόν ἐστι. καὶ ἔτι ἐκ τοῦ συναναιρεῖν καὶ συναναιρεῖσθαι. μὴ γὰρ ὄντος διπλασίου φησί, οὐκ ἔστιν ἥμισυ. καὶ ἀνάπαλιν. διττοῦ δὲ ὄντος τοῦ συνυπάρχειν, ἄλλο μὲν τὸ καθ' ὑπόστασιν συνυπάρχειν, ὡς τὸ φῶς τῷ ἡλίῳ συνυφέστηκεν, ἄλλο δὲ τὸ κατὰ σχέσιν, ὅπερ οὐ πάντως καὶ τὴν οὐσιώδη ὑπόστασιν ἔχει ἐπίσης. ὁ γὰρ πατὴρ ἀποθανόντος αὐτῷ τοῦ υἱοῦ, τὴν μὲν κατὰ σχέσιν συνύπαρξιν ἀπόλλυσιν. οὔτε γὰρ ὁ υἱός ἐστιν, οὔτε ὁ πατὴρ υἱοῦ μὴ ὄντος. κἂν γὰρ ἀποθανόντος τοῦ υἱοῦ λέγηται πατήρ, κατ' ἀναφορὰν λέγεται τὴν, ὅτε ἔζη. τὴν μέντοι κατ' οὐσίαν ἑαυτοῦ ὑπόστασιν, οὐκ ἀπόλλυσιν. ὥστε τὸ συνυπάρχειν καὶ τὸ συναναιρεῖν, ἐπὶ τῶν πρός τι τὸ κατὰ σχέσιν, ἀλλ' οὐ τὸ κατ' οὐσίαν ληπτέον. ἐν ᾧ γάρ ἐστι τοῖς πρός τι τὸ ὑπάρχειν, ἐν τούτῳ καὶ τὸ συνυπάρχειν ἐστίν. ἔστι δὲ ἐν σχέσει. καὶ εἰ οὕτω λαμβάνοιτο ἡ συνύπαρξις, ἀναμφίλεκτος ἂν εἴη. οὐ γάρ ἐστιν ἐν ἑνὶ σχέσις, ἀλλ' ἑτέρου πάντως πρὸς ἕτερον. δεῖ οὖν ἄμφω συνυπάρχειν τὴν τοιαύτην συνύπαρξιν, εἰ μέλλοι καὶ ἡ σχέσις ἐν αὐτοῖς διασώζεσθαι. τοῦ γὰρ ἑτέρου μόνου ὑπομένοντος, οὐκ ἔστιν ἡ σχέσις. καλῶς οὖν διὰ τῆς ἐπαγωγῆς ἐποιήσατο τὴν πίστιν ἀριστοτέλης. τὰ γὰρ ἀνωτάτω γένη, διὰ τῶν ὑφ' ἑαυτὰ καὶ τῶν μερικωτέρων ἑαυτῶν ἐπιδείκνυται. οὐ γάρ ἐστι καθολικώτερόν τι αὐτῶν λαμβάνοντες, ποιήσασθαι διὰ συλλογισμοῦ τὴν ἀπόδειξιν. ἀπὸ μέντοι τῶν ὑστέρων καὶ μερικωτέρων ὡς δὲ ἐναργῶν καὶ αὐτοπίστων ποιούμεθα τὴν ἐπιβολήν. ἀλλ' ἐπειδὴ χρὴ καὶ τοὺς ἐναντίους λόγους ἐπισκοπεῖν κἂν μὴ ἀληθεῖς ὦσιν, ὅπως οἱ τῶν ἐπιστημόνων διελεγχόμενοι μὴ ἀπατῶσι τοὺς ἐπιπολαιοτέρους, ἀνασκευὴν τοῦ εἰρημένου λόγου ἔνδοξον προτείνει. οὐ γὰρ ἐπὶ πάντων φησὶν ἀληθὲς δοκεῖ τὸ ἅμα τῇ φύσει εἶναι τὰ πρός τι. τὸ γὰρ αἰσθητὸν, καὶ ἐπιστητὸν, πρότερα δοκεῖ. τὸ μέν, τῆς αἰσθήσεως. τὸ δέ, τῆς ἐπιστήμης. τοῦτο δὲ δείκνυσι, πρῶτον μέν, ἐκ τῆς ἐναργείας. ὡς γὰρ ἐπὶ τὸ πολὺ φησὶ προϋπαρχόντων τῶν πραγμάτων, τὰς ἐπιστήμας λαμβάνομεν. οὔτε γὰρ αὐτοῖς πελάζομεν. καὶ ὅτε ἦμεν κομιδῇ βρέφη, τὰ μὲν ἐπιστητὰ ὕστερον ἡμῖν γινόμενα, καὶ τότε ἦν. ἐπιστήμη δὲ αὐτῶν, οὔπω ἦν. καὶ ἡ μὲν τῆς ἐκλείψεως ἐπιστήμη, διὰ θαλοῦ ὕστερον ἦλθεν εἰς τοὺς ἕλληνας. ἡ δὲ ἔκλειψις αὐτὴ καὶ τὸ

ἐπιστητὸν προϋπάρχειν. ἀλλὰ τοῦτο μὲν, ἐναργέστερον. ἔνια δὲ τὰ ὀλίγα ἐστὶν, ἐφ' ὧν ἅμα τῷ ἐπιστητῷ, ἡ ἐπιστήμη ἐστί. τὰ ἄνευ ὕλης τὰ νοητὰ, ἅμα τῇ κατ' ἐνέργειαν ἀεὶ ἑστώσῃ ἐπιστήμῃ ἐστίν. εἴτε καὶ ἐν ἡμῖν ἐστί τις τοιαύτη ἀεὶ ἄνω μένουσα ὡς πλωτίνῳ καὶ ἰαμβλίχῳ δοκεῖ. εἴτε καὶ ἐν τῷ κατ' ἐνέργειαν νῷ. εἰ δέ τις καὶ τὴν νόησιν ἐκείνην ἐπιστήμην ἕλοιτο καλεῖν. δύναται δὲ καὶ διὰ τὴν τῶν κοινῶν ὑπόστασιν εἰρῆσθαι τὴν ἐξ ἀφαιρέσεως. ἅμα γὰρ τῇ ὑποστάσει τούτων, καὶ ἡ ἐπιστήμη ἐστίν. ἀληθὲς δὲ καὶ ἐπὶ τῶν ἀναπλασμάτων τῶν τε ἐν τῇ φαντασίᾳ καὶ τῶν τεχνητῶν. ἅμα γὰρ χίμαιρα καὶ ἐπιστήμη τῆς χιμαίρας. διὰ τοῦτο οὖν προσέθηκε τὸ, ἢ ἐπ' οὐδενὸς, ἢ ὅτι τινὲς ἀκριβοῦν καὶ τὰ καθόλου καὶ τὰ νοητὰ, καὶ τὰ ὁπωσοῦν ἐπινοούμενα. ἢ ὅτι κἂν ᾖ ταῦτα ἐν τῇ φύσει, τὰς ἐπινοίας αὐτῶν ὕστερον ἐλάβομεν. καὶ διὰ τοῦτο συμβαίνει καὶ ἐπὶ τούτων προϋπάρχειν τῆς ἐπιστήμης, τὸ ἐπιστητόν. οὕτως μὲν οὖν κατὰ τὸ πρότερον ἐπιχείρημα δοκεῖ δεῖξαι, ὅτι πρότερον τῆς ἐπιστήμης τὸ ἐπιστητὸν, καὶ οὐχ ἅμα τῇ φύσει. κατὰ δὲ δευτέραν δὲ ἐπιβολὴν πολλαχῶς τοῦ προτέρου λεγομένου, ὡς καὶ αὐτὸς ὕστερον διδάξει, καθ' ἓν σημαινόμενον νῦν αὐτῷ χρῆται. καθόσον, τὸ μὲν φύσει πρότερον, συναναιρεῖ μὲν, οὐ συναναιρεῖται δέ. μονάδος γὰρ μὴ οὔσης, δυὰς οὐκ ἔστι. καὶ ζώου μὴ ὄντος, οὐδὲ ἄνθρωπός ἐστιν. οὐ μὴν ἐὰν ἀναιρεθῇ ἡ δυὰς, ἤδη καὶ μονὰς ἀναιρεῖται. οὐ γὰρ ἐν τῇ δυάδι ἔχει τὸ εἶναι ἡ μονὰς καθ' ἑαυτὴν ὑφεστῶσα. τὰ δὲ τῇ φύσει δεύτερα, οὐ κατὰ τὴν ἀναίρεσιν, ἀλλὰ κατὰ τὸ εἶναι τὴν ἀκολουθίαν ἔχει. τὸ γὰρ δεύτερον, συνεπιφέρει μὲν ἑαυτοῦ τὸ πρότερον. οὐ συνεπιφέρεται δὲ ὑπ' αὐτοῦ. δυάδος γὰρ οὔσης, ἀνάγκη καὶ μονάδα εἶναι. καὶ ἀνθρώπου ὄντος, ἀνάγκη ζῶον εἶναι. οὐ μὴν μονάδος οὔσης, ἀνάγκη δυάδα εἶναι. οὐδὲ ζώου ὄντος, ἀνάγκη εἶναι ἄνθρωπον. οὕτως δὲ συμβεβηκότος μὲν ὄντος, ἀνάγκη οὐσίαν εἶναι. οὐσίας δὲ οὔσης, ἀνάγκη εἶναι συμβεβηκός. διότι πρότερον καὶ ἁπλούστερον ἡ οὐσία τοῦ συμβεβηκότος. τοῦτον τοίνυν τὸν κανόνα, τῷ ἐπιστητῷ καὶ τῇ ἐπιστήμῃ προσαγαγὼν, τὸ μὲν ἐπιστητόν φησιν ἀναιρεθὲν, συναναιρεῖ τὴν ἐπιστήμην. ἡ δὲ ἐπιστήμη, τὸ ἐπιστητὸν οὐ συναναιρεῖ. ὥστε οὐχ ἅμα τῇ φύσει, ἐπιστήμη καὶ ἐπιστητόν, εἴπερ τὸ συναναιροῦν μὲν, μὴ συναναιρούμενον δὲ, πρότερόν ἐστι τῇ φύσει. τὸ δὲ αὐτὸ, καὶ ἐπὶ αἰσθήσεως, καὶ αἰσθητοῦ συλλογίζεται. ὅτι οὖν ταῦτα τῶν πρός τι, οὐ πάντα τῶν πρός τι, ἅμα τῇ φύσει ἐστίν. ὅπερ ἔδει δεῖξαι, φαίνοιτ' ἂν ἀνὴρ γεωμετρικός. ὅτι δὲ τὸ ἐπιστητὸν συναναιρεῖ τὴν ἐπιστήμην, ἡ δὲ ἐπιστήμη τὸ ἐπιστητὸν οὐ συναναιρεῖ, πρόδηλον δοκεῖ. ἀναιρεθέντων γὰρ τῶν ἐπιστητῶν, ἐπιστήμη οὐδενὸς ἔσται. ὥστε οὐδὲ ἔσται ὅλως. ἀναιρεθείσης δὲ τῆς ἐπιστήμης, μένει τὸ ἐπιστητόν. κἂν γὰρ διὰ ῥαθυμίαν ἀποβάλωμεν ποτὲ τὴν τῶν ὄντων γνῶσιν, οὐδὲν ἧττον μένει τὰ ὄντα, ὅπερ ἐστὶ τὰ ἐπιστητά. καὶ γὰρ καὶ ἐν μουσικῇ πρότερον μὲν κατηκούομεν διέσεως. νῦν δὲ ἀνεπαίσθητοι τούτου τοῦ διαστήματος ἐσμέν. ἄλλος δὲ ἐπὶ τοῦ τετραγωνισμοῦ τοῦ κύκλου δείκνυσιν αὐτό. μήπω γὰρ τότε εὑρεθέντος αὐτοῦ ἀμφιβόλως λέγων ὅτι ἔστιν ἐπιστητόν. ἐπιστήμη μὲν αὐτοῦ οὔπω ἐστί. τὸ δὲ ἐπιστητόν ἐστιν. ἔστι δὲ τετραγωνισμὸς κύκλου, ὅταν τῷ δοθέντι κύκλῳ τετράγωνον ἴσον συστησώμεθα. τοῦτο δὲ ἀριστοτέλης μὲν

ὡς ἔοικεν, οὔπω ἐγνώκει. παρὰ δὲ τοῖς πυθαγορείοις, εὑρῆσθαι φησὶν ἰάμβλιχος, ὡς δῆλόν ἐστιν ἀπὸ τῶν σέξτου τοῦ πυθαγορείου ἀποδείξεων. ὃς ἄνωθεν κατὰ διαδοχὴν παρέλαβε τὴν μέθοδον τῆς ἀποδείξεως. καὶ ὕστερον δέ φησιν ἀρχιμήδης διὰ τῆς λυκομήδου γραμμῆς. καὶ νικόδημος, διὰ τῆς ἰδίως τετραγωνιζούσης καλουμένης. καὶ ἀπολλώνιος διά τινος γραμμῆς. ἣν αὐτὸς μὲν κοχλιοειδοῦς ἀδελφὴν προσαγορεύει. ἡ αὐτὴ δέ, τῇ νικομήδους. καὶ κάρπος δέ, διά τινος γραμμῆς ἣν ἁπλῶς ἐκ διπλῆς κινήσεως καλεῖ. ἄλλοι τε πολλοὶ ποικίλως τὸ πρόβλημα κατεσκεύασαν, ὡς ἰάμβλιχος ἱστορεῖ. καὶ θαυμαστὸν ὅτι τοῦτο τὸν πολυμαθέστατον ἔλαθε πορφύριον. ὃς φαίνεται μὲν φησὶν ὅτι ἔστι τις ἀπόδειξις, καθὸ ἐστὶ σχῆμα τετράγωνον κύκλῳ παραβαλεῖν ὥσπερ καὶ ἄλλα σχήματα. κατείληπται δὲ οὐδέπω, οὐδὲ εὕρηται. λέγουσι δέ φησί τινες τῶν μετὰ ἀριστοτέλην εὑρεῖν. μήποτε οὖν ὀργανική τις εὕρεσις ἐγένετο τοῦ θεωρήματος, ἀλλ' οὐκ ἀποδεικτική. ἔτι δὲ καὶ δι' ἄλλου παραδείγματος δείκνυσιν, ὅτι οὐ συναναιρεῖ ἡ ἐπιστήμη ἀναιρεθεῖσα, τὸ ἐπιστητόν. ζῴου μὲν γάρ φησιν ἀναιρεθέντος, ἢ κατὰ ὑπόθεσιν, ἢ κατὰ τὴν στοιχείων ἐκπύρωσιν. ἡ μὲν ἐπιστήμη, ἀναιρεῖται. εἴπερ ἡ μὲν ἐπιστήμη, ἐν ψυχῇ. ἡ δὲ ψυχή, ἐν ζῴῳ. τῶν δὲ ἄλλων ἐπιστητῶν, ἐνδέχεται πολλὰ εἶναι. ὥσπερ τὰ ἁπλᾶ στοιχεῖα. καὶ εἴ τινά ἐστιν ἄλλα ἁπλᾶ ἕτερα τῶν ζῴων. κατὰ δὲ τὴν αὐτὴν ἔφοδον, δείκνυσιν ὅτι πρότερόν ἐστι τὸ αἰσθητὸν τῆς αἰσθήσεως. διότι συναναιρεῖ μέν, οὐ συναναιρεῖται δέ. ἐπεὶ γὰρ τὸ σῶμα τῶν αἰσθητῶν τί ἐστι, τοῦ αἰσθητοῦ ἀναιρεθέντος, ἀνῄρηται τὸ σῶμα. σώματος δὲ ἀναιρεθέντος, ἀνῄρηται ἡ αἴσθησις. αἱ γὰρ αἰσθήσεις, περὶ σῶμα καὶ ἐν σώματι ὥς φασι. σωματικαὶ γὰρ εἰσὶ γνώσεις, αἱ αἰσθήσεις. ἡ δὲ αἴσθησις ἀναιρεθεῖσα, τὸ αἰσθητὸν οὐ συναναιρεῖ. ἀναιρεθέντος γὰρ πάλιν καθ' ὑπόθεσιν τοῦ ζῴου, ἀναιρεῖται καὶ ἡ αἴσθησις. ζῴου γὰρ ἴδιον, καὶ ἐν ζῴῳ ἡ αἴσθησις. αἰσθητὰ δὲ εἶναι, οὐ κωλύεται τὰ ἁπλᾶ σώματα. ἐξ ὧν τὸ ζῷον. εἶτα ὥσπερ ἐπὶ τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ ἐδείκνυ τὸ αὐτόθι πρότερον εἶναι τὸ ἐπιστητόν, καὶ οὐ μόνον ἀπὸ τοῦ συναναιρεῖν μέν, μὴ συναναιρεῖσθαι δέ, οὕτως καὶ ἐπὶ τοῦ αἰσθητοῦ καὶ τῆς αἰσθήσεως. καὶ γὰρ ἡ μὲν αἴσθησις, ἅμα τῷ αἰσθητικῷ ἐστι, τουτέστι τῷ ζῴῳ. τὸ δὲ αἰσθητόν, προϋπάρχει, ὥσπερ τὰ ἁπλᾶ σώματα, ἀφ' ὧν τὸ ζῷον προϋπάρχει τῇ φύσει πρὸ τοῦ γενέσθαι τὸ αἰσθητόν. ἐπειδὴ δὲ ἐπὶ μὲν τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ, πρότερον μὲν ἔδειξεν, ὅτι συνυπάρχει. εἶτα ὅτι μὴ συναναιρεῖ ἄλληλα. ἐπὶ δὲ τῆς αἰσθήσεως, ἀνάπαλιν. πρότερον μέν, ὅτι μὴ συναναιρεῖ. δεύτερον δέ, ὅτι μὴ συνυπάρχει, οὐ δὲ ταύτην τὴν διαφορὰν ἀνεξετάστως ἤκουσαν οἱ ἐξηγηταί, ἀλλ' αἴτιον φασὶν εἶναι τοῦ μετατεθεῖναι τὴν τάξιν, τὸ βούλεσθαι ἀπὸ τῶν γνωριμωτέρων καὶ ἐναργεστέρων, ποιεῖσθαι τὰς ἀρχὰς τῶν ἐπιχειρήσεων. ἐπὶ δὲ καὶ μὲν τὴν ἀντίθεσιν τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ, τὸ προϋπάρχειν γνωριμώτερον, διότι [illegible]. οὕτω καὶ εἰς πέρας ἐπιστήμη παραγίνεται. κατὰ δὲ τὸ ἕτερον, τὸ συναναιρεῖν καὶ μὴ συναναιρεῖσθαι προχειρότερον. τὸ μὲν γὰρ διὰ αἴσθησιν εὐθὺς γινόμενοι ἔχομεν. καὶ ταύτῃ, οὐκ ἐναργὲς τὸ προϋπάρχειν τὸ αἰσθητόν. ὥσπερ τὸ ἐπιστη-

τόν. τὸ μέντοι τῶν μὲν αἰσθητῶν, ἐν οἷς καὶ τὸ σῶμα, τὴν αἴσθησιν συναναιρεῖσθαι σωμα-
τικὴν οὖσαν γνῶσιν, πρόχειρον ἦν· καὶ τὸ τῇ αἰσθήσει ζώου οὔσῃ. γνώσει συνθέτου
πράγματος, τὸ αἰσθητὸν μὴ συναναιρεῖσθαι. καὶ ἐν ἁπλουστέροις θεωρούμενον, ὡς
ὢν τὸ ζῷον. ταῦτα μὲν οὖν εἴρηται δηλοῦν δοκοῦντα, ὅτι οὐκ ἐπὶ πάντων ἀληθὲς
τῶν πρός τι ἅμα τῇ φύσει εἶναι. χρὴ μέντοι γινώσκειν, ὅτι οὐκ ἀρέσκεται τούτοις
τοῖς ἐπιχειρήμασι. διὸ καὶ συνεχῶς τὸ δοκεῖν προσέθηκε. πρόδηλον δὲ λέγειν πρὸς
τὴν ἔνστασιν. κοινῶς μὲν, ὅτι μὴ οὔσης ἐπιστήμης μηδὲ αἰσθήσεως. τὰ μὲν ὑποκεί-
μενα, ἃς γνῶσιν τοῖς ἐπιστήμοσι καὶ αἰσθητικοῖς εἶναι, οὐ κωλύεται. ἐπιστητὰ δὲ
οὐκ ἔστιν. οὐδὲ αἰσθητά. οὐδὲ γνωστὰ ὅλως. βέλτιον δὲ αὐτὸς καὶ πραγματειωδέστε-
ρον ἐν τοῖς μετὰ τὰ φυσικὰ περὶ τούτων διατάττεται. ἐν οἷς φησι, τὰ μὲν ἐνεργείᾳ
αἰσθητὰ, ταῖς ἐνεργείᾳ αἰσθήσεσι. τὰ δὲ δυνάμει, ταῖς δυνάμει. τελειοτέρας οὔσης
τῆς κατὰ ταῦτα τῶν ἀπορηθέντων λύσεως. καὶ δεομένης τῆς περὶ τῶν δυνατῶν δια-
κρίσεως, ἀνεβάλετο νῦν αὐτὴν ὡς εἰσαγωγικὴν ποιούμενος διδασκαλίαν. τὰς δὲ
ἀπορίας τέθεικεν, ἅμα μὲν, ὅτι ζητητικὸς ὢν, οὐδὲν ἀφίησιν ἀδιερεύνητον. ἅμα δὲ καὶ
ὠφέλιμον νομίζων προκεκινῆσθαι ἤδη τὴν διάνοιαν τῶν ἀκροατῶν, καὶ προπαρα-
σκευάσθαι. ἰστέον μέντοι ὅλως μὴ εἶναι ποτὲ θάτερον τῶν πρός τι, μὴ οὐχὶ καὶ
τοῦ ἑτέρου ὄντος. ἡ γὰρ τῆς σελήνης ἔκλειψις, ἦν μὲν καὶ πρὸ Θαλοῦ. ἐπιστητὸν δὲ,
οὐκ ἦν τοῖς Ἕλλησι πρὸ Θαλοῦ. εἰ δὲ βαρβάροις τισὶν ἦν ἐπιστητὸν, ἦν αὐτοῦ καὶ
ἐπιστήμη παρ' ἐκείνοις, ὥστε ἢ ἀμφότερα δεῖ εἶναι, ἢ μηδέτερον. ἔοικε δὲ πρὸς διαβολὴν
τοῦ ὅρου τῶν πρός τι, ταῦτά τε καὶ τὰ ἑπόμενα τούτοις λέγειν, διορθώσασθαι αὐτὸν
ἐφιέμενος. ἐνδεικνύμενος, ὅτι ἐὰν μή φησί τις τὰ πρός τι εἶναι τοιαῦτα, οἷς τὸ εἶναι
ταυτόν ἐστι τῷ πρός τί πως ἔχειν, οὐδεμίαν ἔχει ἀνάγκην. οὔτε ἡ συνύπαρξις αὐτῶν,
οὔτε τὸ, μίαν εἶναι φύσιν τῶν πρός τι. δυνατὸν δὲ καὶ πρὸς τὰς ἀπορητικὰς ταύτας
ἀποδείξεις, ἐνίστασθαι. οὐδὲ γὰρ τὴν ἀρχὴν ζώου ἀναιρουμένου, ἐπιστήμη ἀναιρεῖ-
ται οὐδὲ αἴσθησις. κἂν γὰρ ἐν ἀνθρώποις μὴ ᾖ ἐπιστήμη τινὸς, ἀλλ' ἐν τῷ ἀκινήτῳ αἰτίῳ
ἐστί. κἂν ἐν μικρῷ ζώῳ μὴ ᾖ αἴσθησις, ἀλλ' αἰσθητοῦ ὅλου ὄντος, ἔστι καὶ αἴσθησις καθόλου
ἐν τῇ τοῦ παντὸς ζωῇ. Ἀλλ' οὐδὲ ἐκεῖνο ἀληθὲς, ὅτι μὴ οὔσης αἰσθήσεως, ἔστι τὸ αἰσθητόν.
οὐ γάρ ἐστι. μέλι γὰρ ἔστω καὶ χιών. Ἀλλ' οὐδὲ τὸ μέλι γευστὸν, οὐδὲ ἡ χιὼν ὁρατή. ὥστε,
οὐδὲ ἄλλο τι κατὰ τὸ αἰσθητὸν, ἔσται χωρὶς αἰσθήσεως. ἀλλ' ὁ μὲν Ἀριστοτέλης πρὸς τὸ μὴ
εἶναι ἴδιον τῶν πρός τι τὸ ἅμα ὑπάρχειν, τὸ μὴ πᾶσι προσεῖναι τοῦτο τοῖς πρός τι
παρήγαγεν. ἄλλοι δὲ τὸ μὴ πᾶσιν ὑπάρχειν συγχωροῦσιν. ὅτι δὲ οὐ μόνοις ὑπάρχει τοῖς
πρός τι, δεικνύουσι καὶ ἐκ τούτου τὸ μὴ ἴδιον εἶναι, καὶ κατασκευάζουσι. Πᾶσι γάρ φασι
τοῖς ἀντικειμένοις τὸ ἅμα εἶναι συνθεωρεῖται. καὶ γὰρ τοῖς ἐναντίοις συμβέβηκε τὸ
συνυπάρχειν. εἰ γὰρ τὸ λευκὸν ἐναντίον ἐστὶ τῷ μέλανι μὴ ὄντος τοῦ μέλανος, οὐδὲ
τὸ ἐναντίον ἐστὶν αὐτοῦ τὸ λευκόν. διότι πᾶσα ἐναντίωσις, ὄντος ἀεὶ πρὸς ὃ γίνε-
ται. ὥστε εἰ θάτερον τῶν ἐναντίων ἐστὶ, καὶ τὸ ἕτερον ἀνάγκη εἶναι. καὶ ἡ ἕξις δὲ καὶ
ἡ στέρησις, τρόπον τινὰ συνυπάρχουσιν. ἡ γὰρ ἕξις, παροῦσα μὲν, τὴν ἕξιν ποιεῖ. ἀποῦσα δὲ,

τὴν στέρησιν. καὶ συνεμφαίνεται ἐν ἀμφοτέραις ὁ τοῦ εἴδους λόγος. ὅπου μὲν ἐν τῷ μετέχεσθαι. ὅπου δὲ ἐν τῷ μὴ μετέχεσθαι. καὶ ἡ στέρησις δὲ, ὡσαύτως συνεμφαίνει καὶ τὴν τῆς ἕξεως ἀναίρεσιν, μεθ' ἧς ἔχει τὸ εἶναι. τῆς γὰρ ἕξεώς ἐστι στέρησις. καὶ ὅτι οὐχ οὕτως συνυπάρχει ταῦτα ὡς τὰ ἐναντία, δῆλον εἴπερ ἀνάγκη μὴ εἶναι τὸ ἕτερον τοῦ ἑτέρου ὄντος. συνεμφαίνεται δέ πως ἄλληλα, καὶ ταύτην τὴν συνύπαρξιν ἐκάλεσεν ὁ λόγος. ἀλλὰ δὴ καὶ ἡ κατάφασις φασὶ καὶ ἡ ἀπόφασις συνυπάρχουσιν. ὅταν γὰρ ἄν τις καταφήσῃ, τοῦτο καὶ ἀποφῆσαι δυνατὸν, εἴτε ἀληθῶς, εἴτε ψευδῶς. οὐδὲν γὰρ τοῦτο διαφέρει κατὰ τὸν λόγον. πάσαις ἄρα ταῖς ἀντιθέσεσιν ὑπάρχει τὸ ἅμα εἶναι. καὶ οὐ μόνοις τοῖς πρός τι. ὥστε οὐκ ἔστιν ἴδιον τῶν πρός τι. εἴπερ ἴδιόν ἐστι τὸ παντὶ καὶ μόνῳ ὑπάρχον. πρὸς δὲ τοῦτο ῥητέον εἶναι, ὅτι οὔτε ἡ στέρησις καὶ ἡ ἕξις, οὔτε ἡ κατάφασις καὶ ἀπόφασις κατὰ τὸ ἀληθὲς συνυπάρχουσιν, ἀλλὰ καὶ κατὰ τοῦτο μάλιστα οὐ δύνανται, κατὰ τὸ μὴ συνυπάρχειν. εἴπερ ἡ μὲν ἕξις, παρουσία τοῦ εἴδους ἐστίν. ἡ δὲ στέρησις, ἀπουσία. τὴν δὲ παρουσίαν τῇ ἀπουσίᾳ συνυπάρχειν, ἀδύνατον. καὶ τὴν κατάφασιν δὲ καὶ ἀπόφασιν, ἀδύνατον συνυπάρχειν, εἴπερ ἀεὶ πάντως ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀναγκαῖον εἶναι ταύτῃ, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος διαιρούσας. εἰ δὲ διὰ τὸ συνεμφαίνεσθαι ἀλλήλοις ὁπωσοῦν ταύτῃ δοκεῖ συνυπάρχειν, καὶ τὰ μὴ συνυπάρχοντα αὐτῶν τούτῳ τῷ μὴ συνυπάρχειν, ἔχει τινὰ συνέμφασιν. τὰ μέντοι ἐναντία εἴδη ὄντα ἄμφω καὶ ἰσοσθενῆ. πλὴν ὅτι καὶ τούτοις συνύπαρξις κατὰ σχέσιν ἐστί. καὶ τὸ πρός τι. πρὸς ἄλληλα γὰρ ἀπονεύουσι μετέχοντα τοῦ πρός τι. καὶ τὴν ἕξιν δὲ καὶ στέρησιν, καὶ τὴν κατάφασιν καὶ ἀπόφασιν, εἴ τις βιάζοιτο συνυπάρχειν τῷ συνεμφαίνειν ἀλλήλας καὶ ἐκείνας, ἀνάγκη κατὰ τὴν ὁποιανοῦν τοῦ πρός τι μέθεξιν, ταύτην ἔχειν τὴν συνέμφασιν. ἀποροῦσι δὲ καὶ ἄλλας ἀπορίας οἰκείας, τῷ περὶ δυνατῶν λεγομένων σκέμματι. καὶ δεῖ ἐκείνου δυναμένας διακρίνεσθαι. Πῶς γὰρ δή φασι τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητὸν κρινοῦμεν. πότερον τῇ ἐπιτηδειότητι μόνῃ, ὥσπερ Φίλων ἔλεγεν, κἂν μήτε ᾖ, μήτε μέλλῃ γίνεσθαι αὐτοῦ ἐπιστήμη. ὥσπερ τὸ ἐν τῷ ἀτλαντικῷ πελάγει ξύλον, καυστόν ἐστιν ὅσον ἐφ' ἑαυτῷ, καὶ κατὰ τὴν ἑαυτοῦ φύσιν. ἢ ἄρα τῇ ἀκωλύτῳ ἐπιτηδειότητι, κριτέον τὰ τοιαῦτα, καθόσον πέφυκεν ὑποπίπτειν ἐπιστήμῃ καὶ αἰσθήσει καθ' ἑαυτὰ, μηδενὸς φανεροῦ κωλύματος ἐνισταμένου. ἢ τούτων μὲν, οὐδέτερον. τὸ δὲ ἐπιστητὸν λέγεται, ὅταν ἐπιστήμη αὐτοῦ ᾖ. ἢ μέλλῃ ἔσεσθαι, καὶ μέλλῃ τῇ ἐκβάσει κρίνεσθαι τὸ δυνατόν. ἀλλὰ τὴν μὲν ἐπίκρισιν τούτων ὡς τῆς περὶ δυνατῶν χαλεπωτάτης θεωρίας ἐχομένην, παραιτοῦνται νῦν οἱ ἐξηγηταί. Τοσοῦτον δὲ μόνον τὰ νῦν λεγόμενα διακρίνουσι, ποίᾳ αἱρέσει συνᾴδει τῶν εἰρημένων, καὶ πρὸς ποίαν ἀναρμοστεῖ. καὶ γὰρ ὅταν μὲν ἀριστοτέλης διορίζηται ὡς ἐπιστήμης μὴ οὔσης, τὸ ἐπιστητόν ἐστι. καὶ παντὸς ζώου ἀναιρεθέντος, οὐ συναναιρεῖται τὸ αἰσθητὸν, ἀλλὰ τὰς ψιλὰς ἐπιτηδειότητας ἡ τοῦ δυνατοῦ κρίσις ἀποφέρεται. ὅταν δὲ μὴ δὲ ὅλως εἶναι ἐπιστητὸν λέγηται ὑπό τινων, ἐὰν μὴ ἡ ἐπιστήμη αὐτοῦ, τότε τῇ ἐκβάσει κρίνεται τὸ δυνατὸν κατὰ τούτους. καὶ ὅτι μὴ ὄντος ἐπιστητοῦ, οὐκ ἔστιν ἐπιστήμη συγχωρεῖται. ἀπὸ γὰρ τοῦ ἐπιστητοῦ γίνε-

καὶ ἡ περὶ αὐτοῦ ἐνέργεια. ὅτι δὲ μὴ οὔσης ἐπιστήμης, δύνασθαι εἶναι καὶ τὸ ἐπιστητόν. οἱ μὲν κατὰ τὴν ἐπιτηδειότητα μόνην κρίνοντες, τὸ δύνασθαι συγχωροῦσιν. ἔχει γὰρ τὴν οἰκείαν φύσιν πρὸς τὸ γινώσκεσθαι. οἱ δὲ τῇ ἐκβάσει δοκιμάζοντες, οὐ συγχωροῦσιν ἐὰν μὴ πάντως μέλλῃ ἡ ἐς ἔργον ἐνεργὲς προχώρησιν. ὅρα οὖν ὅπως ἄτοπον πάσχουσιν οἱ κρίνοντες μὲν τὸ δύνασθαι, κατὰ τὸν αὐτὸν τοῖς ἀρχαίοις τρόπον, κατὰ τὴν ὁποίαν οὖν ἐπιτηδειότητα ὥσπερ ὀφίλων. ἀποροῦντες δὲ πρὸς αὐτὸ νῦν κατὰ τὴν Διοδώρου ἔννοιαν, ταύτῃ τῇ ἐκβάσει τὸ δύνασθαι κρίνοντος, καὶ ὥς ἀπαντῶσιν πρὸς ταύτην νομίζοντες, τὸ, τὸ ἐπιστητὸν, ὡς ἐπιστητὸν εἶναι, μὴ οὔσης ἐπιστήμης. εἰ γὰρ κατὰ τοὺς παλαιοὺς τὸ ἔχειν ἀφορμὴν ὥστε δύνασθαι γενέσθαι, τοῦτό ἐστι δύνασθαι, ἀληθὲς μὲν ἂν εἴη τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθέν. ὅτι μὴ οὔσης τῆς ἐπιστήμης κατ' ἐνέργειαν, ἔστι τὸ ἐπιστητὸν δυνάμει. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν τῶν πρός τι συνύπαρξιν. ἔδει γὰρ τὸ μὲν δυνάμει πρὸς τὸ δυνάμει παραβάλλειν. τὸ δὲ ἐνεργείᾳ πρὸς τὸ ἐνεργείᾳ. καὶ οὕτως ἅμα λέγειν τὰ πρός τι. ὑπάρχει δὲ αὐτοῖς τοῦτο, διότι σὺν ἀλλήλοις καὶ δι' ἀλλήλων ἐστί. καὶ συνυπάρχει οὖν καὶ συναναιρεῖται, ἀνάγκη πως. καὶ οὐκ ἔστι θάτερον χωρὶς τοῦ ἑτέρου. καὶ κατὰ Ἀρχύταν, καὶ κατὰ Πλάτωνα, καὶ κατὰ τὴν αὐτοῦ τοῦ Ἀριστοτέλους ἐν τοῖς ἀκρι-
» βεστέροις διάταξιν. ἔχει δὲ ἀπορίαν. πότερον οὐδεμία οὐσία τῶν πρός τι λέγεται. ἕως
» τοῦ, τὸ μέντοι διηπορηκέναι ἕκαστον αὐτῶν οὐκ ἄχρηστόν ἐστιν. ἐπεὶ δὴ ἡ μὲν οὐσία ὡς καθ' αὑτὸ οὖσα ἀποδέδοται, τὰ δὲ πρός τι κατὰ τὴν πρὸς ἕτερον δηλονότι, οὐδεμία ἂν οὐσία τῶν πρός τι εἴη. καὶ γὰρ τὰ μὲν πρός τι, συμβεβηκότα. ἡ δὲ οὐσία, οὐ συμβεβηκός. ἀπορίαν οὖν ἔχειν εἰκότως φησί. πῶς τινὲς οὐσίαι δοκοῦσι τῶν πρός τι. ἡ γὰρ χεὶρ οὐσία οὖσα, τινὸς λέγεται χείρ. καὶ ὁ πούς, τινὸς λέγεται πούς. τὰ δὲ τινὸς λεγόμενα, τῶν πρός τι ἐδόκει. ἀνάγκη οὖν ἢ τὰ μέρη τῶν οὐσιῶν μὴ λέγειν οὐσίας, ὅπερ ἄτοπον, τὸ ἐκ μὴ οὐσίας εἶναι τὴν οὐσίαν. καὶ μέντοι καὶ τοῖς προειρημένοις ἐναντίον. αὐτὸς γὰρ εἶπεν ὅτι τὰ μέρη τῶν οὐσιῶν οὐσίαι, ἢ τὸν ἀποδιδόμενον τῶν πρός τι λόγον ἐπανορθῶσαι. τὸ γὰρ ὅσα ἑτέρων εἶναι λέγεται, ταῦτα εἶναι πρός τι. καὶ γὰρ ἡ χείρ, τοῦ χειρωτοῦ λέγεται. καὶ ἡ κεφαλή, τοῦ κεφαλωτοῦ. αὐτὸς δὲ καθολικώτερον ποιῶν τὸν λόγον, περὶ πάσης οὐσίας ζητεῖ, εἰ ἔστι τῶν πρός τι, τῆς τε πρώτης καὶ τῆς δευτέρας καὶ τῶν ἐν ταύταις μερῶν. καὶ τὴν μὲν πρώτην καὶ ἄτομον οὐσίαν καὶ τὰ ταύτης μέρη, ἐναργῶς φησὶ μὴ λέγεσθαι τῶν πρός τι κατὰ τὸν ὁρισμόν. οὔτε γὰρ ὁ ἄτομος ἄνθρωπος, καὶ οὐ λέγεται τινὸς τὶς ἄνθρωπος. εἰ δὲ ἦν πρός τι, οὕτως ἂν ἐλέγετο, ὥσπερ τὸ δεξιόν, ἀριστεροῦ δεξιόν. εἰ οὖν τὸ ἑτέρου λέγεσθαι, αὐτὸ τοῦθ' ὅπερ ἐστί, τοῦτό ἐστι τὸ πρός τι. καὶ εἰ ὁ τὶς ἄνθρωπος, τινὸς τὶς ἄνθρωπος ἂν λέγοιτο. εἰ δὲ μὴ λέγεται οὕτως, οὐκ ἔστι τῶν πρός τι. ὁμοίως δὲ καὶ τὸ ἄτομον μέρος. οὐδὲ γὰρ ἡ τὶς χείρ, τινὸς τὶς χεὶρ λέγεται. ἔδει δὲ εἴπερ ἦν πρός τι. διότι τὰ ἄτομα, ταύτῃ διαφέρει τῶν κοινῶν ἐν τῇ κατηγορίᾳ καθόσον προστίθεται αὐτοῖς τὸ τὶς τὸ ἐν ἀριθμῷ. ὅταν οὖν περὶ τῆς ἀτόμου οὐσίας κατηγορῶμεν, τὶς ἄνθρωπος λέγομεν. καὶ ἡ κατηγορία ἔσται τινὸς τὶς ἄνθρωπος. ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν. ἐπὶ μὲν τῶν ὅλων πάλιν διαφανές, τὸ μὴ εἶναι πρός τι. οὔτε γὰρ ἄνθρωπος,

οὐ λέγεται τινὸς ἄνθρωπος. οὐδὲ ὁ βοῦς, τινὸς βοῦς. οὐδὲ τὸ ξύλον, τινὸς ξύλον. οὐσίαι γὰρ ὄντα ἔχουσι καθ' αὑτά. ἀλλὰ μήν γε τὸν ἄνθρωπον καὶ τὸν βοῦν τινὸς λέγομεν κτῆμα, ὥσπερ τὸν ἀγρόν, οὐ καθὸ οὐσίαν ἀποδίδομεν, ἀλλὰ καθὸ συμβέβηκεν αὐτοῖς κτήμασιν εἶναι. Ἀλλ' ἐπιστάσεως ἄξιον, διὰ τί τοῦτο οὐκ εἶπε καὶ ἐπὶ τῆς ἀτόμου οὐσίας τῆς ὅλης. Καὶ γὰρ ἐπὶ ταύτης δυνατὸν ἦν εἰπεῖν, ὅτι ὁ τὶς ἄνθρωπος οὐ τινὸς ἄνθρωπος. καίτοι ὁ δοῦλος, τινὸς ἡμῶν κτῆμα τοῦ οἰκείου δεσπότου. ἀλλ' ἴσως ἰδίους εὑρὼν ὥσπερ ἁρμόν τὸ τινὸς τὶς μὴ ἔχον, ἀπέλυσεν τὴν κατηγορίαν τούτῳ προσεχέστερον. δείξας οὖν ὅτι οὔτε αἱ πρῶται οὐσίαι αἱ ὅλαι, οὔτε τὰ μέρη αὐτῶν πρός τι λέγεται, ἀλλ' οὔτε αἱ δεύτεραι οὐσίαι αἱ ὅλαι, ἐπ' ἐνίων φησὶ τῶν δευτέρων οὐσιῶν, τουτέστιν ἐπὶ τῶν μερῶν ἔχει ἀμφισβήτησιν. ὥσπερ γὰρ τοῦ τινὸς ἀνθρώπου ἐστὶ μέρος ἡ τὶς κεφαλή, οὕτω καὶ τοῦ ἀνθρώπου τοῦ ἁπλῶς, ἡ ἁπλῶς κεφαλή. ἀλλὰ τὰ μὲν ἄτομα μέρη ἀπέδειξε μὴ ὄντα πρός τι, διὰ τὸ μὴ λέγεσθαι τινὸς τὶς κεφαλή. ἐπὶ δὲ τῶν κοινῶν ἐνδέδωκεν, ὅτι ταῦτα διὰ τὸ ἕκαστον αὐτῶν, ὅπερ ἐστὶν ἑτέρου λέγεσθαι. μέρη γὰρ ὄντα τῶν ὅλων ἐστί, δοκεῖ πρός τι εἶναι. οὐ γὰρ ἴσον ἐπὶ τούτων εἰπεῖν, ὅπερ ἐπὶ τῶν ἀτόμων οὐσιῶν ἐκώλυσεν εἶναι πρός τι ἐκεῖνα. ταῦτα οὖν εἰπών, συνορᾷ ὅτι διορθώσεως δεῖται τινός, ὁ ἀποδοθεὶς τῶν πρός τι ὁρισμὸς πρὸς τὸ λυθῆναι τὸ ἄπορον. εἰ γὰρ ἱκανῶς φησὶν ἀποδίδοται, ἢ τῶν χαλεπῶν ἢ τῶν ἀδυνάτων ἐστὶ τὸ δεῖξαι, ὡς οὐδεμία οὐσία τῶν πρός τί ἐστι. τὰ γὰρ μέρη τῶν δευτέρων οὐσιῶν, τινὸς λέγονται τοῦ ὅλου. καὶ διὰ τοῦτο τῷ ἀποδοθέντι ὁρισμῷ τῶν πρός τι ὑποπίπτουσι. Διὰ τοῦτο οὖν ἵνα μὴ εὑρεθῇ τὶς οὐσία τῶν πρός τι οὖσα, ἕτερον ὁρισμὸν αὐτῶν ἀποδίδωσι τὸν λέγοντα ὅτι ἔστι τὰ πρός τι. οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, οὐκέτι τὸ λέγεσθαι πρὸς ἕτερον, ἀλλὰ τὸ εἶναι τοῖς πρός τι ἀποδούς. καὶ γὰρ τὸ μὲν λέγεσθαι, τὴν οὐσίαν αὐτῶν οὐ δηλοῖ. τὸ δὲ εἶναι πρὸς ἕτερον, αὐτὴν τὴν οὐσίαν παρίστησι. καὶ τὸ μὲν λέγεσθαι, καὶ ἄλλοις συμβέβηκεν ὥσπερ τοῖς μέρεσι. τὸ δὲ εἶναι, τοῖς πρός τι μόνοις. διὸ ἡ κεφαλὴ λέγεται μὲν τινός. ἐπειδὴ δὲ οὐκ ἔστι τὸ εἶναι αὐτῆς ἐν τῇ σχέσει τοῦ πρὸς ὃ λέγεται. ἔστι γὰρ κεφαλή, ὥς ὑποκείμενόν τι πρᾶγμα. καὶ ἔστι λόγον αὐτῆς ἀποδοῦναι καθ' ἑαυτήν. οὐδὲν δὲ πρός τι ὑφίσταται καθ' ἑαυτό, οὐκ ἂν εἴη τῶν πρός τι ἡ κεφαλή. οὖσα γὰρ καθ' ἑαυτήν, οὕτω καὶ ἄλλων λέγεται, ὧν ἐστι μέρος. τὰ δὲ πρός τι οὐκ ὄντα τι ἄλλο καθ' αὑτά, ἔπειτα πρός τι λέγεται. ἀλλ' αὐτὸ τὸ εἶναι ἐν τούτῳ ἔχει, ἐν τῷ πρὸς ἕτερόν πως ἔχειν. οὐ γὰρ εἴ τι μετ' ἄλλου ὑφέστηκεν, ἤδη καὶ πρός τι ἐστὶν ὡς πρὸς ἐκεῖνο. καὶ γὰρ ἡ γραμμή, μετὰ τοῦ ἐπιπέδου ὑφέστηκε. καὶ οὐκ ἔστι πρός τι ὡς γραμμὴ πρὸς ἐπίπεδον. καθὸ δὲ πέρας, πρός τι ἐστὶ πρὸς τὸ πεπερασμένον. καὶ καθὸ δὲ μέρος τι, πρὸς ὅλον. οὕτω δὲ καὶ ἡ κεφαλή. ὡς μὲν οὐσία καθ' αὑτήν, οὐκ ἔστι τῶν πρός τι. ὡς δὲ μέρος πρὸς ὅλον, ἔχει τὸ εἶναι. ὅλου γὰρ μέρος. καὶ τὸ ὅλον, μερῶν ὅλον. ἀλλὰ μὴν εἴ γε κατὰ τὸ λέγεσθαι χαρακτηρίζοιτο τὰ πρός τι, καὶ ἡ κεφαλὴ τοῦ κεφαλωτοῦ λέγεται, καὶ ἡ χεὶρ τοῦ χειρωτοῦ, καὶ τὸ πηδάλιον τοῦ πηδαλιωτοῦ. ἀλλὰ προσεκτέον, ὅτι καθὸ μὲν κεφαλή, καὶ ὅπερ κεφαλή, οὐχ ἑτέρου. ἢ δὲ μέρος, ἑτέρου. κατὰ συμβεβηκὸς οὖν πρός τι. ὥσπερ καὶ οἰκία. καθὸ μὲν οἰκία, καθ' αὑτήν. καθὸ δὲ τινὸς κτῆμα, πρός τι. ἵνα οὖν μὴ ἐνοχλῇ κατὰ συμβεβηκὸς πρός τι,

ἀποδιδόασιν ἄλλον ὅρον τῶν πρός τι παραιτησάμενοι τὸν πρότερον. πρός τι λέγοντες εἶναι, οἷς τὸ εἶναι ταυτόν ἐστι τῷ πρός τί πως ἔχειν. τὸ γοῦν διπλάσιον ὅ ἐστι, ταυτόν ἐστι τῇ σχέσει ἣν ἔχει τὸ ὑποκείμενον. καὶ τὸ ἥμισυ ἀνάπαλιν, ταυτόν ἐστι τῇ σχέσει τῇ πρὸς τὸ διπλάσιον, καὶ οὐδὲν ἕτερον. ὁ δὲ πρότερος ὁρισμὸς ὁ κατὰ τὸ λέγεσθαι, παρηκολούθει μὲν ἅπασι τοῖς πρός τι ὥς κοινόν τι συμβεβηκὸς καὶ πλεονάζον. οὐ μὴν κατὰ τοῦτο ἦν τὰ πρός τι, ἀλλὰ καθὸ τὰ ὑποκείμενα πλεονάζει τῇ σχέσει. διὸ ὁ μὲν πρότερος ὅρος, τὸ τί ἐστιν οὐκ ἀποδέδωκε τῶν πρός τι. ὁ δὲ δεύτερος, καὶ τὴν οὐσίαν ἀφωρίσατο. καὶ ἐκεῖνος μὲν, οὐκ ἀντιστρέφει πρὸς τὸ ὁριστόν. οὐ γὰρ εἴ τι πρὸς ἕτερον λέγεται. ἐπειδὴ ἑτέρων λέγονται καὶ τὰ ἴδια καὶ τὰ μέρη. τὸ γὰρ γελαστικὸν, ἀνθρώπου λέγεται. πάλιν δὲ ἡ χείρ, τινὸς λέγεται, τοῦτο πρός τι ἐστίν. οὗτος δὲ ἀντιστρέφει. ταῦτα μὲν οὖν τοῖς ἄλλοις ἐξηγηταῖς τοῦ ἀριστοτέλους δοκεῖ. ὁ δὲ κριτικώτατος συριανὸς, ὅτι μὲν φησὶν, οὔτε τὴν πρώτην οὐσίαν οὔτε τὴν δευτέραν πρός τι εἶναι ἀνέχεται, πάνυ κατορθοῖ. πᾶσα μὲν γὰρ οὐσία καθ᾽ αὑτήν ἐστι καὶ ἑαυτῆς ὥς καὶ ἀρχύτα δοκεῖ. τὰ δὲ πρός τι, τῇ πρὸς ἄλληλα σχέσει δέδεται, καὶ ἀλλήλων ἐστίν. ὅτι δὲ περιίστασθαι φησὶ τῷ ἀποδοθέντι λόγῳ τῶν πρός τι τὸ τινὰς τῶν δευτέρων οὐσιῶν εἶναι πρός τι, τοῦτο οὐκέτι ὀρθῶς πῶς ἔχει. εἰ μὴ γὰρ ἁπλῶς εἴρηται πρός τι τὰ τινὸς λεγόμενα, ἴσως ἂν ἦν εἰπεῖν, ὅτι ἡ χεὶρ τινὸς λεγομένη, πρός τι ἐστίν. ἐπειδὴ δὲ σαφῶς εἴρηται ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἐξετάζειν ἔδει, εἰ ἡ χεὶρ ὡς χείρ, καὶ καθὸ χεὶρ ἑτέρου λέγεται. ἢ ὡς μέρος καὶ οὐχ ᾗ αὐτὸ ὅπερ ἐστίν. ὥσπερ οὖν ὁ τμηθεὶς ὀβολὸς ἢ τὸ ξύλον, τινὸς εἶναι λέγεται, οὐχ ᾗ ἐστιν ὅ ἐστιν, ἀλλ᾽ ᾗ κτῆμα ἐστὶ τινός, οὕτως οὐδ᾽ ἂν ἡ κεφαλὴ τινὸς λέγεται. ἣ τοιόνδε εἶδος ἔχει, τινὸς λέγεται εἶναι, ἀλλ᾽ ἣ μέρος ἐστὶ ζώου. καὶ συμβέβηκεν αὐτῷ ὥσπερ ἄλλα τινὰ, οὕτως καὶ ἡ σχέσις τῶν πρός τι. καὶ οὐκ ἀναγκάζεται ἐκ τοῦ ἀποδοθέντος ὁρισμοῦ καὶ τὰ καθ᾽ ἑαυτὰ τῶν πρός τι συντάττεσθαι. καὶ γὰρ οὖν αὐτὸς ἀποδίδωσιν οἷς τὸ εἶναι ταυτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἰσοδυναμεῖ καὶ κατὰ πορφύριον τῷ προτέρῳ. ὃς καὶ ταύτην τὴν ἔννοιαν ἀποδέδοται. οὐ δὲ γὰρ τὰ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λεγόμενα δι᾽ ἄλλο τι ἔχει τοῦτο, ἢ διὰ τὸ εἶναι αὐτῶν ταυτὸν τῷ εἶναι τῷ πρός τί πως ἔχειν. ἴσως δὲ ἡ διαφορὰ ἐν τούτῳ ἐστί. καθόσον ἐκεῖνος μὲν, ἀπὸ τοῦ λέγεσθαι τὸ εἶναι ἐνεδείξατο ὡς ἀπὸ ἐναργεστέρου. οὗτος δὲ, ἀπὸ τοῦ εἶναι καὶ τὸ λέγεσθαι, ὡς ἀπὸ αἰτιωδεστέρου. ἐπὶ δὲ τοῖς εἰρημένοις, ὁ ἀριστοτέλης ὥσπερ πόρισμά τι ἀναφαινόμενον παραδίδωσιν. ὅτι ἄν τις εἰδῇ τι τῶν πρός τι ὡρισμένως, καὶ τὸ πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται. τούτῳ δὲ ἑπόμενον δείκνυσι τὸ τὴν κεφαλὴν καὶ τὴν χεῖρα, μὴ εἶναι τῶν πρός τι. τοῦ γὰρ τὸ ὅλον σῶμα ἐγκεκαλυμμένου, γινώσκειν μὲν ἔστι καὶ τὴν κεφαλὴν καὶ τὴν χεῖρα. ὅτου δέ ἐστιν, οὐκ ἔστιν εἰδέναι. καίτοιγε εἰ ἦν πρός τι, πάντως ἂν ἔγνωμεν ὥσπερ ἐπὶ τοῦ διπλασίου ὅτι ἡμίσεος. καὶ ὅτι μὲν ὁ τὸ ἕτερον ὡρισμένως εἰδὼς, καὶ τὸ ἕτερον ὡρισμένως οἶδε, δείκνυσιν ἐκ τοῦ τὰ πρός τι κατὰ τὴν σχέσιν τὴν πρὸς ἕτερον θεωρεῖσθαι, καὶ διὰ τοῦτο συνυπάρχειν τῇ σχέσει. καὶ συμπληροῦν αὐτὴν καὶ τὸ ἕτερον, πρὸς ὃ ἡ σχέσις. ὁ οὖν εἰδὼς τὸ ἕτερον ὡρισμένως, οἶδε καὶ τὸ λοιπὸν πρὸς ὃ πῶς εἶχε τὸ ἕτερον τῶν πρός τι. μετὰ δὲ τὴν ἀπὸ τῆς ἐννοίας ἔφοδον, καὶ ἐκ τῆς ἐπαγωγῆς τὸ αὐτὸ παρα-

εἰδῶσιν. ὁ γὰρ εἰδὼς ὅτι τὰ τέσσαρα διπλάσιά ἐστιν ὡρισμένως, οἶδε καὶ τὰ δύο ὡρισμένως ὧν ἐστι διπλάσια τὰ τέσσαρα. καὶ οὐ χρὴ μόνον τὸν κοινὸν ὃν οἶδε τοῦ διπλασίου καὶ τοῦ ἡμίσεος λόγον. καὶ ἐπὶ τοῦ καλλίονος δὲ ὡσαύτως. εἰ οἶδέ τις αὐτὸ ὡς κάλλιον, καὶ ὅτου κάλλιόν ἐστιν οἶδεν. εἰ δὲ νομίζει τις τὸ μὲν κάλλιον ἀφωρισμένως εἰδέναι, τὸ δὲ χεῖρον οὗ ἐστι κάλλιον οὐκ ἀφωρισμένως, οὐδὲν κωλύει τοῦ τὸ κάλλιον ὑπολαμβάνει, πάντως εἶναι χεῖρον. ὑποληπτικὸς οὖν φησὶ τοῦτό ἐστιν οὐκ ἐπιστήμη. ἐπιστήμῃ χρησάμενος, ἥ τις ἐπὶ τῶν καθόλου μόνων κυρίως λέγεται. καὶ αὐτὸς δὲ δῆλον ἐποίησεν, ὅτι τὴν ἀκριβῆ καὶ ἐπὶ τῶν αἰσθητῶν γνῶσιν, ἐπιστήμην ἐκάλεσεν εἰπών. οὐ γὰρ ἔστιν ἐπίστασθαι ἀκριβῶς. εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδὲ ἡ χείρ, οὐδὲ ἡ κεφαλή, οὐδὲ ἄλλη τις οὐσία ἔσται τῶν πρός τι. εἰ γὰρ ἐγκεκαλυμμένος τις προτείνει χεῖρα, ἢ ἄλλο μέρος, ὅτι μὲν χεὶρ ὡρισμένως εἰσόμεθα. τίνος δέ ἐστι χείρ, οὐκέτι ὡρισμένως εἰσόμεθα. τὸ δὲ αἴτιον, ὅτι ἕκαστον τούτων ἐστὶν ὅπερ ἐστίν, οὐκ ἐκ τοῦ πρὸς ἕτερόν πως ἔχειν, ἀλλ' ἐκ τοῦ τοιάνδε ἔχειν οὐσίαν, καὶ τοιάνδε ποιότητα. εἰ οὖν τὰ μὲν μέρη ὡρισμένως γινώσκομεν, πρὸς ἃ δὲ λέγεται οὐκέτι ὡρισμένως, οὐκ ἔστι τὰ μέρη τῆς οὐσίας πρός τι. εἰ δὲ ταῦτα μή ἐστι πρός τι, οὐδὲ ἄλλη οὐσία ἔσται τῶν πρός τι. αὕτη γὰρ μόνη ἐδόκει τῶν πρός τι εἶναι. Χρὴ δὲ ἐφιστάνειν ὅτι διὰ τούτου τοῦ ἐπιχειρήματος, τὰ ἄτομα μέρη δείκνυται μὴ ὄντα τῶν πρός τι καθ' ὃ οὐσία. ταῦτα γάρ ἐστι τὰ ὡρισμένα. πῶς οὖν καθόλου ἐπήνεγκεν, ὡς εἰ μή ἐστιν αὕτη τῶν πρός τι, οὐδὲ μία οὐσία τῶν πρός τι ἐστίν. Ἢ ὅτι ὥσπερ ἂν ἔχῃ καὶ τὰ καθέκαστα, οὕτως ἔχει καὶ τὰ κοινά. κυριώτερον δὲ ἀποδείκνυται ἐκ τοῦ τὸ εἶναι αὐτοῖς μὴ εἶναι ταὐτὸν τῷ πρός τί πως ἔχειν. προσέθηκε δέ, ὅτι χαλεπὸν περὶ τῶν τοιούτων σφοδρῶς ἀποφαίνεσθαι μὴ πολλάκις ἐπεσκεμμένους. φιλόσοφον γὰρ τὸ μὴ διατείνεσθαι ἀνεξετάστως. τί οὖν φαίη τις ἂν ὄφελος τῆς ζητήσεως, τῷ τὸ ἀληθὲς μὴ εὑρίσκοντι. ὅτι καὶ αὐτὸ τὸ διηπορηκέναι περὶ τινῶν, οὐκ ἄχρηστον. καὶ ὅτι πρὸς τὴν εὕρεσιν ἑτοιμότεροι ἐσόμεθα προηπορηκότες. καὶ ὅτι κἂν μὴ γνωστὸν ᾖ, αἱ περὶ αὐτὸ ἀπορίαι γνωσταὶ οὖσαι, διευρύνουσι τὴν ἡμετέραν γνῶσιν, καὶ τὴν αἰτίαν τοῦ ἄγνωστον εἶναι παραδεικνύουσιν. ὠφελιμώτατον δὲ καὶ τοῦτο. ἀλλὰ ταῦτα μὲν εἴρηται καλῶς. ἐπιστῆσαι δὲ ἄξιον ὡς οἶμαι, τοῦ χάριν ἐδεῖτο τῶν λόγων πρὸς τὸ ἀποφήνασθαι, ὅτι οὐδεμία τῶν πρός τι οὐσία ἐστί, προδήλου ὄντος. ὅτι ἡ οὐσία καθ' αὑτὴν οὖσα, ἀντίκειται τοῖς πρός τι. Ἀλλ' ἴσως οὐ πρὸς τὸ προσεχὲς εἴρηται, ἀλλὰ πρὸς τὸ ἀνώτερον. εἰ ποιεῖ γὰρ αὐτός, ὅτι ὁ τὴν χεῖρα τοῦ ἐγκεκαλυμμένου γινώσκων, οὐ χεῖρα ὡρισμένως αὐτοῦ γινώσκει. οὐ γὰρ τὴν τινὰ χεῖρα γινώσκει, ἀλλ' ἀορίστως χεῖρα. ἢ καὶ τὸ ἄτομον αὐτῆς εἶδος γινώσκων, οὐ πάντως οἶδε καὶ τίνος ἐστίν. ἀλλὰ καιρὸς ἂν εἴη λοιπὸν μετὰ τὴν τῆς λέξεως διερμηνείαν, τὰς ἐπαχθείσας ἀπορίας ἰδεῖν, καὶ τὰς λύσεις αὐτῶν ἐπισκέψασθαι. λέγουσι δέ τινες, ὅτι καὶ ἡ ἄτομος οὐσία τῶν πρός τι ἐστίν, ἑτέρου καὶ λέγεται καὶ ἐστίν. ὁ γὰρ Σωκράτης ὅπερ ἐστὶ τοῦ θεοῦ ἐστίν. ἀλλ' ὡς κτῆμα δηλονότι, οὐχ ὡς πρός τι. κατὰ συμβεβηκὸς οὖν. ὥστε καὶ ἐπὶ πάντων τῶν κατὰ συμβεβηκὸς λεγομένων ἡ αὐτὴ λύσις ἁρμόσει. ἐάν τις αὐτὸ καθ' αὑτὸ προηγουμένως λεγομένου τὸ κατὰ συμβεβηκὸς μεταλάβῃ, καὶ τὸ μὴ λεγόμενον, ἑτέρου λεχθήσεται. εἰ δὲ ἄλλος ὁμοίως θεοῦ λέγεται, καὶ ὅλως εἰκών, παραδείγματι γὰρ καὶ

τὰ τοιαῦτα πρός τι, διὰ τῆς σχέσεως οὐκ ἀντιστρεφούσης. οὐ γὰρ δὴ καὶ ὁ θεὸς ὅμοιος ἀνθρώπῳ. ἢ τὸ παράδειγμα τῇ εἰκόνι. ἢ τὸ μὲν παράδειγμα ἀντιστρέφει. οὐ γὰρ εἰκὼν παραδείγματός ἐστιν. οὕτως καὶ παράδειγμα εἰκόνος. τὸ δὲ ὅμοιον, οὐκέτι. ἀλλ' ἡ μὲν εἰκὼν, ὁμοία τῷ παραδείγματι. τὸ δὲ παράδειγμα, ὁμοίας εἰκόνος παράδειγμα. εἰ δὲ δυσχεραίνει τις τὸ ποιὰν οὖν ἀπ' ἐκείνων σχέσιν πρὸς τὰ τῇδε, ἐννοείτω τὴν ἄσχετον καλουμένην σχέσιν, καὶ τὴν ἀνεπίκλιτον πρόνοιαν, καθ' ἣν δὲ σώζουσιν ἡμᾶς οἱ θεοί. κτήματα δὲ ἡμεῖς αὐτῶν ἐσμέν. καὶ προνοοῦσι μὲν ἐκεῖνοι, κατευθυνόμεθα δὲ ἡμεῖς. τινὲς τῶν νῦν ἀκριβέστερον ἀποδοθέντα ὁρισμὸν τοῦτον ἐπιχειροῦσι διασύρειν, ὡς τὸ ὁριστὸν ἐν ἑαυτῷ περιλαβόντα. τὰ δὲ πρός τι ὁριζόμενος, οἷς τὸ εἶναι φησὶ, ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν. ἀλλὰ καὶ ἀσαφῆ τὴν ἀπόδοσιν ἐποιήσατο, ὡς καὶ Βοηθῷ καὶ Ἀρίστωνι δοκεῖ. ὅπερ καὶ αὐτὸ, κακία ὁρισμοῦ ἐστι. διόπερ ὁ Ἀρίστων ὡς ἐπὶ σαφέστερον μεταλαμβάνων τὰ πρός τί πως ἔχοντα, φησὶ ταῦτα εἶναι, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πῶς ἔχειν πρὸς ἕτερον. καὶ οὕτως δὲ καὶ Ἀνδρόνικος ἀποδίδωσι. τὴν δὲ ἀπορίαν ὁ μὲν Ἀχαϊκὸς λύων φησί. οὐ τὸ ὁριστὸν ἐν τῷ ὅρῳ περιειλῆφθαι, ἀλλὰ καὶ τῷ δευτέρῳ πρός τι ὁμωνύμως αὐτὸν κεχρῆσθαι φησί. ἀντὶ τοῦ πρὸς ὁτιοῦν πως ἔχειν. δύναται δέ τις κἀκεῖνο λέγειν, ὅπερ καὶ πρότερον. ὡς τὰ γενικώτατα καὶ ἀρχικώτατα γένη, δι' ἑαυτῶν ἀνάγκη σαφηνίζεσθαι, ἅτε μὴ ἔχοντά τι καθολικώτερον δι' οὗ κατὰ νόμον τις αὐτῶν ποιήσεται τὴν ἀπόδοσιν. λύουσι δὲ οὕτω τὴν ἀπορίαν. τὸ λευκόν, ἔστι μὲν καὶ ἐπὶ τῆς λευκότητος εἰπεῖν. ἔστι δὲ καὶ ἐπὶ τοῦ μετέχοντος σώματος τῆς λευκότητος. ἂν οὖν ὁ μέν τις τὸ λευκὸν εἴπῃ χρῶμα διακριτικὸν ὄψεως, ὁ δέ τις ἀκούσῃ ἐπὶ τοῦ μετέχοντος σώματος, δῆλον ὅτι ἄτοπος δόξει ὁ λόγος. οὐ γάρ ἐστι τὸ σῶμα, χρῶμα διακριτικὸν ὄψεως. ἔστιν οὖν διόρθωσις τοῦ τοιούτου παρακρούσματος τὸ λέγειν, ὅτι τὸ λευκὸν καθὸ λευκόν, ἢ ᾗ λευκόν, χρῶμά ἐστι διακριτικὸν ὄψεως. καὶ οὐ δήπου τὸ ζητούμενον λαμβάνεται ἐν τῇ τοιαύτῃ προσθήκῃ. τοὐναντίον γὰρ μὴ προστιθέντος, ψευδὴς ἔσται ὁ ὅρος. ἢ ἐνταῦθα οὖν οὐχ ἁπλῶς εἴρηται τὰ πρός τι. ὅτι δὲ ταὐτὰ τῷ πρός τί πως ἔχειν, ἀλλὰ πρόσκειται οἷς τὸ εἶναι, ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν. τὸ γὰρ εἶναι τῶν πρός τι ἐστὶ, τὸ σχέσιν εἶναι ἑτέρου πρὸς ἕτερον, οἷον τὰ τέσσαρα καὶ δύο, οὐ καθὸ τέσσαρα ἢ δύο ταύτῃ πρός τι ἐστὶν, ἀλλὰ καθόσον θεωρεῖταί τις ὑπεροχὴ τοῦ μείζονος πρὸς τὸ ἔλαττον αὐτῷ τῷ ἐλάττονι ὑπερέχουσα τὸ ἔλαττον. μήποτε δὲ οὐδὲ ἄλλως οἷόν τέ ἐστιν ἀποδοῦναι τὰ πρός τι. κατὰ αὐτὴν γὰρ μόνην τὴν σχέσιν, ὑφέστηκε δὲ ὁ τῆς σχέσεως λόγος ἕτερος ὢν τῶν ὑποκειμένων, οὕτως ἀποδοτέοι τὰ πρός τι. αὐτὰ μὲν γὰρ τὰ ὑποκείμενα, οὐκ ἔστι τὰ πρός τι. ἡ δὲ σχέσις αὐτῶν ἡ πρὸς ἄλληλα ἧς μετέχει τὰ ὑποκείμενα. ὁ οὖν τὰ μετέχοντα αὐτὰ ὁριζόμενος κατὰ τὴν μέθεξιν, ἀναγκάζεται τὴν μέθεξιν ἐν τῷ ὁρισμῷ παραλαμβάνειν. ὅτι γὰρ τὰ πρός τι ἃ ὁρίζεται τὰ μετέχοντά ἐστι, δηλοῖ τὸ πληθυντικῶς εἰρῆσθαι, τῆς τοῦ γένους αὐτῶν ἰδιότητος μιᾶς οὔσης. ὅλως γὰρ, οὐδὲ δυνατὸν οἶμαι περὶ τῆς σχέσεως αὐτῶν εἰπεῖν. ὅτι πρός τί πως ἔχειν ἄλλο πρὸς ἄλλο, κατὰ τοῦτο θεωρεῖται. ὥσπερ καὶ ἡ τοῦ ἔχειν κατηγορία, οὐκ ἐν τῷ ἔχειν τι αὐτὸ λέγεται, ἀλλ' ἐν τῷ ἄλλο τι ἔχειν. σαφέστερον δὲ ταύτην τὴν ἔννοιαν



Universitäts- und
Landesbibliothek Düsseldorf

δηλοῦσιν, ὅ, τε τοῦ ἀρχαϊκοῦ ὁρισμὸς λέγων, οἷς τὸ εἶναι ταὐτόν ἐστι, τῷ πρὸς ὁτιοῦν πως ἔχειν. καὶ ὁ ἀρίστωνος καὶ ὁ ἀνδρονίκου ὁ λέγων, οἷς τὸ εἶναι, ταὐτόν ἐστι τῷ πρὸς ἕτερόν πως ἔχειν. ὡς γὰρ ἐπὶ τῶν μετεχόντων τῆς τοῦ πρός τι σχέσεως, καὶ κατὰ ταύτην ἀφοριζομένων, εἴρηται τοῦτο, ἐπεὶ καὶ δύναταί πως καὶ ἐπ' αὐτῆς ἀκούεσθαι τῆς σχέσεως. τὸ γὰρ εἶναι τῶν κατὰ πρός τι σχέσιν, ταὐτόν ἐστι τῷ ἕτερον πρὸς ἕτερόν πως ἔχειν. καὶ ὁ φιλόσοφος δὲ συριανὸς, οὕτω λύει τὴν ἀπορίαν, ὡς τῆς ὁμωνυμίας πλανώσης τῶν μετεχόντων, πρὸς τὸ μετεχόμενον. πολὺ γὰρ συνανακέκραται τοῖς μετέχουσι. διὸ μεταβαλλομένων ἐκείνων, αὐτὰ καὶ συμφθείρεται. ὡς ἐν ἐκείνοις οὐδὲν ἤ που καὶ ἐν ἑαυτοῖς τὸ κῦρος ἔχοντα, πρὸς τὰς ζητουμένας εἶναι ἔσχε χρείαν ἡ τοῦ δευτέρου ὁρισμοῦ προσθήκη, ὅθεν ὁ θεῖος ἰάμβλιχος ὑπαντῶν. διότι φησὶν ὁ πρότερος περιελάμβανε δικαιοσύνην. λευκότητα. τινῶν γὰρ λέγονται καὶ αὐτά. πρὸς ὃ ῥητέον οἶμαι τὰ αὐτά. ὅτι ἄλλο ἐστὶ τὸ ἐν ἑτέροις εἶναι καὶ μετὰ ἑτέρων, καὶ ἄλλο τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι. δικαιοσύνη γὰρ καὶ λευκότης κἂν ἐν ἑτέροις ὦσιν, ἀλλ' ἔχουσιν οἰκείους λόγους καθ' οὓς ἀφορίζονται. εἰ μὴ ἄρα τις λαμβάνοι, καθὸ ἕξις ἐστὶν ἡ δικαιοσύνη. κατὰ τοῦτο δὲ καὶ πρός τί ἐστιν. ἔτι φησὶν ὁ λέγων πρός τι τὰ ἑτέρου λεγόμενα, τὴν τοῦ ἑνὸς μόνου σχέσιν περιίστησι. τὴν δὲ τῶν δύο πρὸς ἄλληλα, οὐκέτι ἐπιδείκνυσιν, ἀλλ' οἷον ἐφ' ἡμισείας ἀποδίδωσι τὸν ὅρον. διὸ καὶ ἄλλα περιλαμβάνεται τῶν μὴ πρός τι. ὁ μέντοι δεύτερος, τὰς δύο σχέσεις συλλαμβάνεται πρὸς ἄλληλα. καὶ ταῦτα δὲ ἐπιστάσεως ἀξία νομίζω. πῶς γὰρ τὴν τοῦ ἑνὸς μόνην περιίστησιν ὁ πληθυντικῶς εἰπών. εἴτε γὰρ μὴ ἐπ' ἀμφοῖν ἀκούειν τις βούλεται, τοῦτο οὐδὲ τὸ οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν ἐπ' ἀμφοῖν ἀκούσει. οὐ γὰρ εἶπε πρὸς ἄλληλα, ἀλλὰ πρός τι. ἴδιον δὲ, ἐκείνου μὲν ὁ ὅρος, λέγεσθαι ἑτέρου φησὶ τὰ πρός τι. οὗτος δὲ, αὐτὸ τὸ εἶναι τῶν πρός τι, καὶ τοῦτο οὐσιωδῶς ἀφορίζεται. καὶ κατ' ἐκεῖνον ἡ χεὶρ φησὶ, πρός τί ἐστιν, ὅτι ἑτέρου λέγεται τοῦ ἔχοντος. κατὰ δὲ τοῦτον, οὐ ταὐτόν ἐστι τὸ εἶναι χεὶρ, τῷ πρός τί πως ἔχειν. καὶ πρὸς ταῦτα δὲ οἶμαι ῥᾴδιον εἰπεῖν. ὡς εἰ ἀληθῶς λέγοιτο, πάντως καὶ ἔστιν ὅπερ λέγεται. τὸ μὲν γὰρ εἶναι, τοῦ λέγεσθαι αἴτιον. τὸ δὲ λέγεσθαι, τοῦ εἶναι τεκμήριον. ὥστε ἀπ' αἰτίας μὲν οὗτος ὁ ὅρος. σαφέστερος δὲ ἐκεῖνος ἀπὸ γνωριμωτέρου γενόμενος. ἀμφότεροι δὲ εἰς τὴν αὐτὴν τείνουσιν ἔννοιαν. ἐπεὶ καὶ εἴ τις ἀμφισβητεῖ πρὸς τὸ εἶναι, ἀπὸ τοῦ λέγεσθαι ἂν αὐτὸ ῥᾳδίως πιστώσαιτο. καὶ ἡ χεὶρ δὲ, οὐδὲ κατ' ἐκεῖνον εἴη ἂν τῶν πρός τι. οὐ γὰρ καθὸ χεὶρ ἐν τούτῳ ἔχει τὸ εἶναι ἐν τῷ ἑτέρου λέγεσθαι, ἀλλ' εἴπερ ἄρα καθὸ μέρος, ὡς περὶ καὶ αὐτοῦ τούτου τοῦ ὅρου ἀπελογιζόμεθα. διὸ ὡς μὲν μέρος καὶ ὅλον, ἄμφω ἔχει σχέσιν πρὸς ἄλληλα. ὡς δὲ χεὶρ, οὔτε αὐτὴ πρὸς τὸ ὅλον, οὔτε τὸ ὅλον πρὸς αὐτήν. ἔτι δέ φασι περιίστησιν ὁ δεύτερος ὅρος, ὡς μέσον τι ἡ σχέσις ἐστὶ τῶν ὑποκειμένων καὶ ἐχόντων τὴν σχέσιν. καὶ ὁ πρότερος δὲ εἰ ἐν τῇ πρὸς ἕτερον ἀπονεύσει τὰ πρός τι ἀφορίζεται, ὡς μέσον τι θεωρεῖ τὴν ἀπόνευσιν. τοῦ, τε ἀπονεύοντος, καὶ τοῦ πρὸς ὃ ἀπονεύει. ταῦτα μὲν οὖν περὶ τούτου. Προκείσθω δὲ καὶ ἄλλη τις ἀπορία περὶ τῶν πρός τι ταῖς εἰρημέναις τοιάδε. τὰς δέκα κατηγορίας, δέκα γένη λέγομεν. καὶ ἑκάστην αὐτῶν εἰς οἰκεῖα εἴδη διαιρεῖσθαι φαμέν. ἓν δὲ τῶν δέκα γενῶν εἶναι τὰ πρός τι τιθέμεθα. ἀλλὰ μὴν τὸ γένος, εἴδους ἐστὶ γένος. καὶ τὸ εἶδος δὲ, γένους ἐστίν. ὥστε τῶν πρός τι ἂν εἴη καὶ τὸ γένος καὶ τὸ εἶδος,

ἐν τῶν πρός τι. τούτων δὴ οὕτως ἐχόντων, πολλὰ ἄτοπα δοκεῖ ἀναφαίνεσθαι. Πρῶτον μέν, καὶ τὸ ἀνωτάτω γένος, εἶδος ἔσται. ὅπερ οὐδ' ἂν εἴποι τις ἀνωτάτω ἐν εἶδος, τοῦτο τῶν πρός τι ὄντων. ἔπειτα τὸ πρός τι γένος λέγοντες εἶναι. ἓν δὲ εἶδος τοῦ πρός τι τὸ γένος. ἐπεὶ δὲ γένη φύσει προϋπάρχει τῶν εἰδῶν, αὐτὸ ἑαυτοῦ τὸ γένος πρότερον ἔσται. καὶ πρότερον εἶναι ὑφέστηκε. καὶ μήπω ἐκφανὲν ἐστί. Τρίτον δὲ λεγέσθω, ὅτι ἀναιρουμένου τοῦ πρός τι ἀνῄρηται καὶ τὰ τοῦ πρός τι εἴδη. ἓν δὲ τούτων ἐστὶ τὸ γένος. ἀναιρουμένου δὲ τοῦ γένους, ἀνῄρηται τὰ δέκα γένη. τὸ ἄρα πρός τι συναναιρεῖ ἑαυτῷ, καὶ τὴν οὐσίαν καὶ τὰ ἄλλα γένη. ἄτοπον δὲ τὸ τῆς σχέσεως ἀναιρουμένης, τὴν οὐσίαν ἀναιρεῖσθαι φύσει προτεραιοῦσαν. Τέταρτον, εἰ τὸ γένος ἕν ἐστι τῶν τοῦ πρός τι εἰδῶν, καὶ πᾶν γένος ὑπὸ τὸ πρός τι ἔσται, μία ἄρα πάντων ἀρχὴ τὰ πρός τι, ἅπερ παραφυάδι ἔοικεν αἱ φασί. καὶ ἐπεισοδιώδη τὴν φύσιν ἔχειν. καὶ μὴ δύνασθαι καθ' αὑτὸ ὑποστῆναι, ἀλλ' ἐν ἄλλῳ τὸ εἶναι ἔχειν. τούτου οὖν καὶ ἄλλων πολλῶν ἀποριῶν ἀναφαινομένων ἐκ τοῦ λόγου, κάλλιον ἴσως καὶ ἐπ' ἄλλου τὴν αὐτὴν ἀπορίαν ποιησαμένους τὴν ἐπ' ἐκείνης ἁρμόττουσαν λύσιν, καὶ ταύτῃ προσάγειν. ἐζήτει γὰρ τοίνυν πρότερον πῶς τὸ ἓν ἐν ἑνί τινι ταχθήσεται τῶν κατηγοριῶν. πότερον, ὡς ἀσώματον καὶ καθ' ἑαυτὸ οὐσία ἂν εἴη, ἢ ὡς μέτρον καὶ ἀρχὴ τῶν ἀριθμῶν τοῖς πρός τι συνταχθήσεται. ἢ ὡς μέρος ὂν τοῦ ποσοῦ κατὰ τὸν Ἀλέξανδρον, ἐν τῷ ποσῷ τακτέον. ὅπου δὲ ἂν κατατάττοιτο δῆλον ὅτι εἶδος ἐκείνου τοῦ γένους ἔσται τὸ ἕν. καὶ τῇ φύσει μετ' αὐτὸ ὑφέστηκεν. ἄρα οὖν οὐκ ἔστιν ἓν τῶν δέκα ἐκεῖνο τὸ γένος καὶ τῶν ἄλλων ἕκαστον γενῶν. προϋφέστηκεν ἄρα ἑαυτοῦ τὸ ἕν. καὶ ἀναιρούμενον αὐτό, καὶ ἡ κατ' αὐτὸ κατηγορία συναναιρεῖ καὶ τὰς ἄλλας. εἴπερ μὴ ἑκάστῳ αὐτῶν ἐνυπάρχει, ἀλλ' ἀπειράκις ἄπειρος. ἀναμνησθῶμεν τοίνυν τῶν ἐκεῖ ῥηθέντων. ὅτι τὸ ἓν ὁμωνύμως ἐδόκει ταῖς δέκα κατηγορίαις ὑπάρχειν, ὥσπερ καὶ τὸ ὂν διὰ τὴν τῶν κατηγοριῶν πρὸς ἀλλήλας τάξιν. τῶν δὲ ὁμωνύμων, οὐκ ἂν εἴη ἡ διαίρεσις προηγουμένη εἰς τὰς κατηγορίας, οὐδὲ θέσις αὐτῶν ἀφωρισμένη εἰς ἓν γένος. μήποτε οὖν καλῶς ἔχει τὰ αὐτὰ καὶ περὶ τοῦ γένους λέγειν, ὅτι κἂν κατὰ τὸ σχετικὸν τοῖς πρός τι συντέτακται, ἀλλὰ καθ' ὅσον πάσαις ταῖς κατηγορίαις ὁμωνύμως ὑπάρχει, κατὰ τοσοῦτον ἐν μιᾷ τινὶ κατατάττοιτο ἀφωρισμένως. κοινότης γάρ τίς ἐστι τὸ γένος. τῇ μὲν οὐσίᾳ πρώτως ὑπάρχουσα, ὅτι καὶ πρώτως ὑφέστηκεν ἐκείνη. καὶ δι' ἐκείνην τὰ ἄλλα. τοῖς δὲ λοιποῖς γένεσι, κατὰ τάξιν. ὥσπερ καὶ ἡ ἀρχή. καίτοι καὶ ἡ ἀρχὴ τῶν πρός τι ἐστί. τὸ γὰρ ἄρχον, πρὸς τὸ ἀρχόμενον λέγεται. κἂν συγγενὲς οὖν ἐστι τοῖς πρός τι τὸ γένος, οὐδὲν θαυμαστόν. καὶ γὰρ καὶ τὸ ἕν, συγγενὲς ἦν πρὸς τὸ ποσὸν ἢ πρὸς αὐτὸ τὸ πρός τι. καὶ ὅμως κοινὸν πασῶν ἦν τῶν κατηγοριῶν. ἀλλὰ τούτων μέν, καὶ ἄλλην τινὰ λύσιν ζητητέον πιθανωτέραν. Ἰστέον δὲ ὅτι πολλὰ τῶν σχέσεων ἐν τοῖς αἰσθητοῖς ἐστι κυρίως. οὐκέτι δὲ ἐν τοῖς νοητοῖς, εἰ μή τις κατ' ἄλλον τρόπον αὐτὸ μεταφέρειν ἐπ' ἐκείνων βιάζοιτο, ὥσπερ τὸ κεῖσθαι καὶ τὸ πάσχειν. ἓν δὴ τῶν τοιούτων ἔστω καὶ τὸ πρός τι. οὐδὲ μία γὰρ ἐκεῖ σχέσις οὐδὲ ἐπινοεῖται. ἐφ' ὧν γὰρ οὐκ ἔστιν ἕτερον ἐν ἑτέρῳ, ὡς ἡ σχέσις ἐν τῇ οὐσίᾳ. οὐδὲ τὸ μέν, ἄλλο. τὸ δέ, ἄλλο. ὥστε πρὸς ἄλληλά πως ἔχειν πῶς οἷόν τε ἐν τούτοις κυρίως τὰ πρός τι θεωρεῖν, εἰ μή τις κατ' ἀναλογίαν. ὥσπερ καὶ αἴτια λέγομεν ἐκεῖ καὶ αἰτιατά. ἀλλ' οὐχ ὡς μετὰ τῶν ἐνύλων,



Universitäts- und
Landesbibliothek Düsseldorf

διὰ τὴν διάστασιν, καὶ διὰ τὴν ὑλικὴν ἑτερότητα, σχέσις συνυφίσταται. ἐπὶ δὲ τῶν ἀδι-
αστάτων καὶ ἀΰλων καὶ ἀμερίστως συνηνωμένων, πῶς ἂν εἴη σχέσις. εἰ μὴ ἄρα ὅπερ εἴπομεν
ὥσπερ καὶ διάκρισις ἐκεῖ λέγεται καὶ ἑτερότης. ἔτι δὲ ἐπεισοδιώδη φύσιν ἔχειν καὶ ἐνταῦ-
θα λέγεται τὰ πρός τι, καὶ παραφυάδι ἐοικέναι. καὶ τὴν οὐσίαν ἀπὸ τῆς τῶν ἔξω μεταβο-
λῆς ἠρτημένην ἔχειν, πῶς ἐπ' ἐκείνων ταῦτα θεωρεῖν δυνατόν.

## ΠΕΡΙ ΠΟΙΟΥ ΚΑΙ ΠΟΙΟΤΗΤΟΣ.

Ποιότητα δὲ λέγω, καθ' ἣν ποιοί τινες λέγονται. Περὶ ποιότητος εὐθὺς μετὰ
τὸ πρός τι μνησθέντας διαλαμβάνειν, ἢ ὡς ἐπιγέγραπται περὶ ποιοῦ καὶ
ποιότητος, δεῖ πρότερον περὶ τῆς τάξεως εἰπεῖν, εἰ καὶ προείρηται περὶ
αὐτῆς οὐκ ὀλίγον. εἶθ' οὕτως περὶ τῆς ἐπιγραφῆς ἐχούσης τι καὶ αὐτῆς
ξενίζον. ἔτι περὶ ποιοῦ καὶ ποιότητος ἐπιγέγραπται. καὶ τότε τῇ λέ-
ξει τοῦ Ἀριστοτέλους συνακολουθῆσαι. ὁ μὲν οὖν Ἀρχύτας ὥσπερ καὶ πρότερον εἴρηται, μετὰ
» τὴν οὐσίαν εὐθὺς τάττει τὴν ποιότητα λέγων. Δευτέρα δὲ ἁ ποιότης. ἄνευ γὰρ τοῦ τί ἐστιν
» ἦμεν, ἀδύνατον ποιόν τι ἦμεν. τρίτα δέ φησιν ἁ ποσότας. καὶ Εὔδωρος δὲ τῷ περὶ τῆς οὐσί-
ας λόγῳ τὸν περὶ τῆς ποιότητος λόγον. καὶ μετὰ τοῦτον, τὸν περὶ τοῦ ποσοῦ συνεζεῦχθαι
φησί. τὴν γὰρ οὐσίαν ἅμα τῷ ποιῷ καὶ ποσῷ συνυφίστασθαι. μετὰ δὲ ταῦτα, τὴν χρονικήν τε
καὶ τοπικὴν κατηγορίαν παραλαμβάνεσθαι. πᾶσαν γὰρ οὐσίαν ποῦ τε εἶναι, καὶ ποτὲ,
δηλονότι τὴν αἰσθητήν. λεγέσθω δὲ καὶ ὅτι τὸ πρότερον γένος ἐστὶν ἡ οὐσία, καὶ ἀπ' αὐτῆς αἱ
ἄλλαι κατηγορίαι τὸ εἶναι καὶ τὴν τάξιν παραδέχονται. τῆς δὲ οὐσίας κυριωτάτη ἐστὶν ἡ κατὰ
τὸ εἶδος. εἶδος δέ τι καὶ μόρφωμα ἡ ποιότης ἐστὶν ἐπ' αὐτῆς ὡς μέρος. λοιπὸν ὁριζο-
μένων τῶν κατὰ τὰ εἴδη διακριθέντων, πῶς ὁ Ἀρχύτας φησὶν, ἐπειδὴ ἡ φυσικὴ οὐσία, οὐκ
ἄνευ σώματος. τὸ δὲ σῶμα, οὐκ ἄνευ μεγέθους. τοῦτο δὲ συνεχὲς ποσόν. ὕστερα δὲ τούτοις
ἡ σχέσις ἐπιγίνεται. ἴσως δὲ καὶ ταῖς ἄλλαις κατηγορίαις. Τινὲς δὲ ἐν τῇ φυσικῇ οὐσίᾳ προ-
ηγεῖσθαι τῆς ἐπινοίας τῆς ποιότητος τὸ ποσὸν λέγουσιν. οὐ γὰρ ὥσπερ ἄποιός ἐστιν ἡ ὕλη,
καθὸ ὕλη ἐστὶν, οὕτω ποτὲ καὶ ἄποσος ὑπάρχει. Πρὸς οὓς ῥητέον, ὅτι καθ' ἣν αἰτίαν ἄ-
ποιος ἡ ὕλη δείκνυται, κατὰ τὴν αὐτὴν καὶ ἄποσος ἀναφαίνεται, ἵνα τοῦ μεγέθους ἐρήμως
ὑποδείκνυται. εἰ γὰρ εἶδος ὅλως ἐστὶ τὸ ποσὸν, καὶ τούτου δεκτικὴν τὴν ὕλην ῥητέον.
Τούτοις γὰρ ἐλέγχονται τοῖς λόγοις, καὶ οἱ σῶμα τὴν πρώτην ὕλην ὑπολαμβάνοντες. ἀλλὰ
τὸ σῶμα φησὶ μέγεθος. τὸ δὲ μέγεθος, ποσὸν, καὶ πεπερασμένον πρός τι. ὥστε κατὰ λόγον ἠκο-
λούθησε τῷ ποσῷ τὰ πρός τι. μεθ' ἃ τὰ λοιπὰ γένη ὡς καὶ Ἀριστοτέλης συνέταξε. ῥητέ-
ον δὲ καὶ πρὸς τοῦτο, ὅτι τὸ σῶμα σύνθετόν ἐστιν. οὐ δεῖ δὲ ἀπὸ τοῦ συνθέτου, τὴν τῶν ἁπλῶν
τάξιν λαμβάνεσθαι. ἀλλὰ τοὐναντίον ἀπὸ τῶν ἁπλῶν, τὴν τῶν συνθέτων. ἕτερον δὲ, ὅτι
τὸ σῶμα καθὸ σῶμα ποιὸν, οὐδὲν ἔλαττον ὑπάρχει ἢ ποσόν. ἥ τε γὰρ σωματότης, ποιό-
της ἐστί. καὶ τὸ πεπερασμένον σχήματι, πάντως πεπέρασται. καὶ ἡ διαφορὰ τῶν συνιόντων εἰς
τὴν σύνθεσιν, ποιότης ἐστὶ τῆς συνθέσεως. ὅλως δὲ τὸ πεπεράνθαι τοῖς σώμασι, κατὰ τὴν

ποιότητα ὑπάρχει. ἐπιγίνεται δὲ τούτῳ, σχέσις τοῦ περαίνοντος πρὸς τὸ περαινόμενον. ὕστερα ἄρα τὰ πρός τι μετὰ τὴν ποιότητα ἀκολούθως λέγεται προδήλως. Πῶς δὲ καὶ ὁ ἀριστοτέλης δοκεῖ μὴ πάντη ἀπιθάνως μετὰ τὰ πρός τι τάξαι τὸ ποιόν, ἢ προτάξαι μὲν τῆς οὐσίας τοῦ ποσοῦ. διότι τὸ ὑπάρξειν αὐτῷ παρέχει. τὸ δὲ ποσόν, τῷ πρός τι ποσῷ τὴν αἰτίαν ἐνδίδωσι τοῦ εἶναι, ἀφ' οὗ οἱ λόγοι παράγονται. ἐκ δὲ τούτων, αἱ ποιότητες τὴν ὑπόστασιν λαμβάνουσι. καὶ οὕτως ἡ τάξις ἐπιπλέκεται τῶν κατηγοριῶν. οὐκ ἀπόβλητος δέ ἐστι καὶ ἡ πρὸς τὴν ἡμετέραν διδασκαλίαν τείνουσα αἰτία τῆς τάξεως. ἐν γὰρ τῷ περὶ τῆς οὐσίας λόγῳ μνημονεύσας τοῦ ποσοῦ ἐν τῷ τὰ κοινὰ τῆς οὐσίας καὶ ποσοῦ παραδιδόναι, ἀκολούθως τῇ οὐσίᾳ τὸ ποσὸν ἐπήγαγε. πάλιν δὲ ἐν τούτῳ τὸ μέγα καὶ μικρὸν τῶν πρός τι κατασκευάσας, μετὰ τὸ ποσόν, τοῦ πρός τι ἐμνήσθη. ἐν δὲ τούτῳ τὰς ἕξεις καὶ τὰς διαθέσεις εἰπὼν τῶν πρός τι εἶναι. ἐπειδὴ ποιότητες αὗται καθ' αὑτάς, εἰκότως τὸν περὶ τῆς ποιότητος ὑπέταξε λόγον. καὶ οὕτω δέ τινες τὴν τάξιν ἀπολογίζονται τοῖς φυσικοῖς πράγμασιν. οἰκείως μετὰ τὴν οὐσίαν, τὸ μέγεθός ἐστι. σὺν ποσῷ γὰρ πᾶσα φυσικὴ οὐσία. μετὰ δὲ τὸ μέγεθος, τὸ μεῖζον θεωρεῖται σχέσει πλεονάζον τῆς ὑπερβολῆς πρὸς τὴν ἔλλειψιν, ὅ ἐστι τῶν πρός τι. μετὰ δὲ τὸ μεῖζον, ἐμφύεται τὰ πάθη. ἀλλοιότητές τινες θεωρούμεναι, περὶ τὰ τοῦ γένους μείζονα καὶ ἐλάττονα μεγέθη. οἷον θερμόν. ψυχρόν. ξηρόν. ὑγρόν. ἅπερ ἐστὶ ποιά. Οὕτω μὲν οὖν ἄν τις ταύτῃ τῇ τοιαύτῃ τάξει καταλλήλου τῆς ἐννοίας γινομένης συνηγορήσειε. Περὶ δὲ τῆς ἐπιγραφῆς ζητοῦσι, διὰ τί περὶ ποιοῦ καὶ ποιότητος ἐπέγραψεν. ἆρα ταὐτὸν ἐξ ἀμφοῖν δηλοῦται. ἢ ἡ μὲν ποιότης, τὸ ἐχόμενον καὶ αὐτὴν τὴν ἰδιότητα δηλοῖ. τὸ δὲ ποιόν, τὸ μετέχον. ὥσπερ ἡ μὲν λευκότης, αὐτὸ τὸ χρῶμα. τὸ δὲ λευκόν, τὸ κατ' αὐτὸ κεχρωσμένον. εἰ δὲ τοῦτο, τί ἂν εἴη τούτων ἡ κατηγορία. ἆρα τὸ ἁπλοῦν καὶ ἀσύνθετον εἶδος, ἢ τὸ σύνθετον, τὸ ἐξ ὑποκειμένου καὶ εἴδους. εἴπερ ταῦτα διαφέρουσιν ἀλλήλων. εἰ δὲ ἀπ' ἀμφοῖν δύο κατηγορίαι, καὶ ἐπὶ τοῦ ποσοῦ καὶ τοῦ πρός τι ὁ αὐτὸς λόγος ἔσται. καὶ τὰ μέν, ἁπλᾶ. τὰ δέ, σύνθετα ἔσται. καὶ οὕτως οὐκέτι δέκα, ἀλλ' εἴκοσι τοὐλάχιστον αἱ κατηγορίαι γενήσονται. Μήποτε δὲ καὶ αὐτὴ ἡ ποιότης ποιὸν λέγεται, καὶ οὐ μόνον τὸ μετέχον. καὶ γὰρ τὴν λευκότητα λευκὸν οἱ ἀρχαῖοι λέγουσι. διὰ τοῦτο οὕτως ἐπιγέγραπται περὶ ποιοῦ καὶ ποιότητος. ἡ μὲν γὰρ λευκότης, καὶ λευκὸν λέγεται. τὸ δὲ λευκὸν τὸ μετέχον, οὐ λέγεται λευκότης. οὐ δοκεῖ δὲ τοῦ ἀριστοτέλους ἡ ἐπιγραφὴ εἶναι. οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ἐποίησε τοῦτο, ἀλλὰ γραφέως ἁμάρτημα τοῦτο ὑπολαμβάνουσιν οἱ περὶ τὸν ἀχαϊκὸν καὶ τὸν ἀλέξανδρον. ὑπεμνηματισμένον γὰρ αὐτὸ εὑρόντα τινὰ ὡς μέρος κατατάξαι. εἰ δέ τις καὶ ὡς καλῶς ἐπιγεγραμμένῳ συνηγορεῖν βούλοιτο, ἢ ταὐτὸν ἐνεργεῖ σημαίνειν τὴν ποιότητα καὶ τὸ ποιόν, ἀπ' αὐτοῦ τοῦ ἀριστοτέλους πιστούμενος τὸν λόγον, ὃς ἐν τοῖς θεολογικοῖς οὐ κατὰ τὴν ποιότητα μόνον τὸ ἁπλοῦν τάττει, ἀλλὰ καὶ τὸ ποιόν, κατὰ τὸ πάθος αὐτὸ τῆς οὐσίας τιθέμενος. πάθος δὲ τὸ μέν, ἐν τῷ πάσχειν ἐστί. τὸ δέ, ἐν τῷ πεπονθέναι. καὶ τὸ μὲν ἐν τῷ πάσχειν, τῆς τοῦ πάσχειν ἐστὶ κατηγορίας. τὸ δὲ ἐν τῷ πεπονθέναι, ἡ ποιότης ἐστίν.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἀλλ᾽ εἴ τις διαφέρειν λέγοι τὴν ποιότητα καὶ τὸ ποιόν, καθόσον ἡ μέν, ἐπὶ τοῦ ἁπλοῦ εἴδους· τὸ δέ, μετὰ τοῦ ὑποκειμένου θεωρεῖται. καὶ οὕτως οὐδὲν ἧττον μία ἔσται κατηγορία ἡ τοῦ ποιοῦ καὶ τῆς ποιότητος. εἴρηται γὰρ πολλάκις, ὅτι εἰς μίαν κατηγορίαν τάττεται πάντα τὰ τοιαῦτα μετὰ τῶν στερήσεων, καὶ τῶν μεσοτήτων, καὶ τῶν δυνάμεων, καὶ ἀποφάσεων. καὶ οἷον, δικαιοσύνη, δίκαιος. δικαίως ἄδικος. οὐ δικαίως. πάντα γὰρ τὰ τοιαῦτα, ἐν τῇ τῆς ποιότητος ἔσται κατηγορίᾳ. ταῦτα μὲν οὖν περὶ τῆς ἐπιγραφῆς εἰρήσθω. τὰ δὲ ἀπὸ τῆς ἱστορίας χρήσιμα πρὸς τὸν παρόντα λόγον προσθέντες, ἐπὶ τὴν ἀριστοτέλους λέξιν μεταβησόμεθα. τὸ μὲν οὖν ὄνομα τῆς ποιότητος, δοκεῖ πρῶτον ὁ πλάτων πεποιηκέναι, ὡς αὐτὸς ἐν θεαιτήτῳ ἐπισημαίνεται. καὶ παράγει τὸ ὄνομα πεποιηκέναι. λέγει δὲ οὕτως. τὸ μὲν πάσχον, αἰσθητόν, ἀλλ᾽ οὐκ αἴσθησιν λέγεσθαι. τὸ δὲ ποιοῦν, ποιόν τι, ἀλλ᾽ οὐ ποιότητα. ἴσως οὖν ἡ ποιότης ἀλλόκοτόν τι φαίνεται ὄνομα. καὶ οὐ μανθάνεις ἀθρόον λεγόμενον. τῶν δὲ παλαιῶν οἱ μέν, ἀνῄρουν τὰς ποιότητας τελέως, τὸ ποιὸν συγχωροῦντες εἶναι. ὥσπερ ἀντισθένης. ὅς ποτε πλάτωνι διαμφισβητῶν, ὦ πλάτων ἔφη. ἵππον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ. καὶ ὃς εἶπεν. ἔχεις μὲν ᾧ ἵππος ὁρᾶται τόδε τὸ ὄμμα. ᾧ δὲ ἱππότης θεωρεῖται, οὐδέπω κέκτησαι. καὶ ἄλλοι δὲ ἦσαν τινὲς ταύτης τῆς δόξης. οἱ δέ, τινὰς μὲν ἀνῄρουν ποιότητας. τινὰς δὲ κατελίμπανον. τῶν δὲ ὑπόστασιν αὐταῖς διδόντων, οἱ μέν, πάσας ἢ γοῦν τὰς ἀσωμάτους, ὥσπερ οἱ ἀρχαῖοι. οἱ δέ, τῶν μὲν ἀσωμάτων ἀσωμάτους. τῶν δὲ σωμάτων, σωματικάς, ὥσπερ οἱ στωϊκοί. διαμφισβητεῖται δὲ καὶ τοῦτο παρὰ πᾶσι. πότερον, ὥσπερ τοῖς ὑποκειμένοις τοῦ εἶναι αἴτιαί εἰσι, καὶ τοῖς ποιοῖς εἶναι, οὕτως δὲ καὶ αὐταῖς τοῦ εἶναι τοιαύταις τὴν αἰτίαν ἐπιφέρουσιν, αὐτουσιοῦσαι, καὶ εἰς ἑαυτὰς ἐνεργοῦσαι. ἢ ἄλλων αἰτιῶν δέονται εἰς τὸ εἶναι, καθάπερ καὶ ἄλλων. καὶ τοῦτο ἐπ᾽ ἄπειρον. πολλὴ δὲ ζήτησίς ἐστι, καὶ τινὰς χρὴ οὐσιώδεις ποιότητας τίθεσθαι, καὶ τινὰς οὐ τοιαύτας. διὰ τί γὰρ μία καὶ ἡ αὐτὴ οὖσα ἡ λευκότης, ἐπὶ ψιμμυθίου καὶ γάλακτος, οὐσιώδης γέγονεν. ἐπεὶ δὲ οὐ ῥᾴδιόν ἐστι διακρῖναι, ἐκάλουν μὲν οὖν τὴν ποιότητα καὶ ἕξιν οἱ ἀπὸ τῆς στοᾶς. οἱ δὲ ἀπὸ τῆς ἀκαδημίας, ἀπὸ τοῦ ἔχεσθαι τὰς ἕξεις, ἑκτὰ ἐκάλουν. ὥσπερ τὰ ἐννοήματα μεθεκτά, ἀπὸ τοῦ μετέχεσθαι. καὶ τὰς πτώσεις τευκτάς, ἀπὸ τοῦ τυγχάνεσθαι. καὶ κατηγορήματα καὶ συμβάματα, ἀπὸ τοῦ συμβεβηκέναι. καὶ ἡ μὲν ἀρχὴ τοῦ ὀνόματος τοῦ ἑκτοῦ, ἀπὸ τῶν ἕξεων παρήχθη. ὕστερον δὲ ἐπιδιέτεινε τοὔνομα καὶ ἐπὶ τὰς σχέσεις. οἷον προβολήν. κάθισιν. ἐπί τε τὰς κινήσεις. οἷα [illegible] ἢ περιπάτησις. ἔτι τε τὰς συνθέτους ἐκ κινήσεων καὶ σχέσεων καταστάσεις, οἷα ἡ ὄρχησις ἐστίν. οἱ δέ, προσελάμβανον καὶ τὰς πρός τί πως ἐχούσας κινήσεις. οἷα ἡ ἔγχυσις, καὶ ἡ ἔκχυσις. καὶ ἔτι τὰς πρός τί πως ἐχούσας σχέσεις. οἷα ἡ ἀπάτη. καὶ ἔτι τὰς ἐνεργείας τῶν κινήσεων καὶ σχέσεων. ἃς οὔτε κινήσεις βούλονται εἶναι τινές, οὔτε σχέσεις, οἷα ἡ αὐτὸ τοῦτο κατόρθωσις. καὶ ἡ αὐτῇ τούτῳ ἁμαρτία θεωρεῖται. καὶ οἱ μέν, ἀπὸ τῶν ἕξεων μέχρι τῶν ἐνεργειῶν, ἀξιοῦσι μόνον τὸ ἑκτὸν τετάχθαι. οἱ δέ, προσλαμβάνουσι καὶ τὰς πείσεις. ὁ δὲ ἀντίπατρος ἐπεκτείνει τὸ ὄνομα τοῦ ἑκτοῦ, μέχρι

τοῦ κοινοῦ συμπτώματος σωμάτων καὶ ἀσωμάτων. οἷον, τοῦ θερμὸν εἶναι. καὶ τὸ μὲν, κατὰ παρασχηματισμὸν ἀπὸ τοῦ ἔχεσθαι, ἑκτὸν ἐκλήθη. ὕστερον δὲ κύριον ἔδοξε τὸ ὄνομα τοῦ ἑκτοῦ, καὶ μὴ ἀνακεκλάσθαι ἀπὸ τοῦ κατηγορήματος. καὶ ἔστι μὲν ἕξις, καὶ ποιότης, πάντως τοῦτο καὶ ἑκτόν. ἐπὶ πλέον δὲ τὸ ἑκτὸν τῆς ἕξεως ὡς εἴρηται. ἡ δὲ ἀριστοτέλους περὶ τούτων δόξα καὶ τῶν παλαιῶν, ἐστὶ τοιαύτη. ἀσώματα τὰ ἑκτὰ πάντα οὗτοι ὑπολαμβάνουσιν. ἁπλούστατα γὰρ καὶ τῇ φύσει πρῶτα πάντα. καὶ ὡς οὐδὲ μέρη ἐκείνων ὧνπερ τὰ ἑκτά. αἴτια δὲ μόνον. καὶ ταῦτα οὐκ ἔξωθεν, ἀλλ᾽ ἐν τοῖς ἔχουσιν ἐμπεριέχονται πάντα. ἀριθμοὶ καὶ λόγοι τινὲς ἐν ὕλῃ ταῦτα ὄντες. ἀριθμοὺς μὲν οἱ πυθαγόρειοι καὶ λόγους ἐν τῇ ὕλῃ ὠνόμαζον, τὰ αἴτια ταῦτα τῶν ὄντων ᾗ ὄντα. καὶ ὡς ἂν οἱ νῦν φασὶ τὰ ἑκτά. οἱ δὲ, καὶ λόγους ἀσωμάτους ὑποτίθενται ταῦτα παρ᾽ οὓς ἕτεροι ἀεί. τοὺς δὲ ἑτέρους ὄντας, καὶ ποικιλία τῶν ὄντων, αἴτιαι διαφοραὶ καὶ τῶν πρώτων στοιχείων καὶ τῶν ἐκ τούτων συγκριμάτων ὑφίστανται. ἀΐδιοι δὲ εἰσὶν οἱ ἀριθμοὶ οὗτοι καὶ λόγοι, ὥσπερ καὶ ἡ ὕλη. αἱ μέντοι κινήσεις αὐτῶν καὶ ἐν ἀλλήλοις θέσεις καὶ τάξεις μεταπίπτουσί τε καὶ οὐκ ἀΐδιοι. ὥσπερ δὲ ἀφεστῶτες ἐνυπάρχουσιν οἱ λόγοι, οὐδέπω ῥυθμίζοντες τὸ ὑποκείμενον καὶ σχηματίζοντες, ἀλλ᾽ ὡς οἱ ἐν τῷ σπέρματι λόγοι κατὰ συμβεβηκός. οἷον εἰ ἐνυπάρχοιεν ἀκρατήτως ἐνόντες. καὶ ὥσπερ ἐν ψυχῇ καὶ τῇ τέχνῃ τὸ τοῦ ἀνδριάντος εἶδος, καὶ ὡς τὰ χρώματα ἐν τῇ ὄψει, ὅταν ὁρᾷ τὸ κεχρωσμένον σῶμα, οὕτως οἱ λόγοι ὥσπερ ἀφεστῶτες ἐνυπάρχουσιν. ἀμέσως δὲ ἡ τῶν εἰδῶν φύσις αἰτία ἐστὶ, μηδενὸς μεταξὺ παρεμπίπτοντος, τοῦ τε μετεχομένου, καὶ τοῦ μετέχοντος. παροῦσα γὰρ ἐν τῷ εἶναι, εὐθὺς ἀποδίδωσι τὸ μετέχον. ὑφίστησι δὲ καὶ ἄλλο τελευταῖον ἀπὸ τῆς παρουσίας ἐξ ἑαυτῆς, ὅπερ οἱ νῦν καλοῦσι κατηγόρημα. ὡς ἀπὸ τῆς φρονήσεως τὸ φρονεῖν. μέσον δὲ ἀεὶ τὸ σῶμα τάττεται. οἷον, ὁ φρόνιμος, τῆς τε πρώτης αἰτίας, οἷον τοῦ εἴδους τῆς φρονήσεως, καὶ τοῦ ἐσχάτου ἀπ᾽ αὐτῆς ἀποτελουμένου κατηγορήματος, οἷον τοῦ φρονεῖν. αἰτία γὰρ ἡ φρόνησις, καὶ τοῦ φρονίμου καὶ τοῦ φρονεῖν. καὶ ἡ ὑγεία, τοῦ τε ὑγιαίνοντος, καὶ τοῦ ὑγιαίνειν. ὧν τὸ μὲν, σῶμα. τὸ δὲ, ἀσώματον. εἰ ἡ μὲν φρόνησις αὐτὴ, καὶ ὑγίεια, εἴπερ ἐστὶν, ἢ μὴ, καθ᾽ ἑαυτὰ ἁπλούστατα καὶ πρῶτα ἔσται ἀσώματα. ὁμοίως δὲ καὶ τὸ φρονεῖν ἀσώματον. διότι ἀΰλη πως ἔχουσα ἡ φρόνησις, τὸ φρονεῖν γίνεται. καὶ καθ᾽ ἑαυτὴν μὲν φρόνησις μετεχομένη, δέον ἤδη φρονεῖν γίνεται. ὅπερ ὡς μὲν πρὸς τὸν φρόνιμον, πρᾶγμα ἐστὶ καὶ ποίημα. ὡς δὲ πρὸς ἡμᾶς εἰς τὴν λεκτικὴν ἡμῶν κατασκευὴν, ταυτὸ γὰρ τοῦτο κατηγόρημα ἐστί. φρονεῖν γὰρ ὁ φρόνιμος λέγεται. καὶ ὡς μὲν πρὸς τοὺς λέγοντας ἡμᾶς, προσηγορία περί του. ὡς δὲ πρὸς ἐκεῖνον περὶ οὗ λέγεται ἡ ἕξις τινὸς, καὶ ἕξις μετεχομένη. οὐ μόνον δὲ ὡς πρὸς τὸν μετέχοντα ἡ φρόνησις γίνεται φρονεῖν, ἀλλὰ καὶ ὡς πρὸς τὸν χρόνον. ἐν ᾧ δή τι ἓν καὶ ταυτὸν ἐπ᾽ ἀμφοτέρων ἐστί. λέγω δὲ, τοῦ τε ὑποκειμένου, καὶ τοῦ χρόνου. ἅμα τε καὶ ἓν καὶ ἐν ταυτῷ χρόνῳ ἡ, τε ἕξις καὶ ὁ ἄνθρωπος ἐστίν. ὁ μὲν, ὑποκείμενος. ἡ δὲ, ἐν ὑποκειμένῳ. καὶ ὁ μὲν, μετέχων. ἡ δὲ, μετεχομένη. εἰκότως δὲ τὸ φρονεῖν ἀσώματον ἔλεγον. καὶ ἀκολούθως τὸ εἰ τὴν φρόνησιν ἀσώματον ὑπάρχειν ἡ γὰρ σχέσις καὶ τὸ ἔχειν, ἀσώματον. καὶ τὸ φρονεῖν δὲ διὰ τοῦτο ἔσται ἀσώματον.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἄμφω δὲ περὶ ἡμᾶς ἀπέλιπον τήν τε φρόνησιν, καὶ τὸ φρονεῖν. ἠκολούθει γὰρ καὶ τοῦτο ἡμετέραν εἶναι τὴν ἕξιν. ἡ γὰρ ἐκείνη περὶ ἡμᾶς, καὶ τὸ μετέχειν αὐτῆς οὐ καθ' ἑαυτό. οὐδὲ ἔξω που περὶ ἡμᾶς ὑφίσταται. τοιαύτη μὲν οὖν καὶ ἡ ἀριστοτέλους ἐστὶ δόξα περὶ τῶν πρώτων αἰτίων, ἃ καλοῦσί τινες ἑκτά. ἀλλ' ἐπὶ τὴν λέξιν ἰτέον.

Ποιότητα δὲ λέγω, καθ' ἣν ποιοί τινες λέγονται. τῇ μεθέξει τῆς ποιότητος, ποιὸν γίνεται τὸ μετέχον. ὥσπερ τῇ μεθέξει τῆς λευκότητος, λευκόν. Ἀλλ' ἄτοπόν φασιν ἀπὸ τοῦ ὑστέρου τὸ πρότερον διδάσκειν. καὶ ἀπὸ τοῦ ὁμοίως ἀγνοουμένου, καὶ τὸ αὐτὸ δι' ἑαυτοῦ ἀποδίδοσθαι. ἡ γὰρ ποιότης μέν ἐστιν ἣν ἔχει ὁ ποιός, ποιὸς δὲ ὁ ἔχων τὴν ποιότητα, αὐτὴ δι' ἑαυτῆς ἀπεδόθη. Πρὸς οὓς ῥητέον, ὅτι οὐχ οἷόν τε τῶν πρωτίστων γενῶν ἐκ προτέρων ποιεῖσθαι τὴν διδασκαλίαν, οὐδὲ δυνατὸν κατὰ τὴν ἐν τῇ φύσει τάξιν, ἀπὸ τῶν πρεσβυτέρων καὶ αἰτιωτέρων ποιεῖσθαι τὴν περὶ αὐτῶν παράδοσιν. οὐδὲν γάρ ἐστιν αὐτῶν πρότερον, ἀλλ' ἀπὸ τῶν ἡμῖν προσεχεστέρων καὶ γνωριμωτέρων, ἀνάγκη ποιεῖσθαι τὴν ὑπόμνησιν. γνωριμώτερον δὲ καὶ προσεχέστερον ἡμῖν τῆς ποιότητος τὸ ποιόν, εἴπερ τὴν μὲν ποιότητα καὶ ἀναιροῦσί τινες, ὡς μὴ ὑφεστῶσαν ὅλως. τὸ δὲ ποιόν, οὐδεὶς ἀναιρεῖ. καὶ τὸν μὲν ἵππον, ὁρᾶν ὁμολογεῖ ὁ ἀντισθένης. τὴν δὲ ἱππότητα, μὴ ὁρᾶν. καὶ τὸ μὲν, ὀφθαλμοῖς ὁρᾶται. ἡ δὲ, λογισμῷ καταλαμβάνεται. καὶ τὸ μὲν, ἐν αἰτίου τάξει προηγεῖται. τὸ δὲ, ὡς ἀποτέλεσμα ἕπεται. καὶ τὸ μέν ἐστι, σῶμα καὶ σύνθετον. τὸ δὲ, ἁπλοῦν καὶ ἀσώματον. μαρτυρεῖ δὲ καὶ πλάτων τῇ ἀσαφείᾳ τοῦ τῆς ποιότητος ὀνόματος ἐν θεαιτήτῳ λέγων. Ἴσως οὖν ἡ ποιότης ἅμα ἀλλόκοτόν τι φαίνεται ὄνομα. καὶ οὐ μανθάνεις ἀθρόον λεγόμενον.

Ὅτι δὲ, εἴτε ἐνεργείᾳ ἐστὶ τῆς ποιότητος τὸ ποιόν, εἴτε μετοχῇ, φανερώτερόν ἐστι τὸ κατ' ἐνέργειαν ὑφιστάμενον, τοῦ κατὰ τὴν ἀφανῆ αἰτίαν προηγουμένου, καὶ τὸ μετέχον τοῦ μετεχομένου. διὸ καὶ τὸ λευκὸν τῆς λευκότητος. καὶ ὁ γραμματικὸς τῆς γραμματικῆς ἐστι σαφέστερον. κἂν γὰρ κατὰ τὴν ποιότητα τὸ ποιὸν λέγηται, ἀλλ' ἐν τῷ ποιῷ ἡ ποιότης ἐκφανεστέρα γίνεται. τὸ οὖν γνωριμώτερον τὸ ποιὸν τῆς ποιότητος, οὐ κακῶς διὰ τοῦτο ἀποδέδοται. οὐ γὰρ ὅτι ὅρος οὗτός ἐστι τῆς ποιότητος, ἧς τῇ παρουσίᾳ ποιὸν λέγεται τὸ μετέχον, τοῦτο ποιότης ἐστίν. οὐδὲ γὰρ ἄλλο ὅτι τῶν πρώτων γενῶν ὁριστὸν ἦν. οἰκεῖος δέ φασιν, ὁ ἀπὸ τοῦ λέγεσθαι τῆς διδασκαλίας τρόπος, τῇ τῶν κατηγοριῶν ἐστι προθέσει. ἀπὸ γὰρ τοῦ λέγεσθαι κατὰ τὴν ποιότητα τὸ ποιόν, ἐνδείκνυσθαι αὐτὴν πειρᾶται. καὶ γὰρ ἐξ αὐτῆς δὲ τῆς κατὰ τὴν ποιότητα φύσεως, ὁ τρόπος εἴληπται τῆς διδασκαλίας. ἐν γὰρ τῷ μετέχεσθαι ἡ ποιότης. καὶ ἐν τῷ ποιὸν ἀποτελεῖν. ἐν ᾧ οὖν ὑφέστηκε, διὰ τούτου καὶ γνωρίζεται. καὶ οὐκ ἀπὸ τῶν ὑστέρων ἁπλῶς, ἀλλ' ἀπ' αὐτοῦ τοῦ συνυπάρχοντος αὐτῇ. ἀλλ' οὔτε αὐτὸ δι' ἑαυτοῦ ἀποδίδωσιν. ἕτερον γάρ ἐστιν ἡ ποιότης, καὶ ἕτερον τὸ μετέχεσθαι αὐτήν. καὶ ὅτι μάλιστα συνυπάρχει πρὸς αὐτὸ τὸ μετέχεσθαι. ὁμολογεῖ δὲ ἡ ἀπόδοσις αὐτή, καὶ τῇ περὶ ποιότητος καὶ ἕξεως τοῦ ἀριστοτέλους δόξῃ. ἡ γὰρ ἡμετέρα ἐστὶν ἡ ἕξις κατ' αὐτόν, καὶ περὶ ἡμᾶς ἡ ποιότης ὑφέστηκε. καὶ ἡ μετεχομένη ποιότης, ἡ αὐτὴ πρὸς τὴν ἁπλῶς λεγομένην ποιότητα ὑπάρχει,

δῆλον ὅτι περιίσταται πρὸς τὸ ποιὸν ἡ ποιότης. καὶ ὁ μὲν Ἀριστοτέλης μὲν καὶ τὰ ἐκτὸς καὶ τὰς ἐνεργείας περὶ ἡμᾶς ἀπολείπει. οἱ δὲ περὶ Ἀκαδημίας, ἀμφότερα ἐκτός. οἱ δὲ στωϊκοί, τὰ μὲν ἐκτὸς, περὶ ἡμᾶς. τὰ δὲ ἐνεργήματα καὶ τὰ ποιήματα, ἐκτὸς συγχέαντες τὰς δύο δόξας, συμφώνως ἑαυτῷ ὁ Ἀριστοτέλης συνῆψε τῇ ποιότητι τὸ ποιόν, ὡς ὄντα ἀμφότερα περὶ ἡμᾶς. τῶν δὲ στωϊκῶν τινές, τριχῶς τὸ ποιὸν ἀφοριζόμενοι, τὰ μὲν δύο σημαινόμενα, ἐπὶ πλέον τῆς ποιότητος λέγουσι. τὸ δὲ ἓν ἤτοι τὸ ἑνὸς μέρος, συναπαρτίζειν αὐτῇ φασί. λέγουσι γὰρ ποιὸν καθ' ἓν μὲν σημαινόμενον, πᾶν τὸ κατὰ διαφορὰν εἴτε κινούμενον εἴη, εἴτε ἐχόμενον. καὶ εἴτε δυσαναλύτως, εἴτε εὐαναλύτως ἔχει. κατὰ τοῦτο δὲ οὐ μόνον ὁ φρόνιμος καὶ ὁ πὺξ προτείνων, ἀλλὰ καὶ ὁ τρέχων ποιοί. καθ' ἕτερον δὲ καθ' ὃ οὐκέτι τὰς κινήσεις περιελάμβανον, ἀλλὰ μόνον τὰς σχέσεις. ὃ δὴ καὶ ὥριζον τὸ ἰσχόμενον κατὰ διαφοράν, οἷός ἐστιν ὁ φρόνιμος, καὶ ὁ προβεβλημένος. καὶ τούτων δὲ τῶν ἐμμόνως ἰσχομένων κατὰ διαφοράν, οἱ μὲν, ἀπηρτισμένως, κατὰ τὴν ἐκφορὰν αὐτῶν καὶ τὴν ἐπίνοιαν εἰσὶ τοιοῦτοι. οἱ δέ, οὐκ ἀπηρτισμένως. καὶ τούτους μὲν παρῃτοῦντο. τοὺς δὲ ἀπαρτίζοντας καὶ ἐμμόνους ὄντας, κατὰ διαφορὰν ποιοὺς ἐτίθεντο. ἀπαρτίζειν δὲ κατὰ τὴν ἐκφορὰν ἔλεγον, τοὺς τῇ ποιότητι συνεξισουμένους, ὡς τὸν γραμματικὸν καὶ τὸν φρόνιμον. οὔτε γὰρ πλεονάζει, οὔτε ἐλλείπει τούτων ἑκάτερος παρὰ τὴν ποιότητα. ὁμοίως δὲ καὶ ὁ φιλόψοφος καὶ ὁ φίλοινος. οἱ μέν τοι περὶ τῆς ἐνεργείας τοιοῦτοι, ὥσπερ ὁ ὀψοφάγος καὶ ὁ οἰνόφλυξ, ἔχοντες μέρη τοιαῦτα δι' ὧν ἀπολαύουσιν, οὕτως λέγονται. διὸ καὶ ὁ μὲν ὀψοφάγος, καὶ φιλόψοφος πάντως. ὁ δὲ φιλόψοφος, οὐ πάντως ὀψοφάγος. ἐπιλειπόντων γὰρ τῶν μερῶν δι' ὧν ὀψοφαγεῖ, τῆς μὲν ὀψοφαγίας, ἀπολέλυται. τὴν δὲ φιλόψοφον ἕξιν, οὐκ ἀνήρηκε. τριχῶς οὖν τοῦ λεγομένου, ἡ ποιότης κατὰ τὸ τελευταῖον ποιόν, συναπαρτίζει πρὸς τὸ ποιόν. διὸ καὶ ὅταν ὁρίζωνται τὴν ποιότητα σχέσιν ποιοῦ, οὕτως ἀκουστέον τὸν ὅρον, ὡς τοῦ τρίτου ποιοῦ παραλαμβανομένου. μοναχῶς μὲν γὰρ ἡ ποιότης λέγεται κατὰ τοὺς στωϊκούς. τριχῶς δὲ ὁ ποιός. ἀλλ' ἡ μὲν ἐν τῷ μετέχεσθαι ἡ ποιότης, συνυφίσταται καὶ ἐν τῷ μετέχειν τὸ ποιόν. ἔνι δὲ καὶ τῷ αὐτῷ ταῦτα ἐστὶν ἀμφότερα ἐν ἡμῖν. καὶ οὔτε τὰ δύο ἐκτός, οὔτε τὸ μὲν, ἐκτός. τὸ δέ, ἐν ἡμῖν, δῆλον ὡς συνεξισάζει κατὰ ταύτην τὴν οὐσίαν. καὶ οὐδὲν δεῖ μηχανῆς τινὸς σημαινομένου, ἢ μορίων προσθήκης, ἵνα τὸ τρίτον σημαινόμενον τοῦ ποιοῦ συναπαρτίζηται πρὸς τὴν ποιότητα. ἀλλὰ ταῦτα μὲν ἀρκείτω μέχρι τοῦδε. ἐρωτᾷ δὲ ὁ Πλωτῖνος τί. ἆρα οὖσα ἡ ποιότης τοὺς λεγομένους ποιοὺς παρέχεται; τὸ ὅτι μὲν γὰρ κατὰ τὴν ποιότητα οἱ ποιοὶ λέγονται, εἴρηται. τίς δὲ ἐστὶν αὐτὴ ἡ ποιότης, κατὰ τὸν οἰκεῖον λόγον οὐ διώρισται. πρὸς ὅ φησιν ὁ Πορφύριος. ὅτι ὁ περὶ τῆς ποιότητος λόγος, ἐννοηματικός ἐστιν, ἀλλ' οὐκ οὐσιώδης. ἔστι δὲ ἐννοηματικός, ὁ ἀπὸ τῶν γνωρίμων τοῖς πᾶσιν εἰλημμένος. καὶ κοινῶς παρὰ πᾶσιν ὁμολογούμενος. οἷον, ὅτι ἀγαθόν ἐστιν, ἀφ' οὗ συμβαίνει ὠφελεῖσθαι. ψυχή ἐστιν, ἀφ' ἧς ὑπάρχει τὸ ζῆν. φωνή ἐστι, τὸ ἴδιον αἰσθητὸν ἀκοῆς. οὐσιώδεις δὲ εἰσὶν ὅροι, οἱ κατὰ τὴν οὐσίαν αὐτὴν τῶν ὁριζομένων διδάσκοντες. οἷον, ἀγαθόν ἐστιν ἡ ἀρετή, ἢ τὸ μετέχον ἀρετῆς. ψυχή ἐστιν, οὐσία αὐτοκίνητος. φωνή ἐστιν, ἀὴρ πεπληγμένος. καὶ οἱ μὲν ἐννοηματικοὶ ὅροι, ἅτε κοινῇ παρὰ πᾶσιν ὁμολογούμενοι, οἷα αὐτοί εἰσιν. οἱ δὲ οὐσιώδεις καὶ

αἱρέσεις ἰδίας προηγούμενοι, ἀντιλέγονται ὑπὸ τῶν ἑτεροδόξων. τινὲς γοῦν λέγουσιν ἀέρα τὴν φωνὴν καὶ σῶμα, οὐχ ὁμογνωμονοῦσιν οἱ ἀρχαῖοι, κατ' ἐνέργειαν αὐτὴν ἀσώματον ἀφοριζόμενοι καὶ πληγήν. καὶ τοῖς τὸ ἀγαθὸν ἐν ἀρετῇ καὶ μόνῳ τῷ καλῷ τιθεμένοις, ἀμφισβητοῦσιν οἱ διὰ πάντων αὐτὸ διατείνοντες. δέδεικται οὖν ἐν ταῖς πρώταις εἰσαγωγαῖς, τοῖς παρὰ πᾶσιν ὁμολογουμένοις ὅροις κεχρῆσθαι. αὐτοὶ γὰρ εἰσὶ γνωριμώτεροι, καὶ πρὸς τὴν πρώτην ἀκρόασιν ἐπιτηδειότεροι. οἱ δὲ ἕτεροι, τῆς πρώτης δέονται φιλοσοφίας. ἥτις τὰ ὄντα, ᾗ ὄντα θεωρεῖ. διόπερ τὸν μὲν οὐσιώδη λόγον τῆς ποιότητος, ἐν τοῖς μετὰ τὰ φυσικὰ ὁ Ἀριστοτέλης ἀποδέδωκε. τὸν δὲ ἐννοηματικόν, ἐνταῦθα. καὶ λέγεται μὲν καὶ ταῦτα καλῶς. ἔστι δὲ καλλίων ἀπολογισμὸς ὁ λέγων, ὡς εἰ μὲν καθ' ἑαυτὴν ἦν ἡ ποιότης, ἔδει ζητεῖν, τίς οὖσα μετέχεται. εἰ δὲ ἐν ἡμῖν ἐστι καὶ οὐκ ἐκτὸς τῶν ποιῶν ὑφέστηκε, δῆλον ὡς οὐκ ἄλλο μὲν αὐτῇ τὸ εἶναι, ἄλλο δὲ τὸ μετέχεσθαι. οὐδὲ καθ' ἕτερον μὲν τρόπον ἐστὶ καθ' ἑαυτήν, κατ' ἄλλο δὲ τῷ ποιῷ παρέχει τὸ εἶναί τε καὶ λέγεσθαι. ἀλλ' ἐν τῷ αὐτῷ, τό, τε ἔχεσθαι, καὶ τὸ εἶναι. καὶ τὸ ποιὸν παρέχεσθαι, ἐπὶ τῆς ποιότητος θεωρεῖται. εἶδος γάρ ἐστιν ἡ ποιότης τοῦ ἔχοντος. ὁ γρίνμω διὰ τοῦ ποιοῦ τὴν ποιότητα ἀποδίδωσι, τὴν κυριωτάτην ἰδιότητα αὐτῆς χαρακτηρίζων. καὶ ὅμοιον τοῦτό ἐστι καὶ ἵνα παρέχει τὰ ἀποτελέσματα, ἐν τίσιν οὖσι παρίστησιν. Ἀλλ' εἰ κατὰ τὴν ποιότητά φησι καὶ τὸ ποιόν ἐστιν, ὁ ἀγνοῶν τὴν ποιότητα, καὶ τὸ ποιὸν ἀγνοήσειεν. ἀλλὰ κἂν κατὰ τὴν ποιότητα τὸ ποιόν ἐστι, προδηλότερόν ἐστι καὶ τὸ ποιὸν τῆς ποιότητος. καὶ μάλιστα κατὰ τὰς ὁλοσχερεστέρας καὶ ταῖς εἰσαγωγαῖς πρεπούσας ἐννοίας. καὶ γὰρ κατὰ τὴν ἀνθρωπότητα, ὁ ἄνθρωπος. καὶ ὅμως γνωριμώτερός ἐστι τῆς ἀνθρωπότητος ὁ ἄνθρωπος. ὡς αἰσθητὸς νοητῆς. διὸ οὐδὲ ἀληθὲς τὸ ὁμοίως ἀγνοεῖσθαι. αἰσθητὸν γὰρ τὸ ποιόν, καὶ γνώριμον τοῖς ἔχουσιν αἴσθησιν. πάντες δὲ σχεδὸν ἔχομεν. νοητὴ δὲ ἡ ποιότης. καὶ μόνοις τοῖς νοῦν ἔχουσι γνώριμος. νοῦ δὲ ὀλίγοις μέτεστιν ἀνθρώποις. ἀλλ' ὅμως ἀγνοεῖσθαι δοκεῖ διὰ τὴν τῶν ὀνομάτων ὁμοιότητα. ἐπεὶ τίς ἀγνοεῖν δοκεῖ τὸ λευκὸν καὶ τὸ θερμόν. ἢ τὸ καλόν. ἅπερ πάντα ποιά ἐστιν. ὅταν δὲ ἀκριβῶς ἕκαστον τούτων θελήσωμεν γνῶναι, τότε καὶ τὴν ποιότητα καθ' ἣν ταῦτά ἐστιν ἀναζητοῦμεν. Ἀλλὰ πῶς φασὶν ὁ ὅρος ὑγιής, εἴπερ ποιοί τινες λέγονται, τῆς ποιότητος μὴ δὲ ὠνομασμένης. οὐκέτι γὰρ ἀληθές, ὅτι κατὰ ποιότητά εἰσιν ἐκεῖνοι ποιοί. ὁ γὰρ πυκτικὸς καὶ ὁ δρομικός, οὐκ ἀπὸ ὠνομασμένων ποιοτήτων λέγονται. οὐ γὰρ εἴρηται πυκτικότης, ἢ δρομικότης. Πρόχειρον δὲ εἰπεῖν, ὅτι εἰ καὶ μὴ ὠνόμασται, οὐ διὰ τοῦτο ἡ τῶν πραγμάτων φύσις ἐπιλέλοιπε. καί τοι καὶ ὀνομάσαι δυνατὸν ἦν ὁμωνύμως, τὴν δύναμιν τῶν κατ' ἐνέργειαν, πυκτικὴν καὶ πυκτικὸν ἄμφω λέγοντας. εἰ ἐφυλαττοίμεθα τὴν ὁμωνυμίαν, ἄλλα ποιήσομεν ὀνόματα. οἱ δὲ περὶ τὸν Ἀνδρόνικον ἠξίουν, οὐκ ἀφ' ἧς ἔχουσι δυνάμεως ὀνομάζεσθαι αὐτούς, ἀλλ' ἀφ' ἧς ἐξοισι. τοὺς γὰρ εὖ πρὸς τὰς μελλούσας ἑξῆς διακειμένους οὕτω καλεῖσθαι. καὶ οἱ στωϊκοὶ δὲ κατὰ τὰς αὐτῶν ὑποθέσεις τὴν αὐτὴν ἂν ἀπορίαν προσαγάγοιεν τῷ λέγοντι λόγῳ, κατὰ ποιότητα πάντα τὰ ποιὰ λέγεσθαι. τὰς γὰρ ποιότητας ἑκτὰ λέγοντες, οὗτοι ἐπὶ τῶν ἡνωμένων μόνων ἑκτὰ ἀπολείπουσιν. ἐπὶ δὲ τῶν κατὰ συναφήν, οἷον νεώς, καὶ ἐπὶ τῶν κατὰ διάστασιν,

οἷον, στρατοῦ, μηδὲν εἶναι ἐκτὸς, μηδὲ εὑρίσκεσθαι ἄνευ μαστιγώδους τι ἐν τῷ ἐπ' αὐτῶν. μηδὲ ἕνα λόγον ἔχειν, ὥστε ἐπί τινα ὑπόστασιν ἐληλυθυίας ἕξεως. τὸ δὲ ποιόν, καὶ ἐν τοῖς ἐκ συναπτομένων θεωρεῖται, καὶ ἐν τοῖς ἐκ διεστώτων. ὡς γὰρ εἷς γραμματικός, ἐκ ποιᾶς ἀναλήψεως, καὶ συγγυμνασίας ἐμμόνως ἔχει κατὰ διαφοράν, οὕτως καὶ ὁ χορὸς ἐκ ποιᾶς μελέτης ἐμμόνως ἔχει κατὰ διαφοράν. διὸ ποιὰ μὲν ὑπάρχει, διά τε τὴν κατάταξιν καὶ τὴν πρὸς ἑνὸς ἔργου συνέργειαν. ἴσχει δὲ ποιότητος, ἀλλὰ ποιά. ἕξις γὰρ ἐν τούτοις οὐκ ἔστιν. οὐδὲ γὰρ ὅλως ἐν διεστώσαις οὐσίαις, καὶ μηδεμίαν ἐχούσαις συμφυῆ πρὸς ἀλλήλας ἕνωσιν, ἀλλὰ ποιότης, ἢ ἕξις. τοῦ δὲ ποιοῦ ὄντος, οὐκ ἔστι ποιότης. οὐ σώματα γὰρ ταῦτα ἀλλήλοις φασὶν ἀλλ'. οὐδὲ δυνατόν ἐστι διὰ τοῦ ποιοῦ τὴν ποιότητα ἀποδίδοσθαι. πρὸς δὲ ταῦτα, δυνατὸν μὲν λέγειν, ὡς ἀσώματον ὂν τὸ εἶδος ἓν καὶ τὸ αὐτὸ διατείνει ἐν τοῖς πολλοῖς, πανταχοῦ τὸ αὐτὸ ὑπάρχον ὅλον. τὸ δὲ τοῦτο, ἔστω καὶ ποιότης μία διήκουσα διὰ τῶν συνδιεστηκότων καὶ συναπτομένων ποιῶν. τὸ μέντοι τοιαύτην ὑπόθεσιν ὡς ἀπεξενωμένην τῆς στωϊκῆς αἱρέσεως μὴ προσδέχοιτο, ἔστιν ἰσχυρῶς ἀπομάχεσθαι. ὡς οὔτε κατάταξις, οὔτε σχέσις, οὔτε ἐπὶ τῆς συνδέσεως, οὔτε ἄλλη τις τοιαύτη συμπλοκὴ παράγει τὴν τοῦ ποιοῦ ὑπόστασιν. ὅμοιον γάρ ἐστι τοῦτο, τῷ ἐκ τοῦ μὴ ὄντος τὰ ὄντα παράγεσθαι, καὶ ἐκ τοῦ μὴ ζῶντος τὰ ζῶντα. ὅλως γὰρ προϋπάρχον τι χρῆμα ἐν ἑκάστῳ ἐστὶν ἡ οὐσία. καὶ οὐχ ὕστερον ἐπιγινόμενον ἄλλοις. οὐδὲ τὸ ποιὸν οὖν οὕτως ὑπόστασιν ἕξει. τὸ γάρ ἐστιν ἀμέριστον εἶδος καὶ ἡνωμένον ἐν τοῖς διεστηκόσι καὶ ὡς μὴ ἡνωμένοις, οὐδέποτε ὑπάρχει. ὁμοίως μὲν ἡ ποιότης. ὁμοίως δὲ τὸ ποιόν. καὶ γὰρ τοῦτο ἀμερίστως πάρεστιν ἐν τοῖς μετέχουσιν. οἷον τὸ λευκὸν ὅλον πανταχοῦ πάρεστιν ἐν τῷ μετέχοντι σώματι. μία οὖν οὖσα καὶ ἀμέριστος ἡ ποιότης, τὰ μεριστὰ συνέχει. καὶ οὐδέποτε ἐν τοῖς διῳκισμένοις ἀπ' ἀλλήλων, καὶ ἐν τοῖς μὴ ἔχουσι τὴν αὐτοφυῆ τὴν ἕνωσιν, οὔτε ἡ ποιότης, οὔτε τὸ ποιὸν πάρεστιν. τὸ δὲ δεῖ μεγάλα καλεῖν τοὺς οὕτως ἄνδρας, καὶ ἐμέ τι προσαπορῆσαι περὶ τῆς κατὰ τὴν ποιότητα ἀποδόσεως, εἴπερ ἡμῖν πάσαις ταῖς κατηγορίαις ἁρμόττει ὁ τοιοῦτος τρόπος τῆς ἀποδόσεως. καὶ γὰρ ποσότητα εἶναι φήσαιμεν, καθ' ἣν ποσοί τινες λέγονται. καὶ πρός τι, καθὸ πρός τι. καὶ οὐσίαν, καθὸ οὐσίαι. κἂν γὰρ ἐπὶ ποιότητος καὶ ποσότητος ἄλλως μὲν καλεῖται τὸ μετεχόμενον, ἄλλως δὲ τὸ μετέχον, οἷον ποιότης καὶ ποιόν. ἐπὶ δὲ τῆς οὐσίας καὶ τῶν ἄλλων ὁμοίως ἑκάτερον καλεῖται. καὶ οὐ δεῖ τῇ τῶν ὀνομάτων ἐπιλείψει συναπολλύναι τὰ πράγματα, ἀλλ' ἐννοεῖν, ὅτι πολλαχοῦ τὰ ὀνόματα ἐλλείπει τῶν πραγμάτων, οὐδὲν ἧττον ὑφεστηκότων. Διατί οὖν ἐπὶ τῆς ποιότητος μόνης, οὕτως αὐτῆς ἀποδέδωκε τὸν λόγον. καὶ γὰρ γνωριμώτερον ἐστὶ τὸ ποιὸν τῆς ποιότητος. ἀλλὰ καὶ τὸ ποσὸν τῆς ποσότητος, καὶ τὰ ἄλλα ὁμοίως. κἂν συνυπάρχωσιν ἥ τε ποιότης καὶ τὸ ποιὸν ἐν ταὐτῷ ὄντα κατὰ τοὺς περιπατητικούς, ἀλλὰ καὶ ἡ ποσότης καὶ τὸ ποσόν, ὁμοίως ἔχουσι. καὶ τῶν ἄλλων κατηγοριῶν ἑκάστη πρὸς τὰ μετέχοντα. τί οὖν ἔσχεν ἡ ποιότης ἰδικώτερον, καθὸ μόνη τῶν ἄλλων κατηγοριῶν ἠξιώθη τῆς τοιαύτης ἀποδόσεως. Μήποτε οὖν πᾶσα κατὰ μέθεξιν γινομένη διαφορά, χαρακτῆρα ἴδιον ἐμποιεῖ καὶ εἶδος ἄλλο. τὸ οὖν πᾶς χαρακτὴρ καὶ πᾶν εἶδος κατὰ ποιότητα

Universitäts- und
Landesbibliothek Düsseldorf

ἀφορίζεται, δηλονότι καὶ αὐτὴ τῶν ἄλλων αἱ μεθέξεις κατὰ τὴν ποιὰν μετάδοσίν τε καὶ μετάληψιν γίνονται. καὶ γὰρ τὸ ποσὸν τῆς μετασχὸν, καὶ διὰ τοῦτο ποσὸν γινόμενον, διαφορᾶ χαρακτῆρος ἐκρατήθη τινός. καθ' ὃν χαρακτῆρα καὶ ἡ ποσότης αὐτὴ, καὶ τὸ ποσὸν μετέχει ποιότητος. εἰ οὖν ταῦτα ἀληθῆ λέγω, εἰκότως τῆς ποιότητος ἐστὶν ἴδιον, τὸ ποιὰ κατ' αὐτὴν λέγεσθαι, εἴπερ καὶ τὰ ἄλλα κατὰ τὴν ποιότητα τοῖς μετέχουσιν ἐνδίδωσι τὸ παρέχωσιν. Ζητῶν δὲ τὰς νοερωτέρας τῆς ποιότητος αἰτίας ὁ Ἰάμβλιχος, πρῶτον μὲν ἀποσκευάζει τὰς μὴ καλῶς εἰρημένας. εἶθ' οὕτως τῷ Ἀριστοτέλει συμφιλοσοφῶν, τὰς καθαρωτέρας ἐννοίας ἐμφαίνει περὶ αὐτῆς. καὶ πρῶτον οὐκ ἀποδέχεται τοὺς κατὰ τὴν κοινότητα τὴν ἐκ πολλῶν καὶ κεχωρισμένην ἀφ' ἡμῶν ἐννοουμένην ὑφιστάντας τὴν ποιότητα. κινδυνεύει γὰρ οὕτως ἀνυπόστατος εἶναι καὶ ἡ ποιότης, καὶ τὰ ἐκτά. οὐδεμία γὰρ κατὰ τὰς τοιαύτας ἐπινοίας ὑπόστασις εἰσάγεται. διὸ καὶ οἱ ἀπὸ τῆς Ἐρετρίας, ἀνῄρουν τὰς ποιότητας, ὡς οὐδαμῶς ἐχούσας τι κοινὸν οὐσιῶδες. ἐν δὲ τοῖς καθ' ἕκαστα καὶ συνθέτοις ὑπαρχούσας. καὶ Δικαίαρχος δὲ, ἀπὸ τῆς αὐτῆς αἰτίας, τὸ μὲν ζῷον συνεχώρει εἶναι. τὴν δὲ αἰτίαν αὐτοῦ ψυχὴν ἀνῄρει. καὶ Θεόπομπος δὲ, τὸ μὲν γλυκὺ σῶμα, διὰ ταῦτα ἀπεφήνατο συνεστηκέναι. τὴν δὲ γλυκύτητα, οὐκέτι. οὔτε γὰρ σώματα, οὔτε ἀσώματα τοὺς ἔθετο εἶναι τὰς ποιότητας. ψιλὰς δὲ μόνας ἐννοίας αὐτὰς ὑπελάμβανον διακένως λεγομένας, κατ' οὐδεμιᾶς ὑποστάσεως. οἷον, ἀνθρωπότητα καὶ ἱππότητα. οὐ μὴν οὐδὲ εἴ τινες ἀπὸ τῶν εἰωθότων λέγεσθαι κατηγορημάτων. ὁμοίως μὲν αὐτῶν ὑπαρχόντων, κατά τε τὰ κοινὰ συμπτώματα σωμάτων καὶ ἀσωμάτων παράγουσι τὰς ποιότητας. οἷον ἀπὸ τοῦ δοκοῦσθαι, δόκωσιν. καὶ ἀπὸ τοῦ ἰσοῦσθαι, ἰσότητα. καὶ ἀπὸ τοῦ σῶμα ὑπάρχειν, σωματότητα. οὐδὲ οὗτοι ὀρθῶς ἀποφαίνονται. οὔτε γὰρ ἀπὸ τῆς συμβάσεως τῶν κατηγορημάτων αἱ ἕξεις ὑπάρχουσιν. οἷον, οὐκ ἐπειδὴ τὸ διεστάναι τοῖς κίοσι συμβέβηκε, διὰ τοῦτο καὶ ἡ διάστασις περὶ αὐτοὺς βλέπεται. τό τε γὰρ κατηγόρημα ἄχρι τοῦ λέγεσθαι μόνως θεωρούμενον, δύναται καὶ ἐπὶ τῶν μὴ ὑφεστώτων θεωρεῖσθαι. αἱ μέντοι ποιότητες κατ' αἰτίαν τινὰ πρωτουργὸν προϋπάρχουσαι, τοσοῦτον ἀπέχουσι τοῦ συνακολουθεῖν τοῖς κατηγορήμασιν, ὥστε αὗται τὰ ὑπάρχοντα κατηγορήματα ἐπιφέρουσιν. οἷον, ἡ φρόνησις, τὸ φρονεῖν. ἤτοι κατ' ἐνέργειαν, ἢ ἐν τῷ μετέχεσθαι. καὶ πρὸς Δημόκριτον δὲ καὶ Ἐπίκουρον δικαιολογεῖται. οἳ δή ποτε τινὰς μὲν διαφορὰς περὶ τὰς ἀτόμους ἀπολείπουσιν. οἷον σχημάτων. βάρους. ποσότητος. σωματότητος. περάτων. μεγέθους. κινήσεως. οὔτε δὲ χρόαν, οὔτε γλυκύτητα, οὔτε ζωὴν ἔχειν. οὔ τῶν ἄλλων τῶν τοιούτων λόγους προϋφεστηκέναι ἀποφαίνονται. κοινοῦ γὰρ ὄντος τοῦ περὶ τῶν ἐκ τῶν λόγου, ἄτοπον μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν διατάττεσθαι. καὶ ἔτι ἀτοπώτερον τὰς ἀρχηγικωτάτας δυνάμεις ὑστερογενεῖς ποιεῖν, ὥσπερ ζωήν. καὶ νοῦν. καὶ φύσιν. καὶ λόγον, καὶ τὰ τοιαῦτα. παραπλησίως δὲ ἀδύνατον καὶ ἀπὸ τῆς συνόδου ταῦτα ἀποτελεῖσθαι. νόμῳ γὰρ ἔσται χροιὴ κατὰ τὸν Δημόκριτον. καὶ τὰ ἄλλα ὁμοίως τῇ ἀληθείᾳ. ἔστι δὲ ἄτομα καὶ κενόν. ὁ δὲ ἅπαξ τὰ ὄντα ἀνελὼν, οὐδὲν ἔξει τίθεσθαι.

καὶ ὁ παραδεξάμενος τὸ αἴτιον, οὐδαμοῦ στήσεται. τί γὰρ μᾶλλον ταῦτα ἢ τὰ ἐναντία
προτιμήσει, ἀπ' οὐδεμιᾶς ἀφωρισμένης αἰτίας ὁρμώμενος. βέλτιον οὖν εἰς ἐκείνην ἐλθεῖν τὴν
ὑπόθεσιν, ἥτις ἀπὸ τοῦ ἔχεσθαι παράγει τὰ ἑκτά. ὥσπερ οἱ ἀκαδημαϊκοὶ ἀφώρισαν τὸ
ἑκτὸν, τὸ οἷόν τε ἔχεσθαι αὐτὸ ἀποδόντες. οὐκ ἀπὸ τῆς ἐτυμολογίας αὐτοῦ παραλα-
βόντες τὸν λόγον. λογικῶς γὰρ τὸ τοιοῦτον εἴρηται, ἀλλ' οὐχὶ πραγματικῶς. μᾶλλον μὲν οὖν τὸ
ἔχεσθαι τὰ εἴδη ἐστὶν, ὑπὸ τῶν οἷόν τε αὐτὰ ἔχειν. πολλαχῶς δὲ τοῦ ἔχειν λεγομένου.
καὶ γὰρ τὰ μέρη ἔχομεν τοῦ σώματος. καὶ τὰ ἐκτός. οἷον ἀγροὺς καὶ οἰκίαν. διαστέλλοντες ἀπὸ
τούτων προσετίθεσαν ἑκτὸν εἶναι φάσκοντες, οἷόν τε ἔχεσθαι. ὡς ἡ φρόνησις ἔχεται ὑπὸ
τοῦ φρονίμου. καὶ ἡ περιπάτησις, ὑπὸ τοῦ περιπατοῦντος. καὶ ἡ κάθισις, ὑπὸ τοῦ καθημένου.
ἐπειδὴ δὲ οἱ μὲν, κατὰ τὰς ἕξεις. οἱ δὲ, κατὰ τὰς εὐαναλύτους σχέσεις. οἱ δὲ, κατὰ τὰς πρός τι πως ἐχού-
σας κινήσεις ἐθεώρουν, εὐσήμου ἕνεκα διδασκαλίας πὼς ἔχοντας κεκλήκασι πάν-
τας τούτους. καὶ ὥσπερ ἐπὶ πλέον τὸ ἑκτὸν τῆς ἕξεως λέγεται, οὕτως ἐπὶ πλέον τὸ πὼς
ἔχον τοῦ ποιοῦ ὑποτίθεται. καὶ οἱ μὲν, τοσοῦτον μόνον πλεονάζειν τὸ πὼς ἔχον τοῦ ποιοῦ ὑπο-
τίθενται, καθόσον τὸ πὼς ἔχον παρεξέτεινε καὶ ἐπὶ τὰ πρός τι πως ἔχοντα, καὶ περιε-
λάμβανε ταῦτα. τὸ δὲ ποιὸν ἵστατο ἐπὶ μόνων τῶν κατὰ διαφοράν. οἱ δὲ, ἄλλην τινὰ
τεχνολογίαν ἐπενόησαν. οὗτοι δὲ ἀμφότερα νοοῦσι, καθόσον ἅμα καὶ ἔχεσθαι τὸ ἑκτὸν λέ-
γουσι, καὶ χωριστὸν αὐτὸ ὑποτίθενται. ἔπειτα, οὐδ' ὅπως ἔχεται, ἢ πῶς πάρεστιν, ἢ τίνα
ὄντα μετέχεται τὰ ἀσώματα εἴδη, διὰ τούτων ἐμφαίνεται, ἀλλ' ἄτακτα καὶ ἀόριστα πάντα
τὰ τοιαῦτα φέρεται παρ' αὐτοῖς. αἴτιον δὲ, ὅτι παραδεξάμενοι τὴν περὶ τῶν εἰδῶν ὑπόστασιν
οὗτοι, οὐκ ἐτήρησαν αὐτὴν ἐπὶ τῶν πρώτων ὑποθέσεων, ἀλλ' ἄχρι καὶ τῶν εἰδῶν αὐτῶν προ-
ήγαγον. ἀδύνατον δὲ τὰ ἐπὶ τῶν πρωτίστων ἐφαρμόζειν τοῖς ἐπὶ τῶν ἐσχάτων ὑπάρχου-
σιν. οἱ δὲ στωϊκοὶ, τῶν μὲν σωμάτων, σωματικὰς. τῶν δὲ ἀσωμάτων, ἀσωμάτους εἶναι λέγου-
σι τὰς ποιότητας. σφάλλονται δὲ ἀπὸ τοῦ ἡγεῖσθαι τὰ αἴτια τοῖς ἀποτελουμένοις ἀφ' ἑαυ-
τῶν ὁμοούσια εἶναι. καὶ ἀπὸ τοῦ κοινοῦ λόγου τῆς αἰτίας, ἐπί τε τῶν σωμάτων καὶ ἐπὶ τῶν
ἀσωμάτων ὑποτίθεσθαι. πῶς δὲ καὶ πνευματικὴ ἡ οὐσία ἔσται τῶν σωματικῶν ποιο-
τήτων, αὐτοῦ τοῦ πνεύματος συνθέτου ὄντος, καὶ ἐκ πλειόνων συνεστηκότος. μεριστοῦ τε
ὑπάρχοντος, καὶ ἐπίκτητον ἔχοντος τὴν ἕνωσιν. ὥστε οὐ καθ' αὑτὸ δ' ἂν ἔχοι τὸ συνέχε-
σθαι. οὐδὲ πρώτως ἀφ' ἑαυτοῦ. πῶς οὖν ἂν τοῖς ἄλλοις τοῦτο παρέχοι τὸ συνέχεσθαι.
τὴν δὲ ἀριστοτέλους περὶ τῆς ποιότητος δόξαν, ὡς θαυμαστὴν πασῶν προκρίνομεν. ἣ
οὐ μόνον ἀσώματος οὖσα ἡ ποιότης διηγόρευται, ἅτε ταῖς διαφοραῖς κατ' αὐτὴν διω-
ρισμένων τῶν σωμάτων. ἀλλὰ καὶ ὅταν μὲν λέγεσθαι κατὰ τὰς ποιότητας εἴπῃ τοὺς
ποιοὺς, λόγους εἶναι τὰς ποιότητας, διορίζεται τοὺς εἰδοποιοῦντας τὰ ποιά. ὅταν
δὲ ἐν τοῖς ποιοῖς αὐτοῖς παρεῖναι λέγῃ, ἐν ὕλῃ τότε αὐτοὺς καὶ μετὰ τῆς ὕλης δι-
ισχυρίζεται συνυπάρχειν. ἔχοντας μέντοι καθ' ἑαυτοὺς ὑπόστασιν. οὐ γὰρ ἂν κατ'
αὐτοὺς ἐλέγετο τὸ ποιὸν, εἴπερ ὅλοι τῆς ὕλης ἦσαν, καὶ μὴ ἑστηκότες ἐν ἑαυτοῖς, παρεῖ-
χον αὐτῇ τὸ εἶναι, καὶ οὕτως αὐτῇ συνῆσαν χωριστῶς. ἐπειδὴ δὲ ποιοί τινες κατὰ τὴν ποιό-
τητα λέγεσθαι εἴρηνται καθ' ἕκαστον ἀριθμὸν διακεκριμένοι ἐν μερισμῷ, διὰ τοῦτο καὶ

ἐν διαιρέσει ἔσται ὁ τῶν ποιοτήτων λόγος. διότι δὲ λέγονται, ἔοικε τῷ λεγομένῳ. καὶ ἐν τῇ παρατάξει πᾶσαν ἑαυτὸν ἐπιτίθησιν ἄλλοις. ἐπειδὴ καὶ πᾶς λόγος ἐν ἐξόδῳ τέ ἐστι, καὶ περὶ ἑτέρων λέγεται. τὸ δὲ ποικίλον τῆς ποιότητος, καὶ τίνα ἡ πρὸς τὸ ποιὸν συνεζευγμένη εὑρίσκοι. διότι δὲ κατὰ τὴν ποιότητα ὑφίσταται τὸ ποιόν, ὁμοῦ μὲν διδοῦσιν ἑαυτὴν ὡς ἄλλοις τοῖς ποιοῖς. ὁμοῦ δὲ καὶ μένει ἀκίνητος. κατὰ συμβεβηκὸς μέντοι κινεῖται, τῷ γίνεσθαι τῶν κινουμένων, καὶ ἐν ἑαυτοῖς εἶναι. καὶ περὶ τῆς ὑποστάσεως δὲ τῶν ποιοτήτων, σαφέστατος ὅρος διώρισται παρ' αὐτῷ. εἰ μὲν γάρ τις αὐτὰς χωριστὰς ὥσπερ τὰς ἰδέας Πλάτων ἀφορίζοιτο, οὐκ ἔστιν ὕπαρξις αὐτῶν. πῶς γὰρ δὴ ἡ ἡμετέρα ἕξις ἔσται χωριστή, καὶ ἡ μετεχομένη καθ' ἑαυτήν. εἰ δὲ οὕτως τις αὐτὴν λαμβάνει, ὡς καὶ ἡμῖν παροῦσαν καὶ ὡς μετεχομένην ἐν τοῖς ποιοῖς, καὶ οὕτως ἐχομένην, ὡς τῶν μετεχομένων γίνεσθαι, ἔσται αὐτῶν ἡ ἀληθὴς ὑπόστασις. εἰ γὰρ ποιότης ἐστὶ καθ' ἣν ποιοί τινες ἐσμέν, ποιοὶ δὲ κατὰ τὸ ἐνυπάρχον ἐσμέν, λευκὸν γὰρ λέγω, κατὰ τὴν ἐν αὐτῷ ὁρωμένην λευκότητα. δῆλον ὅτι τὸ κεχωρισμένον εἶδος. κἂν ἔστι λευκότης, ἢ ἀνθρωπότης, ἀλλὰ ποιότης οὐκ ἔστι. μετεχόμενον γὰρ ἡ ποιότης. διὰ δὲ ταῦτα, οὐκ ἔσονται λόγοι ἑαυτῶν αἱ ποιότητες. τῶν γὰρ ποιῶν προηγουμένως εἰσὶν οἱ λόγοι. ἀλλ' οὐδὲ λόγοι εἰσὶν αἱ ποιότητες. διδόντες ἀφ' ἑαυτῶν λόγους ἑτέρους, γεννήματα ἑαυτῶν, εἴπερ ὅλοι τῶν ποιῶν εἰσίν. ἀλλ' οὐδὲ μένει μὲν ἕτερος. ὁ δέ, προεβλήθη τὸ ἐκτός. ὁ μὲν γάρ, ἐστιν ἀσώματος. ὁ δέ, σωματοειδής. καὶ ὁ μέν, ἀμέριστος. ὁ δέ, μεριστός. ὅλοι γάρ εἰσι τῶν ποιῶν. ἀλλ' οὐδὲ εἷς ἐστὶ λόγος διπλᾶς ἔχων τὰς ἐνεργείας. καὶ γὰρ οὕτως ἔσται τρόπον τινὰ καθ' ἑαυτόν. ἀλλὰ τοὐναντίον. εἷς μέν ἐστι λόγος, μετεχόμενος δὲ μόνον. καὶ τοῦτο ἔχει τὸ εἶναι. καὶ ὅτι μὲν οὐκ ἔστι τὸ κεχωρισμένον καὶ ἀμέθεκτον εἶδος ἡ ποιότης, ἀλλὰ τὸ μετεχόμενον λόγος, δῆλον. καὶ ἐν τῷ μετέχεσθαι γὰρ καθ' ἑαυτὸν ἔχειν τὴν ὑπόστασιν αὐτὸν ὁ Ἀριστοτέλης οἴεται. καὶ ἀκίνητον μὲν αὐτὸν ἐνέργειαν ὑποτίθεται. ἄνευ δὲ ὀργάνων σωματικῶν, καὶ ἄνευ μοχλείας πάσης, καὶ χωρὶς σωματικῆς πάσης κινήσεως, ποιεῖν πάντα τὰ καθ' ἑαυτὸν ἔργα ἀποφαίνεται. καὶ τὸν μὲν κατὰ τὴν μορφὴν λόγον, ἕτερον αὐτὸν εἶναι διισχυρίζεται. ἔσχατος γὰρ οὗτος καὶ οὐδὲν ποιεῖ. ὁ δέ, ποιεῖ πολλά, καὶ οὐκ ἔστι τελευταῖος. καὶ ὁ μέν, ἄψυχος θεωρεῖται. ὁ δέ, ἔχων τινὰ ζωῆς ἔμφασιν. καὶ ὁ μέν, ἀνενέργητος. ὁ δέ, κατ' ἐνέργειαν νοεῖται. καὶ ἴσως περὶ τοῦ κατὰ τὴν μορφὴν ἰδιώματος λέγει Ἀριστοτέλης. ὅτι κατὰ πάθος ἐγγίνεται ὁ χαρακτὴρ οὗτος τοῦ σώματος. οἱ δέ, περὶ παντὸς λόγου τοῦ κατὰ τὴν ποιότητα, τοῦτο οὐχ ὑγιῶς ὑπέλαβον. ἔτι τρίγωνον ἡ μὲν μορφὴ κατέχεται ὑπὸ τοῦ σώματος, κατὰ μίαν τὴν τυχοῦσαν διαφοράν. αἱ δὲ ποιότητες, ἔχουσί τι πλέον, καὶ τῶν πλαττομένων αἱ αὐταὶ ὑπάρχουσι. δηλοῖ τρίγωνον διὰ τὰς αὐτὰς αἰτίας καὶ τοῦ σχήματος ἡ ποιότης ἑτέρα ὑπάρχειν. τὸ μὲν γὰρ σχῆμα, τοῦ μεγέθους ἐκτὸς ἀφορίζει τὸν ὅρον. ἡ δὲ ποιότης, τὸ αὐτὸ ἰδίωμα δι' ὅλου τοῦ ποιοῦ ἐμποιεῖ. καὶ τὸ μὲν σχῆμα, ὕστερόν ἐστι μετὰ τὸ μέγεθος. τὸ δὲ ποιόν, προηγεῖται τοῦ μεγέθους. ποσαπλῶς οὖν ὁ λόγος ὁ τῆς ποιότητος, οὐχ ὡς θεωρῶν ἑαυτόν, οὔτε ὡς ἐκ θεωρίας, οὔτε ὡς ἐκ ζητήσεως παραγινόμενος, ἀλλ' ὡς ἔχων καὶ διδοὺς ἅπερ ἔχει. καὶ ὡς αὐτὸς

τῷ εἶναι ποιόν. καὶ ὡς ἐν τῷ ἔχειν ποιόν. καὶ ὡς ἐν τῷ μένειν τὰ πάντα ἀπεργαζόμενος. ὅθεν δὴ τέλειος μὲν καὶ ὡρισμένως παντάπασιν, οὐδαμῶς ἐστι. μίγνυται γὰρ πρὸς τὸ ἀτελὲς πάντη, καὶ ἀόριστον. ἀλλ' οὐδὲ ἔσχατος πάντη καὶ ἀόριστός ἐστι. διακοσμεῖ γὰρ τὸ ὑλικὸν πᾶν καὶ ἐπιμελεῖται αὐτοῦ τεταγμένως. καὶ τὸ μέγιστον, εἰς ἓν ὁ τοιοῦτος λόγος συνέρχεται. ὅθεν ἐάν τε ἐν σμικρῷ, ἐάν τε ἐν μεγάλῳ ὁ τῆς ποιότητος ὑπάρχῃ λόγος, εἷς καὶ ὁ αὐτὸς ὑπάρχει. οὐδὲν ἄρα τὸ ποσὸν συμβάλλεται εἰς τὴν ὑπόστασιν αὐτοῦ, ὥς δοκοῦσί τινες τοῦ πλάτωνος ἀκούειν, ἀλλ' ἔστιν ἀμέριστος περὶ τὰ σώματα μεριζόμενος. τοιαύτας αὐτῆς ὑποθέσεις περὶ τῆς ποιότητος ὑποθέμενος, οὐκ ἂν διαμάρτῃ τῆς τε ἀληθείας αὐτῆς, καὶ τῆς ἀριστοτέλους περὶ αὐτῆς δόξης. ἔστι δὲ ἡ ποιότης, τῶν πλεοναχῶς λεγομένων. μετὰ τὴν οὐσίαν τῆς ποιότητος, τὴν διαίρεσιν αὐτῆς παραδοῦναι προτίθεται ὁ ἀριστοτέλης. καὶ τὰ εἴδη αὐτῆς, ὥσπερ καὶ τῶν ἄλλων γενῶν διαιρεῖται. ἡ γὰρ ἐπιστημονικὴ γνῶσις, αὐτό τε ἕκαστον ὅ, τί ποτε ἐστὶν ἐπισκέπτεται, καὶ τὰ εἴδη αὐτοῦ διαιρεῖται κατὰ τρόπον. εἰπόντος δὲ αὐτοῦ τὴν ποιότητα τῶν πλεοναχῶς λεγομένων εἶναι, ἐπειδὴ τὰ πλεοναχῶς λεγόμενα, τὰ ὁμώνυμα δοκεῖ εἶναι, συνάγεται τὴν ποιότητα ὁμώνυμον εἶναι. τὸ δὲ ὁμώνυμον, οὐκ ἔστι γένος. ἐπειδὴ τὰ γένη, συνώνυμά ἐστιν. ὥστε, οὐδὲ εἰς εἴδη διαιρεῖται ἡ ποιότης καθάπερ τὰ γένη, ἀλλ' εἰς τέσσαρα σημαινόμενα, ὥσπερ τὰ ὁμώνυμα. ἐκτέον οὖν ὅτι πολλὰ σημαίνει τὸ πλεοναχῶς. ἔστι γὰρ κοινῶς μὲν τὸ κατὰ πλειόνων λεγόμενον, ὁπωσδήποτε πλεοναχῶς λέγεται. ἰδίως δὲ καὶ τὰ ὁμωνύμως καὶ τὰ συνωνύμως λεγόμενα, πλεοναχῶς λέγεται, ὡς διαφόρως λεγόμενα. ταῦτα τοίνυν δύναται καὶ κατὰ τὸ κοινὸν εἰρῆσθαι ὡς κατὰ πλειόνων λεγόμενα, ἢ μᾶλλον κατὰ τὸ συνωνύμως καὶ κατὰ διαφορὰν λεγόμενον. δηλοῖ δὲ αὐτὸς ἐπάγων, ἓν μὲν οὖν εἶδος καὶ οὐχὶ ἓν σημαινόμενον, ποιότητος αἱ ἕξεις καὶ διαθέσεις λεγέσθωσαν. δοκεῖ δὲ τοῖς περὶ ἀλέξανδρον, τὸ πλεοναχῶς δύνασθαι κυρίως ἀντὶ τῆς ποιότητος εἰρῆσθαι, ὡς οὐκ οὔσης ἐν μόνῳ τῷ εἰρημένῳ γένει, ἐν ᾧ εἰσὶν αἱ ἕξεις καὶ αἱ διαθέσεις, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις. ἐν πάσαις γὰρ τὰ γένη καὶ τὰ εἴδη ποιότητα σημαίνει τὴν περὶ ταῦτα, ὧν ἐστι γένη καὶ εἴδη. ὥσπερ τὸ περὶ οὐσίαν ποιόν, ἢ τῶν ἄλλων τι γενῶν. τοῦτο οὖν ἐνδείξασθαι βουλόμενον εἰπεῖν. ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων. εἰπόντα δὲ τοῦτο, τὴν διαίρεσιν ποιήσασθαι, οὐ τῆς πολλαχῶς, ἀλλὰ τῆς κυρίως λεγομένης ποιότητος, τῆς ὡς γένος τῶν δέκα γενῶν. ἀλλ' ἐφιστάνουσιν οἱ ἀκριβέστεροι τῶν ἐξηγητῶν, ὡς οὐ καλῶς λέγονται τὰ γένη καὶ τὰ εἴδη ποιότητες εἶναι καὶ ποιά, ἐν ταῖς δέκα κατηγορίαις. οὐσίαι γὰρ ταῦτα καθέκαστον, καὶ συμπληροῖ τὸ εἶναι. τὸ δὲ ποιὸν πανταχοῦ μετὰ τὴν οὐσίαν εἰς προσθήκην τῆς τοιᾶσδε φύσεως συντελοῦν. μήποτε δὲ πλεοναχῶς λέγεται ἡ ποιότης, διότι οὐκ ἔστιν ἴσα τὰ ἐν αὐτῇ εἴδη. ἀλλὰ τὰ μὲν, ὑπέρτερα. τὰ δὲ, καταδεέστερα. καὶ τὰ μὲν, τελειότερα. τὰ δὲ, ἀτελέστερα. καὶ τὰ μὲν, ἐν τῷ δύνασθαι. τὰ δὲ, ἐν τῷ ἐνεργεῖν, ἔχοι ἂν κατὰ πάντα ταῦτα τὸ πρότερόν τε καὶ ὕστερον, ὡς ἂν ἀφ' ἑνὸς καὶ περὶ ἓν ὑφέσει τῆς πρώτης δυνάμεως, πληθυνόμενά τε καὶ διαφορούμενα πρὸς ἄλληλα. δύναται

οὖν ταύτῃ πλεοναχῶς λέγεσθαι ἡ ποιότης. οὐ γὰρ τὴν ἴσην ἔχει τάξιν, ἕξις τε καὶ
δύναμις, καὶ παθητικὴ ποιότης, καὶ σχῆμα, ἀλλ' ἀεὶ κάτεισιν ἡ διαίρεσις, ἐπὶ τὰ
ἀσθενέστερα εἴδη τοῦ ποιοῦ. καὶ ταύτῃ προσέοικε τοῖς τοιούτοις τοῖς ἀφ' ἑνὸς καὶ πρὸς
ἕν. τὸ δὲ πλεοναχῶς λέγεσθαι, οὔτε τοῖς ὁμωνύμοις ἁρμόζει κυρίως, οὔτε τοῖς συνω-
νύμοις. ἀλλ' ὡς αὐτὸς ἐν τῇ μετὰ τὰ φυσικὰ πραγματείᾳ λέγει σαφῶς τοῖς ἀφ' ἑνὸς
λεγομένοις, ἢ πρὸς ἕν. τὸ γοῦν ἕν, πλεοναχῶς λέγεται, καὶ τὸ ἰατρικόν. τάττεται δὲ καὶ
ἐπὶ τῶν ὁμωνύμως κατηγορουμένων τὸ πλεοναχῶς, καὶ ἐπὶ τῶν συνωνύμως, εἰ καὶ
ἀκυρίως τοῦτο. δύναται δὲ καὶ ὡς ἀφ' ἑνὸς τοῦ γένους, προϊέναι τὸ πλῆθος τούτων τῶν
ποιοτήτων, ἵνα συνωνύμως κατ' αὐτῶν κατηγορῆται ἡ ποιότης. οὐ μέντοι εἰς τὰ
ἀντιδιῃρημένα καὶ ἐξισάζοντα εἴδη γινομένης τῆς διαιρέσεως, ἀλλ' εἰς τὰ ἀεὶ ὑπο-
δεέστερα. καὶ οὕτως τὸ πλεοναχῶς διασωθήσεται. Ἀλλ' εἰ μία καὶ ἡ αὐτὴ φαίνεται κοινότης,
διαφοραῖς δὲ εἰδοποιοῖς τὰ πλείω εἴδη περιέχεται, καὶ τὸ κατὰ πλειόνων εἰδῶν κα-
τηγορεῖσθαι ταύτῃ πλεοναχῶς εἴρηται, λέγεσθαι δὲ τὸ κοινόν ἐστιν ἐπὶ τῶν τεσσάρων
εἰδῶν τῆς ποιότητος. πρὸς δὴ τοῦτο, τὴν διδασκαλίαν τῆς εὑρέσεως ἐννοητέον. οὔτε
γὰρ ποιότητα ποιότητος εὑρεῖν ῥᾴδιον, οὐδὲ γὰρ χεῖρα δεῖν ἐπιμήσοιμεν τὴν κοινὴν
ἰδιότητα τῆς ποιότητος εὑρίσκειν, οὔτε διαφορὰν διαφορᾶς. διαφορὰ γὰρ ἡ ποιό-
της. δεῖ οὖν τῇ φύσει τοῦ πράγματος συγχωρεῖν, καὶ μὴ πλέον φιλονεικεῖν ἀνευρίσκειν
ἕκαστον, ἢ ἐφ' ὅσον πρόδηλον εἶναι πέφυκε. τὸ δὲ αἴτιόν φησιν Ἰάμβλιχος τῆς περὶ
τοῦτο δυσκολίας εἶναι, διότι ὅταν ἐνύλου καὶ μεριστοῦ πράγματος κοινότητα ζη-
τῶμεν, τότε διὰ μὲν τὴν ἑτερότητα τῆς ὕλης καὶ τὴν διαίρεσιν τῶν καθ' ἕκαστον,
ἐπὶ τὰς διωρισμένας ἰδιότητας φερόμεθα, ἐν αἷς ἐνυπάρχει τὸ κοινόν. οὐ γὰρ ἔχει
καθ' ἑαυτὸ ὑπόστασιν. πάλιν δὲ αὖ διὰ τὴν τοῦ κοινοῦ ἐπίνοιαν, καθόσον ἐστὶ καθόλου,
χωρίζομεν τῶν ἐν μέρει αὐτὸ καὶ καθ' αὑτὸ νοοῦμεν τὸ γένος. ὁμοῦ οὖν εἰς τἀναντία πε-
ριέλκεται ἡ ἐπίνοια. καὶ ὧν ἔχεται, τούτων ἀφίστασθαι προσαναγκάζεται. καὶ ἀφι-
σαμένη ἀπ' αὐτῶν, οὐδὲν ἧττον μένει ἐν αὐτοῖς. οὐ γὰρ οἷόν τε χωρὶς τούτων εἶναι τὸ
κοινόν, οὐδὲ ἐπινοεῖσθαι. διὰ δὴ τὴν αἰτίαν ταύτην, δύσκολός ἐστιν ἥ τε νόησις αὐτοῦ,
καὶ ἡ ἐξήγησις. τό, τε γὰρ κοινὸν διαφορεῖται, καὶ ἡ διαφορὰ μετὰ τοῦ κοινοῦ ὑφέ-
στηκε. καὶ οὐδέτερον ὑπάρχει τοῦ ἑτέρου χωρίς. ὁ μέντοι λόγος, καὶ πρὸ τοῦ λόγου ἡ
ἔννοια, τὰς μὲν συμμίκτους ταύτας φύσεις, δυσκόλως αἱρεῖ. τὰς δὲ πολὺ διε-
στώσας ἀλλήλων, εὐκολώτερον καταμανθάνει. διότι καὶ τὴν κοινότητα ἰδίως αἱρεῖν
προθυμεῖται, καὶ τὴν διαφορὰν ἰδίως. κοινὸν δὴ οὖν ἔξω τῶν τεττάρων τούτων, ἢ
τὸν λόγον τῆς ποιότητος περιεχομένη. ἢ γὰρ μᾶλλον, ἢ ἧττον, ἢ προσεχῶς, ἢ πόῤῥω-
θεν, ἢ διόλου, ἢ ἐπιπολῆς, ἢ πρὸς παρασκευήν, ἢ πρὸς τελείωσιν γινομένη. καὶ
οὕτως ὁ λόγος εἷς ἂν καὶ κοινὸς γίνοιτο. ἡ δὲ μετουσία αὐτοῦ, τετραχῆ διαιρεῖται. εἰ δὲ
αὐτὸ τοῦτο ζητοῖμεν τίς ὁ τῆς ποιότητος λόγος, καὶ τίς ἡ διαφορὰ αὐτοῦ περὶ τὸν τῆς
οὐσίας λόγον, οὔπω γοῦν τοῦτο πρόδηλόν ἐστι, λεγέσθω ὅτι δεύτερος ἐστὶ λόγος ὁ τῆς ποι-
ότητος, ἐκ προηγουμένου τινὸς ὑφιστάμενος. ὁ γὰρ νοερὸς καὶ παραδειγματικὸς τῆς

λευκότητος λόγος. ἐκεῖ μὲν ποιότης οὐκ ἔστιν. ἀφ' ἑαυτοῦ δὲ προάγει τὸν λόγον ἐν τῇ ὕλῃ ποιότητα γινόμενον. εἰ δὲ καὶ αὐτὸς λέγεται ποιότης, οὐδὲν θαυμαστόν. τοῖς γὰρ αὐτοῖς ὀνόμασι καλεῖται τὰ αἴτια, οἷς ἐκεῖνα ὧν ἐστι τὰ αἴτια. κυρίως δὲ ποιότης ἐπονομάζεται, ὃ δεύτερον ἐπιγίνεται μετὰ τὸ εἶδος. καὶ τῆς οὐσίας προϋπαρχούσης, συνυφίσταται ἐμφυόμενον ταῖς συνθέτοις φύσεσι. καὶ τὰ μετέχοντα πάντα, ἓν καὶ ταυτὸν ἔχει ἐνυπάρχον τὴν παρουσίαν τοῦ τοιούτου λόγου. προσθήκη γίνων οὐσίας ἄλλων, ὁ τῆς ποιότητος λόγος. καὶ ἀεὶ ὡς συμβεβηκὸς θεωρούμενος. καὶ ἀπεστερημένος τῆς ὄντως οὐσίας. καὶ ἔμφασις εἴδους, καὶ εἰκὼν τοῦ προτέρου λόγου. καὶ ὡς ἕτερος ἐφ' ἑτέρῳ ἐπιγινόμενος. οἷον ἐπίκτητός τε καὶ ἔξωθεν ἐφήκων εἰς τὰ μεταλαμβάνοντα. ὁ δὲ τοιοῦτος λόγος ὁ κατὰ τὴν ποιότητα κυρίως θεωρούμενος, κοινός ἐστι τῶν μετεχόντων αὐτοῦ εἰδῶν. καὶ ἄλλα δὲ τὰ γένη καθόσον ἐστὶ γένη, διέστηκεν ἀλλήλων. ὁ γὰρ τῆς οὐσίας λόγος, ἕτερός ἐστι. καὶ ἄλλος ὁ τῆς ποιότητος. ὅ, τε γενικὸς ἑκατέρου τούτων λόγος, πάντῃ κεχώρισται. δεῖ τοίνυν τοὺς οἰκείους λόγους ἐφ' ἑκάστης κατηγορίας, κοινοὺς ποιεῖσθαι τῶν κατ' εἴδη διεστηκότων. ὅσα τε ἐστὶ καὶ ὁποῖα. καὶ περὶ τοῦ εἴδους δὲ, ὁ αὐτὸς ἔστω διορισμός. καθ' ἕκαστον γὰρ τῶν δέκα γενῶν οἰκείως διώρισται τὸ εἶδος. ἀφ' οὗ ἡ κατηγορία προσφόρως τε ἑκάστων προηγεῖται, καὶ τὸ κοινὸν αὐτοῦ καθ' ἑκάστην κατηγορίαν οἰκείως προσήκει περιλαμβάνειν. ὥστε καὶ ἐπὶ τῆς ποιότητος τῷ αὐτῷ χρησόμεθα διορισμῷ, περὶ τῆς κατὰ τὸ εἶδος κοινῆς μετουσίας. ἥντινα καὶ ὡς γενικὴν προτάττειν χρὴ τῶν ἐν αὐτῇ πλειόνων εἰδῶν. οἱ δὲ στωϊκοὶ, τὸ κοινὸν τῆς ποιότητος τὸ ἐπὶ τῶν σωμάτων λέγουσι διαφορὰν εἶναι οὐσίας. οὐκ ἀποδιαληπτὴν καθ' ἑαυτήν, ἀλλ' εἰς ἓν νόημα καὶ ἰδιότητα ἀπολήγουσαν. οὔτε χρόνῳ, οὔτε ἰσχύϊ εἰδοποιουμένην, ἀλλὰ τῇ ἐξ αὐτῆς τοιουτότητι. καθ' ἣν ποιοῦ ὑφίσταται γένεσις. ἐν δὲ τούτοις εἰ μὴ οἷόν τε κατὰ τὸν ἐκείνων λόγον, κοινὸν εἶναι σύμπτωμα σωμάτων καὶ ἀσωμάτων, οὐκέτι ἔσται γένος ἡ ποιότης. ἀλλ' ἑτέρως μὲν ἐπὶ τῶν σωμάτων, ἑτέρως δὲ ἐπὶ τῶν ἀσωμάτων αὕτη ὑφέστηκε. καὶ ὑπ' ἄλλα γένη διὰ τοῦτο ταχθήσεται. τοῦτο δὲ ἔτι ἀκριβέστερον λέγεται, τὸ μὴ ἔχειν ὑπόστασιν τὰς ποιότητας, ἀλλ' εἰς ἓν νόημα αὐτὰς καταλήγειν. εἰ μὴ ἄρα οὐχ οὕτως ἔλεγον τὸ εἰς ἓν νόημα καὶ ἰδιότητα ἀπολήγειν, ὡς ἀνυποστάτου οὔσης τῆς ποιότητος, ἀλλ' ὅτι οὐκ ἦν ἀποδιαληπτὴ καθ' ἑαυτὴν ὥσπερ ἡ οὐσία, ἀλλ' ἐννοίᾳ καὶ ἰδιότητι χωριζομένη. ἡ δὲ ἐξ αὐτῆς τοιουτότης, ἀσαφής τε ἐστὶ καὶ οὐδὲν ἧττον τῇ οὐσίᾳ προσήκει, ἢ περὶ τὴν ποιότητα. εἰ μὴ ἄρα τὸ τοιοῦτον ποιότητός ἐστιν ἴδιον, ὥσπερ τὸ τοῦτο μᾶλλον οὐσίας. πῶς δὲ λέγουσι, καθ' ἣν ποιοῦ ὑφίσταται γένεσις, εἴπερ ὁμοούσιοι εἰσὶ τοῖς ἀποτελουμένοις ὑφ' ἑαυτῶν. ἐπειδὴ καὶ αὗται εἰσὶ σωματοειδεῖς, σύνθετοί τε καὶ αὗται παραπλησίως εἰσίν. ὁ δὲ πλωτῖνος τὸ κοινὸν τῆς ποιότητος, δύναμιν εἶναι ἔθετο. ἀφ' ἧς τὸ ἔχον δύναται ἃ δύναται. πάσαις γὰρ ἐφαρμόζειν τοῦτο ταῖς τέτρασι ποιότησι. καὶ ὅτι μὲν ὡς μοναχῶς χρῆται τῇ δυνάμει καὶ τὸ δύνασθαι, καί τοι πλεοναχῶς αὐτῶν εἰωθότων κατηγορεῖσθαι, πρόδηλον. ἑκάστῃ γὰρ τῶν κατηγοριῶν ἐφαρμόττει τοῦτο. ἐκεῖνο δὲ ἐπιστῆσαι χρή. μήποτε εἰς τὸ αὐτὸ περιδεδράμηκεν ἡμῖν ἡ ἀπορία. ἦν μὲν γὰρ τὸ ζητούμενον

τῆς πολλαχῶς λεγομένης αὐτῆς, οὐδέν ἐστι κοινόν. τὴν δὲ δύναμιν ἀντὶ τῆς ποιότητος μεταλαβόντες, οὐδὲν πλέον πεποιηκέναι δοκοῦμεν. εἴπερ γὰρ ὁμωνύμως καὶ αὕτη λέγεται. καὶ πάλιν ὥσπερ τῆς ποιότητος τὸ κοινὸν δύσκολον εὑρεῖν, οὕτω καὶ τῆς δυνάμεως εἴποτε ἔστι τὸ γένος, οὐ ῥᾴδιον συλλογίσασθαι. καὶ ἴσως ἀληθὴς καὶ ὁ Πλωτίνου λόγος. διότι γὰρ μέση ἐστὶν ἡ ποιότης, τῶν τε ἐπικτήτων συμβεβηκότων, καὶ τῶν αὐτοφυῶν οὐσιῶν, διὰ τοῦτο τῇ δυνάμει ἔοικε μέσην καὶ αὐτὴν τὴν φύσιν ἐχούσῃ. καὶ διότι μὴ κοινωνεῖ τῆς τοῦ εἴδους οὐσίας ὁπωσοῦν, διὰ τοῦτο καθ' ἕνα κοινὸν λόγον χαρακτηρίζεται. ἐπεὶ δὲ καὶ τῆς ἐπιτηδευματικῆς κατηγορίας συμμετέσχηκεν, ὥσπερ ἡ τοῦ κεῖσθαι καὶ ἔχειν κατηγορία, διὰ τοῦτο καὶ αὐτὴ προσλαμβάνει τὸ πλεοναχῶς λέγεσθαι, ὥσπερ καὶ ἡ δύναμις. καὶ γὰρ αὐτὸ ταύτης τὸ πλεοναχῶς λεγόμενον αὐτῆς, ἀπ' αὐτῆς ἔχει τὸ κοινὸν συνυπάρχον, ἢ τῷ ἀφ' ἑνὸς, ἢ πρὸς ἓν συντετάχθαι, ἢ τῷ περὶ τὸ αὐτὸ ποιεῖσθαι τὴν ὕφεσιν τῆς δυνάμεως. ἐπειδὴ δὲ τῶν δυνάμεων αἱ μὲν, ἅμα ταῖς οὐσίαις ὑπάρχουσι καὶ ταῖς κατ' αὐτὰς ἐνεργείαις. αἱ δὲ, οὔτε συμπληρωτικαὶ τῆς οὐσίας ὑπάρχουσιν, οὔτε οἱονεὶ μέρη τῶν οὐσιῶν εἰσὶ, τὰς ποιότητας δυνάμεις ῥητέον, τὰς ἐπιούσας ταῖς οὐσίαις, ὅσαι μὴ εἰδοποιοὶ διαφοραί εἰσιν. ἐπικτητικαὶ δέ τινες δυνάμεις. οὕτω τὸ λογικὸν τοῦ ἀνθρώπου συμπληρωτικὸν τῆς οὐσίας ἐστὶ καὶ μέρος. ὅπερ οὐκ ἂν κληθείη ποιότης, οὐδὲ ἡ κατὰ τὴν ποιότητα νοουμένη δύναμις. τὸ μέντοι πυκτικὸν, καθὸ ἀφορμὰς ἔχομεν ἀξιολόγους εἰς τὴν πυκτικὴν, ποιότης ἔσται καὶ δύναμις. ἐπεὶ οὔτε μέρος τοῦ ἀνθρώπου ἐστὶν, οὔτε ἄλλως τῆς οὐσίας συμπληρωτικόν. διότι οὐδὲ πᾶσιν ὑπάρχει τοῖς ἀνθρώποις. καὶ τοῦ λογικοῦ δὲ τὸ μὲν φυσικὸν, οὐ ποιόν. τὸ δὲ ἐπιγινόμενον λογικὸν, διά τε τῆς ὀξύτητος καὶ ἀγχινοίας ὡς ἐπισκευαστὸν, ποιότης. ὥστε αἱ μὲν συμπληρωτικαὶ τῶν οὐσιῶν, οὐκ εἰσὶ ποιότητες, κἂν δοκῶσι τὴν ποιὰν οὐσίαν σημαίνειν. αἱ δὲ ἔξωθεν ἐπιγινόμεναι αἱ περὶ ψυχὴν καὶ περὶ σῶμα, ἐπισκευαστήν τινα ἕξιν ἢ διάθεσιν καὶ μορφὴν σημαίνουσαι, αὗται ποιότητές εἰσιν. ἀεὶ γὰρ περὶ τὸ ὑποκείμενόν ἐστιν ἡ ποιότης, εἰδοποιοῦσα τὸ οὐσιῶδες, κἀκείνου οὖσα, ἀλλ' οὐ καθ' ἑαυτῆς. ἀλλ' ἐὰν τὰς ἐπιούσας ταῖς οὐσίαις ἀδιορίστως ποιότητας λέγωμεν, οὐ μᾶλλον ποιότητας ἐροῦμεν, ἢ ἄλλο τι τῶν ἑτέρως συμβεβηκότων. ἐὰν δὲ προσθῶμεν τὸ αὐτῇ τῇ οὐσίᾳ προσεχὲς ὂν τῇ οὐσίᾳ, καὶ ἐχόμενον τῆς οὐσίας, οὕτως ἂν μάλιστα ἁψώμεθα τῆς περὶ τὸ ποιὸν ἐννοίας. ἔσται δ' οὖν ποιότης, δύναμις προστεθεῖσα ταῖς οὐσίαις μετ' αὐτὰς τὸ ποιὰς εἶναι συνημμένη πρὸ αὐτὰς διὰ συγγενείας. τῷ δὲ μετ' αὐτὰς, οὐδὲν ἧττον ἐμφαίνουσα, διότι καὶ τὸ ἐπιτηδευματικὸν ἔχει. Ἀλλ' εἰ ἡ δύναμις τοιαύτη φησὶν ὁ Πλωτῖνος, αἱ ἀδυναμίαι οὐκέτι ἔσονται ποιότητες. αἱ δὲ ποιότητες καὶ αὗται, οὐκ ἐφαρμόσει κατὰ πασῶν ὁ τῆς ποιότητος διορισμός. Πρὸς δὴ τοῦτο, ἀναγκαῖον διελέσθαι, πῶς λέγεται δύναμις καὶ ἀδυναμία. εἰ μὲν γὰρ ὡς οἱ στωϊκοὶ ἀποδιδόασι, δύναμίς ἐστιν ἡ πλειόνων ἐποιστικὴ συμπτωμάτων, ὡς ἡ φρόνησις τοῦ τε φρονίμως περιπατεῖν, καὶ τοῦ φρονίμως διαλέγεσθαι, ἔσονται κατὰ τὸν τοιοῦτον διορισμὸν, καὶ αἱ νῦν λεγόμεναι ἀδυναμίαι, δυνάμεις. καὶ γὰρ αἱ ἀτεχνίαι, πλείονα διαπτώματα ἐπιφέρουσιν. εἰ μέντοι κατ' ἄλλην διάταξιν τῶν στωϊκῶν λέγοιτο δύναμις, ἡ πλειόνων ἐποιστική

συμπτωμάτων, καὶ κατακρατοῦσα τῶν ὑποτασσομένων ἐνεργειῶν. καὶ οὕτως ἐφαρμόττει ὁ τοῦ Πλωτίνου ὅρος. καὶ γὰρ ἡ κακία ἀδυναμία οὖσα κατὰ τὸν τῶν στωϊκῶν ὅρον, κατακρατεῖ τῶν οἰκείων ἐνεργειῶν. καὶ αἱ μέσαι τέχναι, ὡς ἂν ἀποπίπτουσαι τοῦ βεβαίως ἐνεργεῖν, ὅμως τοιαῦται εἰσιν, ἀφ' ὧν τὸ ἔχον δύναται ἃ δύναται. ὥστε αἱ τοιαῦται ἀδυναμίαι, περιέχονται ἐν τῇ κατὰ τὴν ποιότητα δυνάμει. εἰ δὲ καὶ κατὰ Ἀριστοτέλην τὸ πολλαχῶς τῆς δυνάμεως διελόμεθα, καὶ οὕτως ὁ τοῦ Πλωτίνου λόγος καὶ ἐπὶ τῆς δυνάμεως σωθήσεται, καὶ ἐπὶ τῆς ἀδυναμίας. ἑξαχῶς τοίνυν λεγομένης παρ' αὐτοῦ τῆς δυνάμεως, ἄλλη μέν ἐστιν ἡ ἀπὸ τοῦ δυνάμει, καθ' ἣν οἷόν τε ἐν ἐπιτηδειότητι εἶναι, ὡς δύναται ὁ παῖς ἀναγνῶναι, ὡς ἐπιτηδειότητα ἔχων. καὶ ἄλλη ἡ τῆς ἐπιτηδειότητος τελειότης, ἀρχὴ οὖσα κινήσεως. ὡς δυνατὸς ἀναγνῶναι, ὁ γράμματα εἰδώς. αὕτη δὲ ἡ δύναμις, καὶ ἐντελέχεια λέγεται. καὶ πρὸς ταύτην ἀτελὴς ἡ πρώτη δύναμις καὶ ἀδυναμία ἔσται, ὑπὸ τῆς ἀτελοῦς δυνάμεως περιεχομένη. ἄλλως δὲ λέγονται παρ' αὐτῷ δυνάμεις, ἥ τε ποιητικὴ καὶ ἡ παθητική. ἡ μὲν, ὅτι ἀπ' αὐτῆς εἰς ἕτερον. ἡ δὲ, ὅτι ἀφ' ἑτέρου εἰς αὐτό. καὶ πάλιν ἡ ἐν τῷ πάσχειν δύναμις, ἀδυναμία ἔσται τοῦ ποιεῖν, ἐν ἑτέρα δυνάμει οὖσα τῇ κατὰ τὸ πάσχειν. ἄλλως δὲ πάλιν δύναμιν λέγει, καθ' ἣν μόνος τις, ἢ κάλλιον τῶν ἄλλων ποιεῖ. ὡς ὁ βαδίζων ὅσον οὐκ ἄλλος. καὶ ὁ διανηξάμενος πέλαγος ὅσον οὐχ ἕτερος. καὶ πάλιν ἡ ἀντίθετος πρὸς ταύτην. τὸ γὰρ δυνάμενον οὕτω χεῖρον παθεῖν, λέγομεν ἔχειν τούτου δύναμιν. ὡς τὸν ἄνθρωπον τοῦ φθαρῆναι. καὶ δῆλον ὅτι στερητική ἐστιν ἡ δύναμις αὕτη. καὶ οὕτως ἡ ἀδυναμία τῶν βελτιόνων, δύναμις ἔσται πρὸς τὰ χείρονα. καὶ καθόλου ἡ ἑτέρων ἀδυναμία, ἄλλων ἔσται δύναμις. καὶ οὐκ ἐξίσταται παντάπασιν ἡ ἀδυναμία τοῦ λόγου τῆς δυνάμεως, ἀλλ' ὑπ' αὐτοῦ κρατεῖται. τὰ γὰρ ἀτελῆ, συνείληπται ἐν τοῖς τελείοις. ἀπ' αὐτῶν γὰρ ἔχει τὴν αἰτίαν τοῦ εἶναι. καὶ αἱ ἀδυναμίαι οὖν περιέχονται ἐν τῷ τῆς δυνάμεως λόγῳ. ὡς ἂν τῆς πρωτίστης καὶ τελειοτάτης δυνάμεως, καὶ ἐπὶ τὰ ἀσθενέστερα διηκούσης. διὰ τοῦτο δὲ καὶ ἡ ἀρετὴ γινώσκει τὴν κακίαν. εἰ δὲ τοῦτο, καὶ ἡ ποιότης τὰς ἀδυναμίας περιέξει, διὰ τὸ καὶ ταύτας ὁπωσοῦν εἶναι δυνάμεις. ἢ καὶ αἱ ἀδυναμίαι καὶ αἱ στερήσεις, δυνάμεις κατὰ τοῦτο λέγονται, ὅτι ποιοῦσι τὰ ἑαυτῶν ἔργα, ποιότητες οὖσαι καὶ αὐταὶ καὶ ποιοὺς παρεχόμεναι τοὺς ἔχοντας, καὶ μορφὰς ἐπάγουσαι, εἰ καὶ ἀσχήμονας. καὶ διότι μὲν ποιοὺς παρέχονται τοὺς μετέχοντας αὐτῶν, ποιότητες λέγονται. καθ' ὅσον δὲ καὶ τὰ οἰκεῖα ἔργα ἀποτελοῦσιν, κληθήσονται καὶ δυνάμεις. ὅλως δὲ καθ' ἑκάστην κατηγορίαν ὑπὸ τὸ αὐτὸ γένος ἐλέγοντο καὶ αἱ στερήσεις ἀνάγεσθαι, ὑφ' ὃ καὶ αἱ ἕξεις. σαφῶς δὲ καὶ ὁ Ἀριστοτέλης ὁμοίως τὸ κατὰ ἀδυναμίαν, ὥσπερ τὸ κατὰ δύναμιν ποιὸν εἶναί φησι, λέγων. ἢ ἁπλῶς ὅσα κατὰ δύναμιν φυσικὴν, ἢ ἀδυναμίαν λέγεται. ἀλλ' εἰ ἑξαχῶς ἡ δύναμις λέγεται, κατὰ ποῖον σημαινόμενον αἱ ποιότητες εἴρηνται δυνάμεις. ἆρα κατὰ τὴν ἐπιτηδειότητα τὴν κοινὴν, καθ' ἣν καὶ πρὸς πάσας τὰς τέχνας ἐπιτηδείως ἔχειν λεγόμεθα, κἂν μὴ ἀναλαμβάνωμεν αὐτάς, ἢ καθ' ἣν ὁ Ἀριστοτέλης ἔθηκεν ἐν ταῖς ποιότησι. λέγω δὲ τὴν ἰδίως προσοῦσαν πρός τινα ἐκ φύσεως. σαφονικὸς γὰρ, ὁ ἤδη

πολλὰ πλεονεκτήματα ἔχων, καὶ ἀφορμὰς ἀπὸ φύσεως πρὸς ταῦτα, ὥσπερ ὁ ἱππόλυτος. ἢ κατ' οὐδετέραν τούτων τῶν δυνάμεων πᾶσαι αἱ ποιότητες περιλαμβάνονται. καὶ γὰρ, ἐντελέχειαι μᾶλλον αὗται, ὡς αἱ δραστικαὶ καὶ αἱ ποιητικαὶ εἰς ἄλλους. εἶεν μὲν ἂν αἱ πλείους. οὐ μὴν ἅπασαι. καὶ γὰρ ἡ γεωμετρία καὶ ἡ σοφία, ποιότητες. ἀλλ' οὐ δραστικαὶ εἰς ἄλλους. ἀλλὰ θεωρητικοὺς μόνον παρέχουσι τῷ αὐτῶν λόγῳ, τοὺς κατ' αὐτὰς ἐνεργοῦντας. οὐδὲ πᾶσαι αἱ ποιότητες τοῦ εὖ ἀποδοτικαί, οὐδ' αἱ πᾶσαι τῶν ἐναντίων δυνάμεις, ἀλλὰ κομιδῇ εὐαρίθμητοι. ἀλλ' οὐδὲ κατὰ τὰς τοῦ ποιεῖν ἢ πάσχειν δυνάμεις, πᾶσαι αἱ ποιότητες ἔσονται. οὔτε γὰρ τῇ γρυπότητι, οὔτε τῇ τριγωνότητι, οὔτε ὅλως ταῖς κατὰ σχῆμα πάρεστι τὸ δραστικοὺς παρέχειν τοὺς ἔχοντας. ἀλλ' ἴσως διὰ τοῦτο ταῖς δυνάμεσιν αἱ ποιότητες οὐκ ἐξισάζουσι, διότι τὸ ἴδιον σημαινόμενον τῶν δυνάμεων, ἀλλ' οὐχὶ τὸ κοινὸν παραλαμβάνομεν. εἴτε γὰρ σπεύδοιτο πρὸς τελείωσιν ὡς τὸ ἐπιτηδείως ἔχον, εἴτε ἐν τελειότητι θεωροῖτο, ὡς αὐτὴ ἡ ἐντελέχεια. εἴτε δρῴη τι εἰς ἕτερον, ὡς ἡ ἀπὸ τῆς ἕξεως τῆς ἐν ἄλλῳ εἰς ἄλλο ἐνέργεια. εἴτε πάσχοι, ὡς ἡ ἀπ' ἄλλου παραγινομένη κίνησις. εἴτε εἰς τὸ εὖ μόνον τι ἔργον ἀποτελεῖν συμβάλλοιτο. εἴτε χεῖρόν τι ἀπεργάζοιτο, πάντα χρὴ ἔχει πρὸς ταῦτα ὅλα δύναμιν. καὶ οὕτω κοινόν τι ἔσται τὸ τῆς δυνάμεως διατεῖνον ἐπὶ πάντα ταῦτα. τὸ δὲ οὕτω θεωρούμενον κοινόν, καὶ πρὸς τὰ εἴδη τῆς ποιότητος πάντα συνέζευκται. τάς τε γὰρ τελείας ἕξεις τὰς μονίμους, καὶ τὰς ἐπὶ βραχὺ ἐπιμενούσας διαθέσεις, καὶ τὰς ἐπιτηδείως παρεσκευασμένας προροπὰς, καὶ τὰς κατὰ πάθος, ἢ μορφήν, ἢ σχῆμα παραγινομένας ποιότητας, ἡ κοινὴ δύναμις δύναται τοιαύτας ἀπεργάζεσθαι. καὶ ὅλως συναπαρτίζει πρὸς τὴν ποιότητα. ἡ γὰρ αὐτὴ αἰτία, καθόσον μὲν ποιοὺς παρέχει, ποιότητα λέγεται. καθόσον δὲ δύναται τοὺς ποιοὺς ἀπεργάζεσθαι, δύναμις νοεῖται. εἰ δέ τις ἀπορεῖ, πῶς τὸ σχῆμα καὶ ἡ περὶ ἕκαστον μορφὴ δύναμις ἔσται, ἐροῦμεν. ὅτι τῶν ποιητικῶν δυνάμεων, αἱ μὲν, εἰς ἄλλα τινὰ ἔξωθεν ἐνεργοῦσιν, ὡς ἡ θερμότης εἰς τὸ θερμαινόμενον. αἱ δὲ, εἰς τὰ μετέχοντα ἑαυτῶν, κατὰ ἀκίνητον ἐνέργειαν τοιαῦτα ἅττα παρεχόμεναι, ὁποῖά ποτε αὗται εἰσίν. ἣν οὖν αἰτίαν ἐνδιδόασιν αὐτοῖς εἰς τὸ εἶναι, ταύτην δύναμιν καλοῦμεν. οὐ τὴν ἔξω ποιοῦσαν, ἀλλὰ τὴν μένουσαν ἐν αὐτοῖς ἐκείνοις τοῖς μεταλαμβάνουσι. τῶν δὲ τοιούτων αἰτιῶν, τὰ μὲν, ὅλα δι' ὅλων τῶν μετεχόντων διήκει, ὥσπερ ἡ λευκότης δι' ὅλου τοῦ γάλακτος. καὶ ἁπλῶς ὅσα ὁρῶμεν δι' ὅλου ὄντα ποιά. τὰ δὲ ἐπιπολῆς καὶ ἔξωθεν, δέχεται τὴν ποιότητα, ὥσπερ ἡ μορφὴ καὶ τὸ σχῆμα. ταῦτα δὴ οὖν καὶ τὴν δύναμιν περιοῦσαν ἔξωθεν καὶ περιγράφουσαν ἔχει. καὶ ἔσται δυνάμεώς τι τοῦτο τελευταίας εἶδος, τὸ κατὰ τὴν ἐπιφάνειαν περιωρισμένον, καὶ μὴ δι' ὅλου τοῦ βάθους διατεῖνον. ὅσῳ γὰρ μᾶλλον ἀφίσταται τοῦ εἴδους, τοσούτῳ πλέον καὶ τῆς ὅλης δυνάμεως αὐτοῦ ἐξίσταται. καὶ ἡ γρυπότης οὖν αὐτὸ τοῦτο δύναται γρυπὸν παρέχεσθαι τὸν μετέχοντα ἑαυτῆς. καὶ ἡ τριγωνότης τὸ τρίγωνον παρέχεται τοιοῦτον τῷ σχήματι, ὁποῖόν ποτε ἐστὶν αὐτό. ἀλλὰ πῶς τὸ ὂν καὶ αἱ οὐσίαι ἐνεργειῶν καθ'

ἑαυτὰς ἀποδεικτικαί, κατὰ τὰς δυνάμεις. δῆλον ὅτι οὐ ποιοτήτων μετέχει ταῦτα τὰς ἔχουσι τὰς δυνάμεις. καὶ εἰσὶ μὲν αἱ ποιότητες δυνάμεις. εἰ διὰ τοῦτο ποιητικαί. οὐ μέντοι πρώτως ποιητικαί, οὐδὲ μόνως ποιοῦσαι. ὥστε, οὐκέτι ἡ ποιητικὴ ποιότης. ἀλλ' ἔτι ποιότης ποιητική. ὁμοίως δέ, οὐχὶ ἡ ἁπλῶς δύναμις λέγεται εἶναι ἡ ποιότης, ἀλλὰ τὶς δύναμις. ὥστε εἴ τις μὲν ποιότης ἐστί, δύναμις ἔσται. εἴ τις δὲ δύναμις, οὐ πάντως ποιότης. καὶ τὸ ὂν οὖν ἢ ὄν, καθ' αὑτὸ δύναμιν ἕξει. ἀλλ' οὐ ποιότητος μετέχει ἔσται ἐν δυνάμει. ἐπειδὴ ἡ ἁπλῶς δύναμις, ἀλλ' ἡ τὶς ἐστίν. καὶ οὐχ ὅπερ ἡ ποιότης. καὶ ὄντως προείληπται δυνατώτατον τὸ ὄν. διότι τὴν κυριωτάτην καὶ πρωτίστην ἔχει δύναμιν. καὶ αἱ οὐσίαι δὲ ὅσαι τῇ ἐνεργείᾳ ταὐτὸν ἔχουσιν, οὐδὲν προσδέονται ποιότητος. εἰσὶ γὰρ δυνάμεις οὖσαι, ἐπειδὴ πρεσβυτέραν αὐτῶν προσειλήφασι δύναμιν. καὶ καθ' αὑτὰς εἰσὶ δυνάμεις. ὅλως γὰρ ἄνωθεν κάτεισιν ἡ τῆς δυνάμεως αἰτία, δι' ὅλων τῶν ὄντων διατείνουσα, καὶ ἀποπληροῦσα πάντα καὶ συνέχουσα. καὶ μέχρι τῶν ἐσχάτων, οἷον τῶν στερήσεων ἀποτελευτῶσα. ἀλλ' εἰ κατὰ τὸν χαρακτῆρα μάλιστα τὴν ποιότητα ἀφορίζομεν, πῶς αὕτη ἡ ἔννοια τῇ τῆς δυνάμεως ἐννοίᾳ συνάγεται. ἢ καὶ οὗτος ὁ χαρακτὴρ οὐ μάχεται πρὸς τὴν δύναμιν. κατὰ γὰρ τὸν χαρακτῆρα τὸν ἑαυτοῦ ἕκαστον δύναται ποιεῖν ἃ ποιεῖ. ἀλλὰ πῶς ἡ ποιότης κατὰ τὸν χαρακτῆρα λέγεται οὐσιῶσθαι, εἴπερ καὶ ἑκάστη τῶν κατηγοριῶν ἴδιον ἔχει χαρακτῆρα, καθ' ὃν ὑφέστηκε καὶ διαφέρει τῶν ἄλλων. ἢ καὶ ἐκεῖναι κατὰ τὴν ποιότητα τήν τε πρὸς ἀλλήλας ἔχουσι διαφορὰν καὶ τὸν χαρακτῆρα, ὥσπερ τὴν ὑπόστασιν αὐτὴν κατὰ τὴν οὐσίαν. τῆς γὰρ ποιότητος ἴδιον, τὸ διορίζειν τὰς οὐσίας πρὸς ἀλλήλας, καὶ τὸ πρὸς ἑαυτὰς ἴδιον χαρακτῆρα ἐμποιεῖν, καὶ τὸ τὴν ἐνέργειαν παρὰ τὸ οἷον καὶ τὸν χαρακτῆρα συντείνειν. ὥσπερ ἡ ποσότης περὶ τὸ ὅσον μόνον ἐνεργεῖ. καὶ ἡ οὐσία περὶ τὸ οὐσιῶδες εἶδος ἵσταται. ἀλλὰ ταῦτα μέν, ἀπὸ τοῦ πλούτου τῶν ἐξηγητῶν πλουσίως παραγεγράφθω. δεῖ δὲ λοιπὸν καὶ ἐπὶ τὴν ἀριστοτέλους λέξιν παρατρέψαι τὸν λόγον.

» Ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις λεγέσθωσαν. διαφέρει δὲ ἕξις διαθέ-
» σεως, τῷ μονιμώτερον καὶ πολυχρονιώτερον εἶναι. τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι καὶ
» αἱ ἀρεταί. ἕως τοῦ, οἱ δὲ διακείμενοι, οὐ πάντως ἕξεις ἔχουσιν.

Ὅτι μὲν τὸ πλεοναχῶς τῆς ποιότητος οὐχ ὡς ὁμωνύμως εἰρημένον παρείληπται δηλοῖ, τό, ἓν μὲν οὖν εἶδος ποιότητος. εἰ δέ τις καὶ πρὸς τὸ γένος εἶναι καὶ συνωνύμως κατηγορεῖσθαι φιλονεικεῖ, διὰ τὴν τάξιν ἐκλεγέσθω τὸ μέσον, τῶν τε συνωνύμων καὶ ὁμωνύμων τὸ ἀφ' ἑνός. οὐ μόνον ἐπὶ τῆς ποιότητος, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἐννέα γενῶν. οὐδὲ γὰρ ἐκεῖνα κυρίως ἐστὶ γένη. οὐδ' ὡς γένη τῶν ὑπ' αὐτὰ κατηγορεῖται, τάξεως οὔσης πανταχοῦ πρώτων καὶ δευτέρων. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων, οὕτω καὶ ἐνταῦθα μετὰ τὴν ὑπογραφὴν τῆς φύσεως αὐτῶν ἐπὶ τὴν διαίρεσιν τρέπεται. καὶ οὕτως ἐπὶ τὰ παρακολουθοῦντα. ἀλλ' ἐπειδὴ τετραδικὴν τῶν ποιοτήτων διαίρεσιν ἀριστοτέλης παραδέδωκεν, ἐμφαίνουσάν τι καὶ δυαδικὸν πρὸ τοῦ τετραδικοῦ, δεῖ τὴν ἀκολου-

βίαν ἐκφῆναι τῆς διαιρέσεως, ἀπὸ τοῦ δυαδικοῦ τὴν ἀρχὴν ποιησάμενον. ὥσπερ καὶ ὁ Πλάτων παρακελεύεται, κατὰ τοὺς ἐλάττονας τέμνειν ἀριθμούς, πρότερον εἰ ἐνδύναιτο. τῶν γὰρ ποιοτήτων αἱ μὲν, εἰσὶ φυσικαί. αἱ δὲ, ἐπίκτητοι. φυσικαὶ μὲν, αἱ κατὰ φύσιν ἐγγινόμεναι, καὶ ἀεὶ ἐνοῦσαι. ἐπίκτητοι δὲ, αἱ ἔξωθεν ἀποτελούμεναι, καὶ δυνάμεναι ἀποβάλλεσθαι. καὶ τούτων μὲν ἔστωσαν αἱ ἕξεις καὶ διαθέσεις, τῷ πολυχρονιωτέρῳ τε καὶ ὀλιγοχρονιωτέρῳ. καὶ δυσαποβλήτῳ τε καὶ εὐαποβλήτῳ διαφέρουσαι. τῶν δὲ φυσικῶν ποιοτήτων, αἱ μὲν, ἔστωσαν κατὰ τὴν δύναμιν. αἱ δὲ, κατὰ τὴν ἐνέργειαν. αἱ μὲν κατὰ τὴν δύναμιν, καθ' ἃς ἐπιτήδειοι πρός τι λεγόμεθα. τῶν δὲ κατ' ἐνέργειαν, τὸ μὲν, διὰ βάθους. ὅπερ κατὰ τὰς παθητικὰς ποιότητας ὑπάρχει διττῶς. καὶ τοῦτο λέγομεν, ἢ ἀπὸ τοῦ πάθος ἐμποιεῖν τοῖς αἰσθανομένοις, ἢ ἀπὸ τοῦ αὐτὰς ἀπὸ πάθους ἐγγίνεσθαι. οἷον γλυκύτης, καὶ θερμότης, καὶ λευκότης, καὶ τὰ τούτοις συγγενῆ. ποιότητες γὰρ αὗται, εἴπερ ποιὰ κατὰ ταύτας λέγεται τὰ ἔχοντα. παθητικαὶ δὲ, ὅτι πάθος ἐμποιοῦσι ταῖς αἰσθήσεσιν, ἢ ἀπὸ τοῦ πάθους ἐγγίνονται. αἰσχυνθεὶς γάρ τις, ἐρυθρὸς ἐγένετο. καὶ φοβηθεὶς, ὠχρός. τὸ δὲ ἐπιπολῆς ἐστι, τῶν κατ' ἐνέργειαν ποιοτήτων. ὥσπερ τὸ σχῆμα καὶ ἡ μορφή, ἥτις ἐστὶ σχῆμα ἐμψύχου καὶ χρῶμα, οὐ καθὸ χρῶμα ἁπλῶς. ἤδη γὰρ ἐκεῖνο προείληπται, ἀλλὰ καθὸ τὴν μορφὴν συμπληροῖ. καὶ πᾶσαι αἱ ἐπιπολῆς φαινόμεναι κατὰ τὴν γραφὴν ἐμφάσεις. Πάντες δ' ἂν εἴποιεν ἐπιστῆσαι, ὡς καὶ αὐτὸς ἐπισημαίνεται ὁ Ἰάμβλιχος, ὡς ἐγχωρεῖ καὶ σχῆμα ἐπίκτητον εἶναι. τὸ γὰρ αὐτὸ ποτὲ μὲν, τρίγωνον γίνεται. ποτὲ δὲ, τετράγωνον ὑπὸ τέχνης μεταπλαττόμενον. καὶ χρῶμα δὲ ὁμοίως οὐ φυσικόν. ὥσπερ τῶν δειλῶν ὠχρός. ἔστι δὲ καὶ διάθεσιν φύσει εἶναι καὶ μὴ ἐπίκτητον, ὡς ὑγίειαν καὶ νόσον. αἳ καὶ ἕξεις ἂν εἶεν, εἴπερ ὑπὸ τῆς φύσεως κρατοῖντο. καὶ διὰ τοῦτο ἴσως τὴν εἰς δύο διαίρεσιν ὁ Ἀριστοτέλης παρῃτήσατο. πῶς δὲ αὐτὸ μὲν τοῦ πρώτου, ἓν μὲν οὖν εἶδος ποιότητός φησιν. αὐτὸ δὲ τοῦ δευτέρου, ἕτερον γένος ποιότητος. ἢ ὅτι καὶ τὰ εἴδη ταῦτα καὶ γένη ἐστὶν ἄλλων εἰδῶν, ἔτι καθολικώτερα ὄντα καὶ ὑπάλληλα. διὰ τοῦτο καὶ γένη καὶ εἴδη αὐτὰ καλεῖ. ἀλλ' οὐχ ὅτι ἐπηλλαγμένως χρῆται τοῖς τοῦ εἴδους καὶ γένους ὀνόμασι, διὰ τὸ μήπω τὴν διαφορὰν αὐτῶν ἐγνῶσθαι, ὥς φησιν ὁ Ἀλέξανδρος. τῶν δὲ ἕξεων καὶ διαθέσεων, οὐχ ὡς δύο εἰδῶν ἀκούειν χρή, διαφοραῖς εἰδοποιοῖς διωρισμένων, ὡς ἄνθρωπος διώρισται καὶ βοῦς, ἀλλ' ὡς ὁ ἀρτίτοκος πρὸς τὸν ἀκμάζοντα διενήνοχε. οὐ γὰρ τῷ εἴδει ταῦτα διαφέρει. ὁ γὰρ λόγος εἷς ἐπ' ἀμφοτέρων. ὅτι χρῶμα διακριτικὸν ὄψεως τὸ λευκόν, κἄν τε κατὰ ἕξιν ᾖ, κἄν τε κατὰ διάθεσιν. ἀλλ' οὐδὲ ἀριθμῷ διαφέρει ἀλλήλων. ὥσπερ Σωκράτης Πλάτωνος. οὐδὲν γὰρ ἰδιάζον πλῆθος συνδραμὸν, τὴν κατὰ ἀριθμὸν διάστασιν ἀπειργάσατο. ἀλλὰ χρόνῳ διαφέρει, ὡς τὸ ὀλιγοχρόνιον λευκὸν, τοῦ πολυχρονίου. καὶ τῷ μονιμωτέρῳ, ἢ μή. ὥσπερ ἡ πεπηγυῖα οἰκοδομία τῆς ἀρτιπαγοῦς. ὁ δὲ τῆς ποιότητος λόγος, εἷς ἐπ' ἀμφοτέρων. ποιοὶ γὰρ ἀφ' ἑκατέρας ὀνομάζονται. ἔστω δὲ ἕξεως μὲν παράδειγμα, αἵ τε τέχναι, καὶ ἐπιστῆμαι, καὶ ἀρεταί. πᾶσαι γὰρ δυσκινησίαν καὶ τὸ μόνιμον ἔχουσι.

ἐὰν μὴ ὑπὸ νόσου, ἢ ἄλλου τοιούτου, ἢ ὑπὸ συνεχοῦς ῥᾳθυμίας ἐκκρουσθῶσιν. αἱ μέντοι ἀρεταί, καὶ ἔτι μονιμώτεραι, διότι κατὰ πᾶσαν ἐνέργειαν ταύταις χρώμεθα. οὐ μέντοι ταῖς τέχναις. καὶ διότι ἐν προαιρέσεσιν αἱ ἀρεταί, καὶ τῷ ἐφ᾽ ἡμῖν. οὐκέτι δὲ αἱ τέχναι. ἀλλ᾽ ὅλως δὲ πάσας τὰς τέχνας ἐπιστήμας νῦν προσηγόρευσε, κατὰ τὸ κοινὸν τῆς ἐπιστήμης σημαινόμενον. τῶν δὲ δυσκινήτων τὴν ἐπιστήμην φησίν, ἐὰν καὶ μετρίως τις ἐπιστήμην λάβοι τοῦ μετρίως, οὐ τὸ ἐπὶ τὸ ἔλαττον δηλοῦντος. οὐδὲ γὰρ ἐπιστήμη οὐδὲ ἕξις τὸ τοιοῦτον. ἀλλ᾽ ἐπεὶ εἰσί τινες τῶν ἐπιστημῶν οὐ πάνυ ἀποδεικτικαί, καὶ διὰ τοῦτο οὐ κυρίως ἐπιστῆμαι, ὡς τὰς μαθηματικὰς ἀπέδειξεν ὁ Πλάτων. λέγει ὅτι καὶ οἱ τοιαύτην ἐπιστήμην ἀναλαβόντες, δυσκίνητοί εἰσι. καὶ εἴη ἂν τὸ μετρίως ἴσον, τὸ μετρίαν οὖσαν ἐπιστήμην. μήποτε δὲ καὶ ἐν τῇ ἐπιστήμῃ ἐστί τις ἐπίτασις, καὶ ἄνεσις. ὥσπερ καὶ ἐν τῇ ἕξει καὶ τῇ διαθέσει. κἂν μὴ κατὰ τὸ ἀκρότατον τῆς ἐπιστήμης, ἀλλὰ μετρίως αὐτὴν ἔχει, ὥστε ἐπιστήμην εἶναι. καὶ οὕτως δυσκίνητος ἡ ἐπιστήμη. ἐάνπερ μὴ μεγάλη γένηται μεταβολὴ ὑπὸ νόσου, ἢ ἄλλου τινὸς τοιούτου. καὶ γὰρ νοσήσαντές τινες, ἀπέβαλον τὰς ἐπιστήμας. ὥσπερ ἐφ᾽ ἡμῶν ἐν Παλαιστίνῃ προκεκοφώς τις ἐν λόγοις ἤδη καὶ νοσήσας, πάντων ἐπελάθετο, ὡς δεηθῆναι μετὰ τὴν ἀνάληψιν αὖθις εἰς γραμματιστοῦ φοιτῆσαι. καὶ ὑπ᾽ ἄλλου δὲ αἰτίου συμβαίνει τοῦτο, ὥσπερ τοῦ πληγέντος τὴν κεφαλήν, καὶ ὑπὸ φαρμάκων δὲ ἐπιλαθέσθαι συνέβη πάντων. ὡς τοῖς μετὰ Ἀντωνίνου τοῦ Ῥωμαίων στρατηγοῦ Πάρθοις πολεμοῦσι συνέβη ὑπὸ βοτάνης τινὸς ἐδωδῇ, ὡς Ἀρριανὸς ἱστόρησεν ἐν τοῖς Παρθικοῖς. πλὴν ὅτι ἐκεῖνοι χρόνῳ πάλιν ἀπεκατέστησαν ἐς τὸ κατὰ φύσιν, ὅσοι γε ἐσώθησαν, οἰνελαίου πόματος εὐπορήσαντες. τοῦτο γὰρ ἐκ περιπτώσεως εὑρέθη τοῦ πάθους βοήθημα. ὡσαύτως δὲ καὶ τὰς ἀρετὰς μὴ εἶναι εὐκινήτους φησίν. οὐχ ὅτι ὁμοίως ταῖς τέχναις καὶ ταῖς ἐπιστήμαις ἔχουσι τὸ δυσκίνητον, βεβαιότεραι γὰρ ἐκείνων εἰσίν, ἀλλ᾽ ὅτι καὶ αὗται οὐκ εὐκίνητοι. τὸ δὲ βεβαιότερον ἔχουσιν ὡς εἴρηται, διὰ τὸ πάντα χρόνον τὴν χρῆσιν αὐτῶν καὶ τὴν ἐνέργειαν παραλαμβάνεσθαι, ἐν παντί τε τόπῳ καὶ παντὶ καιρῷ, καὶ ἐν πάσῃ ἐνεργείᾳ καὶ πάσῃ τοῦ βίου περιστάσει. διαθέσεως δὲ παράδειγμα θερμότητα εἴρηκεν, οὐ τὴν φυσικὴν οἷα ἡ τοῦ πυρός, ἀλλὰ τὴν ἐπίκτητον, οἷα ἡ τοῦ θερμαινομένου ὕδατος. καὶ ψύξιν οὐ τὴν τῆς χιόνος, ἀλλὰ τὴν τῶν προσκαίρως ψυχομένων σωμάτων. αἵτινες καὶ ἀφίστανται. καὶ ἡ νόσος δὲ καὶ ἡ ὑγεία, εὐκίνητα. ταχὺ γὰρ καὶ ταῦτα μεταβάλλει εἰς τὸ ἐναντίον, εἰ μή τις διὰ χρόνου πλῆθος φυσιωθείη ἐν τούτοις. τῆς τε νόσου ἀνιάτου γενομένης, καὶ τῆς ὑγείας δυσαποβλήτου. ὅτι οὔτε διαθέσεις, ἀλλ᾽ ἕξεις ἤδη τὰς τοιαύτας προσήκει καλεῖν. ὅτι δὲ αἱ μόνιμοι ποιότητες ἕξεις εἰσί, πιστοῦται ἀπὸ τῆς συνηθείας. τοὺς γὰρ μὴ κατέχοντας τὰ θεωρήματα, ἀλλ᾽ εὐμεταπτώτως, οὔ φασιν ἕξιν ἔχειν. καίτοι διάκεινταί πως κατὰ τὴν ἐπιστήμην. διακεῖσθαι μὲν γὰρ λέγονται, οἱ εὐμετάπτωτοι. δεῖ δὲ μὴ νομίζειν γένος τὴν διάθεσιν τῆς ἕξεως φησὶν Ἰάμβλιχος. πάντως μὲν γὰρ εἰδοποιὸν διαφορὰν προσεῖναι δεῖ τῷ γένει εἰς τὴν τῶν εἰδῶν σύστασιν. οὐδεμία δὲ τοιαύτη πρόσεισιν, ὅταν ἡ ἀπὸ τῆς

ποιότης, πεπηγυῖα γένηται. πῶς οὖν εἶπεν ὅτι εἰσὶν αἱ μὲν ἕξεις, καὶ διαθέσεις. αἱ
δὲ διαθέσεις, οὐ πάντως ἕξεις. τοῦτο γὰρ τὰ γένη πρὸς τὰ εἴδη πεπονθέναι δοκεῖ.
ἀλλὰ τὰ μὲν γένη φησὶ τοῦτο πέπονθε πρὸς τὰ εἴδη, τῷ ἐπιπλέον τὰ γένη λέγεσθαι
τῶν εἰδῶν. αἱ μέντοι ἕξεις, οὐ διὰ τοῦτο πάντως διαθέσεις, τῷ ἐπιπλέον αὐτῶν
λέγεσθαι τὴν διάθεσιν, ἀλλ' ὅτι ὁ μὲν ἐν ἕξει ὢν, διάκειται κατὰ τὴν ἑκτικὴν ποιό-
τητα. ὁ δὲ κατὰ ποιότητα διακείμενος, οὐ πάντως καθ' ἕξιν τὴν ποιότητα διακει-
μένην ἔχει. ἀλλὰ καὶ οὕτως ἐπιπλέον ἡ διάθεσις τῆς ἕξεως ἀποδείκνυται. οὐ γὰρ
δήπου ἡ γλαυκότης καὶ σιμότης κατ' ἐπίτασιν τὸ πρῶτον ὑπέστη. διάκεινται μέντοι
οἱ γλαυκοὶ καὶ οἱ σιμοί. τινὲς μὲν οὖν ἐξ ἀνειμένων ἐπετάθησαν, ὡς αἱ τῶν τεχνῶν ἀνα-
λήψεις, ἀπὸ τῆς ἀνειμένης ποιότητος εἰς τὸ πάγιον. τινὲς δὲ, οὐδὲ ἐπετάθησαν, ἀλλὰ
κατὰ μεταβολὴν πρώτως ὑπέστησαν. ὡς τὸ γάλα μεταβαλὸν καὶ οὐκ ἐπιτεθὲν,
τυρὸς ἐγένετο. καὶ ὁ πηλὸς, κέραμος. καὶ ὁ οἶνος, ὄξος. ὥστε οὐ γένος ἡ διάθεσις. ταῦτα
μὲν ὁ ἰάμβλιχος ἀσαφῶς γέγραφεν. ὁ δὲ συριανός φησιν. ἔστι τὸ πρῶτον εἶδος τῆς ποι-
ότητος, διάθεσις. ταύτης δὲ τὸ μὲν, ἕξις. τὸ δὲ, διάθεσις ὁμωνύμως τῷ γένει. μήπο-
τε δὲ οὐδὲ γένος ὅλως ἐστὶν ἡ κοινὴ διάθεσις τῆς ἀντικειμένης τῇ ἕξει, ἀλλ' ὁμώνυμος
μόνον ἐστί. τῆς μὲν κοινῆς, κατὰ τὸ διακεῖσθαί πως λεγομένης. τῆς δὲ ἰδίας, κατὰ τὸ
μόνον διακεῖσθαι. τῷ γὰρ μὴ βεβαίως ἀλλὰ μόνον διακεῖσθαι τούτῳ, καὶ εὐαπόβλη-
τός ἐστιν ἡ διάθεσις. ἄλλο δέ ἐστι τὸ διακεῖσθαί πως, εἴτε μονίμως, εἴτε εὐμεταβλή-
τως, καὶ ἄλλο τὸ μόνον διακεῖσθαι. εἰ δὲ ἦν γένος ἡ διάθεσις ἐκείνης, ταύτης ἔμελλε καὶ
αὕτη ὁπωσοῦν διακεῖσθαι. νῦν δὲ, εὐαπόβλητός ἐστι μόνως. αἰτιᾶται δὲ ὁ νικόστρατος
εἰπὼν, ὅτι ἓν εἶδος ποιότητος, οὐχ ἓν ὑπήγαγεν, ἀλλὰ δύο. τήν τε ἕξιν, καὶ τὴν διά-
θεσιν. ἀγνοεῖ δέ φασιν ὅτι τὸ ἓν εἶδος, τὴν διάθεσιν λαμβάνει. ὑφ' ὃ τάττει τὴν ἕξιν
καὶ τὴν διάθεσιν τὴν ὁμώνυμον τῷ κοινῷ. ὥσπερ ὑπὸ τὴν κοινὴν δικαιοσύνην, ἥ τε με-
ρικωτέρα δικαιοσύνη τέτακται, καὶ ἡ ὁσιότης. καὶ ἐν τούτῳ δὲ ὁ ἰάμβλιχος, τὴν μὲν εἰρημένην
διάθεσιν, ἐν γένει φησὶ καὶ κοινήν. τὴν δὲ ἐν εἴδει, οὐχ ὅτι γένος κυρίως εἶναι βούλε-
ται, ἀλλὰ τὴν κοινὴν γένος καλῶν. καὶ κατ' ἄλλον δὲ τρόπον λύων τὴν ἀπορίαν ὁ ἰάμ-
βλιχος, φησὶν ἓν εἶδος ἄμφω εἶναι τὴν ἕξιν καὶ τὴν διάθεσιν. οὐ γὰρ ἔχουσι τοὺς γενικοὺς
καὶ εἰδικοὺς λόγους πρὸς ἀλλήλας χρόνῳ μόνῳ, καὶ τῷ εὐμεταβόλῳ καὶ δυσμεταβόλῳ
διαφέρουσι. διὸ καὶ ἐν τῷ αὐτῷ εἴδει θεωροῦνται. καὶ οὐδετέρα αὐτῶν προέχει τῆς
λοιπῆς. καὶ ὑπομιμνήσκει τοῦ καθόλου διορισμοῦ, ὃν ἀριστοτέλης διωρίσατο. ὅπου τε
εἰς ἄλλο εἶδος ἡ φαινομένη παραλλαγὴ μεθίσταται. καὶ τότε ἐν ἑνὶ ποιεῖται τὴν μετά-
στασιν. τὰς μὲν κατὰ τὸ σῶμα καὶ τὴν ὕλην ἑτερότητας, μὴ παραλαμβάνων εἰς εἰδοποιοὺς
διαφοράς. τὰς δὲ κατὰ τοὺς λόγους ὡρισμένας, εἰς ἐξαλλαγὴν τῶν εἰδῶν παραλαμβάνων. διὸ
τὸ ἄρρεν καὶ τὸ θῆλυ, καίτοι πολλὴν ἔχοντα διαφορὰν, κατά τε τὰς ἄλλας ἐνεργεί-
ας καὶ τὰς γεννήσεις, ὅμως κατὰ τὸ εἶδος οὐ βούλεται διαφέρειν. οὐδὲ τὸν λευκὸν
ἄνθρωπον τοῦ μέλανος. οὐδὲ ἂν κατὰ χρόνον γένηταί τις διαφορὰ, οἷον εἴ τινες
ἐν ὄρεσιν οἰκοῦντες πολυχρονιώτεροί εἰσιν, ὥσπερ οἱ ἀκροθῶται λέγονται. καὶ ἐν

ἔλεγον, ὀλιγοχρονιώτεροι. οὐ γὰρ ἡ κατὰ χρόνον παραλλαγὴ εἶδος ἕτερον ἀνθρώπων ἀπεργάζεται, ἀλλὰ μένειν τὸ αὐτὸ εἶδος περιέχον τὰς κατὰ τὸν χρόνον διαφοράς. καὶ ἐπὶ τῆς ἕξεως οὖν καὶ διαθέσεως, ἡ ἐπίτασις καὶ ἡ ἄνεσις ὑλικωτέρα. ἀλλ' οὐ κατὰ τὸ εἶδος ἐμποιεῖ διαφοράν. ἡ γὰρ τοῦ μᾶλλον καὶ τοῦ ἧττον ἀοριστία, ἀπὸ τῆς ὕλης ἐμφύεται. καὶ ἡ κατὰ χρόνον δὲ ἔκτασις καὶ συστολή, ἀλλοτρίως ἔχει πρὸς τὴν ποιάν. οὐδὲ γὰρ ἐμποιεῖ κατ' εἶδος διαφοράν, οὐδὲ συμπληροῖ ὁ χρόνος τὴν τοῦ εἴδους διέξοδον, ἀλλ' ὑπηρετεῖ μόνον αὐτῶν περὶ τὴν τῆς ζωῆς παράτασιν. καὶ ἡ λέξις δὲ τοῦ ἀριστοτέλους ἀκριβῶς προσεχέσθω, λύουσα τὴν ἀπορίαν. οὐ γὰρ εἶπεν ἓν γένος, ἀλλ' ἓν εἶδος ποιότητος, ἕξις καὶ διάθεσις λεγέσθωσαν. πάλιν δὲ κατὰ συμπλοκὴν εἴρηται ἕξις καὶ διάθεσις, ὡς ἐν ταὐτῷ εἴδει ὑφεστηκυῖαι, ἀλλ' οὐχ ὡς ἀντιτιθέμεναι ἐν ἑτέρῳ εἴδει. ἔτι γε, οὐδαμοῦ τῆς διαθέσεως μνημονεύει, ὡς διχῶς λεγομένης γενικῶς τε καὶ εἰδικῶς. οὐδὲ γὰρ πέφυκε γένος ποιεῖν ἡ τοῦ ἀνειμένου καὶ ὀλιγοχρονίου παραλλαγή, ἵνα γένος οὕτως νομίζοιτο ἡ διάθεσις. καὶ τελευταῖον δὲ τὰς διαφορὰς αὐτῶν παραδεικνὺς τῷ μονίμῳ καὶ πολυχρονίῳ καὶ τοῖς ἀντικειμένοις, αὐτὰ χαρακτηρίζει, ἅπερ εἰδοποιοὺς διαφορὰς οὐ βούλεται ποιεῖν. λέγει δὲ ὁ ἰάμβλιχος, ὅτι ἄν τις ἀπαιτήσῃ ἡμᾶς τὸν ὁρισμὸν τῆς ὡς ἐν γένει διαθέσεως, καὶ τῆς ὡς ἐν εἴδει, ὥσπερ ἐπὶ τῆς δικαιοσύνης ἔχομεν ἀποδοῦναι, ἄλλον μὲν λόγον τῆς ὡς ἐν γένει δικαιοσύνης, ἄλλον δὲ τῆς ὡς ἐν εἴδει, οὐκ ἂν ἔχοιμεν εἰπεῖν ἐπὶ τούτων τὸ διάφορον. οὔτε γὰρ τὸ ὀλιγοχρόνιον καὶ εὐκίνητον τῆς διαθέσεως οἷόν τε γένος εἶναι τοῦ πολυχρονίου καὶ δυσκινήτου, οὔτε ἄλλο τι δύναται ἀναπλάττειν σημαινόμενον διατεῖνον ἐπίσης, ἐπί τε τὸ ὀλιγοχρόνιον, καὶ πολυχρόνιον. τούτοις δὲ ἐφιστάνειν ἀξιῶ. πρῶτον μὲν, ὅτι κἂν ἡ τις διάθεσις ὡς γένος, οὐκ ἔστιν αὕτη ἡ ὀλιγοχρόνιος, ἀλλ' ἄλλη τις ἀμφοῖν κοινὴ κατὰ τὸ διακεῖσθαι ὁπωσοῦν θεωρουμένη. ἔπειτα ὅτι τὸ ὁπωσοῦν διακείμενον, κοινὸν ἂν εἴη, τοῦ τε ἐμμόνως, καὶ τοῦ εὐμεταβλήτως. ὥσπερ ἡ κατ' ἀξίαν διανομὴ ἁπλῶς κοινή τις ἐστι, τῆς τε πρὸς ἀνθρώπους, καὶ τῆς πρὸς θεοὺς συμπλοκῆς. ὧν τὴν μὲν πρὸς ἀνθρώπους δικαιοσύνην, εἰδικῶς καλοῦμεν. τὴν δὲ πρὸς θεούς, ὁσιότητα. προστίθησι δὲ καὶ ταῦτα ὁ ἰάμβλιχος. ὅτι ἄλλος μὲν λόγος τῆς διαθέσεως, οἷον, ἀριστοτέλης ὑποτείνει ἐν τοῖς μετὰ τὰ φυσικά, ὃς δύναται κοινῶς διορίζεσθαι, καὶ ἄλλος οὗτος, τῆς κατὰ τὰ εἴδη διαθέσεως ἔχεται. εἰ μέντοι τις κατὰ χρόνον μόνον διακρίνοι τὰς διαφοράς, κατὰ τοῦτο ὀφείλει καὶ τὴν γενικὴν αὐτῶν ἀνευρεῖν ταυτότητα, ὅπερ ἀδύνατον. ὀλιγοχρονίου γὰρ καὶ πολυχρονίου, τίς ἂν εὑρεθείη κοινότης ὡς εἰδῶν γενική, κατὰ ταύτην μόνην τὴν τοῦ χρόνου ἰδιότητα, καὶ τὴν τοῦ ἐν αὐτῷ ὄντος ποιοῦ σύστασιν. ζητεῖ δὲ ἀλέξανδρος, τί διαφέρει ἡ διάθεσις αὕτη, καὶ ἡ ἕξις. ὧν μετ' ὀλίγον ἐρεῖ παθῶν, καὶ παθητικῶν ποιοτήτων. ἡ γὰρ θερμότης, ὅταν εὐμετάβλητος ᾖ, πάθος φησὶν αὐτὴν εἶναι. τὸ δὲ εὐμετάβλητον, διάθεσιν νῦν καλεῖ. χρονιζόμενα δὲ τὰ πάθη, παθητικὰς ποιότητας γίνεσθαι φησί. τὰ δὲ χρονιζόμενα καὶ δυσκίνητα, ἕξεις νῦν καλεῖ. τίνι οὖν διαφέρουσιν αἱ ἕξεις αὗται καὶ διαθέσεις τῶν παθητικῶν ἐκείνων ποιοτήτων, καὶ τῶν παθῶν. λύων δὲ τὴν τοιαύτην ζήτησιν αὐτός, μήποτε φησὶ τὴν ἕξιν καὶ τὴν διάθεσιν ἐπὶ ταῖς τῆς ψυχῆς

Universitäts- und
Landesbibliothek Düsseldorf

ποιότησιν, ὅσαι ἐπίκτητοι, καὶ ἔξωθεν, καὶ διὰ διδασκαλίας ἐγγίνονται, χρὴ τὰ πλείω. ἐπεὶ δὲ ἐνίσταται αὐτῷ τὰ τῆς φράσεως παραδείγματα, θερμότης καὶ ψύξις, καὶ νόσος καὶ ὑγεία, οὐκ ὄντα ψυχικά, κοινότερον αὐτὸν φησὶ τοῖς παραδείγμασι κεχρῆσθαι. ἢ τὸ οἷον θερμότητα, λέγοι ἂν ὡς ἴσον τῷ, οἷον ὡς θερμότης. ὡς γὰρ ταῦτα εὐκίνητα, οὕτως καὶ ἡ διάθεσις. ταύτην δὲ τὴν λύσιν οὐκ ἀποδέχονται οἱ μετ' αὐτὸν ἐξηγηταί. ἀλλὰ πρόδηλον μὲν θαυμάζουσιν, εἴ τινας ἰδίας ἕξεις καὶ διαθέσεις ταῖς ψυχαῖς ἀφορίζεται ἀσυμφώνως τῷ Ἀριστοτέλει. καὶ μὴ κοινὰς αὐτὰς ποιεῖ εἶναι καὶ τοῦ ἔχοντος. ἔπειτα, πῶς οὐχὶ καὶ ἐπὶ τοῦ σώματος τὰς ἕξεις ἀκούει καὶ διαθέσεις, ὅταν αἱ ποιοί τινες διαφοραὶ γίνωνται κατὰ τὸ σῶμα. ὡς τὸ λευκὸν τῆς χιόνος, συμπληρωτικόν τε αὐτῆς ἐστι τοῦ λόγου, καὶ ἕξιν ἐν αὐτῇ ἐμποιεῖ τῆς λευκότητος. εἰ μὴ ἄρα ἐπίκτητον εἶναι καὶ τὴν ἕξιν δεῖ, ἀλλ' οὐ συμφυῆ. καὶ εἴη ἂν ἕξις κατὰ τὸ λευκόν, ἡ τοῦ λευκανθέντος μονίμως λίνου διάθεσις. βιάζεται δέ φασι καὶ τὰ παραδείγματα τοῦ Ἀριστοτέλους, τὰ κυρίως εἰρημένα ἐν ἀκριβεῖ καὶ ἀκροαματικῷ βιβλίῳ, μὴ κυρίως εἰρῆσθαι λέγων. καὶ παρεξηγεῖται τὸ οἷον ἡ θερμότης, ἰσονομίζων τῷ οἷον ὡς θερμότης. ἵνα ὥσπερ ταῦτα εὐκίνητα, οὕτως καὶ τὰς διαθέσεις τὰς ἐν τῇ ψυχῇ εὐκινήτους λαμβάνωμεν. παρὰ πόδας γὰρ ἔχει ταῦτα τὸν ἔλεγχον. καὶ γὰρ ἐπὶ τῶν ἕξεων ἃς αὐτὸς εἶναί φησι τῆς ψυχῆς, οἷον δικαιοσύνη, λέγει. δεῖ τοίνυν μὴ οὕτως διορίζειν ταῦτα, ὡς τῶν ἐν τοῖς σώμασι, τὰ μὲν εὐκίνητα, πάθη εἶναι. τὰ δὲ δυσκίνητα, παθητικὰς ποιότητας. τῶν δὲ ἐν τῇ ψυχῇ ἐπικτήτων ποιοτήτων, τὰ μὲν εὐκίνητα, διαθέσεις. ἕξεις δὲ εἶναι, τὰ δυσκίνητα. ἐπεὶ οὕτω γε οὐκ αὐτὸν τὸν λόγον τῆς ποιότητος εἰς εἴδη διαιροῦμεν, καθόσον ἐστὶ ποιότης, ἀλλὰ παρὰ τὰ ἐν οἷς ὑποκειμένοις ἐγγίνεται, τὴν διαφορὰν αὐτῶν ποιησόμεθα. μᾶλλον μὲν οὖν ῥητέον ὅτι κινήσει καὶ ἀλλοιώσει, καὶ ἐνστάσει τοῦ ὑποκειμένου τὸ πάθος χαρακτηρίζεται. καὶ ἡ παθητικὴ ποιότης παραπλησίως. ὅταν ἡ κίνησις ἡ παθητικὴ δυσαπάλλακτος ὑπάρχῃ. ἡ μέντοι ὅρῳ καὶ παρὰ τὸ εἶδος ἤδη κατέχεται, καὶ τῆς κατὰ τὴν κίνησιν ἀνωμαλίας καὶ ἑτεροιώσεως πάντη κεχώρισται, διάθεσίς ἐστιν. ὅθεν μὲν διαφέρει ἐπὶ τὸν λόγον, ἥ τε ἄλλη κίνησις καὶ ἡ παθητική. ἐπειδὰν δὲ ἔλθῃ εἰς τὸ εἶδος, ἵσταται καὶ παύεται, πάσχον τε καὶ ἀλλοιούμενον. οὕτως οὖν ἡ αὐτὴ θερμότης. ὅταν μὲν ἐν τῷ ἀλλοιοῦσθαι μεταβάλλῃ, φαίνεται πάθος ἢ παθητικὴ ποιότης. ὅταν δὲ στῇ κατὰ τὸ εἶδος τῆς θερμότητος καὶ τῆς ψύξεως, ὁρίζεται ἐν τῷ τῆς διαθέσεως εἴδει. καὶ συμβαίνει οὕτως κατ' αὐτὸν τὸν λόγον τῆς ποιότητος γίνεσθαι τὸ διάφορον. ἀλλ' οὐχὶ κατά τινας ἔξωθεν οὐδὲν προσηκούσας αὐτῇ προσθήκας τῶν ὑποδεχομένων, ἢ ἄλλων τινῶν τοιούτων. ἐπεὶ καὶ τῶν ἐν τῇ ψυχῇ φυσικῶν παθῶν, τὰ μέν, πάθη ἐστί. τὰ δέ, παθητικαὶ ποιότητες, ὡς αὐτὸς ἐρεῖ. καὶ οὐ δεῖ τῆς ψυχῆς ἐξοικίζειν ταύτας. ἐπὶ δὲ τὸ σῶμα αὐτὰ μεταφέρειν. οὐ τοίνυν οὐδὲ ἡ διάθεσις μόνη ἐστίν, ἡ ἐπὶ τοσοῦτον κατάψυξις. καὶ ἡ ἕξις ὁμοίως ἡ ἐπὶ πλέον οὖσα καὶ μονιμωτέρα. παθητικὴ δὲ ποιότης, τὸ ψυχρὸν καὶ οὐχ ἡ κατάψυξις. τοὐναντίον γὰρ συμβαίνει, κατά γε τοῦτον τὸν λόγον. ἢ ὥσπερ τὸ ἀληθὲς ἔχει. ἡ μὲν γὰρ κατάψυξις καὶ θέρμανσις, ἐν κινήσει μᾶλλον φέρεται.

τὸ δὲ θερμὸν καὶ ψυχρὸν, ἔστηκε τοῖς εἴδεσιν. οὐκ ἔστιν οὖν ἡ κατάψυξις τοῦ πεπονθότος ποιότης, ἀλλὰ τοῦ πάσχοντος καὶ ἀλλοιουμένου. οὐδὲ ἡ ψυχρότης αὐτὸ τὸ γινόμενον πάθος, ἀλλὰ τὸ ἤδη γεγονός. ὁ δὲ Πορφύριος, ἡ πρόσκαιρος φησὶ θέρμανσις πάθος ἔχουσα, ὅταν γε ἤδη αὐτὴ ἂν εἴη τῇ διαθέσει, ἢ τοῦ μὲν ἔχοντος σώματος καὶ ἐπάγοντος ἄλλῳ τὸ θερμαίνεσθαι εἴη ἂν διάθεσις. τοῦ θερμαινομένου δὲ οὕτως, ὡς μὴ ἂν δύνασθαι ἄλλο θερμαίνειν. πάθος ἂν εἴη πρόσκαιρον, καὶ ἐπ' ὀλίγον θέρμανσις. ὥστε πάθεσι μὲν εἶναι ἐπίτασιν τὴν διάθεσιν ἥτις ἂν ᾖ, καὶ παθητικὴ ποιότης. ἐπίτασιν δὲ τῆς διαθέσεως τὴν ἕξιν, καὶ μάλιστα παθητικὴν ποιότητα. εἰ δέ τινες ἐπιλαμβάνονται τῆς διαιρέσεως, μὴ τὸ ἓν πολλὰ ποιούσης ὅπερ ἔδει, ἀλλὰ τὰ πολλὰ συμφορούσης εἰς ἓν καὶ ἐν εἴδος τιθεμένης τῆς ἕξεως καὶ διαθέσεως. διότι τὸ μὲν, ἐπιτείνεται. τὸ δὲ, ἀνίεται μένον ἐν τῇ αὐτῇ ἰδιότητι. καὶ λέγουσι δυνατὸν εἶναι καὶ κατ' εἶδος διαφέροντά τινα, μηδὲν κωλύειν ἔχειν τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφοράν. καὶ παραδείγματα ἐπάγουσι τὴν μέμψιν, καὶ τὴν ὀργὴν, καὶ τὸν θυμόν. ἅπερ φησὶν ὁ Θεόφραστος ἐν τῷ περὶ παθῶν, κατὰ τὸ μᾶλλον καὶ ἧττον ἔχειν τὴν διαφοράν, καὶ μὴ εἶναι ὁμοειδῆ. ὁμοίως δὲ καὶ φιλία καὶ εὔνοια ἐπιτείνεται καὶ ἀνίεται. καὶ ἄλλο εἶδος ἑκάτερα ἐστὶν. ὠμότης τε καὶ θηριότης πρὸς ὀργήν. ἐπιθυμία τε καὶ ἔρως, ὡσαύτως διέστηκε. καὶ καθόλου τὰ δυσφημότερα τῶν παθῶν ἐπιτεινόμενα, εἰς ἄλλο μεταβάλλει εἶδος. εἰ οὖν ταῦτα λέγοι, ῥητέον ὅτι εἰ τὸ μᾶλλον καὶ τὸ ἧττον κατὰ τὸ ἀόριστον ὑφίσταται τῆς ὕλης, πῶς ἂν εἶεν εἰδητικαὶ διαφοραὶ κατὰ μηδὲν ἄλλο τῆς διαστάσεως ὑφισταμένης. εἰ γὰρ ἴσως τι ἄλλο τὸ διάφορον κατ' εἶδος θεωρούμενον, ἐξ ἐκείνου ἂν μᾶλλον διορίζειν, καὶ οὐχὶ ἀπὸ μόνου τοῦ μᾶλλον καὶ τοῦ ἧττον. ὥστε καὶ ὅταν ἐπὶ τῶν παθῶν λέγωνται, ὡς ἐπὶ ἐνύλων φύσεων ῥηθήσεται, τῶν ἀλογίστων παραποδυουσῶν παραλλαγαί. ὡς ἀδίκως πηχυαῖος λέγεται τὸ ὅλον τοῦτο, οὐχ ὅτι πηχυαῖος καὶ ἀδίκως. καὶ ἐν τούτῳ θᾶσσον ἀτάκτου καὶ ἐνύλου φύσεως ἐστὶ διαφορά, ἀλλ' οὐχὶ καὶ κυρίως καὶ κατ' εἶδος διαφορά. ὥσπερ γὰρ κοινωνίαι τινές εἰσι τὴν διάκρισιν τῶν εἰδῶν ἀφ' ἑαυτὰς φυλάττουσαι, οἷον ἡ τοῦ δεξιοῦ καὶ ἀριστεροῦ, οὕτως καὶ διαφοραί εἰσιν ἐν τῷ αὐτῷ εἴδει μένουσαι, ὥσπερ αἱ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. εἰς τοὐναντίον δὲ τοῦ τρισὸ Πλωτίνος ἀπορῶν, εἰ κοινὸν φησὶν ἐστὶ πάσης ποιότητος τὸ εἶναι χαρακτῆρα ἔξωθεν οὐσίας, καὶ τὸ ἐπιγινόμενον μετὰ τοῦ οὐσίαν εἰς τὸ πῶς διακεῖσθαι τὸ ὑποκείμενον, διὰ τί πλείω εἴδη καταριθμεῖται ποιότητος ἕξις καὶ διάθεσις. ἄλλου γὰρ διαφορὰ καὶ οὐ ποιότητος τὸ μόνιμον καὶ μή. ἀλλ' ἀρκεῖ ἡ διάθεσις ὁπωσοῦν ἔχουσα πρὸς τὸ παρασχεῖσθαι ποιόν. προσθήκη δὲ καὶ ἔξωθεν ἐστὶ τὸ μόνιμον μένειν. ἀλλ' εἴπερ τὸ μόνιμον καὶ δυσκίνητον, καὶ τὸ συνέχεσθαι, ἐν τῷ αὐτῷ εἴδει ἐστὶ τῶν οὐσιῶν, ἢ τὸ ἄλογον τῆς οὐσίας ἴδια, πῶς οὐχὶ καὶ ἐν ταῖς ποιότησιν ἡ κατὰ ταῦτα διαφορὰ ποιότητος ποιεῖ εἶδος, ἐν ἑνὶ εἴδει ἔχουσι τινὰ πρὸς ἑαυτὸ διαφοράν, καὶ οὐχὶ περὶ τὴν τινὰ προσθήκην. οὐδὲ γὰρ τῷ τυχόντι διενεγκοῦσα ἡ ἕξις, παρὰ τὴν διάθεσιν μονιμωτέρα γέγονεν, ἀλλὰ τὸ μεταλαβεῖν ἀτρέπτου τινὸς καὶ ἀδιαλύτου δυνάμεως. ἔστι δὲ τοῦτο, οὐ προσθήκη τινὸς εἰδητικῆς παραλλαγῆς,

ἀλλ' ὁ οἰκεία διαφορὰ τῆς τοῦ αὐτοῦ εἴδους τελειότητος. οὐχ ὅτι ἀτελεῖς εἰσὶν αἱ διαθέσεις, ἀλλ' ὅτι καὶ αὗται ἔχουσιν οἰκείαν τελειότητα τοιάνδε, κοινωνοῦσαν τῆς τοῦ αὐτοῦ εἴδους τελειότητος. ταῦτα γοῦν τὰ μὲν, κατὰ τὴν διάθεσιν. τὰ δὲ, κατὰ τὴν ἕξιν. καὶ γὰρ οὐδὲ ἐν τῷ αὐτῷ τελέως ἡ ἕξις μένει τῇ διαθέσει. οὐ γὰρ ἂν ἦν ἄλλη παρ' αὐτήν. οὔτε ὁρίζεται τελείως. οὐ γὰρ ἂν ἡ ἕξις μετὰ προσθήκης διάθεσις ἦν. ἀλλὰ πῶς μὲν ἡ αὐτὴ πρὸς τὴν διάθεσιν. πῶς δὲ οὐκ ἔστιν, ἅτε δὴ διαφοραῖς ἐν τῷ αὐτῷ εἴδει μένουσαι διωρισμέ-
ναι. Ἀλλὰ διὰ τί φασιν ἐν τοῖς πρός τι τάξας πρότερον τὴν ἕξιν καὶ τὴν διάθεσιν, νῦν ἐν τῇ ποιότητι τάττει αὐτάς. Ἢ πολλάκις εἴρηται πρὸς τοῦτο, ὡς οὐδὲν κωλύει τὸ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο ὑπ' ἄλλην τάττεσθαι κατηγορίαν. ἡ καὶ μάλιστα ὑπὸ τὰ πρός τι καὶ ἄλλην τινά. εἴπερ οὐ καθ' ἑαυτά ἐστι τὰ πρός τι, ἀλλ' ἐν ταῖς ἄλλαις κατηγορίαις ὑφέ-
στηκεν. Αἰτιῶνται δέ τινες τὸν Ἀριστοτέλην, τὴν διάθεσιν ἐπὶ τοῦ ὀλιγοχρονίου τά-
ξαντα, τὴν συνήθειαν αὐτοὶ παραφέροντες, ὡς τὸ πολυχρόνιον δηλοῦσαν, ὥσπερ καὶ αὐτὸς τὴν συνήθειαν ἐπὶ τῆς ἕξεως ἐμαρτύρατο. ἐπὶ γοῦν τῶν ἀδιαλλάκτων ἐχθρῶν λέγειν εἰώθαμεν, ὅτι διάθεσις ἤδη γέγονε. καὶ ἐπὶ τῶν ἐσκιρρωμένων νόσων. Ἀλλὰ τὴν μὲν συνήθειαν παραιτητέον. ὡς οὐκ ἐν πᾶσι τυγχάνουσαν τοῦ ἀληθοῦς. ἐν οἷς δὲ τυγχάνει, ἐν τούτοις μόνοις ἐπιμαρτύρεσθαι ταύτην ἄξιον. καὶ οὕτω τὴν διάθεσιν ἀντὶ τῆς ἕξεως εἰώθαμεν παραλαμβάνειν. ἐπειδὴ εἰς ἓν εἶδος ταῦτα συντέτακται. δηλοῖ δὲ ἡ διάθεσις θέσιν τινὰ κατ' εἶδος. ἡ δὲ ἕξις, ἐνέργειαν τοῦ ἔχοντος, ἢ ἐχομέ-
νου. καὶ διὰ τοῦτο ἡ μὲν, ἔστω εὐμετάπτωτος. ἡ δὲ, δυσμόχλευτος. Εὔδωρος δὲ ἐγκα-
λεῖ. ὅτι εἴπερ ἴδιον εἶναι τῆς διαθέσεως τὸ εὐκίνητον, φησὶ, πάλιν εἴπερ εἰσὶ καὶ αἱ ἕξεις καὶ διαθέσεις. οὐκέτι γοῦν ἴδιον ἔσται τὸ εὐκίνητον τῆς διαθέσεως. καὶ γὰρ ἡ ἕξις εὐκίνητος ἔσται. καὶ γὰρ εἰ ἴδιον ζῴου ἦν τὸ λογικόν, οὐκ ἂν ἦν ὁ κύων ζῷον ἄλογος ὤν. καὶ εἰ πᾶσα ἕξις καὶ διάθεσις, οὐ δὲ μία δὲ διάθεσις ἕξις, πῶς οὐ συναχθήσεται τὸ τὰς ἕξεις μὴ εἶναι ἕξεις. Πρὸς δὴ ταῦτα, ῥητέον, ὡς οὐ πάσης διαθέσεως ἴδιον Ἀριστοτέλης ἔφη τὸ εὐκίνητον. εἰ γὰρ ἡ μὲν, γενική ἐστι διάθεσις. ἡ δὲ, εἰδική. καὶ ἡ μὲν, εὐκίνητος ἡ κατὰ τὸ εἶδος θεωρουμένη. ἡ δὲ, γενική, καὶ ταῖς εὐκινήτοις ὑπάρχει καὶ ταῖς δυσκι-
νήτοις. καὶ ἔχει τινὰ καὶ ταῦτα λόγον, εἴ τις γένος ὑπολαμβάνει τὴν διάθεσιν, ἢ ὡς γένος. εἰ δέ τις ὡς ὅλης τῆς ἕξεως ἀπομερισμὸν τιθεὶς τὴν διάθεσιν, ὡς ὑποδεεστέραν ἀπο-
φαίνοιτο, πάλιν καὶ οὕτως ἔσται ἡ ἕξις διάθεσις, ὡς τὶ ἔχουσα τὴν διάθεσιν ἐν ἑαυτῇ. καὶ γὰρ καὶ κατὰ τὰς ἀρετὰς διακεῖσθαι λεγόμεθα, καίτοι ἕξεις οὔσας. ἀλλ' ἐπειδὴ πολυ-
μερῶς εἰς ἀλήθειαν συμβάλλεται ἡ τῶν σημαινομένων διάκρισις, δεῖ καὶ ταῦτα ἐπὶ τῶν εἰρημένων ἔχοντά τινα ἀμφιβολίαν διαστείλασθαι. διχῶς τοίνυν λεγομένης τῆς ἀρετῆς παρ' αὐτῷ, τῆς μὲν ἀτελοῦς, ἥτις λόγῳ μόνῳ καὶ ἔθει, ἢ φύσει πρὸς τὸ κα-
λῶς ἔχειν παρεσκεύασται. λόγῳ δὲ μόνῳ λέγω, ὡς εἰδέναι μὲν τὸ δέον. μήτε δὲ ἐθί-
» σθαι, μήτε πεφυκέναι πρὸς αὐτό. καὶ διὰ τοῦτο τὰ τῆς Μηδείας φθέγγεσθαι. Καὶ μαν-
» θάνω μὲν οἷα δρᾶν μέλλω κακά. θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων. τῆς δὲ τελείας ἢ τρισὶ τούτοις ἀπηρτισμένης, δυσκίνητος ἀρετὴ νῦν λέγεται, ἡ τελεία

καὶ ἀπαρτισμένη τοῖς ὅλοις. πάλιν ἐπιστήμης τῆς μὲν ἰδίως λεγομένης, κατὰ τὴν ὄν-
των ὡς ὄντων ἀκριβῆ γνῶσιν. τῆς δὲ, κοινότερον. ἥ τις καὶ κατὰ πάσης λέγεται τέχνης.
νῦν ἐπιστήμη εἴρηται ἡ καὶ ἐπὶ τὰς τέχνας διατείνουσα. ἔτι δὲ καὶ τῆς θερμότητος
διχῶς λεγομένης, τῆς μὲν, συμφύτου. τῆς δὲ, ἐπικτήτου, εὐκινήτου ἐνταῦθα θερ-
μότητα τὴν ἐπίκτητον καλεῖ. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ψύξεως τὴν ἐπίκτητον ληπτέ-
ον ψυχρότητα, ἀλλ' οὐχὶ τὴν σύμφυτον. διόπερ οὔτε τὴν πυρὸς θερμότητα, οὔτε
τὴν τῆς χιόνος ψυχρότητα ὑπολαμβανόμεθα ἐνταῦθα, ἀλλὰ τὴν τοῦ ὕδατος ἢ ἄλλου
σώματος μεταβολὴν, εἰς ἀμφότερα ταῦτα. Ἄξιον δὲ καὶ τὴν τῶν στωϊκῶν συνήθει-
αν τὴν περὶ τὰ ὀνόματα ταῦτα καταμαθεῖν. δοκοῦσι γὰρ οὗτοι τισὶν ἀνάπαλιν τῷ ἀριστο-
τέλει τὴν διάθεσιν τῆς ἕξεως μονιμωτέραν ἡγεῖσθαι. τὸ δὲ, ἀφορμὴν μὲν ἔχει τῆς
τοιαύτης ὑπονοίας, οὐ μέντοι κατὰ τὸ μονιμώτερον ἢ μὴ, παρὰ τοῖς στωϊκοῖς ἡ τούτων
εἴληπται διαφορὰ, ἀλλὰ κατὰ τὰς ἄλλας διαθέσεις. καὶ γὰρ τὰς μὲν ἕξεις, ἐπιτείνεσθαι φα-
σὶ δύνασθαι καὶ ἀνίεσθαι. τὰς δὲ διαθέσεις, ἀνεπιτάτους εἶναι καὶ ἀνέτους. διὸ καὶ τὴν εὐ-
θύτητα τῆς ῥάβδου κἂν εὐμετάβολος ᾖ δυναμένη κάμπτεσθαι, διάθεσιν εἶναι φα-
σί. μὴ γὰρ ἀνεθῆναι ἢ ἐπιταθῆναι τὴν εὐθύτητα, μηδὲ ἔχειν τὸ μᾶλλον ἢ ἧττον. διόπερ
εἶναι διάθεσιν. οὑτωσὶ δὲ καὶ τὰς ἀρετὰς διαθέσεις εἶναι, οὐ κατὰ τὸ μόνιμον ἰδίωμα,
ἀλλὰ κατὰ τὸ ἀνεπίτατον, καὶ ἀνεπίδεκτον τοῦ μᾶλλον. τὰς δὲ τέχνας ἤτοι δυσκινήτους οὔσας,
ἢ μὴ εἶναι διαθέσεις. καὶ ἐοίκασι τὴν μὲν ἕξιν, ἐν τῷ πλάτει τοῦ εἴδους θεωρεῖν. τὴν δὲ διά-
θεσιν, ἐν τῷ τέλει τοῦ εἴδους καὶ ἐν τῷ μάλιστα. εἴτε κινοῖτο καὶ μεταβάλλοι, ὥσπερ τὸ εὐθὺ
τῆς ῥάβδου, εἴτε καὶ μή. Μᾶλλον δὲ ἐχρῆν ἐκεῖνο ἐπιστῆσαι, μὴ ἡ παρὰ τοῖς στωϊκοῖς
σχέσις ἡ αὐτή ἐστι τῇ παρὰ ἀριστοτέλει διαθέσει κατὰ τὸ εὐανάλυτον καὶ δυσανάλυτον
διεσταμένη πρὸς τὴν ἕξιν. ἀλλ' οὐδὲ οὕτως συμφωνοῦσιν. Ὁ μὲν γὰρ ἀριστοτέλης τὴν
ἀβέβαιον ὑγείαν, διάθεσιν εἶναί φησιν. οἱ δὲ ἀπὸ τῆς στοᾶς τὴν ὑγείαν ὅπως ἂν ἔχῃ, οὐ
συγχωροῦσι σχέσιν εἶναι. φέρειν γὰρ τὸ τῆς ἕξεως ἰδίωμα. τὰς μὲν γὰρ σχέσεις, ταῖς ἐπι-
κτήτοις καταστάσεσι χαρακτηρίζεσθαι. τὰς δὲ ἕξεις, ταῖς ἐξ ἑαυτῶν ἐνεργείαις.
ὅθεν οὐδὲ χρόνου μήκει, ἢ ἰσχύϊ εἰδοποιοῦνται αἱ ἕξεις κατ' αὐτούς. ἰδιότητι δέ τινι
καὶ χαρακτῆρι. καὶ ὥσπερ τὰ ἐρριζωμένα μᾶλλον καὶ ἧττον ἐρρίζωται, ἓν δὲ ἔχει τὸ κοι-
νὸν ἰδίωμα τὸ ἀντέχεσθαι τῆς γῆς, οὕτω καὶ ἡ ἕξις ἐπὶ τῶν δυσκινήτων καὶ εὐκινήτων,
ἡ αὐτὴ θεωρεῖται. ὅλως γὰρ τῶν γενῶν πολλὰ ποιὰ ὄντα, ἐκλελυμένον ἐκεῖνο τὸ ἰδίωμα
ἔχει καθὸ εἰδοποιεῖται, ὥσπερ ὁ αὐστηρὸς οἶνος. καὶ ἀμύγδαλα πικρά. καὶ μολοττικὸς κύ-
ων. καὶ μελιταῖος. οἷς πᾶσι μέτεστι μὲν ὁ ὑλικὸς χαρακτὴρ, ἐπὶ βραχὺ δὲ καὶ ἀνειμέ-
νως. καὶ ὅσον ἐπ' αὐτοῖς τοῖς ἐν τῇ ἕξει κυρίως ἐπιμένει, ἐπὶ μιᾶς καταστάσεως αὕτη. τὸ
δὲ εὐκίνητον, πολλάκις ἐξ ἄλλης αἰτίας ἔχει. διόπερ οἱ στωϊκοὶ διατείνουσι τὰς ἕξεις
κοινότερον. καὶ ἐπὶ τὰς εὐκινήτους ἃς λέγει ὁ ἀριστοτέλης διαθέσεις. καὶ ταύτας ἡγοῦν-
ται πολὺ διενηνοχέναι τῆς σχέσεως. ἡ γὰρ τῶν ἀναλαμβανόντων τὴν ὑγίειαν ἕξις, κα-
θέσεως καὶ προβολῆς, καὶ τῶν τοιούτων σχέσεων πάντη διέστηκεν. αἱ μὲν γὰρ, ἀρρίζοι καὶ
ἀπαγεῖς εἰσι. τὰς δὲ, οὕτως ὑφεστηκέναι φασὶν, ὥστε ἀφεθείσας διαμένειν, ὅσον

ἐφ' ἑαυταῖς δύναται τὸ ἔμμονον ἔχειν ἐξ ἑαυτῶν καὶ τοῦ οἰκείου λόγου παρεχόμεναι. διὰ ταῦτα, οὐδὲ ἡ ὁπωσοῦν δυσανάλυτος σχέσις λέγεται ἕξις παρ' αὐτοῖς. ἡ γὰρ ἔξωθεν ἔχει τὸ δυσανάλυτον, ὥσπερ ὁ δακτύλιος ἐν δακτυλήθρᾳ ὤν, οὐκ ἂν εἴη ἐν ἕξει τῆς τοιαύτης καταστάσεως. ἀλλ' ἡ ἀφ' ἑαυτοῦ τὴν ἐνέργειαν παρέχει τοῦ εἶναι τοιόνδε, τότε ἂν εἴη ἐν ἕξει. ὥσπερ ὁ πηλὸς ὁ εἰς ὄστρακον μεταβαλών. αὐτὸς γὰρ ἀφ' ἑαυτοῦ τοιὸς δὲ γέγονεν. ἀλλὰ ταῦτα μὲν οὕτως ἱστορείσθω. τὸ δὲ βαθυτέρας ἐν τούτοις δεόμενον ἐπιβλέψεως, ἐκεῖνό ἐστιν. ἆρα ἡ ἕξις οὐκ ἄλλη τίς ἐστι τῆς διαθέσεως, πλὴν τοῦ προσειληφέναι τὸ μόνιμον καὶ δυσκίνητον. τί οὖν ποτέ ἐστι τοῦτο τὸ προσειληφέναι. πότερον, διαφορᾶς προσθήκη, ἢ ψιλῆς σχέσεως, ἢ πλεονασμός τις ἄλλος ὁ ποιοσοῦν. καὶ γὰρ εἰ μὲν ἡ ὡς ποιὸς διαφορὰ προσελήφθη, εἶδος γέγονεν ἕτερον. καὶ οὐκέτι ἐν τῷ αὐτῷ εἴδει ἀλλ' ἤ τε ἕξις καὶ ἡ διάθεσις. εἰ δὲ σχέσις ψιλὴ ἢ πλεονασμὸς ὁ ποιοσοῦν ὥστε οὐ ποσὴ δόξα πρόσθεσις, πάλιν ἐν τῷ τοιῷδε προσθήκη γίνεται ἄλλως. καὶ οὐ κατὰ τὴν ἰδιότητα τοῦ λόγου πάρεστι τὸ μόνιμον. μήποτε οὖν ἐν πλάτει τοῦ ἑνὸς εἴδους θεωροῦνται τῆς ἕξεως καὶ διαθέσεως οἱ λόγοι, ἔχοντες διαφορὰς ἐν ἑαυτοῖς. εἰ δὴ τινὰς μὲν περιεχομένας δεῖ ὑπὸ τοῦ αὐτοῦ εἴδους. τὸ γὰρ ἓν εἶδος συνείληφεν ἐν ἑαυτῷ, τὰς τῆς ἕξεως καὶ διαθέσεως διαφοράς. αἰτία δὲ τούτου ὑπάρχει, ἡ καθαρότης καὶ ἡ ἄυλος τῶν εἰδῶν φύσις. διὸ καὶ ἀμιγῶς καὶ καθαρῶς τὰ πολλὰ εἴδη ἐν ἑνὶ πολλάκις περιέχει. καὶ δεῖ νοεῖν τῶν εἰδῶν οὐ μόνον τὴν κατὰ τὰ μεγάλα διαφοράν, ἀλλὰ καὶ τὴν κατὰ τὰ ἐλάχιστα τοῦ εἶναι ἑτερότητα. οὐδὲ ἐπίτασιν οὖν οὐδὲ μεταβολὴν ἀποδεκτέον, δι' ἣν ἀπὸ τῆς διαθέσεως ἡ ἕξις ἀπογεννᾶται. οὔτε γὰρ ἐκ κινήσεως, οὔτε δὲ ἐπιτάσεως, οὔτε κατὰ μεταβολὴν πέφυκεν ὁ λόγος ἀποβλαστάνειν. ἀρχηγικώτερον γάρ ἐστι καὶ αἰτιώτερον τὸ ἀκίνητον τοῦ κινουμένου. ἔστι δὲ τὸ τῇ τοῦ ἑνὸς συμμετρίᾳ προσεοικός, τοῦ εἰς τὴν ἀοριστίαν τῆς ὕλης ἀποφερομένου. παραιτησόμεθα δὲ διὰ τὴν αὐτὴν αἰτίαν, καὶ τοὺς τὸ ἀπαγὲς καὶ πεπηγμένον εἰς διάκρισιν τῶν αὐτῶν ὑποτείνοντας. σωματικὴν γὰρ ποιοῦνται τὴν τῶν εἰδῶν διδασκαλίαν. καὶ κατὰ μεταβολὴν τὴν ἕξιν ἀποτελοῦσι. καὶ ἔσται οὕτως μεταβολὴ κυριωτέρα τοῦ ἑστηκότος εἴδους, ὅπερ παντελῶς ἐστιν ἀδύνατον. διὰ δὲ τὴν αὐτὴν αἰτίαν, οὐδὲ τὸ πολυχρονιώτερον καὶ ὀλιγοχρονιώτερον ἐν ταῖς τοιαύταις διαφοραῖς ἀπολογίζεσθαι ἄξιον. διότι χρόνος μέν, συμφερὴς κινήσει. κίνησις δέ, οὐκ ἔχει ἐν ἑαυτῇ τὸ κῦρος τῆς τῶν εἰδῶν ἰδιότητος. κατ' αὐτὴν δὲ μάλιστα αὐτὴ ἀφώρισται. ἀλλ' εἰ μὲν λέγοι τις ὡς δύναμις εἰς τὸ συνέχειν προϋπάρχουσα τελεωτέραν συνακολουθοῦσαν ἔχει σὺν τῇ μονίμῳ καταστάσει, καὶ τὴν κατὰ χρόνον βεβαιότητα, τάχα ἄν τι λέγοι σύμφωνον τῇ περὶ τῶν ποιοτήτων ὑποθέσει. ὡς δὲ νῦν λέγεται προηγουμένως τῇ κατὰ χρόνον κινήσει τὸ διάφορον αὐτῶν ἀποδιδόντων τινῶν, οὐδαμῶς ἔχει τὸ πιστὸν καὶ ἀληθὲς ὁ λόγος. ἀναστρέφει γὰρ οὗτος ἀνάπαλιν τὴν φύσιν τῶν ὄντων. οὐ τοίνυν οὐδὲ τὸ ἀτελὲς καὶ τέλειον, εἴ τις καὶ τοῦτο εἰς διάστασιν αὐτῶν παραλαμβάνει ὡς ἐχέγγυον, ἀναμφισβήτητον ἔχει τὴν διάκρισιν. ἐπεὶ οὐδὲν ἐν τοῖς λόγοις ἀτελὲς θεωρεῖται κατά γε τὴν οἰκείαν ἑκάστου τάξιν. πληροῦται γὰρ αὐτῇ συμμέτρως πρὸς ἣν ἕκαστος αὐτῶν εἴληχε δύναμιν. ἴσως

Universitäts- und
Landesbibliothek Düsseldorf

οὖν ὥσπερ τὰ μετέχοντα τῶν λόγων καὶ τὰ σύνθετα, τὰς τοιαύτας δεῖ μετάγειν διαφοράς, ὅταν τὸ ἐλλεῖπον τῆς οἰκείας φύσεως ταῦτα συμμιγνύοντα τὰ τέλεια, ποιῇ ἀτελῆ φαίνεσθαι καὶ ἀσύμμετρα τὰ ὡρισμένα. καὶ κινούμενα εἰς ἐπίτασιν, τὰ ἑστηκότα. καθόλου οὖν διωρίσθω, ὅσα δεῖ τὸ μετέχον λόγον καθαρῶς θεωρεῖν αὐτὸ καθ' ἑαυτό. ἀλλὰ καὶ ὃ μάλιστα ἀμέσως ἐν ἑτέρῳ. δι' ἀκριβείας οὖν ἐξεταστέον, ἵνα μὴ ἐν τῷ συνθέτῳ πάρεστι κατὰ τὸν τοῦ εἴδους λόγον. ἵνα δὲ κατὰ τὴν τοῦ ὑποκειμένου ὑλικὴν φύσιν. ἵνα δὲ κατὰ τὸ κοινὸν ἐξ ἀμφοῖν. οὕτω γὰρ μάλιστα οὐκ ἂν συγχεθείη τῶν εἰδῶν ἡ καθαρότης. ἣν δεῖ καθ' αὑτὴν τῷ λόγῳ περιλαμβάνειν. ἀπὸ δὲ τούτων, κἀκεῖνα καταφαίνεται. καὶ ὡς οὐκ ἔστιν ἡ ἕξις διάθεσις προσλαβοῦσα τὸ μόνιμον, οὐδὲ ἡ αὐτὴ ὑγεία. ἐν μὲν τῷ ἀναλαμβάνοντι εὐκίνητος οὖσα, διάθεσίς ἐστι. βεβαιωθεῖσα δὲ καὶ δυσκίνητος ἀποτελεσθεῖσα, ἕξις γίνεται. πάλιν γὰρ καὶ ἐνταῦθα τὰ τῶν συνθέτων καὶ μετεχόντων παθήματα, μετάγομεν ἐπὶ τὰ ἁπλούστατα εἴδη τῶν ποιοτήτων. καὶ γενέσεις ἐν αὐτοῖς ποιοῦμεν διὰ κινήσεως ἐναλλαττομένας. τὸ δὲ ἐξαίφνης αὐτῶν παρὸν ὅταν παρῇ, καὶ μὴ παραγινόμενον ὅταν μὴ ἐγγένηται, οὐκ ἔοικε διατηρεῖν ὁ τοιοῦτος διορισμός. οὐδὲ εἴ τις τὸ ὅλον, καὶ μέρος ἐπ' αὐτῶν λαμβάνει, τυγχάνει τῆς ἀληθείας. οὐ γὰρ εἴπερ ὅτι ἐν αὐτοῖς αἴτιοι αὗται διαφοραί. πῶς γὰρ ἂν τοῖς ἀμερέσι θεωρηθείη τὸ ἐν τούτοις διάφορον. ἀλλ' ἴσως ἐν τοῖς μεριστοῖς καὶ τοῖς μετέχουσι τὸ παρηλλαγμένον αὐτῶν, καθ' αὑτὸ θεωρεῖται, τοῖς μὲν δυναμένοις τὸ ἀμερὲς αὐτῶν ἀμερῶς ὑποδέχεσθαι. ὅθεν ὀρθῶς Ἀρχύτας, τὸ ἐν ἕξει θεὶς εἶδος τῆς ποιότητος, ἣν κέκληκε τοῦτο καὶ οὐ συνέζευξε μετ' αὐτοῦ τὴν διάθεσιν. οὐδὲ ὡς δύο ταῦτα συνηριθμήσατο. οὔτε ὡς ὑπὸ τὴν αὐτὴν τάξιν ὄντα τοῦ εἴδους, ὥσπερ ἡμεῖς ἐλέγομεν πρότερον, οὔτε ὡς διαφέροντα. ἀλλ' οὗτος μὲν τῇ ταυτότητι τοῦ εἴδους μᾶλλον προσέχων, ἐπὶ τοῦ ἑνὸς εἴδους μεμένηκεν. Ἀριστοτέλης δέ, οὐκ ἐξετάζεται μὲν οὐδὲ αὐτὸς τῆς τοιαύτης ὑποθέσεως. πλὴν ἐξεργασμόν τινα προστίθησι, καὶ παραδείκνυσι τὸ ἐν τῷ ἑνὶ αὐτῶν πλῆθος, αὐτίκα τὴν διάθεσιν λέγεσθαι μέν φησι τοῦ ἔχοντος μέρη τάξιν, ἢ κατὰ τόπον ἢ δύναμιν ἢ κατ' εἶδος. θέσιν γὰρ ἵνα εἴπωμεν ὥσπερ τοὔνομα δηλοῖ τὴν διάθεσιν. οὐκοῦν ἐν τούτοις ἑνὶ περιέχει πάσας τὰς διαφόρους θέσεις. τὰς μὲν σωματοειδεῖς ὡς κατὰ τόπον τὸ οὕτω διατίθεσθαι λαμβανούσας. τὰς δὲ ἐν παρασκευῇ καὶ ἐπιτηδειότητι, ὡς κατὰ δύναμιν τὴν θέσιν παραδεχομένας. τὰς δὲ τελείας ἕξεις, ὡς κατὰ εἶδος τὴν θέσιν ἀφοριζούσας. ἡ δὲ ἕξις κατ' ἄλλον λέγεται. ἕνα μὲν τρόπον, τοῦ ἔχοντος καὶ ἐχομένου ἐνέργεια. ὥσπερ γὰρ ἡ ποίησις τοῦ ποιοῦντος καὶ ποιουμένου μεταξύ ἐστιν, οὕτως καὶ τοῦ ἔχοντος ἐσθῆτα. καὶ τῆς ἐχομένης ἐσθῆτος, μεταξὺ ἡ ἕξις ἐστίν, ἄνευ διαφορᾶς οὔτι νοουμένη. διὸ οὐδὲ ποιότης αὕτη, ἀλλ' ἐν ἄλλῃ κατηγορίᾳ τῇ τοῦ ἔχειν κατατέτακται. ἄλλον δὲ τρόπον ἕξις λέγεται, διάθεσις μόνιμος. καθ' ἣν εὖ ἢ κακῶς διάκειται τὸ διακείμενον. καὶ ἢ καθ' ἑαυτό, ἢ πρὸς ἄλλο. οἷον, ἡ ὑγεία ἕξις. διάθεσις γάρ ἐστι τοιαύτη διαφορὰν ἐμφαίνουσα. διὸ καὶ ποιότης ὅτι ἕξις λέγεται, ὃ ἂν ᾖ μόριον τοιαύτης διαθέσεως. διὸ καὶ ἡ τῶν μερῶν ἀρετή, ἕξις τίς ἐστι. πάλιν οὖν καὶ ἐνταῦθα ἐν τῷ ἑνί, πολλαὶ θεωροῦνται ἑτερό-

τητες. αἵ τε γὰρ ἔμπροσθεν εἰρημέναι κατὰ τῆς διαθέσεως τηροῦνται, καὶ κατὰ τῶν ἕξε-
ων διαστάσεις. καὶ ἔτι πρὸς καὶ ταύτῃ ἡ κατ᾽ ἐνέργειαν τελειότης, καὶ ἡ κατὰ τὸ εὖ θεωρου-
μένη. ἥ τε καθ᾽ αὑτὸ καὶ ἡ πρὸς ἄλλο συμπαραδηλοῦται. ὅμως μέντοι ἐν τῷ τῆς ἕξε-
ως λόγῳ πάντα ἐχόντων. καὶ ἔτι μέντοι συναμφότεραι αἵ τε ἕξεις καὶ διαθέσεις πολυειδῶς
ἑκάτεραι θεωρούμεναι, ὑφ᾽ ἑνὸς κρατοῦνται γένους τελειοτάτου τῆς ποιότητος. ἐπειδὴ
δὴ οὗτος αὐτὰς ἐν ἑαυτῷ συνέχει. οὐ μέντοι διὰ τοῦτο νοητὸν εἶδος ἢ γένος ἐν τούτοις
τῆς τὴν ποιότητα θετέον. οὐ γὰρ ἐν τοῖς πρώτοις γένεσιν ἐν τῷ ὄντι ὄν τι ὑφέστηκεν
ἡ ποιότης. οὐδὲ ἔστι καὶ αὐτὴ ὅπερ ὄν, ὥσπερ καὶ τὰ ἄλλα νοητὰ γένη. ἀλλ᾽ ὕστερα καὶ μετὰ
τὴν οὐσίαν ὑφέστηκε. δεῖ δὲ τὴν ὄντως οὐσίαν, παρακολουθοῦντα ταῦτα ἔχειν ὥσπερ πρώ-
την αὐτῶν. μὴ ἐκ τούτων δὲ τὴν σύστασιν ἔχειν. μηδὲ διὰ τούτων συμπληροῦσθαι. εἴη
γὰρ ἂν ὑστέρα τῆς ποιότητος. τὴν μὲν γάρ τινα οὐσίαν συμπληροῦσθαι καὶ ἐκ ποιότη-
τος, οὐδὲν ἴσως ἄτοπον, ἐχούσης ἤδη τὴν οὐσίαν πρὸ τῆς ποιότητος. τὸ δὲ τοιόνδε
ἔξωθεν, οὐ τήνδε τὴν οὐσίαν ἃ ἔχει οὐσιώδη ἔχειν. οὐκ ὀρθῶς οὖν ἐπιζητοῦσί τινες,
εἰ αἱ ἐνθάδε ποιότητες καὶ ἐκεῖ ὑφ᾽ ἓν γένος. οὐδὲ γὰρ ὅλως εἰσὶν αἱ ἐκεῖ ποιότητες,
ἀλλὰ πάντα τὰ ἐν τῷ ὄντι οὐσίαι εἰσίν. εἴπερ αἱ ποιότητες, κατὰ τὴν τῶν ἰδιοτήτων
ἐν τῇ ὕλῃ μέθεξιν θεωροῦνται. ἀλλ᾽ εἰ ὁ νοῦς ὁ τῇδε ἕξις κοινῶς φασὶν ἐπ᾽ ἐκείνης τῆς
οὐσίας καὶ ταύτης, ἡ ἕξις κατηγορηθήσεται. ἢ καὶ ὁ ἐνθάδε νοῦς, ἄλλως λέγεται ἕξις.
καὶ οὐκ ἀφομοιωτέον αὐτὸν ταῖς τῇδε ἕξεσιν, ἀλλὰ μᾶλλον τοῖς ἁπλοῖς τε ἀμίκτοις εἴδε-
σιν. ἃ περιέχει ὁ νοῦς ἐν ἑαυτῷ. καὶ ἡ σοφία δέ, ἄλλη μὲν ἡ τοῦ νοῦ. ἄλλη δέ, ἡ τῆς ψυχῆς.
τε ἡ μὲν ἐν τῇ ψυχῇ, ἕξις. ἡ δὲ ἐν τῷ νῷ, οὐσία. οὐ ζητητέον δὲ εἰ κοινὸν τὸ ποιὸν ἐνταῦ-
θα κἀκεῖ, καὶ συνωνύμως ὑπάρχον. πάντα γὰρ τὰ ἐκεῖ θεῖα καὶ αὐτάρκη καὶ ἀΐδια ἀφ᾽ ἑ-
αυτῶν καὶ ἐν ἑαυτοῖς ὄντα. διόπερ τε ὄντως ὄντα μόνως. καὶ οὐδὲν ἐπ᾽ ἐκείνων, καὶ τοῦτ᾽
ἔσται κοινὸν ποιόν. ἀλλὰ τούτων μὲν ἅλις. κατὰ δὲ τὰ ἑξῆς εἴδη τῆς ποιότητος, ἰτέον.
» Ἕτερον δὲ γένος καθ᾽ ὃ δρομικοὺς ἢ πυκτικοὺς ἢ ὑγιεινοὺς ἢ νοσώδεις λέγομεν. ἕως
» τοῦ, τὸ δὲ μαλακόν, τῷ ἀδυναμίαν ἔχειν τοῦ αὐτοῦ τούτου. Μεταβέβηκεν ἐπὶ τὸ δεύ-
τερον τῆς ποιότητος εἶδος. ὃ κατὰ τὸ δύναμιν καὶ τὴν ἐπιτηδειότητα. ἢ ὥς αὐτός φησι
κατὰ φυσικὴν δύναμιν ἢ ἀδυναμίαν λέγεται. πολλαχῶς μὲν τῆς δυνάμεως σημαινούσης ὡς εἴρηται
πρότερον. νῦν δὲ τὸ κατὰ τὴν ἐπιτηδειότητα τὴν φυσικὴν δηλούσης. διττῆς δὲ οὔσης
ταύτης, τῆς μὲν, ἁπλῶς. τῆς δέ, κατὰ προκοπὴν ἤδη τινὰ θεωρουμένης, καθ᾽ ἣν ἤδη ἡ προφα-
νὴς ἐστὶ καὶ ἕτοιμος ἡ ἐπιτηδειότης, ὡς ἐν τῷ πυκτικῷ λεγομένῳ, ταύτην νῦν παρα-
λαμβάνει. διὸ τῷ ποιῆσαί τι ἢ παθεῖν, τὸ ῥᾳδίως προσέθηκε. τοῦτο γὰρ τῆς δυνάμε-
ως τῆς προκεκοφυίας ἴδιον ἐστίν. ὅπερ καὶ εὐαρίθμητον ὑπάρχει. καὶ γὰρ καὶ οἱ ἀπὸ τῆς
στοᾶς, πρὸς μὲν τὰς τέχνας ἐπιτηδειότητα μόνην ἀπέλιπον τὴν ἁπλῶς οὕτω πως θε-
ωρουμένην. πρὸς δὲ τὰς ἀρετάς, τὴν ἀξιόλογον προκοπὴν ἐκ φύσεως προϋπάρχειν
ἀπεφήναντο. ἣν καὶ οἱ ἀπὸ τοῦ περιπάτου φυσικὴν ἀρετὴν ἐκάλουν. μήποτε δὲ οὐ μό-
νον κατὰ τῶν ἀρετῶν, ἀλλὰ καὶ κατὰ τῶν τεχνῶν τὴν ἐκ φύσεως ἐπιτηδειότητα θεωρητέον.
καὶ τὴν ἐφοσονοῦν, ἢ καὶ τὴν ἀξιόλογον ἐκ φύσεως προκοπήν. δρομικοὺς δὲ ἢ πυκτικοὺς

λέγομεν, τοὺς μήπω ἐν ἕξει ταύτας ἔχοντας, ἀλλ' ἐπιτηδειότητα μόνην ἤδη προαχθεῖσαν, καὶ ἔγγιμον πρὸς τὸ γενέσθαι τοιούτους. καὶ ὑγιεινοὺς δὲ καὶ νοσώδεις ὁμοίως καλοῦμεν, ἀπὸ τοῦ πρὸς ὑγείαν καὶ νόσον ἐπιτηδείως ἔχειν. καὶ αἱ φυσικαὶ δὲ ἀρεταὶ καὶ κακίαι, εἰς τὴν αὐτὴν ἐπιτηδειότητα ὑπάγονται. ἐν δὲ τῷ εἴδει τούτῳ τῷ περὶ ποιοτήτων, ἔταξε καὶ τὸ σκληρόν, καὶ μαλακόν. ὅτι τὸ μὲν σκληρόν, δύναμιν ἔχει τοῦ μὴ διακοπῆναι ῥᾳδίως. οὐδὲν γὰρ τῶν ἐν γενέσει σῶμα οὐκ ἂν διακοπείη. τὸ δὲ μαλακόν, ἀδυναμίαν ἔχει τοῦ αὐτοῦ τούτου. δύναμιν δὲ τοῦ ῥᾳδίως ἂν διαιρεθῆναι. ἐπισημήνασθαι δὲ ἄξιον, ὅτι δυνατόν ἐστι καθ' ὧν ἡ δύναμις λέγεται, κατὰ τούτων καὶ τὴν ἀδυναμίαν ῥηθῆναι. εἰ γὰρ δύναμιν ἔχει τὸ μὲν ὑγιεινόν, τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν τυχόντων ῥᾳδίως. τὸ δὲ σκληρόν, τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι. καὶ ἀδυναμίαν ἔχει τὸ μέν, τοῦ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων. τὸ δέ, τοῦ ῥᾳδίως διαιρεθῆναι. καὶ τὸ ἀνάπαλιν. εἰ τὸ νοσῶδες ἀδυναμίαν ἔχει τοῦ μὴ πάσχειν, καὶ τὸ μαλακὸν ἀδυναμίαν ἔχει τοῦ μὴ διαιρεθῆναι, δύναμιν ἔχει τὸ μέν, τοῦ πάσχειν. τὸ δέ, τοῦ διαιρεθῆναι. Ἀλλ' ἐπειδὴ τὸ δυσπαθὲς τοῦ εὐπαθοῦς τελειότερον, καὶ τὸ ὑγιὲς τοῦ νοσώδους μᾶλλον κατὰ φύσιν, διὰ τοῦτο δή, τοῖς μέν, τὴν δύναμιν. τοῖς δέ, τὴν ἀδυναμίαν ἀποδέδωκεν. οὐκ ἀεὶ πάντως δέ ἐστιν ὁ ἤδη κείμενα οἷς χωρίζεται ἡ ἐπιτηδειότης τῆς ἐνεργείας. ἀλλὰ μὲν τοῦ πυκτικοῦ καὶ πύκτου καὶ δρομικοῦ καὶ δρομέως κεχώρισται τὸ ἤδη. γραμματικὸς δὲ καὶ μουσικός, καὶ ὁ τὴν ἐπιτηδειότητα μόνην ἔχων λέγεται, καὶ ὁ ἤδη κατ' ἐνέργειαν. καὶ τοῦτο δὲ ἐπισημαντέον. ὅτι κἂν λέγηται τοῦτο τὸ κατὰ δύναμιν εἶδος ποιότητος, ἀλλ' ὁ ἤδη ποιότητος οὐκ ἔστιν, ἀφ' ἧς καλεῖται ὁ κατὰ δύναμιν ποιός. οὐ γὰρ ἀπὸ τῆς πυκτικῆς ὁ πυκτικὸς ὠνόμασται. διότι πυκτικὴ μέν ἐστιν, ἡ τοῦ πυκτεύειν τέχνη. ὁ δὲ πυκτικός, οὔπω ἔχει τὴν τέχνην ταύτην. ἀλλ' εἰ χρὴ σημῆναι τὰ εἴδη ταῦτα τῆς ποιότητος ἀκατονόμαστα ὄντα, διὰ λόγου σημαντέον αὐτά. ἡ γὰρ πρὸς δρόμον ἐπιτηδειότης, αὕτη ἐστὶν ἡ ποιότης, ἀφ' ἧς ὁ δρομικὸς λέγεται. καὶ ἡ πρὸς τὸ πυκτεύειν ἐπιτηδειότης, αὕτη ἐστὶν ἡ ποιότης, ἀφ' ἧς ὁ πυκτικός. καὶ ὅλως ἀπ' ἐκείνων εἰς ἃ τελειοῦνται. καὶ τοῦτο δὲ ἐπιστάσεως ἄξιον. ὅτι οὐ πᾶσα δύναμις, οὐδὲ ἐπιτηδειότης πᾶσα τοῦ εἰς ὅ τι οὖν μεταβάλλειν, ἀλλ' ἡ ποιότης λέγεται κατὰ τὸ εἶδος τοῦτο τῆς ποιότητος, ἀλλ' ἡ εἰς τὴν κατ' ἐνέργειαν ποιότητα ἄγουσα. καὶ ὅτι ἐν ταῖς φυσικαῖς ταύταις δυνάμεσιν, αἵ τε φυσικαὶ ἀρεταὶ τάττονται περὶ ψυχὴν οὖσαι, καὶ αἱ σωματικαί, κατὰ τὸ μαλακὸν καὶ σκληρὸν θεωρούμεναι. καὶ αἱ κατὰ τὸ συναμφότερον ἐν τοῖς πυκτικοῖς καὶ δρομικοῖς. ὥστε καὶ πᾶσαι αἱ δυνάμεις περιελήφθησαν. μετὰ δὲ τὴν τῆς λέξεως σαφήνειαν, ἐπὶ τὰς ἐνστάσεις καὶ τῶν ἐνστάσεων τὰς λύσεις μετίωμεν. καὶ τὸ μὲν εἶδος εἰπόντες τὸ πρότερον, τὸ δεύτερον γένος καλέσαι, καὶ ἐπιστάσεως ἤδη καὶ διαλύσεως ἔτυχεν. ὡς οὐδὲν ἄτοπον τὰ μέσα καὶ μήτε εἰδικώτατα μήτε γενικώτατα καὶ γένη καὶ εἴδη καλεῖν. τὰ γὰρ νῦν ἀπαριθμούμενα εἴδη μὲν ὄντα τῆς πρώτης ποιότητος. γένη δὲ τῶν ὑφ' ἑαυτὰ εἰδῶν τῶν ὑπ' ἀλλήλων λεγομένων ἐστί. καὶ διὰ τοῦτο καὶ γένη καὶ εἴδη λέγεται εἰκότως. περὶ δὲ τῆς τάξεως ἐγκαλοῦσι τῶν εἰδῶν τῆς ποιότητος. ἔδει γάρ φασι πρῶτον μνημονεῦσαι τῶν δυνάμεων τῶν φυσικῶν καθ' ὃ πυκτικοί, ἢ δρομικοὶ γίνονταί τινες. εἰ γὰρ οὕτως

τὰς ἐκ μελέτης καὶ διδασκαλίας ἐπιγινομένας ταῖς φυσικαῖς δυνάμεσιν, ἕξεις καὶ διαθέσεις ἀναδέξασθαι. ἀλλ' οἱ ταῦτα ἐγκαλοῦντες, ἐννοείτωσαν τὴν τοῦ ἀριστοτέλους πρὸς ἑαυτὸν συμφωνίαν. αὐτὸς γὰρ ἐν τοῖς φυσικοῖς, τὸ τέλειον πρότερον τῇ φύσει τοῦ ἀτελοῦς εἶναί φησι. γίνεται γὰρ ἐκ τοῦ τελείου, τὸ ἀτελές. καὶ ἐκ τοῦ ἐνεργείᾳ, τὸ δυνάμει. ἄνθρωπος γὰρ σπέρμα γεννᾷ ὥσπερ ὁ πατήρ. καὶ ἐκ σπέρματος πάλιν ἄνθρωπον, ὥσπερ ἡ μήτηρ. τὸ γὰρ δυνάμει ὄν, ὑπὸ τοῦ ἐνεργείᾳ ἄγεται εἰς τὸ ἐνεργείᾳ. καὶ διὰ τοῦτο προϋπάρχειν δεῖ τὸ τέλειον, ἐν αἰτίας λόγῳ προεστηκός. εἰκότως οὖν τὸν περὶ τῶν τελείων λόγον προλαβὼν, ἐπήγαγε τὸν περὶ τῶν δυνάμεων. καὶ γὰρ τῇ γενέσει μὲν ἐν τῷ αὐτῷ προϋπάρχει τὸ δυνάμει τοῦ ἐνεργείᾳ, καὶ τὸ ἀτελὲς τοῦ τελείου, ἀλλὰ τῇ φύσει τὸ ἀνάπαλιν. πᾶν γὰρ ἀτελὲς, ὑπὸ τελείου τελειοῦται. καὶ πᾶν δυνάμει, ὑπὸ τοῦ ἐνεργείᾳ προϋπάρχοντος, ἄγεται εἰς τὸ ἐνεργείᾳ. οὐ δὴ τοίνυν ὡς πρὸς γένεσιν τὸ πρότερον, ἀλλ' ὡς πρὸς οὐσίαν λαμβάνεται. πάντων δὲ μάλιστα ἐπὶ τῶν ποιοτήτων τὸ κατ' ἐνέργειαν προϋφέστηκεν. ἐφ' ὧν ὁ χαρακτὴρ ὅρον τινὰ κατ' ἐνέργειαν περιείληφε. καὶ ἄλλως δὲ οἰκεία ἡ προοῦσα τάξις τῶν εἰδῶν τῆς ποιότητος. εἴπερ αἱ μὲν φυσικαὶ δυνάμεις, κατ' ἐπιτηδειότητα θεωροῦνται. αἱ δὲ ἐπιτηδειότητες, μέσαι εἰσὶ τῶν κατ' ἐνέργειαν ἐντελεχειῶν, καὶ τῶν παθητικῶν τῶν ἐφεξῆς παραδιδομένων. δεῖ γὰρ εἶναι τὸ ποιοῦν πρότερον ἐνεργείᾳ ὄν. εἶτα τὸ πεφυκὸς πάσχειν. καὶ οὕτως ἀπὸ τοῦ ἐνεργείᾳ ὄντος, εἰς τὸ πεφυκὸς πάσχειν ἐγγίνεσθαι τὸ πάθος. Πλωτῖνος δὲ ἀπορεῖ, πῶς ἕτερον εἶδος αἱ φυσικαὶ δυνάμεις. εἰ γὰρ κατὰ τὰς δυνάμεις αἱ ποιότητες, οὐκ ἐφαρμόττει πάσαις τὸ τῆς δυνάμεως. ὥσπερ ἐν ἐνίοις εἴδεσι, περιέχει τῆς ποιότητος. Προσεκτέον. ὅτι πᾶσι μὲν τοῖς εἴδεσι τῆς ποιότητος, ἡ δύναμις προσήκουσα ἀποδέδεικται. καὶ τῷ ὅλῳ γένει συμπαρατείνουσα. πολλαχῶς δὲ λεγομένης τῆς δυνάμεως, διχῶς δὲ τοὐλάχιστον ἓν εἶδος ἀποδιδοὺς αὐτῆς τὸ κατ' ἐντελέχειαν, εἰκότως ἕτερον ἀντιδιαιρεῖ, τὸ κατὰ τὰ ἀτελῆ θεωρούμενον ἐπιτηδειότητα. ἥτις κατὰ τὸ δυνάμει νοεῖται, διττὴ καὶ αὐτὴ θεωρουμένη. ἡ μὲν, κατὰ τὴν τυχοῦσαν ἐπιτηδειότητα, καὶ ἐν πᾶσιν ὡς ἔπος εἰπεῖν θεωρουμένη. ἡ δὲ, κατὰ τὴν ἤδη προκοπὴν τινὰ ἐκ φύσεως λαβοῦσαν, ὥσπερ εὐαριθμήτοις ὑπάρχει. Ἀλλ' εἰ τὸ διακεῖσθαί φησι τὴν φύσει πυκτικὸν ποιὸν λεγόμενον, οὐδὲν ἡ δύναμις αὐτὴ προστεθεῖσα ποιεῖ. καὶ γὰρ ἐν ἕξεσι καὶ ταῖς διαθέσεσι ταῖς ἀποδοθείσαις ἴσω δύναμις. Προσεκτέον. ὅτι πρὸς μὲν τὸ ποιὸν εἶναι, οὐδὲν διαφέρει ἢ ἀπὸ ἕξεως, ἢ ἀπὸ διαθέσεως, ἢ ἀπὸ φυσικῆς ἐπιτηδειότητος λέγεσθαι. διὸ καὶ ὁ γενικὸς ποιὸς, κατὰ τὸ γένος τῆς ποιότητος, κοινῶς θεωρεῖται. τοῖς δὲ εἴδεσι διαφέρει καὶ ταῖς διαφοραῖς, πρὸς τὸ εἴδη εἶναι. ἤτοι καθ' ἕξιν, ἢ κατὰ διάθεσιν. ἅπερ ἤδη προσείληφε τὸ ἐκ φύσεως εἶναι. νῦν δὲ πρόκειται, οὐ περὶ ποιότητος ἁπλῶς εἰπεῖν, ἀλλ' εἴδη ποιότητος ἀπαριθμήσασθαι. οὐδὲ περὶ ποιοῦ, ἀλλὰ περὶ τινος ποιοῦ, τοῦ κατὰ τὴν φυσικὴν δύναμιν θεωρουμένου, ὥστε τὸ δυνάμει καὶ τὴν ἐπιτηδειότητα. ἀλλ' οὐ χεῖ τοῦ κατὰ τὴν ἕξιν ἢ τὴν διάθεσιν. Ἀλλὰ διαφέρει φησὶν ὁ κατὰ δύναμιν τοῦ κατ' ἐπιστήμην διοίσει, ἢ ποιοί. ἢ καθὸ μὲν ποιοί, οὐδὲν διοίσουσιν ἀλλήλων. ἐπειδὴ γὰρ αὐτοῖς πάρεστι τὸ γένος. καθόσον μὲν τοῖς εἴδε

ποιότητος διαφερουσῶν κατ' ἐνέργειαν, καὶ τοῦτο διοίσει ταῦτα ἀλλήλων. καὶ γὰρ αὐτῶν τῶν ἄλλων πάντων καὶ εἶδος ἑτερότης τῶν εἰδῶν, ταῖς εἰδοποιοῖς διαφοραῖς, ἀλλ' οὐ ταῖς γενικαῖς κοινότησι περιλαμβάνεται. Ἀλλ' οὐδὲ διαφοραὶ φησὶ ποιότητές εἰσιν αὗται. τὸ μὲν, μελετήσας ἔχει. ὁ δὲ, φύσει. ἀλλ' ἔξωθεν ἡ διαφορά. κατ' αὐτὸ δὲ τὸ εἶδος τῆς πυκτικῆς, πῶς. Πρὸς ὃ ῥητέον, ὅτι ἡ ἀπὸ τῆς μελέτης προσγινομένη προάγουσα τὴν φυσικὴν δύναμιν αὐτῷ ἐν ὑστέρῳ τὸ εἶδος προχωρεῖν, ἀθρόως αὐτῷ τελείαν παροῦσαν ἔχει τὴν ἕξιν, ἀλλ' ἡ ἐνοῦσαν παρὰ τὴν φυσικὴν κατασκευήν. εἴπερ ἡ μὲν, τελεία. ἡ δὲ, ἀτελής. ὥσπερ ὁ χαλκὸς ὁ ἐπιτήδειος πρὸς ἀνδριάντα κεχώρισται τοῦ ἀνδριάντος, οὕτω γὰρ καὶ ὁ πυκτικὸς τοῦ πύκτου διαφέρει. ἀλλ' αὐτῶν μὲν τῶν ποιῶν τῶν ἀπὸ τῆς τέχνης καὶ τῆς φυσικῆς δυνάμεως, διώρισται τὰ ὀνόματα. καὶ ὁ μὲν, πύκτης καλεῖται. ὁ δὲ, πυκτικός. αὐτῶν δὲ τῆς τέχνης αὐτῆς καὶ τῆς φυσικῆς δυνάμεως, συμπέπτωκε τὰ ὀνόματα. πυκτικὴ γὰρ ἄμφω καλοῦνται. διότι πολλὰ πράγματα οὐκ ὠνόμασται, κἂν ἄλλο καὶ ἄλλο εἶδος ᾖ. τὸ μὲν, ἀτελές. τὸ δὲ, ἐκ μελέτης καὶ τέχνης παραγινόμενον. ὁ δὲ γε Ἀριστοτέλης διακεῖσθαι λέγειν ἠξίου τὰ κατὰ δύναμιν. οὐ γὰρ τῷ διακεῖσθαί πως φησὶ λέγεται τὸ κατὰ δύναμιν. οὐχ ὅτι μὴ διάκεινταί πως κατὰ τὸ κοινότερον τῆς διαθέσεως σημαινόμενον, ἀλλ' ὅτι μὴ οὕτως διάκεινται, ὡς οἱ ἐξ ἀσκήσεως τέλειοι. ἔσται οὖν ὁμώνυμον τὸ διακεῖσθαι ἀπὸ τῶν φυσικῶν δυνάμεων, οὐ καθ' ὧν ἔχουσιν, ἀλλ' ἀφ' ὧν ἔχουσι παρονομαζόμενον. εἰ δὲ τοῦτο οὕτως ἔχει, θεωρεῖταί τις κατ' αὐτὸ τὸν λόγον τῆς ποιότητος τούτων διαφορά. καὶ οὐκ ἔξωθεν ἡ προσθήκη γίνεται τῶν ἐν δυνάμει πρὸς τὰς ἕξεις. ἀλλ' ἡ τὸ ἀτελὲς καὶ τέλειον, καὶ ἀμέριστον καὶ μεριστόν. καὶ αὐτὸ δεύτερον εἰς τὰς μεθέξεις τῶν εἰδῶν. καὶ ἀνάπαλιν ἐν ταῖς μεθέξεσι τῶν εἰδῶν θεωρούμενον. ταύτῃ διέστηκε ταῦτα ἀπ' ἀλλήλων. ταῦτα μὲν οὖν πρὸς ταύτην εἴρηται τὴν ἀπορίαν. Ἄξιον δὲ ἔτι μοι δοκεῖ ζητήσεως, πῶς τὸ ἀτελὲς καὶ τέλειον, εἴδει διεστήκασιν ἀλλήλων. εἰ γὰρ τοῦτο, ἐπειδὴ ἀτελὲς οὐ μόνον κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα, ἀλλὰ καὶ τὴν ἐκ ταύτης μεταβολὴν καὶ τὴν εἰς τὸ εἶδος προϊοῦσαν τὸ ἀτελές ἐστιν ἐν κινήσει τῇ ἐπ' αὐτὸ τὸ εἶδος θεωρούμενον, ἔσται καὶ ἐκεῖ εἰδοποιὸς ἡ διαφορά. ὅλως δὲ πῶς τὸ ἀτελὲς ἐν ἄλλῳ εἴδει τιθέναι δυνατόν. πρῶτον μὲν τοῦ εἴδους πανταχοῦ κατὰ τὸ τέλειον θεωρουμένου. τὰ γὰρ εἴδη τοῦ ζῴου διαιρούμενοι, ἄνθρωπον λέγομεν καὶ ἵππον. εἶτα διπλασιασθήσεται τὰ εἴδη οὕτως. καὶ καθ' ἕκαστον εἶδος, τὸ μὲν, τέλειον ἔσται. τὸ δὲ, ἀτελές. Μήποτε οὖν οὐχ ὡς ἀτελοῦς πρὸς τέλειον δεῖ τὴν ποιὰν τὴν διαφορὰν λαμβάνειν τὰ ἐν τῷ αὐτῷ εἴδει περιεχόμενα. οὐδὲ τὴν ἐπιτηδειότητα καὶ τὸ δυνάμει, ὡς ἀφ' ὧν ἔχουσι χαρακτηρίζοντες ἐν ἄλλῳ εἴδει τιθέναι, ἀλλ' ὡς αὐτοῦ τοῦ δυνάμει καὶ τοῦ τοιούτου ἀτελοῦς, κατὰ οἰκείαν τινὰ τὴν ποιὰν τὴν τελειότητα ἐν εἴδει ἀφωρισμένῳ ὄντος. ὅρῳ γάρ τινι καὶ ἡ ἐπιτηδειότης περιέχεται. καὶ οὐχὶ κατὰ τὴν ὁδὸν τὴν ἐπ' αὐτὸ τὸ εἶδος θεωρεῖται. ἀόριστος γὰρ ἐκείνη καὶ ἄπειρος, καὶ οὐ δυναμένη κατὰ τὸ εἶδος ἀφορίζεσθαι. ἡ μέντοι ἐν τῷ χαλκῷ πρὸς τὸν ἀνδριάντα ἐπιτηδειότης, ὅρος τίς ἐστι καὶ εἶδος τῷ τοῦ χαλκοῦ εἴδει συν-

ὑπάρχειν. διὸ καὶ ποιότης ἐστὶ, καὶ ποιοὶ κατ' αὐτὴν οἱ ἔχοντες λέγονται, κἂν μήπω τῇ ἐνεργείᾳ τελειωθῶσιν. Ἄλλοι δὲ τὴν φυσικὴν ταύτην δύναμιν ὡς τὸ δυνάμει τῆς ὕλης ἐκδεχόμενοι, ἀποροῦσι πῶς ποιότης ἐστὶν ἡ δύναμις τῆς ἀποίου ὕλης. καίτοι ἄλλη μέν ἐστιν ἡ φυσικὴ δύναμις, ἄλλο δὲ τὸ τῆς ὕλης δυνάμει. ἡ μὲν γάρ, προέμφασις τοῦ εἴδους ἐστίν. ἡ δὲ, στέρησις καὶ οὔπω ἐπιτηδειότης, ἀλλὰ καὶ ταύτης ἐπιλειπομένη. Ἀναμνησθῶμεν δὲ καὶ ὅτι φυσικὴν ταύτην δύναμιν εἶπεν ὁ Ἀριστοτέλης, τὴν ἤδη προηγουμένην, εἰς τὸ ῥᾳδίως τι ποιῆσαι ἢ παθεῖν. ὁ δὲ Εὔδωρος αἰτιᾶται, ὡς τῷ προτέρῳ ταὐτὸν ὂν τοῦτο τὸ εἶδος τῆς ποιότητος. αἱ γὰρ φυσικαὶ δυνάμεις, εἰ μὲν εὐμετακίνητοι τύχωσι, διαθέσεις ἔσονται. εἰ δὲ μόνιμοι, ἕξεις. τοῦτο δὲ οὐκ ὀρθῶς εἴρηται. τοῦ Ἀριστοτέλους ἐν μὲν τοῖς προτέροις, ἀρετὰς καὶ ἐπιστήμας λαβόντος. ἅπερ εἰ καὶ φύσει τις ἔχει, ἀλλὰ δεῖται καὶ τῆς ἐπ' ἄλλων διδασκαλίας καὶ μαθήσεως. ἐν δὲ τοῖς δευτέροις ἔταξε, τὰ μὴ δὲ διδασκάλου δεόμενα, ἀλλὰ φύσεως μόνης ἠρτημένα. διώρισται οὖν ἄμφω. τὸ μὲν, τῇ κατ' ἐνέργειαν τελειότητι. τὸ δὲ, τῇ εἰς ἐπιτηδειότητα παρασκευῇ. Ἄξιον δὲ ἐπιστάσεως εἶναι καὶ τοῦτό φασι. μήποτε πολλὰ διαφέροντα συλλαβὼν ὑπήγαγεν ὑφ' ἓν εἶδος τοῦτο τῆς ποιότητος. ἐπείγαρ εἰσὶν αἱ μὲν, ἐν τῷ ποιῆσαι δυνάμεις. αἱ δὲ, ἐν τῷ μὴ ῥᾳδίως παθεῖν. αὗται μὲν εἰκότως μένουσιν ἐν τῷ δυνάμεις εἶναι. αἱ δὲ κατὰ τὸ πάσχειν θεωρούμεναι, κατὰ ἀδυναμίαν μᾶλλον θεωροῦνται. πῶς οὖν ταῦτα τοσοῦτον ἀλλήλων διαφέροντα, εἰς ἓν τάξομεν. καὶ τὰς ἀδυναμίας ὁμοῦ ταῖς δυνάμεσι συναριθμήσομεν. πῶς δὲ ὁ Ἀριστοτέλης κατὰ δύναμιν ἢ ἀδυναμίαν, τοὺς οὕτως ποιοὺς ἐπονομάζει. τῶν γὰρ ἐναντίων δεκτικὸς εἴη ἄν τις κατὰ τὸ αὐτό. ἐναντίον γὰρ ἡ δύναμις τῇ ἀδυναμίᾳ. Ἢ οὐ τοῦ αὐτοῦ πρὸς τὸ αὐτὸ γίνεται ἡ ἐναντίωσις, ἀλλὰ πρὸς ἕτερον καὶ ἕτερον. οὐ γὰρ οὗ ἐστι δύναμις, τούτου καὶ ἀδυναμία. ἀλλὰ τοῦ μὲν ποιῆσαι, δύναμις. τοῦ δὲ παθεῖν, ἀδυναμία. καὶ τοῦτο ἀναγκαῖον. οὕτω γὰρ δύναμις ὑπάρχει τινός, τούτῳ καὶ ἀδυναμία παρακολουθεῖ τοῦ ἐναντίου. καὶ οὐ διώρισται ταῦτα χωρίς, ἀλλὰ συμφέρεται εἰς ταὐτὸ τοῖς λεγομένοις μόνοις διακρινόμενα, καὶ ταῖς ὑπὸ τὰ διαφέροντα τῆς ἐπινοίας ἀναφοραῖς. ὁ γὰρ πυκτικός, δύναμιν αὖ ἔχει τοῦ πλήττειν. καὶ αὐτὸς δυσπλήκτος ὤν, δύναται μὴ πλήττεσθαι. καὶ ἀδυναμίαν ἔχει πρὸς τοῦτο. Ἔτι δὲ οἶμαι ῥητέον, ὅτι καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν, ὑπὸ μίαν καὶ τὴν αὐτὴν τάττεται κατηγορίαν. καὶ αἱ δυνάμεις καὶ ἀδυναμίαι οὐ κωλύονται εἶναι τοιαῦται. εἴτε πρὸς τὸ ποιῆσαι, καὶ μὴ πρὸς τὸ παθεῖν. εἴπερ καὶ αἱ ἕξεις καὶ στερήσεις ἐν ταῖς αὐταῖς εἰσὶ κατηγορίαις. Ἔτι ἔστιν ἡ μὲν δύναμις τοῦ ποιῆσαι καὶ μὴ παθεῖν, ἐν τῷ ὑγιαίνοντι. ἡ δὲ ἀδυναμία τοῦ μὴ ποιῆσαι ἀλλὰ παθεῖν, ἐν τῷ νοσοῦντι. Ἀλλὰ πῶς ὁ Ἀριστοτέλης εἶπεν, ὅτι δρομικοὶ λέγονται οὐ τῷ διακεῖσθαί πως, ἀλλὰ τῷ δύναμιν ἔχειν τοῦ ποιῆσαί τι ῥᾳδίως. τὸ γὰρ μηδὲ ὅλως αὐτὰς διακεῖσθαι, ἄτοπον ὑπονοεῖν. ἔχουσι γὰρ τὸ πῶς ἔχοντες διάθεσιν. ἢ κατὰ μὲν τὴν τοῦ εἴδους διάθεσιν τοῦ τελείου οὐ διάκεινταί πως. οὔτε ὡς εὐκίνητον, οὔτε ὡς μόνιμον ἔχοντες τὴν διάθεσιν. κατὰ δὲ τὴν ἐπιτηδειότητα, διάκεινται. πρὸς ἐκεῖνο οὖν

τὸ σημαινόμενον λέγοντες μὴ διακεῖσθαι. Ἢ μᾶλλον ῥητέον, ὅτι οὐ κατὰ τὸ διακεῖσθαι ὅλως τὸ τοιοῦτον εἶδος χαρακτηρίζεται, κἂν διακείμενον πάντως τυγχάνῃ, ἀλλὰ κατὰ τὸ ῥᾳδίως ἔχειν τὴν ἐπιτηδειότητα τοῦ μὴ ποιῆσαί τι ἢ μὴ παθεῖν. Ἀλλ' εἰ ὁ πυκτικὸς ποιός, πῶς οὐχὶ καὶ κατὰ τοῦτον τὸν λόγον καὶ ὁ ποιητικὸς ἔσται ποιός. ἀλλὰ δοκεῖ πρός τι εἶναι τὸ ποιητικόν. Ἢ εἰ μὲν κατὰ δύναμιν λέγοιτο τὸ ποιητικόν, ποιότης ἂν εἴη κατὰ τὸ δεύτερον εἶδος τῆς ποιότητος τὸ ἐν τῇ δυνάμει θεωρούμενον, ὥσπερ καὶ τὸ πυκτικόν. εἰ δὲ κατ' ἐνέργειαν, καθ' ὅσον μὲν διατίθησι τὴν ψυχήν, ποιότης ἂν εἴη, καὶ ἐν τῷ πρώτῳ τῆς ποιότητος εἴδει ταχθήσεται. καθὸ δὲ ποιεῖ, οὐχ ὑπὸ τὰ πρός τι, ἀλλὰ μᾶλλον ὑπὸ τὸ ποιεῖν ἀναχθήσεται. ἐπὶ δὲ τῶν ἀψύχων, οὐκ αὐτῶν αἱ κινήσεις, ἀλλὰ τῶν ἔξωθεν προσιόντων, τὸ συντυχὸν ἀπετέλεσαν. οὐ περὶ εἴδους ἦσαν ἐκεῖναι ποιητικαί. τὸ δὲ ῥᾴδιον, οὐ τὸ κοινῶς ἐπιτήδειόν ἐστιν ὡς εἴρηται πρότερον, οὐδὲ τὸ πω τὸ ἔχειν τοῦτο ῥᾳστώνην εἰς ἀπεργασίαν, ἀλλὰ τὸ προηγουμένην ἔχον τινὰ εἰς τὸ πρόσω. αὕτη δέ ἐστιν ἡ πρὸ τοῦ εἴδους καταδεκτικὴ τοῦ τελείου λόγου. καὶ οἷον μέρος μέν τι αὐτοῦ παρασπασαμένη. τὸ δὲ ὅλον, οὔπω ἔχουσα. Ἀλλὰ διὰ τί τὴν τοῦ παθεῖν τι, οὐκέτι δύναμιν ἀλλ' ἀδυναμίαν ἔφη εἶναι. Ἢ αὐτὸς ἐν τοῖς μετὰ τὰ φυσικὰ τοῦτο διέλυσε. διελὼν τὰ μέν, ἐν τῷ ποιεῖν. τὰ δέ, ἐν τῷ παθεῖν. καὶ τῷ μὲν ποιεῖν, τὸ ἐν ἑτέρῳ ἢ ἕτερον ποιεῖν ἀποδούς. τῷ δὲ πάσχειν, τὸ ὑφ' ἑτέρου πάσχειν, ἢ ᾗ ἕτερον. κοινότερον μέντοι δύναμις ἐπ' ἀμφότερα ταῦτα διατείνει. ἰδίως δὲ τὴν ἀδυναμίαν ἀπολογίζεται εἶναι ἐν τῷ πάσχειν. ἀλλὰ πῶς τὴν ἀδυναμίαν ἐν τῷ πάσχειν ἔθετο. εἰ γάρ τις ἐπαλλάττων προσβιάζοιτο τὴν τοῦ πάσχειν δύναμιν ἀδυναμίαν εἶναι τοῦ ποιεῖν, ὥσπερ τὴν τοῦ ποιεῖν δύναμιν, ἀδυναμίαν εἶναι τοῦ πάσχειν, ἐξεῖναί τι ἀμφισβητεῖν. κοινότερον μὲν ταῦτα ἐλέγετο ἀπὸ τῶν ἑτέρων ἐπὶ τὰ ἕτερα. κυρίως μέντοι ἡ μὲν δύναμις, ἐπὶ τοῦ ποιῆσαί τι ἢ μὴ παθεῖν ἁρμόττει. ἡ δὲ ἀδυναμία, ἐπὶ τοῦ παθεῖν. τῶν μὲν γὰρ βελτιόνων, εἰσὶν αἱ δυνάμεις, ὧν καὶ ἡ φύσις ἐξ ἀρχῆς. τῶν δὲ χειρόνων, αἱ ἀδυναμίαι. Ἀλλὰ εἰ αἱ ἀδυναμίαι στερήσεις, αἱ δὲ στερήσεις οὐκ ἔχονται, πῶς οὖν ἔφη ἔχειν ἀδυναμίαν τοῦ πάσχειν. Ἢ τὸ ἔχειν ἀδυναμίαν καταχρηστικώτερον εἴρηται, ἀντὶ τοῦ ἐστερῆσθαι δυνάμεως. ἢ ἐπειδὴ σύνεισιν αἱ ἀδυναμίαι ταῖς δυνάμεσιν. ἡ γὰρ ὑγεία, δύναμιν ἔχει τοῦ ποιῆσαι τὰ ὑγιεινά. καὶ ἀδυναμίαν, τοῦ παθεῖν τὰ νοσώδη. διὰ τοῦτο οὐδὲν ἄτοπον ἔχεσθαι καὶ τὰς ἀδυναμίας ὡς συνυπαρχούσας ταῖς δυνάμεσιν. Ἀλλὰ πῶς τὸ μαλακὸν κατὰ ἀδυναμίαν ἀφωρίσατο τοῦ μὴ διαιρεῖσθαι, εἴπερ ἡ μὲν ἀδυναμία, στέρησίς ἐστι. τὸ δὲ μαλακόν, εἶδός τι ἐστίν, ὥσπερ καὶ τὸ σκληρόν. Ἢ δύναται τὸ αὐτὸ ὡς εἶδος θεωρεῖσθαι, ὅταν κατὰ τὸ εὐδιαίρετον λαμβάνηται. καὶ ὡς ἀδυναμίαν τοῦ μὴ διαιρεῖσθαι. μετὰ δὲ τὰς ἐνστάσεις καὶ διαλύσεις, καιρὸς ἂν εἴη καὶ ἐμοὶ τὰς νοερωτέρας τῶν ἐξηγητῶν ἐπιβολάς, περὶ τῆς φυσικῆς ταύτης δυνάμεως παραγράφειν, τίς τέ ἐστι λέγοντι, καὶ ἐν τίσι θεωρεῖται τῶν ὄντων. ἔστι δὲ καθόλου τοῦτο τὸ γένος πᾶσιν ὑπάρχον τοῖς ὁπωσοῦν τελειουμένοις. οὐ γὰρ ὅλως ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον παραγίνεταί τι, εἰ μὴ μέση δύναμις παρείη ἐπιδιδοῦσα μὲν τὸ ἐνδεές, εἰς τελείωσιν. δεχομένη δὲ τὴν ἀποπλήρωσιν ἀπὸ τοῦ τελειοτάτου.

συναγωγὸς οὖν ἐστι τῶν ἄκρων, καὶ ὁδὸν παρέχει τὴν ἀπὸ τῶν ὑποδεεστέρων ἐπὶ τὰ κρείττονα. καὶ παρασκευὴν ἐντίθησι καὶ ἀφορμὴν εἰς τελείωσιν. μοῖραν τέ τινα προείληφεν ἀπὸ τῆς ἐνεργείας. καὶ οἷον ἔλλαμψίς τίς ἐστιν ἀπὸ τῆς τελείας οὐσίας καὶ ἕξεως. καὶ προθερμαντικός τις ὡς ἐλλυχνίου πρὸ τῆς τοῦ πυρὸς θερμότητος. καὶ ἔνδεια δὲ μετρία μετουσία ἀπομεριζομένη κατὰ μέγα, καὶ οὐχ ὅλη παροῦσα, νοείσθω ἡ τοιαύτη δύναμις. τοιαύτη δὲ οὖσα, ἐν ταῖς ψυχαῖς θεωρεῖται ταῖς μερικαῖς. ὅταν γὰρ ὁ τῆς ψυχῆς νοῦς ἀπὸ τοῦ χωριστοῦ τελειοῦται, δύναμίς ἐστιν ἡ προάγουσα τὸν νοῦν τῆς ψυχῆς ἐπὶ τὸ νοερὸν εἶδος καὶ τὴν κατ' ἐνέργειαν νόησιν. διαφανὴς δὲ μάλιστα αὕτη κατὰ τὴν φύσιν. τὰ γὰρ ἔργα τῆς φύσεως, ἐν κινήσει ὄντα. ἥτις ἐκ τῆς δυνάμεως ταύτης, εἰς ἐντελέχειαν ὁδεύει. καὶ ἐν μεταλήψει λέγων, ἥτις οὐκ ἐν ἄλλῳ παραγίνεται, ἢ ἐν τῷ δυναμένῳ δέχεσθαι. οὐ γὰρ πᾶν εἶδος εἰς τὸ τυχὸν ἐγγίνεται, ἀλλὰ τὸ δυνάμενον παραγίνεσθαι εἰς τὸ ἐπιτηδείως ἔχον ὑποδέχεσθαι. καὶ ἐν τῇ ψυχῇ δὲ καθόσον φύσεως ἐφάπτεται τοῦ ἐνεργείᾳ νοῦ ἀφισταμένη, κατὰ τοῦτο τὴν δύναμιν θεωρεῖται. ὀρθῶς ἄρα λέγεται, ὡς ἡ δύναμις αὕτη διαφερόντως τὴν τῆς φύσεως οὐσίαν συμπληροῖ. καὶ διὰ τοῦτο εἰκότως ἐνταῦθα τὸ ὅλον τοῦτο, φυσικὰς δυνάμεις τὰς δευτέρας ποιότητας ἀφορίζεται. ὡς τῆς τε δυνάμεως ταύτης ἐν τῇ κυρίως ἀφωρισμένης, καὶ οὐδὲ ἄλλως νοουμένου τοῦ ἑτέρου ἢ ὅπου ἐστὶ θάτερον. καὶ ἐν παντὶ δὲ τῷ κόσμῳ εἴ τις προάγοιτο γένεσις, οὐκ ἄλλως ἢ διὰ τῆς δυνάμεως εἰς οὐσίαν προάγεται καὶ ἀποτελεῖται. ἥ τε ὕλη ἐν τῷ δέχεσθαι τὸ εἶδος διὰ δυνάμεως, εἰς αὐτὸ παραγίνεται. αὕτη δέ, ἢ δι' ἑαυτῆς ἱκανή ἐστι προσβιάζεσθαι, ὡς ἐπὶ τῶν αὐτοκινήτων ψυχῶν, ἢ ῥᾳδίως εἰς τὸ τέλειον ὑπὸ τῆς ἐνεργείας προάγεται. ἀλλὰ τοιαύτη μέν τις καὶ ἐν τοιούτοις ἡ δύναμις τὴν ἑαυτῆς ὑπόστασιν ἐκληρώσατο. ἐπιστημονικώτερον δὲ ἂν εἴη καὶ τὰς δόξας ἀναζητῆσαι, τὰς περὶ τῆς τοιαύτης δυνάμεως τῆς κατ' ἐπιτηδειότητα. εἴτε ἐν ποιότησιν αὕτη φυσικαῖς θεωρεῖται, εἴτε ἐν οὐσίαις, εἴτε ἐν ἄλλῳ ὁτῳοῦν ἑτέρῳ γένει τῶν ὄντων. Ἆρ' οὖν ἀπὸ τῆς ὕλης τὴν δύναμιν, καὶ ἡ δύναμις αὕτη ὥς τινες οἴονται, ἢ αὐτὴ ἡ ὕλη τὴν δύναμιν ὡς ἄλλοις δοκεῖ. Ἢ τοῦτο ἄτοπον. οὔτε γὰρ παρέχεται τινὰ αἰτίαν ἡ ὕλη ἀφ' ἑαυτῆς ἀσθενὴς οὖσα πάντη, οὔτε οὐσίαν ἐνδίδωσιν ἐκπεπτωκυῖα τοῦ ὄντος. οὔτε δυνάμεως ἀρχήν, παντελῶς οὖσα ἀδύναμος, οὔτε ποιότητος ἀφορμήν, ἄποιος οὖσα καθ' ἑαυτήν. ἀλλ' οὔτε ἔχει τι γόνιμον ἐστερημένη παντὸς καὶ ἐν ἐνδείᾳ οὖσα καὶ πενίᾳ καθ' ἑαυτήν. ἀλλ' οὐδὲ ἡ σχέσις ὕλης τὴν δύναμιν τῆς τοιαύτης ἀσχέτου. οὐδὲ πλεονασμὸς τοῦ πρώτου ὑποκειμένου, τοῦ μηδεμίαν ἔχοντος διαφορότητα ἐν ἑαυτῷ. οὐδὲ ἔκτασις, ἢ συστολή, ἢ μάνωσις, ἢ πύκνωσις, τῆς ἀπεστερημένης πάσης κινήσεως ὕλης. οὔτε ἄλλο οὐδὲν τῶν περὶ τὴν ὕλην ἐπινοουμένων αἴτιόν ἐστι τῆς τῶν δυνάμεων ὑποστάσεως. εἴδους γὰρ θεωρεῖται προϋποκατασκευή τις ἡ δύναμις αὕτη, οὐκ ἀποίων τινῶν σχέσις. ἀλλὰ μήν, οὐδὲ τὸ εἶδος καθόσον ἐστὶν εἶδος καὶ ἕστηκεν ἐν τῇ οἰκείᾳ τελειότητι καθ' ἑαυτό, οὐκ ἂν ταύτῃ γε τῇ οὐσίᾳ παράγει τὴν δύναμιν. τέλειον γὰρ καὶ ὅλον ὑπάρχον ἐν ἑαυτῷ, προέχει τῶν κατὰ ἀπομερισμὸν ἐνδιδομένων ὑφισταμένων δυνάμεων.

λείπεσθαι ῥᾳδίων ἀπὸ τῆς συνόδου τούτων, ὕλης τε καὶ εἴδους, ἢ τῶν ἀνάλογον ἐχόντων, πρὸς
ὕλην καὶ εἶδος ὑφίστασθαι τὴν τοιαύτην δύναμιν. ἐν οὖν τῇ ὕλῃ συνίσταται ἡ δύναμις
ἀπὸ τοῦ εἴδους, κατὰ τὴν ἅμα γε ἐπὶ τῶν λόγων μετουσίαν. ὅταν προΐῃ εἰς ἀπ' ἄλλων πρό-
δρομος ἐπὶ τὴν θειότητα. ὡς εἶναι μὲν τὴν μετουσίαν ὑποδοχὴν τῆς ἕξεως. ἡ δὲ ὑπο-
δοχὴ τῆς ἕξεως, προσφέρεται τὰς ἐνεργείας. καὶ τὸ σῶμα δὲ, καὶ ἡ ψυχὴ τὴν ἐπὶ τὴν θει-
ότητα δέχοιτο ταύτην, ταῦτα πάντα σώζεται πρὸς τὴν ὕλην ἀναλογίαν. καθ' ἣν
πρὸς τὰ τελειότερα ἑαυτῶν ὡς πρὸς εἶδος ὄντα, τὴν ὑπομένη καὶ αὐτὴν τὴν πρώτην
ἑαυτῆς ὑπόστασιν, ἐπὶ τὴν θειότητα ἴσχει πρὸς τὴν τελειοτέραν μετουσίαν. τὰ γὰρ
ἐν γενέσει ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον προκόπτοντα, τὴν τῆς ὑποδοχῆς τῆς ἕξε-
ως πρόσοδον δεξάμενα. εἶτα τῆς τελειοτέρας μεθέξεως εὐμοιρήσαντα. τοῦ μὲν
μετεχομένου, μένοντος. τοῦ δὲ μετέχοντος, ὅλον ἅμα τὸ εἶδος μὴ δυναμένου καταδέ-
ξασθαι, ἀλλὴν πρὸς ἄλλης ἀεὶ μέθεξιν ἀτελεστέραν πρὸς τελειοτέρας ὑποδέχεσθαι.
κατὰ ἀναλογίαν δέ τινα καὶ ἐπὶ τῶν ζώων ἀπὸ τῶν τοῦ σώματος δυνάμεων. αἵτινες
νοεραί τε εἰσὶ καὶ καθαρῶς ἀσώματοι, τὴν ἐπὶ τὴν θειότητα ταύτην θεωρήσωμεν.
σαφὲς οὖν ἐκ τούτων γέγονεν, ὡς καὶ περὶ ψυχὴν καὶ περὶ σῶμα καὶ περὶ τὸ κοινὸν ἑκάτερ-
ον ἐνυπάρχουσι. καὶ ὅπως ἔν τε τῷ ποιῆσαι καὶ ἐν τῷ παθεῖν ἢ μὴ παθεῖν ἁπλῶς,
οὕτως θεωροῦνται κατὰ κοινήν τινα μετουσίαν. οὐ μὴν, ἀλλὰ καὶ τὸ τῆς ἐπαμφο-
τερότης αὐτῶν πρός τε δύναμιν καὶ ἀδυναμίαν, ἀπὸ τοῦ αὐτοῦ ῥᾳδίως καταφαίνεται.
διότι γὰρ συμμίγνυνται τὰ ὡς ἐν ὕλης τάξει ὑποκείμενα πρὸς τοὺς ἀπὸ τῶν λόγων
ἀφορισμοὺς, διὰ τοῦτο ἡ ἀπὸ τοῦ λόγου κατιοῦσα μοῖρα, ἀμφίβολος γίνεται,
πρός τε δύναμιν καὶ ἀδυναμίαν ἑκατέρωσε ἐπικλίνουσα. καὶ τὰ ἄλλα δὲ πάντα τὰ εἰ-
ωθότα λέγεσθαι περὶ τῆς τοιαύτης φυσικῆς τάξεως τῶν δυνάμεων, πρόδηλα τοῖς δι-
ηκριβωμένοις αὐτὰ τῆς ἐπιστήμης μετιοῦσιν. ἔστι δὴ καὶ μεταβολὴ θεωρεῖται
κατὰ τὰς φυσικὰς δυνάμεις. ἐν γὰρ τῷ προάγεσθαι καὶ ὁδεύειν, ἐπὶ τὸ τέλειον αὐταὶ θε-
ωροῦνται. καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον ἐν ταῖς δυνάμεσιν ὑπάρχει ταύταις, διὰ τὸ
προβιβάζεσθαι ἀεὶ τὰς ἐπὶ τὴν θειότητας τῆς φύσεως. ἐπιστάσεως δ' ἂν εἴη ἄξι-
ον, μήποτε ταῦτα μὲν περὶ τὰ σύνθετα καὶ μετεχόμενα τῶν δυνάμεων πρώτως ὑφέ-
στηκεν. αὗται δὲ αἱ δυνάμεις, οὐδὲν τοιοῦτον πάσχουσιν. ἤδη γὰρ ἔχουσί τινα ἀπὸ τῶν
εἰδῶν μετουσίαν. ἢ μᾶλλον τὰ μετέχοντα τῶν δυνάμεων, ἀλλὰ καθ' αὐτὰ ἀδύνα-
τα ὄντα, οὐδὲ μεταβολὴν τὴν ἐπὶ τὸ τέλειον, οὔτε προβιβασμὸν ἐπιδέχεται.
κατὰ δὲ τὰς φυσικὰς δυνάμεις, ἔχει ταῦτα. αἵτινες διά τε τὴν ὑλικὴν ἔνδειαν, καὶ
τὴν πρὸς τὸ τέλειον εἶδος ἀνάτασιν, τόν τε προβιβασμὸν τοῖς μετέχουσιν
ἑαυτῶν παρέχονται, καὶ τὴν ἐπὶ τὸ τέλειον μεταβολὴν, καὶ τὴν κατὰ τὸ μᾶλλον
καὶ ἧττον κίνησιν. κατὰ τὸ ζωτικὸν μᾶλλον τῶν μετεχομένων λόγων, ἢ περὶ κατὰ
τὸ εἰδητικὸν ἀφοριζθεῖσαι διὰ τὴν κίνησιν. κατὰ δὲ τὸν αὐτὸν εἱρμὸν τῆς ἀκρι-
βοῦς θεωρίας, καὶ περὶ τοῦ μαλακοῦ καὶ σκληροῦ, δεῖ ποιήσασθαι λόγον, ὅ πόθεν
ταῦτα γίνεται πρώτως, ἄρα διάστασις. ἡ μὲν, στερρά. ἡ δὲ ἀραιοτέρα, τὸ σκληρὸν

καὶ μαλακὸν ἐποίησε. καὶ πύκνωσις καὶ μάνωσις. ἢ κενοῦ πολλοῦ ἀπόληψις. ὅπου δὲ συνίζησις καὶ ἀποπλήρωσις τῶν κενωμάτων, τὸ διάφορον ἐν ἑκατέροις παρέχει. ἢ ὕλης πλεονασμὸς καὶ ἔνδεια, ποιεῖ τὸ μὲν, σκληρόν. τὸ δὲ, μαλακόν. ἢ πάντα τὰ τοιαῦτα ἐπισυνημμένην κίνησιν ποιεῖ τὴν τῶν κατὰ λόγον διαφέρον τὴν ἰδιότητα. ὥσπερ οὖν ἐπιπρόσθησις τῆς δυνάμεως καὶ μὴ δυναμένης ἀνέχειν ἑαυτὴν, ἡ ἀντίτυπος σκληρότης ὑφίσταται. ἡ δὲ τοῦ μαλακοῦ, καὶ ἐν τῷ ἀνέχειν τὴν δύναμιν ἑαυτὴν καὶ κουφίζειν μετέωρον οὕτως ἀπολεπτύνει, καὶ ἁπαλωτέραν τὴν σύστασιν ἀπεργάζεται. ἀλλ' οὕτως ἂν τὸ ἐναντίον εἴη συμβαῖνον. ἢ ὅπερ ἀριστοτέλης βούλεται. οὐ γὰρ ἔτι τὸ μὲν, σκληρὸν κατὰ δύναμιν. τὸ δὲ, μαλακὸν κατὰ ἀδυναμίαν ἔσται, ἀλλὰ τοὐναντίον. ἡ μὲν ἀνέχουσα ἑαυτὴν λεπτότης, ἐν δυνάμει ἔσται τοῦ ἑαυτὴν ἀπαίρειν. ἡ δὲ σκληρότης, ἐν ἀδυναμίᾳ τοῦ αὐτοῦ τούτου. βέλτιον οὖν ἀντὶ τούτου κατὰ τὴν συνοχὴν ἤτοι ὑπερβάλλουσαν ἢ ἐλλείπουσαν, τὸ διάφορον αὐτῶν ἀπολογίζεσθαι. τά τε γὰρ ἄλλα, τούτῳ συμφωνεῖ, καὶ τὸ λέγεσθαι τὸ μὲν σκληρὸν, δύναμιν ἔχειν τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι. τὸ δὲ μαλακὸν, ἀδυναμίαν τοῦ αὐτοῦ τούτου. τὸ γὰρ δυσδιαίρετον ἢ εὐδιαίρετον, κατὰ τὸ τῆς συνοχῆς ὑπερβάλλον ἢ ἐλλεῖπον συνίσταται. τὸ δὲ αὐτὸ ἄν τις καὶ κατὰ τὴν τοῦ εἴδους μᾶλλον ἢ ἧττον ἐπικράτειαν ἀπολογίσαιτο. σκληρὸν μὲν τὸ τοῦ εἴδους ἀντεχόμενον μᾶλλον. μαλακὸν δὲ, τοὐναντίον ἀφοριζόμενος. μήποτε δὲ κατὰ λόγους διαφόρους ἑκάτερον τούτων ἀποτελεῖται. καὶ κατὰ εἰδῶν τελείαν ἀντίθεσιν. ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρόν. καὶ τὸ γλυκὺ καὶ τὸ πικρόν. καὶ τὸ πυκνὸν καὶ μανόν. εἰ γὰρ πᾶν μὲν τὸ κατὰ φύσιν ἔχον, τελείαν ἔχει τοῦ οἰκείου εἴδους ἀντίληψιν. ἔστι δὲ τινα μαλακὰ κατὰ φύσιν, ὥσπερ τινὰ ὅλα καὶ φυτὰ, καὶ ἐν τοῖς τῶν ζῴων μορίοις ὁ πνεύμων, πῶς ἂν εἴη κατὰ ἔλλειψιν εἴδους τὸ μαλακὸν ἀφοριζόμενον. Πῶς οὖν ὁ ἀριστοτέλης τὸ μαλακὸν κατὰ ἀδυναμίαν θεωρεῖ τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι. ὥσπερ καὶ τὸ νοσῶδες κατὰ ἀδυναμίαν, τοῦ μὴ πάσχειν τι ῥᾳδίως ὑπὸ τῶν τυχόντων. τὸ γὰρ νοσῶδες αὐτόθεν κατὰ στέρησιν ὑφίσταται καὶ ἔλλειψιν τοῦ εἴδους. καὶ οὐ κατὰ εἶδος ἀντίθετον. Μήποτε οὖν διττὸν εἶδος ἀδυναμίας διὰ τούτων ἐνδείκνυται. ἓν μὲν, τὸ κατὰ στέρησιν, ὥσπερ τὸ νοσῶδες ἀδυναμίαν ἔχει τοῦ μὴ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων. οὗ δύναμιν εἶχε τὸ ὑγιεινόν. τὸ δὲ κατὰ εἶδος ὑφεστώς, ὥσπερ τὸ μαλακὸν, ἀδυναμίαν ἔχει τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, οὕτως τὸ σκληρὸν ἀδυναμίαν ἔχει τοῦ ῥᾳδίως διαιρεῖσθαι. ὥσπερ δὲ χεῖρον ἐν τῇ ἀντιθέσει τὸ μαλακὸν, κατὰ τὴν ἀδυναμίαν ἀφωρίσθη. ἆρα οὖν καὶ τὸ ὑγιεινὸν ἀδυναμίαν εἴποιμεν ἔχειν τοῦ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων. ἢ οὐκ ἄν τις ἀδυναμίαν καλέσειε τὸ, διὰ δυνάμεως ὑπερβολὴν ἀπόν. τὸ μὲν γὰρ σκληρὸν, ἅτε μὴ ἔχον τὰ τῷ μαλακῷ προσόντα εἴδει ὄντι, οὐδὲν ἄτοπον ἀδυναμίαν ἔχειν τὴν κατὰ ἑτερότητα. τὸ δὲ ὑγιεινὸν μὴ ἔχον τὰ τοῦ νοσώδους κατὰ στέρησιν ὑφεστηκότα, οὐκ ἂν λέγοιτο ἀδυναμίαν ἔχειν. ὅπως δὲ ἂν ἔχοι, δῆλον ἐστιν. ὅτι τοῦ αὐτοῦ ἐστιν ἥ τε δύναμις καὶ ἡ ἀδυναμία. τοῦ γὰρ μὴ ῥᾳδίως διαιρεῖσθαι, δύναμις μὲν τὸ σκληρὸν, ἀδυναμία δὲ τὸ μαλακόν. ὥσπερ οἶμαι καὶ τοῦ ῥᾳδίως διαιρεῖσθαι ἀνάπαλιν. οὐκ ἐκ ταυτομάτου δὲ ὁ ἀριστοτέλης ἐν τῷ τέλει τῶν τοιούτων δυνάμεων τοιαῦτα παραδείγματα τέθεικεν,

ἀλλὰ δὴ βουλόμενος καὶ τὴν τάξιν αὐτῶν παραδηλῶσαι, ὅτι ἔσχαται ἐν τῇ φύσει τῶν δυνάμεων οὖσαι, τὰ ἔσχατα τῶν ὄντων διεκληρώσαντο. Τρίτον δὲ γένος ποιότητος, παθητικαὶ ποιότητες καὶ πάθη. ἕως τοῦ, ὥστε πάθη μὲν λέγεται τὰ τοιαῦτα. ποιότητες δὲ οὔ. Γένος τρίτον πάλιν λέγει ποιότητος. ὡς εἴδεσι τῷ γένει κεχρημένος. ἢ καὶ κυρίως γένος ἐστὶ πάν. καὶ γὰρ εἰ μὴ τὸ ἀνωτάτω γένος ἐστὶν, ὥσπερ ἡ ἁπλῶς ποιότης ἢ τὸ συμβεβηκός, ἀλλὰ καὶ αὐτὸ γένος, ὡς εἴδη οἰκεῖα διαιρούμενον. γένος δὲ τῶν ὑπαλλήλων λεγομένων γενῶν. εἰς δύο διαιρεῖται τὸ τρίτον τοῦτο γένος. εἴς τε τὰς παθητικὰς ποιότητας καὶ τὰ πάθη. οἷς κοινὸν μέν ἐστι τὸ ποιὸν ὁπωσοῦν. ποιὰ γὰρ καθ' ἑκάτερον λέγεται τὰ ἔχοντα, καὶ ἔτι μέντοι τὸ πάθος. κοινὸν δὲ τὸ ἐν ἑκατέρῳ τούτων διαφόρως θεωρεῖσθαι τὸ πάθος. ἢ ὡς πάθος ἐμποιοῦν τῇ αἰσθήσει, ὥσπερ ἡ γλυκύτης πάθος τι κατὰ τὴν γεῦσιν ἐμποιεῖ, καὶ ἡ θερμότης κατὰ τὴν ἁφήν. ἢ ὡς ἀπὸ πάθους ἐγγινόμενον, ὥσπερ ὠχρότης τοῖς φοβηθεῖσι, καὶ ἔρευθος τοῖς αἰδεσθεῖσιν ἐγγίνεται. ἰδία δὲ τῆς παθητικῆς ποιότητος καὶ τοῦ πάθους διάκρισις, ἣν ἐφεξῆς ὁ Ἀριστοτέλης ἐπάγει. καὶ γὰρ ὅσα μὲν ἀπὸ δυσκινήτων παθῶν καὶ παρωνύμως τὴν ἀρχὴν εἴληφε, παθητικαὶ ποιότητες λέγονται. ὥσπερ ἡ κατὰ φύσιν ὠχρότης, ἢ μελανία, ἢ διὰ νόσον μακρὰν καὶ καύματος συνεχείας γενόμεναι. ὠχρίαι γὰρ οὗτοι καὶ μέλανες, ὥσπερ οἱ κατὰ φύσιν λέγονται. ὅσα δὲ ἀπὸ ῥᾳδίως διαλυομένων, καὶ ταχὺ ἀποκαθισταμένων ἐστὶν, ὥσπερ ἡ ἀπὸ φόβου ὠχρότης, ἢ τὸ ἀπὸ αἰδοῦς ἔρευθος, ταῦτα πάθη μέν ἐστι. καὶ κατὰ τοῦτο ὁπωσοῦν ποιοὶ οἱ μετέχοντες, καθόσον πεπόνθασιν. ἐρυθριάσαι γοῦν καὶ ὠχριάσαι λεγόμενοι τοιοῦτοι. οὐ μέντοι ποιοί. ποιὰ γὰρ τὰ πάθη ταῦτα ἐστι. διὸ οὐδὲ παρωνύμως λεγόμενα ὠχρίας ἢ ἐρυθρίας τοὺς τοιούτους, ἀλλ' ὅτι πεπόνθασι μόνον. ὅτι γὰρ ὠχρίασαν ἢ ἠρυθρίασαν, ταύτῃ πως μετέχουσι τῆς ποιότητος. οὐ μέντοι ὅτι ποιοὶ κατὰ ταῦτα γεγόνασι. καὶ ἐπὶ τῆς ψυχῆς δὲ τὸ ἀνάλογον. παθητικαὶ μὲν λέγονται ποιότητες, ἥτε κατὰ φύσιν ὀργὴ, καὶ πρᾳότης, καὶ ἐν ἕξει γενόμεναι. ποιοὶ γὰρ κατὰ ταύτας, ὀργίλοι καὶ πρᾶοι λέγονται οἱ ἔχοντες. πάθη δὲ, τὰ ἀπό τινων ἐπ' ὀλίγον συμβαίνοντα, ὡς ὁ ἀπὸ λύπης ὀργισθείς. οὐ γὰρ λέγεται ὀργίλος ὁ τοιοῦτος, ἀλλ' ὅτι ὠργίσθη μόνον. ἡ μὲν οὖν τῶν λεγομένων ἔννοια, τοιαύτη. πάντως δέ τις καὶ ἐνταῦθα ἐπιζητήσειε, πῶς πρότερον μὲν τὴν διάθεσιν καὶ τὴν ἕξιν ἐχαρακτήριζε τῷ εὐμεταβόλῳ τε καὶ δυσμεταβόλῳ. νῦν δὲ τούτοις αὐτοῖς τὰ πάθη διακρίνει, καὶ τὰς παθητικὰς ποιότητας. καὶ εἴρηται μὲν καὶ ἐν ἐκείνοις τινὰ πρὸς ταύτην τὴν ζήτησιν. ὅτι ἐκεῖ μὲν ἕξεις καὶ διαθέσεις τὰς ἐκ διδασκαλίας καὶ ἔξωθεν ἐγγινομένας παραδίδωσιν, ὡς δυσκινήτους τε καὶ εὐκινήτους τελειότητας. ἐνταῦθα δὲ παθητικὰς ποιότητας καὶ πάθη, τὰ φύσει. εἰ δέ τῳ μὴ ἀρκεῖ ταῦτα, λεγέσθω καὶ νῦν συντόμως. ὅτι ἡ θερμότης καθὸ μὲν διατίθησιν ὁπωσοῦν τὸ ὑποκείμενον, διάθεσις λέγεται. καθὸ δὲ μόνιμον ἔχει τὴν διάθεσιν, ἕξις καλεῖται. καθὸ δὲ ἀπό τινος ποιήσαντος, ὃ ἐπιπολαίως ἐνεγένετο, πάθος λέγεται. καθὸ δὲ δυσαποίστως καὶ μονίμως ἐνεγένετο τὸ πάθος, παθητικὴ λέγεται ποιότης. ἄμφω δὲ ταῦτα, κατὰ πάθος θεωρεῖται, ὡς ἀπὸ πάθους γενόμενα καὶ ὡς πάθος ταῖς αἰσθήσεσιν ἐμποιοῦντα. καίτοι ἄμφω γὰρ τὸ πάθος θεωρητέον ἐν αὐτοῖς. ὥστε ἡ θερμότης ἢ πρόσκαιρος εἴη, τὸ

μὲν ἔχοντος σώματος καὶ ἐπάγοντος τῷ ἄλλῳ, διάθεσις ἂν εἴη. τὸ δὲ θερμαινόμενον οὕτως, ὥστε ἔχειν μὲν εἴδη τὸ εἶδος τῆς θερμότητος, μὴ δύνασθαι δὲ ἀποθερμαίναι, παθητικὴ ποιότης. εἰ δὲ ἐν τῷ γίνεσθαι τὸ εἶδος θεωροῖτο, πάθος ἂν εἴη. ὥστε εἰ καὶ ὄνομα συνεχρήσαντο τοῖς ἄλλοις, τῷ τε μονίμῳ καὶ τῷ ἀμεταβόλῳ, ἀλλ' οὐκ ἐπὶ τῶν αὐτῶν σημαινομένων. ἀλλὰ πῶς τὰς φύσει ὑπαρχούσας παθητικὰς ποιότητας εἶναί φησιν, ἀπὸ συμβεβηκότος τινὸς αἰτίας τοῦ πάθους ἐμποιεῖν ταῖς αἰσθήσεσι χαρακτηρίσας. καίτοι οὐδὲ ποιότητας ἁπλῶς οὔσας, ἀλλ' οὐσίας μᾶλλον εἶναι ὥσπερ μέρη οὐσιῶν. τὰ δὲ μέρη τῶν οὐσιῶν, οὐσίαι. καὶ ὅτι κατὰ μὲν τὸν λόγον αὐτὸν καὶ τὸ εἶδος καὶ τὴν οὐσιώδη μέθεξιν, οὐ ῥητέον τὴν θερμότητα τοῦ πυρὸς παθητικὴν ποιότητα, ἀλλὰ μέρος οὐσίας. τὴν δὲ ἀπ' αὐτῆς ἐν τοῖς σώμασιν ἐγγινομένην ποίωσιν, ταύτην παθητικὴν ποιότητα ῥητέον. τεκμήριον δὲ τούτου μέγιστον. ὅτι τὰ μὲν τῶν οὐσιῶν εἴδη, οὐ συνέζευκται πρὸς τὴν αἴσθησιν. οὐδὲ κινεῖ αὐτήν. οὐ γάρ ἐστιν οὐσιῶν ἀντιληπτικὴ ἡ αἴσθησις. μόλις γὰρ αὐτῶν ὁ λόγος ἀντιλαμβάνεται, ἀλλὰ τὰ ποιώματα τὰ ἀπὸ τῶν λόγων. ἃ καὶ πέφυκε τὸ σῶμα παραδέχεσθαι, ταῦτα κινεῖ τὴν αἴσθησιν. καὶ ἀπ' αὐτῶν μεμερισμένως ἄλλη ἄλλως αἴσθησις διατίθεται. διὰ τοῦτο οὖν τὰ πρὸς τὴν αἴσθησιν συνεζευγμένα κινητικῶς, ἀπὸ τοῦ ποιεῖν παθητικὰς ποιότητας λέγομεν. καὶ διότι συγγενεῖς ἔχουσι τὰς ἰδίας φύσεις πρὸς τὰς τῶν αἰσθήσεων παθητικὰς κινήσεις. Ἀντιλαμβάνονται δέ τινες, πῶς τὸ μέλι, τὴν γλυκύτητα δέχεσθαι λέγεται. γλυκὺ μὲν γὰρ ὅλως, οὐκ ἂν εἴη χωρὶς γλυκύτητος. πῶς οὖν δέχεται ὅπερ ἔχει. ἀλλ' ὅπως αὐτὸ εἶπεν, αὐτὸς ἐσαφήνισε διὰ τοῦ ἐφεξῆς παραδείγματος εἰπών. καὶ τὸ σῶμα λευκόν, τὴν λευκότητα δέχεσθαι. ὥστε καὶ τὸ μέλι ὡς σῶμα δέδεκται τὴν γλυκύτητα. Ἀλλὰ πῶς εἰπὼν ὅτι τὸ μέλι, τὴν γλυκύτητα δέχεσθαι λέγεται γλυκύ, ἐπήγαγεν. οὐ γὰρ τὸ μέλι τῷ πεπονθέναι τι λέγεται γλυκύ. οὐδὲ τῶν ἄλλων τῶν τοιούτων οὐδέν. εἰ γὰρ ἐδέξατο τὴν γλυκύτητα, πῶς οὐ πέπονθεν αὐτήν. Ἢ ἐδέξατο μὲν τὸ μέλι τὴν γλυκύτητα τὴν εἰς πάθος ἄγουσαν τὴν γεῦσιν. αὐτὸ δὲ οὐ πέπονθε τὸ γλυκύ, ἀλλὰ κατ' οὐσίαν αὐτὸ ὑπάρχον ἔχει. τὸ δὲ ἴδιον τῆς παθητικῆς ποιότητος ἔχει, τῷ πάθος ταῖς αἰσθήσεσιν ἐμποιεῖν. οὐδὲν πολυπραγμονούντων ἡμῶν, εἴτε διὰ πάθους ἐγγίνεται τοῖς ὑποκειμένοις, εἴτε ἄνευ τροπῆς καὶ ἀλλοιώσεως. καλοῦνται δὲ ποιότητες μέν, ἀπὸ τῶν ἐχόντων αὐτάς, καὶ ποιῶν κατ' αὐτὰς λεγομένων. εἴ γε ποιότης ἐστί, καθ' ἣν ἕκαστον ποιὸν λέγεται. παθητικαὶ δέ, ἐπειδὴ προσειλήφασι τὸ πάθος ἐμποιεῖν ταῖς αἰσθήσεσιν. Ἀλλὰ πῶς φησι λευκότης καὶ μελανία καὶ ἄλλαι χροιαί, οὐ κατὰ τὸν αὐτὸν τρόπον παθητικαὶ ποιότητες λέγονται, ἀλλὰ τῷ αὐτὰς ἀπὸ πάθους γεγενῆσθαι. καίτοι γε αὗται δρῶσιν εἰς τὴν αἴσθησιν, διακρίνουσαι καὶ συγκρίνουσαι τὴν ὄψιν. καὶ ἄλλαι μέντοι ποιότητες ἀπὸ πάθους ἐγγίνονται. κινούμενοι γάρ, θερμαίνονται τὰ σώματα. καὶ αἰσχυνθείς τις, ἐρυθριᾷ. Ἢ οὐχ ὥσπερ ὅταν θερμοῦ αἰσθανώμεθα θερμαινόμεθα, οὕτως καὶ ὅταν λευκοῦ αἰσθανώμεθα, λευκόν τι τῶν ἐν ἡμῖν γίνεται. οὐ γὰρ ὕλη τῷ λευκῷ ὁ ὀφθαλμὸς γίνεται ἀναλαμβάνων τὸ τοῦ λευκοῦ εἶδος, ὥσπερ ἡ χεὶρ

τῶν θερμῶν θερμαινομένη. ἀλλὰ πάσχει μέντοι καὶ ὁ ὀφθαλμός. οὐ μὴν λευκὸς γίνεται. διὸ καὶ ἐν ἄλλοις πάσχειν ὁ ἀριστοτέλης λέγει τὴν ὅρασιν, καὶ τοῦτο πιστοῦται. ἀπὸ τοῦ τῶν σφόδρα ὁρατῶν ἀντιλαμβανομένην μὴ δύνασθαι αὐτίκα τῶν ἧττον ἀντιλαμβάνεσθαι. ἀλλ' ἐκεῖνα ἐπὶ ὁρᾶν δοκεῖ, ὡς ἔχουσαν ἀπ' αὐτῶν τὰ ἐγκαταλείμματα. καὶ ταῦτα οὖν ἐν ἄλλοις λέγει, οὐκ ἐναντιοῦται πρὸς τὰ νῦν εἰρημένα. διαφορὰν γὰρ ἐνταῦθα τῶν παθητικῶν ποιοτήτων ἐθεάσατο. τῶν μέν, τῆς αὐτῆς ποιότητος μεταδιδόντων. τῶν δέ, οὐ τῆς αὐτῆς. εἰ δὲ καὶ πᾶν μὲν πάθος διὰ κινήσεώς ἐστι, πᾶσα δὲ κίνησις ἐν χρόνῳ, πᾶν τὸ πάσχον, ἐν χρόνῳ ἂν πάσχοι. εἰ οὖν τὸ ὁρᾶν ἀχρόνως γίνεσθαι δοκεῖ, οὐκ ἂν διὰ πάθους γίνοιτο. ἢ καὶ τὴν ἁφὴν ἄχρονον ὁ ἀριστοτέλης δοκεῖ λέγειν. καὶ τούτῳ γε τῷ λόγῳ ἐπὶ ἡ θερμότης καὶ ἡ ψύξις, παθητικαὶ ποιότητες ἔσονται. οὐ χρώματα πάθος ἐμποιοῦσαι, ἀλλ' ὡς διὰ πάθους ἐγγινόμεναι. μήποτε δέ, οὐδὲ περὶ μόνων τῶν χρωμάτων ἀληθές, τὸ τὴν αἴσθησιν μὴ ποιοῦσθαι τῇ αὐτῇ ποιότητι. τουτέστι μὴ λευκαίνεσθαι ἢ μελαίνεσθαι τὴν ὅρασιν. οὐδὲ τὴν ἀκοὴν ὀξύνεσθαι ἢ βαρύνεσθαι, ἀλλὰ καὶ διατίθησι τὰ χρώματα τὴν ὄψιν. ὥσπερ καὶ τῶν ἄλλων αἰσθητῶν ἕκαστον, τὴν καθ' ἑαυτὸ αἴσθησιν. ἴδιον δὴ οὖν ἔοικεν ἔχειν τὰ χρώματα, τὸ ἄλλοις ἐπισυμβαίνειν. καὶ τὸ καὶ ἐφ' ὧν ἀχώριστά ἐστι τὰ χρώματα, ὡς τὸ λευκὸν τῆς χιόνος. καὶ περὶ τούτων, οὐκ ἔστιν ἁπλῶς οὐσιώδη, ἀλλ' ἐπιγεννηματικά. εἴτε πῆξις μέν φασιν ἡ χιών, δι' ὑπερβολὴν ψυχρότητος. τὸ δὲ οὕτως πεπηγμένου, πάθος τί ἐστι καὶ παρακολούθημα ἡ λευκότης. ὁμοίως δὲ καὶ ἡ ὠχρότης τοῖς φοβηθεῖσι, καὶ τὸ ἔρευθος τοῖς αἰσχυνθεῖσι, παρακολούθημα γίνεται τῶν ψυχικῶν διαθέσεων. ἐπὶ μὲν τῶν φοβουμένων, τοῦ αἵματος ἐπὶ τὴν καρδίαν ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν ἀνατρέχοντος, καὶ μηκέτι ἐν τῇ ἐπιφανείᾳ διαφαινομένου. ὅπερ ποιεῖ τὴν ὠχρότητα συμβαίνουσαν, καὶ τοῖς ἄλλως αἵματος κεκενωμένοις. αἰσχυνθέντες δέ, ἐρυθραινόμεθα, τοῦ αἵματος ἀπὸ τῆς καρδίας ἐπὶ τὴν ἐπιφάνειαν προϊόντος. καὶ ὥσπερ ἐπιπροθέοντος τῷ ἡγεμονικῷ, καὶ ἐπισκοποῦντος τοῦ ὑπελθόντι διὰ τὴν διάνοιαν αἰσχρῷ, δι' αἰδῶ. ὅταν οὖν καὶ κινουμένων ἐπὶ τοιαῦται συνδρομαὶ γένωνται διά τινας δή ποτε αἰτίας, τοιαῦτα φυσικὰ γίνεται χρώματα. καὶ διὰ τοῦτο ἐκ γενετῆς οἱ μέν, τοῖοι φαίνονται. οἱ δέ, τοῖοι. ὥστε πᾶσαι αἱ κατὰ τὰς χρόας ποιότητες, εἰκότως ἐκ πάθους γίνεσθαι λέγονται, καὶ συμπτώματα εἶναι. καὶ γὰρ τῇ χιόνι τὸ λευκόν, καὶ τῷ κόρακι τὸ μέλαν παραγίνεται, κατά τι πάθος προηγησάμενον. ὃ καὶ ἐν τῇ φυσικῇ συστάσει ὑπάρχει. καὶ μή τις οἰέσθω με λέγειν ὅτι ἡ τροπὴ αὐτὴ προηγησαμένη καὶ ἡ κίνησις, τὰ χρώματα ποιεῖ. ἀλλ' οἱ μὲν λόγοι τῶν χρωμάτων, ἐν τῇ φύσει καθεστήκασι. τὰ δὲ γενόμενα, κατὰ τὴν τῆς τροπῆς πρὸς τοὺς λόγους οἰκειότητα μεταλαμβάνει τῶν λόγων, καὶ εἰδοποιεῖται ἀπ' αὐτῶν. ἄλλος γάρ ἐστιν αὐτὸς ὁ λόγος ὁ ἑστώς, καὶ ἄλλο τὸ ὑποκείμενον ἁπλῶς ταῦτα. καὶ ἄλλο τὸ ἐκ τοῦ ὑποκειμένου, ἐπὶ τῆς τοῦ λόγου μεθέξεως συγκείμενον, ἐν ᾧ καὶ ἡ τροπὴ ἐπὶ τὸ πάθος θεωρεῖται. τὸ γὰρ ἁπλοῦν, οὐκ ἄν τι πάθοι καθ' ἑαυτό. καὶ ἐν τοῖς ὠχριῶσι νοσοῦσιν, ἢ ἐρυθριῶσιν, οὐχὶ ἡ τροπὴ τὸ χρῶμα ποιεῖ,

ἀλλὰ τὸ ἴδιον τοῦ αἵματος χρῶμα μετίσχουσι. ποτὲ μὲν, ἀπὸ τοῦ ἐντός. ποτὲ δὲ, ἀπὸ τοῦ ἐκτός. κἂν λέγῃ οὖν ἀπὸ πάθους ἐγγίνεσθαι τὰ χρώματα, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι διὰ τῶν παθῶν ἐπιτήδεια γίνεται τὰ σώματα, εἰς καταδοχὴν τῶν τοιούτων χρωμάτων. Ἀλλὰ πῶς φησιν Εὔδωρος, ἐν μὲν τῷ πρώτῳ εἴδει τῆς ποιότητος, θερμότητας καὶ ψύξεις, ἢ νόσον, καὶ ὑγείαν, ἐν ταῖς διαθέσεσι κατηρίθμησεν. ἐνταῦθα δὲ ὡς εἰς ἄλλο εἶδος τὴν παθητικὴν ποιότητα αὐτὰς κατατάττει. Ἢ φήσομεν ὡς ἐκεῖ μὲν, κατὰ τὸ διακεῖσθαι οὕτω, καὶ πῶς ἔχειν θέσεως κατὰ τὸ θερμὸν ἢ ψυχρὸν ἐλάμβανεν. ἐνταῦθα δὲ, κατὰ τὸ πάθος ἐμποιεῖν, εἰς ἄλλο ἡ παθητικὴ ποιότης θεωρεῖται. τὸ δὲ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο λαμβανόμενον, οὐδὲν κωλύει ὑπ' ἄλλα τίθεσθαι πρὸς ἄλλο εἶδος, ὡς ὁ Σωκράτης. καθὸ μὲν ἄνθρωπος, οὐσία ἂν εἴη. καθὸ δὲ πατὴρ, τῶν πρός τι. καὶ ἡ θερμότης οὖν, καθὸ μὲν διατίθησί πως τὸ ὑποκείμενον, διάθεσις ἂν εἴη. καθὸ δὲ θερμαίνει τὴν αἴσθησιν, παθητικὴ ποιότης. καὶ κατ' ἄλλον δὲ τρόπον ἐν διαφόροις εἴδεσιν ἡ αὐτή. διότι κατὰ μὲν τὴν ἰδιότητα καὶ τὸν χαρακτῆρα, ἡ διάθεσις θεωρεῖται. κατὰ δὲ τὸν ἔμμονον τρόπον τοῦ πάθους, ἡ παθητικὴ ποιότης. Ἀλλὰ πῶς ἐκεῖ τὰ ταχὺ μεταβάλλοντα εἰπὼν διαθέσεις, ἐνταῦθα τὰ ταχὺ μεταβάλλοντα, πάθη μὲν λέγει, οὐκέτι δὲ ποιότητας. Ἢ ὅτι τῶν εὐκινήτων τὰ μὲν ἔστι διαθέσεις. αἵτινες διὰ τοῦτο καὶ ποιότητές εἰσι, καὶ χαρακτῆρα φέρουσι τοῦ διακειμένου. αἱ δὲ, εὐανάλυτοι κινήσεις, αἵτινες ἐν τοῖς πάθεσι θεωροῦνται μόνοις. διὸ καὶ πάθη καλοῦνται. καὶ οὐκ ἀξιοῦνται τοῦ τῆς ποιότητος ὀνόματος. ἐπειδὴ οὐδὲ λέγονται κατ' αὐτὰς ποιοὶ οἱ πάσχοντες. οὐδὲν οὖν ἄτοπον, εἰ τὸ μὲν, ὑπὸ τὴν ποιότητα τάττεται. τὸ δὲ, οὔ. Ἐπιστάσεως δὲ καὶ πάλιν ἄξιον, πῶς ὑπὸ τὴν ποιότητα τάξας τὰ πάθη, εἰπὼν τρίτον εἶδος ποιότητος, παθητικαὶ ποιότητες φησὶ καὶ πάθη. ὅμως ὕστερον, πάθη μὲν φησὶ τὰ τοιαῦτα λέγεσθαι. ποιότητες δὲ, οὔ. καὶ γὰρ τινὲς μὲν οἴονται ἐλλιπῶς εἰρῆσθαι, τὸ ποιότητες δὲ οὔ. λείπειν γὰρ τὸ οὐκ εἰσὶ παθητικαί. ὥς εἶναι μὲν αὐτὰς ποιότητας. παθητικὰς δὲ οὔ. ἄλλοι δὲ, ἀπὸ ταὐτοῦ οἴονται φέρειν αὐτὸν τὰ πάθη καὶ τὰς παθητικὰς ποιότητας. καίτοι σαφῶς οὕτως διορίζονται. ἀλλ' ἴσως ὡς ὑπὸ τὸ πλεῖον τὸ πάθος ὑπὸ τὴν παθητικὴν ποιότητα κατά τι σύμπτωμα αὐτῆς πρὸς καιρόν, οὕτως αὐτὸ ὑποτάττεσθαι αὐτῇ φησίν. Ἀλέξανδρος δὲ, οὐδὲ ζητεῖν ἀξιοῖ εἰ τὰ πάθη ὑπὸ τὴν ποιότητα. αὐτὸς γὰρ ὁ Ἀριστοτέλης, οὐ μόνον τὰς παθητικὰς ποιότητας, ἀλλὰ καὶ τὰ πάθη ὑπὸ τὸ αὐτὸ εἶδος ἔταξεν, εἰπών. τρίτον δὲ γένος, παθητικαὶ ποιότητες καὶ πάθη. οὐ γὰρ εὔλογον εἰς ταὐτὸν ἄγειν ἄλλα, μέλλοντα λέγειν αὐτῶν τὴν διαφοράν. διὰ γὰρ τούτων εἶδος τῆς ποιότητος καὶ τὸ πάθος ἀφορίζεται. ὥς τε καὶ ποιότητα. τοῖς γὰρ εἴδεσιν ὑπάρχει τὰ ὀνόματα τῶν γενῶν. ἀλλ' ὅτι μὲν ποιότητας ἁπλῶς λέγειν τὰ πάθη, σαφῶς μαχόμενόν ἐστι πρὸς τὴν Ἀριστοτέλους λέξιν, πρόδηλον. εἰπόντος, ὥς τε πάθη μὲν τὰ τοιαῦτα λέγεσθαι, ποιότητες δὲ οὔ. ἀλλὰ καὶ τὸ πάντη τῆς ποιότητος ἐξορίζειν τὰ πάθη, καὶ τοῦτο μάχεται τῷ ἐν γένος τῆς ποιότητος εἰπεῖν καὶ τὰ πάθη. ἀλλὰ καὶ τὸ τὰ πάθη εἰς ταὐτὸν ἄγειν ταῖς παθητικαῖς ποιότησιν, ἐναργῶς

ἀτόπων. οὕτως αὐτὸ σαφῶς τοῦ Ἀριστοτέλους διακρίνοντος, μήποτε οὖν παθητικὴ μὲν ποιότης ἡ μὲν ποιότης, οὐκέτι τὸ πάθος. συγγενῶς δὲ ἔχει πρὸς αὐτήν. οὐδὲ γὰρ ἐπινοῆσαι, οὐδὲ ὀνομάσαι δύναται τὴν παθητικὴν ποιότητα ἄνευ πάθους. ἔοικε γάρ πως ἀτελὲς εἶδος εἶναι τῆς παθητικῆς ποιότητος τὸ πάθος, οὗ τελειότης ἐστὶν ἡ παθητικὴ ποιότης. ὥσπερ οὖν ἡ διάθεσις τῇ ἕξει συμπεπλάκη, οὕτως καὶ ἐνταῦθα τὸ πάθος τῇ παθητικῇ ποιότητι συνέζευκται. ὡς γὰρ ἡ διάθεσις προηγεῖται τῆς ἕξεως, οὕτω καὶ τὸ πάθος. ὅθεν, ὑπόθεσίς ἐστι τῆς παθητικῆς ποιότητος. διὸ καθόσον μὲν ὡς ἀτελὴ προηγεῖται, καὶ ἀπὸ τούτου ἐπὶ ἐκείνην ἡ μετάβασις, ταύτῃ οὐκ ἀφίστησιν αὐτὰ τῶν ποιοτήτων. διότι δὲ ἀπολείπεται τῆς ἐν αὐταῖς τελειότητος, τῇ τε φύσει τῶν εἰδῶν, καὶ τῇ μονίμῳ καταστάσει, ταύτῃ χωρίζει αὐτὰ ὡς ἕτερα. λέγοντος δὲ τοῦ Ἀριστοτέλους ὥσπερ τὰ ὀλιγοχρόνια χρώματα ἀπὸ πάθους ἐστὶν, οὕτως καὶ τὰ πολυχρόνια ἀπὸ τοῦ αὐτοῦ συμβαίνει. ἄλογον νομίζουσιν οἱ περὶ τὸν Νικόστρατον, τὸ, πάντα τὰ χρώματα πάθους ἐγγινομένου γίνεσθαι. καὶ μάλιστα τὰ σύμφυτα καὶ οὐσιώδη, ὥσπερ τὸ τῆς χιόνος. ἐν γὰρ τοῖς παραδείγμασι τοῖς ἀπὸ τοῦ φόβου καὶ τῆς αἰσχύνης, ὡς ἐπιγινόμενα τὰ πάθη παρέθετο. ὥστε καὶ ἐπὶ πάντων οὕτως ἔοικε δοξάζειν. καὶ ἐπὶ τοῖς χυμοῖς τοῖς περὶ τὸ σῶμα ὁποιοιποτε ἂν ὦσι μέχρι τῆς ἐπιφανείας διατείνοντες, ἐπειδὴ τὰ χρώματα παραπλήσια αὐτοῖς φαινόμενα. γέγονε δὲ οἱ χυμοὶ ὑπὸ τῶν παθῶν, εὔλογον καὶ τὰ χρώματα συνακολουθεῖν ταῖς ῥοπαῖς, ἢ ταῖς ποιαῖς κράσεσι τῶν σωμάτων. οὐ μέντοι οὐδὲ τοῦτο φησὶν, ὅτι αἱ σύμφυτοι χρόαι, ἔξωθεν ἐπιγίνονται. οἷον τῇ χιόνι ἡ λευκότης. ἀλλ' οὖν εἴ τις νοήσειε τὴν πρώτην σύστασιν τῆς χιόνος, ὅπως δὲ ἀρχὰς γέγονεν, εὑρήσει τὸ σωματοειδὲς αὐτῆς ὑποκείμενον, καὶ ἐπὶ τούτου ποιὰν ῥοπὴν καὶ ποιὰν κρᾶσιν, τὸ τοιόνδε χρῶμα ἑλκ- φός. ὑπομνήσειε δ' ἂν τις τοῦτο καὶ ἀπὸ τῶν ὁρωμένων. ὥσπερ γὰρ τὰ φαινόμενα χρώματα ταῖς ποιαῖς κράσεσι τῶν σωμάτων ἀφομοιοῦται, οὕτως ἔχει καὶ ἐπὶ τῶν ἄλλων κἂν φυσικῶς γένωνται. εἰσὶ δέ τινες οἳ τὰς συμφύτους ταύτας ποιότητας οὔ φασιν εἶναι πάθη, ἢ παθητικὰς ποιότητας, ἀλλὰ μέρη οὐσιῶν καὶ οὐσίας. δῆλον οὖν, ὅτι οὗτοι οὐδὲ τὴν ἀρχὴν παραδέξονται τὰ περὶ τῶν συμφύτων χροιῶν εἰρημένα. Ἀνδρόνικος δὲ ἠξίου μὴ διαιρεῖσθαι τὰς παθητικὰς ποιότητας εἴς τε τὰς ἐμποιεῖν πάθη, καὶ εἰς τὸ ἐκ πάθους συνίστασθαι, ἀλλὰ πάσας ὡς ἐκ πάθους συνισταμένας, παθητικὰς εἶναι. τὸ δὲ πάθους ποιητικαῖς εἶναι συμβαίνειν αὐταῖς. τὸ γὰρ θερμὸν, θερμαίνειν δύναται. ἀλλὰ καθόσον μὲν ἄλλα ποιεῖ, οὐ ποιὰ, ἀλλὰ ποιητικὰ καλοῦμεν αὐτά. ὅθεν, οὐ θερμὰ, ἀλλὰ θερμαντικὰ, ἅπερ ἤδη πρός τι. καθάπερ τὸ καυστικὸν καὶ τὸ καυστὸν, καὶ τὰ ὅμοια. διὸ θερμὸν μέν ἐστι, καὶ μηδενὸς ὄντος θερμαντοῦ. θερμαντικὸν δὲ οὐκ ἔτι. ποιὰ γὰρ κατὰ τὸ πῶς ἔχειν, ἀλλ' οὐ κατὰ τὸ πρός τι λέγεται. Πρὸς δὴ τοῦτο καλῶς εἰρημένον, ῥητέον ὅτι τὰς αἰσθήσεσι γινομένας παθητικὰς ποιότητας, οὐ καθόσον ἐκ ποιοῦντός τινος καὶ πάσχοντος συνίστανται, κατὰ τοῦτο δεῖ θεωρεῖν. οὐδὲ καθόσον πρὸς ἀντιστρέφοντα λέγονται, ἀλλὰ τὸ ἁπλοῦν καὶ ἁπλῶς τὸ εἶδος τοῦ πάθους αὐτὸ καθ' αὑτὸ νοεῖν, ὡς ποιότητα. μηδὲν ἐφαπτομένους τῆς τοῦ ποιοῦντος εἰς αὐτὸ ἐνεργείας καὶ συζεύξεως. ποιὸν γὰρ τοῦτο

τὸ εἶδος κεχωρισμένον τῶν πρός τι. καὶ ἄλλο εἶδος παρὰ τὰ δεδεγμένα τὸ πάθος καὶ ἀθητικόν τι, καὶ ἀφομοιωτικόν, πρὸς τὰ πρωτουργὰ πάθη. διὸ καὶ ἀντιδιαιρεῖται πρὸς τὰς ἀπὸ πάθους ἐγγινομένας παθητικὰς ποιότητας. φέρεται δέ τις καὶ τοιαύτη πρὸς τὰ εἰρημένα ἀντίληψις, τὸ πάθος ἐμποιεῖν. ἢ καὶ ἐκ πάθους ἐγγενομέναι, τὴν παθητικὴν ποιότητα, σχέσιν μόνον ἐμφαίνειν, κατὰ τὸ ἔκ τινος ἐγγενομέναι, ἢ εἴς τι ἐμποιεῖν. αὐτὸ δὲ μὴ λέγειν, ὅ, τί ποτέ ἐστιν ἡ παθητικὴ ποιότης. Ἡμεῖς δὲ καὶ πρὸς τοῦτο ἐροῦμεν, ὡς οὐκ ἔστιν ἐκ τῆς σχέσεως ἠρτημένη ἡ παθητικὴ ποιότης, ἀλλ᾽ αὕτη μὲν ἄλλως ἐπισυμβαίνει. τὸ δὲ ἴδιον τῆς παθητικῆς ποιότητος, κατ᾽ αὐτὴν τὴν μεταβολὴν θεωρεῖται. οὐ τὴν κατὰ τὸ εἶναι. τοῦτο γὰρ οὐκέτι ποιότητος, ἀλλὰ μετὰ τὸ προϋποκεῖσθαι τὴν οὐσίαν ἐπιγινομένου αὐτῇ, ὥσπερ καὶ ἡ ποιότης τῷ εἶναι ἐπισυνέχει. τοιαῦτα καὶ περὶ τῶν ἀπορηθέντων εἰρήσθω. διαφέρουσι δὲ αὗται αἱ ποιότητες αὗται. τῶν μὲν πρώτων ὥς καὶ Πορφύριος καὶ Ἰάμβλιχος φασίν, ὅτι ἐκεῖναι μὲν, ἐκ διδασκαλίας τὸ τέλειον ἔχουσιν. αὗται δὲ, φύσει ὑπάρχουσι. μήποτε δὲ κατὰ φύσιν παρείληπται ἐν ἐκείναις, ὥσπερ θερμότης καὶ ψύξις καὶ τὰ τοιαῦτα. ἡ δὲ διαφορὰ τῶν ἐνταῦθα μὲν, κατὰ πάθος εἶναι. ἐκεῖ δὲ κατὰ διάθεσιν καὶ ἕξιν. τῶν δὲ δευτέρων διαφέρει. καθόσον ἐκεῖναι μὲν, ἐν τῷ δυνάμει ἐθεωροῦντο, καὶ ἐπιτηδειότητες ἦσαν. αὗται δὲ ἐντελέχειαι μᾶλλόν εἰσι, καὶ κατ᾽ εἶδός τι ἤδη ὑφεστήκασι. τάξιν δὲ εἴ τις ποθεῖ μαθεῖν αὐτῶν, ἐκτέον ὡς ἡ ἐκ πάθους καὶ μεταβολῆς εἰδοποιία, ἀπολείπεται τῶν πρώτων καὶ αὐτοφυῶν ποιοτήτων. ὅσαι τε εἰσὶ κατὰ τὴν ἐνέργειαν, καὶ ὅσαι κατὰ φυσικὴν δύναμιν πρώτως συνίστανται. καὶ τὸ κατὰ κίνησιν ἑτεροιώσεις. ὁ μέντοι Ἀρχύτας, ἔοικε προτάξαι τὸ κατὰ τὸ πάθος εἶδος τῆς ποιότητος τοῦ κατὰ δύναμιν. καὶ ἴσως μᾶλλον τοῦτο ἔχει λόγον. διότι τὸ ἐνεργείᾳ προκεῖσθαι χρὴ τοῦ δυνάμει, ὁποῖον ποτε ἂν ᾖ. καὶ τοῦτο δὲ ἱστέον, ὅτι τὸ ὅλον εἶδος τοῦτο τῆς ποιότητος ὁ Ἀρχύτας ἐν τῷ πάθει κυρίως εἰδοποιεῖ. καὶ τοῦτο αὐτοῦ κοινὸν στοιχεῖον ἀποδέδωκεν. ὁμοῦ μὲν ἐν κοινῷ περιλαμβάνων ὅρῳ τάς τε παθητικὰς ποιότητας καὶ τὰ πάθη. καὶ ταύτῃ τὰ πολλὰ τῶν ἀπόρων διαφυγών. ὁμοῦ δὲ καὶ τὴν φύσιν αὐτῶν ὡρισμένως περιλαβών. οὐ γάρ ἐστι τὸ εἶδος τοῦτο τῆς ποιότητος, καθαρὸν ὕλης καὶ σώματος. οὐ δὲ ἐν εἴδει παγίως ἵσταται. ἀλλ᾽ ἔοικε μέση τις εἶναι φύσις τῶν τε σωμάτων καὶ τῶν εἰδῶν. κατὰ μὲν τὸ πάσχειν, τοῖς σώμασι προσεοικυῖα. κατὰ δὲ τὸ γενέσθαι εἶδος, ἀπὸ τοῦ πάθους, ἢ μορφὴν προσλαμβάνειν ἐν ἑαυτῷ ἀπὸ τοῦ εἴδους. ταύτῃ δὲ τῷ λόγῳ συγγενὴς ὑπάρχουσα. καὶ ὅτι μὲν ῥοπή τις καὶ ἀλλοίωσις θεωρεῖται κατὰ τὰς τοιαύτας ποιότητας, πρόδηλον. ὁρᾶται γὰρ τοῦτο. Ἀλλ᾽ ἐκεῖνο ζητήσεως ἄξιον, μήποτε οὐκ ἔστιν ἡ τοιαύτη ῥοπὴ αἰτία τῶν τοιούτων ποιοτήτων. ἀλλ᾽ αὕτη μὲν τῶν ὧν οὐκ ἄνευ λόγον παρέχεται. ἡ δὲ ἐν αὐτῇ θεωρουμένη μορφὴ, τὴν ποιότητα κυρίως συνίστησιν. ἡ γὰρ κίνησις, ὡς ἐν ὕλης τάξει προϋπόκειται, καὶ ὑπουργεῖ τῇ προηγουμένῃ αἰτίᾳ. ἥ τις ἄνω ἡ ἀπὸ τοῦ λόγου κατιοῦσα μοῖρα, καὶ μορφοῦσα τὴν ἀόριστον κίνησιν. καὶ αὕτη μὲν, οὔτε πάσχει, οὔτε ἀλλοιοῦται. ἤτοι δὲ ἐμποιεῖ πάθος, ἢ αὐτὴ πάθεσι προηγουμένως συνίσταται. Μήποτε δὲ ἀληθέστερον εἰπεῖν, ὅτι κατ᾽ αὐτὴν τὴν [illegible] τὸ πάθος ἐν τῷ ὑποκειμένῳ.

καὶ περὶ τῶν χρωμάτων οὖν, πότερα μὲν γίνονται περὶ τὸ σύνθετον σῶμα. οἱ δὲ λόγοι τῶν ἑκάστων χρωμάτων ἐν τῇ φύσει. ὧν δόσις ἐστὶ καὶ μετοχή, ἐν τῷ χροιὰς μεταλαμβάνειν τὰ σώματα. ἀλλὰ τί ποτέ ἐστι τὸ πάθος τοῦτο, ζητεῖν ἄξιον. λέγεται γὰρ πάθος, καὶ τὸ ἀναιρετικὸν τῆς οὐσίας, ὡς ἡ ἐπὶ τῆς σώματος φθορᾷ ἐπάγουσα τῷ πασχομένῳ, καὶ τὸ τούτῳ ἀντίθετον, τὸ συνέχον διὰ τῆς μεταβολῆς ἐν τῷ κατὰ φύσιν τὸ ὑποκείμενον, ὡς τὰς αἰσθήσεις τὰ κατ' αὐτὰς πάθη συνέχει ὡς αἰσθητικάς. ἄλλως δὲ πάθος λέγεται, καὶ ἡ ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν μεταβολή. ὡς ὅταν ὁ κηρὸς εἰς μυρία σχήματα πλαττόμενος, πάσχειν λέγηται. διώκειν δὲ τὰ πάθη καὶ κατὰ τὰ εἴδη τῶν κινήσεων διαιρεῖν. καὶ γὰρ κατ' οὐσίαν γίνεται τὰ πάθη, καὶ κατὰ τὸ ποσόν. ἀλλ' οὔτε τὸ κατ' οὐσίαν, οὔτε τὸ κατὰ ποσὸν προσήκει τῷ νῦν ζητουμένῳ πάθει. ἀλλ' οὐδὲ πᾶν τὸ κατὰ ποιόν, εἴπερ ἓν εἶδος ποιότητος ἀφώρισται τοῦτο. ἀλλ' εἴπερ ἄρα ἐν τῷ γίνεσθαι τὰ τοιαῦτά ἐστι πάθη, καὶ ἐν τῷ μεταβάλλειν εἰς τὰς κατ' ἐνέργειαν παθητικὰς ποιότητας. ἀφορμαὶ γάρ εἰσι καὶ οἷον παρασκευαὶ τῶν παθητικῶν ποιοτήτων. διὸ καὶ ἐν τῇ μετὰ τὰ φυσικὰ τὸ πάθος διαιρούμενος, πάθος φησὶ λέγεσθαι. ἕνα μὲν τρόπον, ἡ ποιότης, καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται. οἷον, τὸ λευκὸν καὶ τὸ μέλαν. καὶ γλυκὺ καὶ πικρόν. καὶ βαρύτης καὶ κουφότης. καὶ ὅσα ἄλλα τοιαῦτα. ἕνα δὲ αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις. ἔτι δὲ τούτων μᾶλλον αἱ βλαβεραὶ ἀλλοιώσεις, καὶ κινήσεις. καὶ μάλιστα αἱ λυπηραὶ βλάβαι. ἔτι τὰ μεγέθη τῶν συμφορῶν καὶ λυπηρῶν, πάθη λέγεται. ἐν γὰρ τούτοις ὀρθῶς τὴν ἀλλοίωσιν, καὶ τὴν κατ' ἐνέργειαν ἀλλοίωσιν βλάβην τε καὶ κίνησιν, καὶ τὰ τοιαῦτα, ὡς κινήσεις ὑπέταξεν ὑπὸ τὸ πάθος. καὶ ἐντεῦθεν δὲ καταφαίνεται, ὡς εἰκότως οὐκ ἀπέκρινε τὰ πάθη τῶν ποιοτήτων. περὶ γὰρ τὴν ἀλλοίωσιν καὶ κίνησιν τῶν παθῶν ὑφίστανται αἱ παθητικαὶ ποιότητες. καὶ συμπληροῦνται καὶ εἰδοποιοῦνται ὑπ' αὐτῶν. τὸ δὲ ἀτελὲς καὶ ὡς ἐν ὕλης τάξει προκαταβεβλημένον καὶ συγγενὲς πρὸς ποιότητας, ἀπὸ τῶν παθῶν θεωρεῖται. ἐπεὶ δὲ τὸ μόνιμον καὶ δυσκίνητον χαρακτηριστικὸν εἶναι δοκεῖ τῆς παθητικῆς ποιότητος καὶ διακριτικὸν αὐτῆς ἀπὸ τοῦ πάθους, οὐχ οὕτως ἀκουστέον τοῦ μονίμου ὡς ἐπὶ τῆς ἕξεως. ἀλλ' ὡς πρὸς τὸ πάθος δεῖ τὸ μόνιμον ἐννοεῖν. δεῖ γὰρ ὁπωσοῦν μένειν ἐκεῖνο τὸ νομιζόμενον ποιόν. ἵνα ᾖ τε καὶ λέγηται ὁπωσοῦν ποιόν, οὐ τῷ μονίμῳ εἰδοποιούμενον ὥσπερ ἡ ἕξις, ἀλλὰ τῇ ἐν τῷ πάθει διαμενούσῃ ποιότητι. ἐπειδὴ δὲ τὰς παθητικὰς ποιότητας εἴς τε ψυχὴν καὶ σῶμα διεῖλε, δεῖ ζητεῖν, εἰ αἱ ἐκστάσεις καὶ ὀργαὶ καὶ τὰ τοιαῦτα, τῆς ψυχῆς ἐστιν ἴδια, ἢ κοινά. καὶ τοῦ ἔχοντος. Ἀριστοτέλει μὲν ἀρέσκει αὐτῷ ἐν τῷ πρώτῳ περὶ ψυχῆς ἀπὸ τοῦ σώματος ὁρμᾶσθαι τὰ τοιαῦτα, ὥστε πολλάκις μὲν εὐκινήτους γίνεσθαι ἡμᾶς πρὸς ὀργήν. καίτοι μικρῶν ὄντων τῶν παροξυνόντων. πολλάκις δὲ καίτοι μεγάλων ὄντων μὴ κινεῖσθαι, ὅταν μὴ ὀργᾷ τὸ σῶμα, μηδὲ ᾖ καθ' ἑαυτοῦ πρὸς τὸ πάθος ἠρεθισμένον. Ἀριστοτέλει μὲν τοῦτο οὕτως ἔχει, τῆς ψυχῆς εἴπερ τὰ πάθη κατὰ τὸ ἐπικρατοῦν αὐτῆς καὶ πλεονάζον ἐν τῷ συνθέτῳ ζώῳ. αἱ δὲ πρὸς τὸ σῶμα συγγενεῖς τῇ ψυχῇ καταστάσεις, καὶ αἱ ἐπιρρέπουσαι εἰς γένεσιν, καὶ μὴ κρατοῦσαι ἑαυτῶν, καὶ αἱ ἀγόμεναι ὑπὸ τοῦ σώματος,

καὶ ὑλικώτεραι αὗται τῶν ψυχικῶν τούτων παθῶν εἰσὶν αἰτίαι. ταῦτα μὲν οὖν καὶ περὶ τούτου εἰρήσθω. μεταβαίνειν δὲ ἤδη καιρὸς ἐπὶ τὸ τέταρτον τῆς ποιότητος εἶδος, τῷ ἀριστοτέλει παρακολουθοῦντα. Τέταρτον δὲ γένος ποιότητος. ἕως τοῦ, ποιὰ οὖν λέγεται, τὰ παρωνύμως ἀπὸ τῶν εἰρημένων ποιοτήτων λεγόμενα, ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν. Τετάρτην εἰκότως καὶ τελευταίαν ἀποδίδωσι τούτῳ τῷ γένει ἤτοι εἴδει, τῆς ποιότητος τάξιν. διότι ἐπιπολῆς καὶ οἷον ἔξωθεν ἐπ' ἐσχάτῳ τοῦ σώματος συνίσταται. πολυμερὲς δέ ἐστι καὶ πολυειδὲς τὸ γένος τοῦτο. καὶ ἔστιν ἐν αὐτῷ σχῆμα μὲν τὸ ὑπό τινος ἢ τινῶν ὅρων περιεχόμενον. ὃ καὶ ἐπιπέδου καὶ στερεοῦ πέρας ἐστί. ληπτέον δὲ αὐτό, οὐ κατὰ τὸ πλῆθος τῶν γραμμῶν καὶ τῶν ἐπιπέδων. ποσὸν γὰρ οὕτως ἔσται. ἀλλ' οὐδὲ κατὰ τὸ χρῶμα, ἀλλὰ κατὰ τὸν τῆς ἐπιφανείας ποιὸν σχηματισμόν. κατὰ τὸ τετραγωνίσθαι, ἢ ἀγώνιον εἶναι. ἡ δὲ περὶ ἕκαστον μορφή, διχῶς λέγεται παρὰ τῷ ἀριστοτέλει κατά τε τὰ οὐσιώδη εἴδη, καὶ κατὰ τὰ τῆς ἐπιφανείας ποιὰ τυπώματα. νῦν οὖν θεωρεῖται, οὐ κατὰ τὸ οὐσιῶδες εἶδος, οὐδὲ γάρ ἐστι ποιότης τὸ τοιοῦτον, ἀλλὰ κατὰ τὸ ἐπιφαινόμενον τοῖς οὐσιώδεσι περὶ τὴν ἐπιφάνειαν εἴδεσι. καθὸ καλά τινα καὶ εὔμορφα λέγομεν, ἢ δυσειδῆ καὶ ἄμορφα. αὗται γὰρ αἱ τοιαῦται μορφαί, ποιότητές εἰσιν. ἄλλαι μὲν παρὰ τὸ χρῶμα καὶ τὸ σχῆμα. ἐπιστῆσαι δὲ ἄξιον, μήποτε καὶ ἐκείνων περιεκτικαί, κἂν μὴ προσθῆται τοῦτο ὁ ἰάμβλιχος. τινὲς δὲ τὴν μὲν μορφήν, ἐπὶ τοῦ ζώου μόνου λέγεσθαι νομίζουσι. τὸ δὲ σχῆμα, ἐπὶ τοῦ ἀψύχου εἴδους. οὔτε κατὰ τὴν τεχνικὴν συνήθειαν καλῶς, οὔτε κατὰ τὴν τῶν πολλῶν χρῆσιν. ἐπαλλάττει γὰρ ταῦτα τὰ ὀνόματα. ὁμοίως μὲν καὶ ἐπὶ τῶν ἐμψύχων τὸ σχῆμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀψύχων τὴν μορφὴν λέγουσι. καὶ ὁ λόγος δὲ ἑκατέρου τῇ τοιαύτῃ χρήσει συμμαρτυρεῖ. εἰ γὰρ κατὰ τὸ πέρας τῆς ἐπιφανείας, καὶ τὴν τύπωσιν αὐτῆς ἡ μορφὴ λέγεται, οὐδὲν ἐμφανίζει ζωῆς ἐχόμενον. δύναται γὰρ καὶ τοῖς ἀψύχοις ἐφαρμόζειν. ὅ, τε ὅρος τοῦ σχήματος, οὐδὲν κωλύεται καὶ τοῖς φυσικοῖς, καὶ τοῖς τῶν ζώων σώμασιν ἐφαρμόζειν. ἀλλ' εἰ διαιρετέον, τὸ μὲν σχῆμα, μόνης τῆς ἔξωθεν περιγραφῆς ἔχεσθαι. τὴν δὲ μορφήν, καὶ τῆς ἐν ταῖς ἀποπερατώσεσι συμμετρίας ἢ ἀμετρίας. τὴν γὰρ ἐπὶ τῇ ἐπιφανείᾳ τελευτὴν τοῦ εἴδους, μιμεῖται ἡ μορφή. τινὲς δὲ τὴν μορφήν, ἐπὶ τῶν φυσικῶν ἀκούουσι μόνον. καὶ δοκεῖ ταύτην τὴν δόξαν ἐν τοῖς ἑξῆς προσίεσθαι ὁ ἰάμβλιχος. ὡς οὐ λεγομένης τῆς μορφῆς ἐπὶ τῶν μαθηματικῶν καὶ ὅλως τῶν σχημάτων. καὶ διὰ τοῦτό φησιν ὅτι περὶ ἕκαστον μορφὴν εἰρῆσθαι, διότι ὡς ξύλος εἰς τὸ ἄρμον κατετάγη. εὐθύτητα δὲ καὶ καμπυλότητά φησιν ἰάμβλιχος, τὴν κοινὴν ἐπὶ τῶν γεωμετρικῶν σχημάτων, καὶ ἐπὶ τῆς μορφῆς εἰρῆσθαι ποιότητα. καὶ διὰ τὸ κοινὸν καὶ διατεῖνον ἐπ' ἄμφω καὶ ἐπὶ μορφῶν καὶ σχημάτων κοινῶς ὁρώμενον καὶ περιττεῦον ἑκατέρου ἰδίᾳ καταλέγεσθαι. ἀλλ' ἡ μὲν γάρ φησιν ἡ γραμμὴ καθόσον ἐστὶ γραμμή, ποσόν ἐστιν. ἡ δὲ εὐθεῖα καθόσον ἐστὶν εὐθεῖα ἢ καμπύλη, ποιὰ ἂν νοηθείη. καὶ ἡ ἐπιφάνεια καθόσον μέν ἐστιν ἐπιφάνεια, ποσόν. καθόσον δὲ ἐπίπεδος ἐπιφάνεια, ποιόν. καὶ ἐπὶ τῆς μορφῆς δέ φησι ταῦτα ὡσαύτως θεωρεῖται. μήποτε οὖν ἡ εὐθύτης καὶ ἡ καμπυλότης, γραμμῶν ἂν εἴη καθ' αὑτὰς καὶ ἐπιφανειῶν. μορφῆς

δὲ οὐ καθ' αὑτό. ἀλλ' εἴπερ ἄρα κατὰ συμβεβηκός, καθόσον οἶμαι καὶ τὸ σχῆμα περιέχει ἡ
μορφή. ἔτι δὲ ἄλλο τοῦ τοῖς ὅμοιον τοῖς εὐθέσι καὶ καμπύλοις προσέθηκε τὰ ἑλι-
κοειδῆ καὶ κωνοειδῆ, καὶ φακοειδῆ λέγων τῶν σχημάτων. καὶ τὰ τοιαῦτα, ἅπερ μι-
κτὴν ἔχει τὴν φύσιν ἐξ εὐθέος καὶ περιφεροῦς ὡς καὶ οἱ γεωμέτραι φασίν. ὅτι δὲ ποι-
ότητες αὗται, ἀπὸ τοῦ λόγου τῆς ποιότητος κατασκευάζει. εἰ γὰρ ἐφ' ἑκάστου τούτων
ποιόν τι λέγεται, ἀφ' οὗ δὲ ποιόν τι λέγεται τοῦτο ποιότης ἐστί, ποιότης ἂν εἴη ἑκά-
στου τούτων. τὸ δὲ μανὸν καὶ πυκνὸν, οὐχ ὡς ἀπὸ μανότητος καὶ πυκνότητος παρωνο-
μάσθαι φησὶν, οὐδὲ πῶς ἔχοντα περιέχεσθαι τὸ μανὸν καὶ πυκνὸν, ἀλλὰ τῷ τὰ μόρια
διεστηκέναι ἀπ' ἀλλήλων. ὡς παρεμπίπτειν τι ἑτερογενὲς σῶμα, τοῦτο λέγεται μα-
νόν. ὡς σπόγγοι καὶ κίσσηρες. πυκνὸν δὲ, τὸ τὰ μόρια συνεχῶς ἔχον. ὡς μηδὲν ἑτε-
ρογενὲς μεταξὺ παρεμπίπτειν. ὡς ἐπὶ χρυσοῦ καὶ σιδήρου θεωρεῖται. εἰ οὖν θέσιν
μᾶλλον τῶν μορίων δηλοῖ ταῦτα ἀλλ' οὐχὶ τὸν χαρακτῆρα, οὐκ ἂν εἴη ποιά. ἀλλὰ καὶ τὸ
λεῖον τοῦτό ἐστιν, οὗ τὰ μόρια ἐπ' εὐθείας ἐπίκειται. ὡς ἐπὶ τῶν ἀποτεταμένων
μαρμάρων. τραχὺ δὲ, οὗ μὴ ἐπίκειται. ἀλλὰ τὰ μὲν, ὑπερέχει. τὰ δὲ, ἐλλείπει, ὡς
ἐπὶ τοῦ πρίονος. θέσιν ἄρα καὶ ταῦτα δηλοῖ. ἡ δὲ θέσις, ἤτοι τῆς τῶν πρός τι κατηγ-
ορίας ἐστὶν ὡς εἴρηται ἐν ἐκείνοις, ἢ ὑπὸ τὸ κεῖσθαι ὑποπίπτει. καὶ γὰρ τὰ κείμενα,
θέσιν τινὰ δηλοῖ. ἐπιστῆσαι δὲ ἄξιον ὡς οἶμαι, μήποτε ἡ μανότης καὶ πυκνότης
καὶ λειότης καὶ τραχύτης, καὶ ποιότητές τινες εἰσὶ κατὰ τὸν χαρακτῆρα, ὡς θερμότης
καὶ ψυχρότης. καὶ θέσιν τινὰ δηλοῦσι κατὰ τὴν τῶν μορίων σύνταξιν. καὶ οὐδὲν θαυ-
μαστὸν, τὸ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο ὑπ' ἄλλην καὶ ἄλλην ἀνάγεσθαι κατηγορίαν, ὡς καὶ τῷ ἀριστο-
τέλει καὶ τοῖς τοῦ ἀριστοτέλους ἐξηγηταῖς δοκεῖ. πληρώσας δὲ τὰ εἴδη τῆς ποιότη-
τος, ἐπιλέγει. ἴσως μὲν οὖν καὶ ἄλλος ἂν φανείη τρόπος ποιότητος. οὐχ ὡς φιλόσο-
φον εὐλάβειαν ἐνδεικνύμενος, ὥς τινες οἴονται. οὐδὲ ὅτι ἀδιαίρετος ὁ περὶ τῶν
πρώτων γενῶν λόγος ὡς ἄλλοι. οὐδὲ ὅτι τὰς διαφορὰς ἐνδείκνυται καθ' ἃς λογικὸν
καὶ ἄλογον. καὶ τὰ ἄλλα θεωρεῖται ποιὰ τὰ οὐσιώδη καὶ διαιρετικὰ τῶν γενῶν. οὐ-
σίαι γάρ εἰσιν ἐκεῖνα μᾶλλον, ἀλλ' οὐ ποιότητες. εἰ δὲ ποιότητες ἦσαν, οὐκ ἂν οὕτως εἰς
ἐσχάτην τάξιν ἀπερρίφησαν. Ἀνδρόνικος δὲ πέμπτον εἰσάγει γένος, ἐν ᾧ τάττει
μανότητα καὶ πυκνότητα. κουφότητα. βαρύτητα. παχύτητα. οὐ τὴν κατὰ τὸν
ὄγκον, ἀλλὰ καθὸ ἀέρα λέγομεν λεπτὸν εἶναι καὶ τοῦ ὕδατος λεπτότερον. ποιὰ γάρ
φησι λέγομεν πάντα τὰ τοιαῦτα, τῷ ἀπὸ ποιότητος εἶναι αὐτά. ὁμοίως δὲ καὶ τὸ δι-
αφανὲς καὶ τὸ σκοτεινόν. ὥστε φησὶν, ἢ ἄλλο τι γένος ποιότητος τοῦτο θετέον, ἢ συζευ-
κτέον αὐτὰ ταῖς παθητικαῖς. τῷ μὲν γὰρ πάσχειν τι τὸ σῶμα τούτων ἕκαστον, τοιοῦτον
γέγονε. διαφέρει δὲ ἐκείνων, ὅτι πάθους οὐκ εἰσὶν ἐμποιητικαὶ αὗται. εὔδωρος δὲ τὴν
παχύτητα, καὶ λεπτότητα, εἰς ἕτερον τάττει γένος. τὰς δὲ ἄλλας οὔ. οἱ δὲ περὶ τὸν ἀχαϊ-
κὸν, ταύτας μὲν εἰς τὸ τέταρτον γένος τάττουσι, συνεπομένας τῷ μανῷ καὶ πυκνῷ. ἐκεί-
νας δὲ μᾶλλον ἀντιτίθεσθαι τὸν ἀριστοτέλην φασίν, ἐν τῷ ἴσως δὲ καὶ ἄλλο γένος. ὡς ἐν τῇ περὶ γε-
νέσεως καὶ φθορᾶς, τῷ θερμῷ καὶ ὑγρῷ, καὶ ψυχρῷ καὶ ξηρῷ συνέταξεν. εἰσὶ δὲ αὗται. βαρύ.

κοῦφον. σκληρόν. μαλακόν. τραχύ. λεῖον. παχύ. λεπτόν. ἀλλὰ πῶς ἄν τις ταῦτα παραδέξαιτο, μηδενὸς ὑπαλλήλου λεγομένου ἑνὸς γένους ὑφ' ὃ ταῦτα ταχθήσεται. ὡς ἐν μὲν τῷ πρώτῳ, ἕξις τε καὶ διάθεσις. ἐν δὲ τῷ δευτέρῳ, φυσικὴ δύναμις. καὶ ἐπὶ τῶν ἄλλων. βέλτιον οὖν λέγειν ἔνια, ὅτι κατὰ τὸ ἀληθὲς εἰσί τινες καὶ ἄλλοι τρόποι, οὓς ἐν τοῖς μετὰ τὰ φυσικά, ὡς ἐν τελεωτέρᾳ πραγματείᾳ παραδίδωσιν. ἐνταῦθα δὲ ὡς ἐν εἰσαγωγῇ τοὺς μάλιστα λεγομένους παρέθετο. κοινῶς δὲ περὶ πάντων τῶν εἰδῶν ἐπάγει, ὅτι ποιότητες εἰσὶν αἱ εἰρημέναι. ποιὰ δέ, τὰ κατὰ ταύτας παρωνύμως λεγόμενα ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἔνια μὲν παρωνύμως λέγεται, ὡς ἀπὸ λευκότητος τὸ λευκόν. ἔνια δέ, ὁμωνύμως, ὡς τρίγωνον καὶ τετράγωνον, καὶ τῶν ἄλλων σχημάτων ἕκαστον. ἐπὶ γὰρ τούτων, τρίγωνον καὶ ἡ ποιότης καὶ τὸ μετέχον καλεῖται. ἔτι δὲ ἐπ' ἐνίων μέν, ἀμφότερα ὠνόμασται, ὡς γραμματικὴ καὶ γραμματικός. ἐπ' ἐνίων δέ, οὐδέτερον, ὡς ἡ πρὸς γραμματικὴν ἐπιτηδειότης, καὶ ὁ κατ' αὐτὴν εὐφυῶς διακείμενος. ἐπ' ἐνίων δέ, τὸ ἕτερον μόνον ὠνόμασται. τὸ ποιὸν μέν, ὡς ἐπὶ τοῦ πυκτικοῦ καὶ δρομικοῦ. ἀνώνυμοι γὰρ αἱ ἐπιτηδειότητες. ἡ γὰρ πυκτικὴ καὶ δρομική, αἱ κατ' ἐνέργειαν εἰσὶν ἐπιστῆμαι, ἀφ' ὧν πύκται καὶ δρομεῖς οἱ ποιοὶ λέγονται. οἱ γὰρ πυκτικοὶ καὶ δρομικοί, τοὺς δυνάμει ποιοὺς σημαίνουσιν, ἀπὸ ἐλπίδος ἧς ἕξουσιν ἕξεως παρωνομασμένους. ἔστι δὲ ὅπου τῇ μὲν ἕξει κεῖται ὄνομα, ὡς τῇ ἀρετῇ. τῷ δὲ κατ' αὐτὴν ποιῷ, οὐκέτι. οὐδὲ γὰρ λέγεται ἐνάρετος. ὁ δὲ σπουδαῖος, οὐκ ἀπὸ τῆς ἀρετῆς παρωνόμασται, οὐδὲ ὁ ἐνάρετος, ὥσπερ οὐδὲ ὁ ἐγγράμματος ἀπὸ τῆς γραμματικῆς. ἐπ' ἐνίων δὲ καὶ παραλλάττουσιν αἱ τῶν ὀνομάτων σημασίαι, περὶ τὴν τῶν πραγμάτων δήλωσιν, διὰ τὴν ἀνωμαλίαν τῆς χρήσεως. ὁ γὰρ δίκαιος, κατὰ μὲν τὸ ὄνομα, ἀπὸ τῆς δίκης παρωνόμασται. κατὰ δὲ τὰ πράγματα, ἀπὸ τῆς δικαιοσύνης. ὁ δὲ δικαιόσυνος, κατὰ μὲν τὴν λέξιν, ἀπὸ τῆς δικαιοσύνης. ὥσπερ καὶ ὁ εὐφρόσυνος ἀπὸ τῆς εὐφροσύνης. κατὰ δὲ τὰ πράγματα, οὐκ ἔχει παράθεσιν. διὰ ταῦτα οὖν πάντα προσέθηκε, τὸ, ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν. ἀντίκειται δὲ ταῦτα ἢ διὰ τὸ μὴ κεῖσθαι ταῖς ποιότησιν ὀνόματα ὡς ἐπὶ τῶν φυσικῶν δυνάμεων, ἢ διὰ τὴν συνήθειαν μὴ ἔχουσαν ἐν χρήσει τὸ ἕτερον, ὡς ἐπὶ τῆς ἀρετῆς καὶ ἐναρέτου. καὶ δῆλον ὅτι ἐπ' ὀλίγων μὲν ταῦτα συμπίπτει. τὰ δὲ πολλὰ παρωνόμασται ταῖς ποιότησιν, ἀφ' ὧν ἔχει τὸ ποιὰ εἶναι. αὕτη μὲν ἡ τῆς λέξεως σαφήνεια. ῥητέον δὲ λοιπὸν ἐπὶ τὰς καθ' ἕκαστα ζητήσεις τε καὶ διαλύσεις. πρὸ τούτου δὲ ἀκριβέστερον ἔτι τῶν εἰρημένων ποιητέον διάκρισιν. τὸ γοῦν σχῆμα οἱ στωϊκοὶ τὴν τάσιν παρέχεσθαι λέγουσιν, ὥσπερ καὶ τὴν μεταξὺ τῶν σημείων διάστασιν. διὸ καὶ εὐθεῖαν ὁρίζονται γραμμήν, τὴν εἰς ἄκρον τεταμένην. ἀλλ' οὕτως ἀναιρεθήσεται ἡ μαθηματικὴ οὐσία, ἥτις ἀκίνητός τε ἐστὶ καὶ ἀλλοιώσεως πάσης. καὶ διὰ τοῦτο καὶ τάσεως ἀπηλλαγμένη. εἰ δέ τις τὴν ἀσώματον οὐσίαν τῶν σχημάτων καὶ ἀμφισβητήσιμον εἶναι νομίζοι, εἴτε ἔστιν, εἴτε μέχρι ὑποστάσεως ὑπάρχει. νῦν δὲ οἴεται εἶναι τὸν λόγον περὶ τῶν ἐν τοῖς σώμασι σχημάτων, καὶ οὕτως ἐροῦμεν κατὰ Ἀριστοτέλην μὴ εἶναι τάσιν τὴν τοῦ σχήματος αἰτίαν. κίνησις γὰρ ἂν οὕτως καὶ μεταβολὴ γίνοιτο τῆς ποιότητος αἰτία. ὅπερ οὐκ ἀρέσκει τῷ Ἀριστοτέλει. ἀλλ' οὐδὲ ἔχει λόγον. ἐν ὅρῳ μὲν γὰρ ἡ ποιότης θεωρεῖται. ἀόριστον δὲ παρα-

μα ἡ κίνησις ἐστί, καὶ μάλιστα ἐφιεμένου τοῦ ὁρίζεσθαι. ὅταν δέ τις εἴπῃ τὰ σχήματα ὑποτίθεσθαι, τὰ μὲν ἀσώματα ὡς τὰς ἰδέας κύκλου τε καὶ τῶν ἄλλων σχημάτων ὁ Πλάτων φησί. τὰ δὲ, ὡς περὶ τοῖς σώμασι μεριζόμενα. καὶ τρίτα δὲ, κατὰ τὴν ἄλλην τινὰ μεταξὺ φύσιν, τῶν τε ἰδεῶν καὶ τῶν γινομένων ἔπεστι ζητεῖν. εἰ ἄλλως μὲν ἐστὶ τὰ ἀσώματα σχήματα, ἄλλως δὲ τὰ σωματοειδῆ. καὶ εἰ κατὰ τὸν κοινὸν λόγον ἀμφοτέρων τούτων νῦν τὰ σχήματα λέγεται, ἢ κατὰ μόνον τὸν ἐπὶ τῶν σωμάτων θεωρούμενον. καὶ πότερον τὸ διακρατοῦν ἐν τῷ ποιῷ σχήματι ἀπὸ ποιότητος ἐστὶ τοῦ σχήματος ὡς ἑτέρας οὔσης παρὰ τὸ διακρατούμενον, ἢ οὐ δὲ διακρατοῦν τί ἐστιν, ἀλλ' ἐν ἀποτελέσματος τάξει τὸ σχῆμα θεωρεῖται ἄλλως ἐπισυνιστάμενον τῇ φύσει τοῦ σώματος, κατ' αὐτὸ μόνον τὸ περιορίζεσθαι. ἀλλὰ κοινὸν μὲν σώματος καὶ ἀσωμάτου, οὐδὲν ἂν εἴη πρότερον εἶδος, ὡς ἕτερον ἀμφοῖν, εἰ μὴ ἄρα τις λέγοι τὰ ἀσώματα σχήματα, ὡς αἴτια παρέχοντα τοῖς ἐπὶ τῶν σχημάτων σώμασι καὶ σχήμασι, κοινὴν αὐτοῖς παρέχειν ἀρχικὴν δύναμιν. ἥτις συντάττει πρὸς ἑαυτὴν τὰ ὁρώμενα σχήματα, καὶ συνάγει. καὶ ὁμοῦ πάρεστι πᾶσι. καὶ κατὰ τοῦτο ἂν ἔχοι τὸ κοινόν. ἀλλ' οὐδὲν τοῦτο ταῖς Ἀριστοτέλους ὑποθέσεσι προσήκει. ὅθεν οὔτε τὸ διακρατοῦν ἐν τῷ σχήματι τῆς ποιότητος εὐλόγως ἄν τις θείη. οὐδὲ γὰρ οὕτως ἐνεργοῦσιν αἱ ποιότητες καθ' αὑτὰς, ἀλλ' ἔχονται μόνον. περὶ δὲ τοῦ ἐν ἀποτελέσματος τάξει εἶναι τὰ σχήματα, εἰ μέν τις οὕτως λέγοι αὐτὰ ὡς συμβεβηκότα συμπτώματα, κατά τε παρακολούθησιν, ἢ ὡς ἔτυχεν, οὐκ ἀποδεξόμεθα τὸν λόγον. οὐδὲν γὰρ τῶν κατὰ φύσιν γινομένων τοιαύτην ἔχει τὴν ὑπόστασιν. εἰ δὲ ὡς κατὰ μετουσίαν εἰδῶν τινῶν καὶ λόγων φυσικῶν, τὰ περὶ τοῖς σώμασι τοῖς φυσικοῖς σχήματα λέγει ἀπογεννᾶσθαι, παραδεξόμεθα καὶ συγχωρήσομεν τὸ σχῆμα εἶναί τε καθ' αὑτὸ, καὶ ἀπὸ τῆς τοιαύτης αἰτίας παράγεσθαι. ἐπειδὴ δέ τινες καὶ τὸ σχῆμα, ὥσπερ τὸ χρῶμα, καὶ τὸ γλυκὺ καὶ τὸ σκληρὸν ἐν τοῖς πρός τι τίθενται ὡς πρὸς αἴσθησιν λεγόμενα, δηλονότι οὗτοι πάντα συμφύρουσιν. οὕτω γὰρ καὶ ἡ οὐσία καὶ τὰ ἄλλα γένη ὡς αἰσθητὰ πρός τι ἔσται. ἀλλὰ χρὴ αὐτὰ ἕκαστα καθ' ἑαυτὰ διαιροῦντας, ἐν οἰκείοις γένεσι τιθέναι, καὶ τότε ὡς αἰσθητὰ πρὸς αἴσθησιν τῷ πρός τι λέγειν. περὶ δὲ τῆς μορφῆς ἐπισκεπτέον, εἰ κατὰ τὸ ποιὸν σχῆμα ἡ μορφὴ ὑφίσταται ὥς τινες οἴονται, καὶ διὰ τοῦτο συνέταξεν αὐτὴν τῷ σχήματι. οὔτε γὰρ τῷ Ἀνδρονίκῳ δοκεῖ τοῦτο, οὔτε ἀληθές ἐστιν. οὐ δοκεῖ μὲν γὰρ, διότι τὸ σχῆμα ἁπλῶς εἰπὼν, τὴν μορφὴν οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ τὴν περὶ ἕκαστον ὑπάρχουσαν μορφήν. ἡ γὰρ ἐν τούτοις ἀκριβολογία, διΐστησιν αὐτὰ σαφῶς ἀπ' ἀλλήλων. τὸ μὲν γὰρ σχῆμα παρίστησιν ὡς κοινόν τι καὶ πλείοσιν ὑπάρχον κατὰ τὸν ἀριθμὸν, ἢ κατὰ τὸ εἶδος διαφέρουσι. τὴν δὲ μορφὴν ἐνδείκνυται, ὡς μετὰ τῶν καθ' ἕκαστα σωμάτων φυσικῶν ἀποτελευτῶσαν. ὅταν οἱ μεριζόμενοι περὶ τοῖς αἰσθητοῖς τῶν γινομένων λόγοι, ἔσχατον ἴχνος ἀφ' ἑαυτῶν ἀποτυπώσωνται ἐν τοῖς σώμασιν, οἰκεῖον καὶ πρόσφορον αὐτῷ τῷ καθ' ἕκαστον λόγῳ. διὰ ταῦτα μὲν οὖν, οὐκ ἄν τις ἀρέσκειν αὐτῷ φαίη τὸ μετὰ τοῦ σχήματος συνυφίστασθαι καὶ τὴν μορφήν. ὅτι δὲ, οὔτε ἔχει ὀρθότητα ἡ τοιαύτη δόξα, ῥᾴδιον ἐντεῦθεν καταμαθεῖν. τὸ μὲν γὰρ σχῆμα, κατὰ τὸ πέρας τοῦ ὄγκου νοεῖται. ἡ δὲ μορφὴ, κατὰ τὴν ἀποτελεύτησιν τοῦ εἴδους. καὶ τοῦ μὲν σχήματος, καὶ ἡ συμμετρία καὶ ἡ ἀσυμμετρία, κατὰ τὰ μήκη καὶ πλάτη νοεῖται. τῆς δὲ μορφῆς,

κατὰ τὴν εὐμορφίαν ἢ ἀμορφίαν. οὐκ ἀπηλλαγμένως τῆς ἐπὶ τὸ εἶδος ἀναφορᾶς. δι' ὃ δὴ οὐδὲ ταὐτὰ νομιστέον ταῦτα ἀλλήλοις, οὔτε ἑκατέρου τὸ ἕτερον ἐξηρτῆσθαι. ἐὰν οὖν λέγωμεν, ὅτι κατὰ τὰ ἀποτυπώματα τῶν εἰδῶν, καὶ τὰ ἔξωθεν φαινόμενα εἴδωλα τὸ εὔπλαστον αὐτῶν καὶ διασῶζον τὸ τῶν εἰδῶν ἴχνος, καὶ δυνάμενον συντάττεσθαι πρὸς τὸν λόγον αὐτῶν σύμμετρον. τὸ δὲ ἐναντίον τούτου, ἀσύμμετρον. καὶ κατὰ τὴν τοιαύτην δὲ συμμετρίαν τε καὶ ἀμετρίαν, ἡ μορφὴ θεωρεῖται. οἰκειότερον ἂν ἀποδιδοῖμεν τὸν περὶ αὐτῆς λόγον. οὐ μέντοι τοῦτό φησιν Ἰάμβλιχος συμπληροῦσθαι τὴν μορφήν, εἴποι μὲν ἄν τις ἐκ ποιῶν σχημάτων τε καὶ συμμετριῶν, καὶ ἐκ ποιᾶς χροιᾶς, καὶ μανότητος καὶ πυκνότητος. ἡ γὰρ τοιαύτη διάταξις, συνάγει πολλὰ εἰς ταὐτό, ἅπερ Ἀριστοτέλης διακεκριμένως διέταξεν. οὐκ ἐᾷ τε ἡμᾶς καθαρὰν τῆς μορφῆς τὴν ἰδιότητα ὑπολαβεῖν. ταῦτα πάντα καὶ κατὰ λέξιν οὕτω περὶ τῆς μορφῆς τοῦ Ἰαμβλίχου διαταττομένου, ἄξιον προσέχειν τὸν νοῦν. μήποτε ἀκόλουθόν ἐστι καὶ τοῖς ὑπ' αὐτῶν λεγομένοις, τὸ τὴν μορφὴν καὶ τοῦ σχήματος καὶ τοῦ χρώματος περιεκτικὴν λέγειν. εἰ γὰρ κατὰ τὴν ἀποτελεύτησιν καὶ τὴν ἐπιφάνειαν τοῦ εἴδους θεωρεῖται, τὸ δὲ εἶδος πάντων ἐστὶ περιεκτικὸν καθ' ἕνα λόγον, καὶ τὸ πέρας ἂν αὐτοῦ τὰ πάντων πέρατα περιέχοι. κἂν συμπληροῦσθαι οὖν ὑπὸ τῶν ἄλλων λέγοιτο ἡ μορφή, οὐκ ἐκ μερῶν ἢ στοιχείων ἀλλ' ἡνωμένως αὐτὰ οὖσα, οὐδὲν ἄτοπον λέγοιτο. οἱονεὶ ἡ σύλληψις οὖσα πάντων. ὁρᾷς γοῦν καὶ τὴν εὐθύτητα καὶ καμπυλότητα κοινὴν σχήματός τε καὶ μορφῆς αὐτὸς εἰπὼν εἶναι, καὶ οὐδὲν ἄτοπον ἐδόκει μετὰ τὸ τὰ ἴδια παραδεδωκέναι, καὶ κοινῶς τὸ ὑπάρχον ὑποδεῖξαι. λέγει δὲ καὶ τὴν σιμότητα καὶ γρυπότητα τῆς ῥινός, μὴ δεῖν προηγουμένως εἰς τὴν μορφὴν ἀνάγειν, ἀλλὰ μᾶλλον εἰς τὴν καμπυλότητα, καλῶς προσθεὶς τὸ προηγουμένως. ὥσπερ γοῦν ἡ μορφὴ ἁπλῶς, οὐχ ὑπὸ σιμότητος ἢ γρυπότητος, ὥσπερ οὐδὲ ὑπὸ λευκότητος ἢ μελανίας, ἀλλ' ὑπὸ καμπυλότητος καὶ ὅλως σχήματος, ὥσπερ καὶ ἀπὸ χρώματος συμπληροῦται. καλῶς δὲ καὶ τοῦτο προσκείμενον οὐ παραλειπτέον, ὅτι κοινότης ἐν πᾶσι τοῖς κατὰ τὸ τέταρτον εἶδος τῆς ποιότητος εἰρημένοις θεωρεῖται ἡ ἐσχάτη περιγραφὴ καὶ ὁ τελευταῖος ὅρος τῶν κατὰ διάστασιν, ἢ κατ' ἄλλην τινὰ ἰδιότητα δυνάμεως ἀπολήγοντων. φαίνεται δὲ εἰκότως οὖσα καὶ αὕτη, ἐπειδὴ περὶ τὴν τελευτὴν τῆς φύσεως ἀφορίζεται. καὶ διὰ τοῦτο καὶ πολύχουν τοῦτο τὸ γένος ἐστί, καὶ διαφοραῖς χρῆται πλείοσι. καὶ περὶ τοῦ μανοῦ δὲ καὶ πυκνοῦ, ἔχοι ἄν τις πρὸς τὴν αἰτίαν τοῦ Ἀριστοτέλους ἀντιλέγειν. τὸ γὰρ διαστάσει τῶν μορίων ἀπ' ἀλλήλων ἢ τῇ συνεγγὺς θέσει, τὸ μανόν, ἢ καὶ τὸ πυκνὸν ἀφορίζεσθαι, τὴν Δημοκρίτου αἵρεσιν βεβαιοῖ. καὶ γὰρ ἐκεῖνος συνιόντα εἰς ταὐτὸν τὰ ἄτομα σώματα, συνιστᾶν τὸ πυκνόν φησι. διϊστάμενα δὲ ἀπ' ἀλλήλων, καὶ μεταξὺ πολλὰ κενὰ διαλαμβανόμενα, τὸ ἀραιὸν ἀπεργάζεσθαι. ταῦτα δέ ἐστιν ἄτοπα. εἴτε γὰρ ἥνωται ἡ ὕλη, καὶ συμπαθής ἐστι πρὸς ἑαυτήν, καὶ δι' ὅλου ποιά ἐστι τὰ ποιά, δῆλον ὅτι καὶ τὰ ἀραιὰ καὶ τὰ πυκνὰ δι' ὅλων ἡνωμένα, συμπαθῆ ἐστι πρὸς ἑαυτά. ὁ δὲ τοῖς διαστήμασι τὴν αἰτίαν ἀποδιδούς, ἐπιγέννημα ποιεῖ τὸ ποιὸν τῆς κατὰ σχέσιν θέσεως. πρὸς δὴ ταῦτά φησιν Ἰάμβλιχος, διότι

εἶναι τιθέμενοι τὸ μανὸν καὶ πυκνόν. τὸ μὲν, ἐν τοῖς εἴδεσιν. ὃ καὶ διόλου πάρεστι, καὶ οὐσιῶδές ἐστι. καὶ ἕξεως μᾶλλον οἰκεῖον θεωρεῖται, ὁποῖον τὸ μανὸν τοῦ ἀέρος, καὶ τὸ πυρὸς καθ' ὅσον αὐτοῖς ὑπάρχον. ἄλλο δὲ ἐπίκτητον καὶ ἔξωθεν ὡς ἐν σχήματι θεωρεῖται, ὅπερ ἐν τοῖς σπόγγοις καὶ τῇ κισσήρει φαίνεται. οὐ κενοῦ τινὸς τοῦ μεταξὺ παρεμπίπτοντος, ἀλλὰ τῶν στερεῶν σχημάτων κατὰ σχῆμα περιγραφομένων, καὶ ἐν ταύταις ταῖς περιγραφαῖς τὰ λεπτότερα σώματα περιεχόντων. ὥστε οὐ πᾶσα μανότης καὶ πυκνότης ἀπήλλακται θέσεως. ἐπειδὴ ἡ οὐσιώδης μανότης καὶ πυκνότης, οὐδαμῶς ἐστι κατὰ θέσιν. ἐκείνη γὰρ ἡ κατὰ σχῆμα θεωρουμένη, κυρίως κατὰ τὴν θέσιν τῶν ποιῶν σχημάτων ἀφώρισται. ὅθεν καὶ κωλύεται ποιότης εἶναι. οὐ γὰρ ὁρίζεται τῆς θέσεως, ἀλλὰ κατ' αὐτὴν ἀποδίδοται. τῆς δὲ Δημοκρίτου δόξης διέστηκεν αὕτη. ἐπειδὴ οὐ περὶ τῆς ἐν στοιχείοις μανότητος καὶ πυκνότητος διατέτακται ταῦτα, ἀλλὰ περὶ ταύτης, ἥτις ἐπὶ ταῖς μορφαῖς καὶ τοῖς σχήμασιν ἐπισυνίσταται. τὰ δὲ ἐν τοῖς στοιχείοις εἴδη τε ἐστὶ καὶ διόλου μανὰ καὶ πυκνά, οὐδαμῶς μεταξὺ διειργόμενα ὑφ' ἑτέρου. οὐδὲ κενοῦ. οὐδὲ σώματος. τὰ μέντοι κατὰ σχήματα δεύτερα ἐπισυνιστάμενα, καὶ τῷ παρεκτείνεσθαι πυκνὰ καὶ ἀραιὰ λεγόμενα, οὐχὶ ποιότητος τὴν αἰτίαν ἔχει, ἀλλὰ θέσιν τῆς τε πυκνότητος, καὶ τῆς ἀραιότητος. ὡσαύτως δὲ καὶ περὶ τοῦ λείου καὶ τραχέος. καὶ ἀπορεῖν δύναται τις καὶ λύειν τὰ εἰρημένα. Εὔδωρος δὲ ἀπορεῖ. τί δή ποτε τὸ μὲν μανὸν καὶ πυκνὸν καὶ λεῖον καὶ τραχὺ, θέσιν σημαίνει. οὐκέτι δὲ καὶ ἡ καμπυλότης καὶ ἡ εὐθύτης. Πρὸς ὃ ῥητέον. ὅτι περὶ ἄλλα μὲν θεωρεῖται ἡ θέσις τὰ ἐν τόπῳ ὄντα σώματα, ἢ περὶ τὰς γραμμὰς τὰς ἐν τῇ ἐπιφανείᾳ οὔσας. ἡ μέντοι εὐθύτης καὶ ἡ καμπυλότης, περὶ τὰ θέσιν ἔχοντα τὸ ποιὸν ἀφορίζει. οὔτε ἐν θέσει οὖσα, οὔτε κατὰ τοῦτο ἀποδιδομένη.

Οἱ δὲ περὶ τὸν Μνήσαρχον, καὶ τὴν μανότητα καὶ πυκνότητα, ποιότητας φιλονεικοῦσι δεικνύναι, τὸ πῦρ μανὸν εἶναι παρατιθέμενοι, καὶ τὸν ἀέρα. τὴν δὲ γῆν, πυκνήν. οὐ κατὰ θέσιν, ἀλλὰ κατὰ ποιότητα. Ῥητέον δὲ πρὸς αὐτοὺς ὡς καὶ ἐν τοῖς κατὰ τὸν θεῖον Ἰάμβλιχον ἑκάτερον τούτων δύο σημαίνει. καὶ θέσιν μορίων, καὶ ποιότητα. θέσιν μὲν, ὡς ἐπὶ τῶν ὑφασμάτων. ποιότητα δὲ, ὡς ἐπὶ τοῦ ἀέρος. διακρίνειν δὲ ταῦτα ἐν εἰσαγωγῇ, οὐκ ἦν ἀναγκαῖον. καὶ γὰρ, ἄλλο μέν ἐστι μανὸν, οὗ τὰ μόρια ἀφέστηκεν ἀπ' ἀλλήλων. οὐχ ὅτι κενόν ἐστι μεταξὺ, ἀλλ' ὅτι ἑτερογενὲς σῶμα λεπτότερον. ὁ μέντοι ἀὴρ, οὐ τῷ ἀφεστάναι ἀπ' ἀλλήλων τὰ μόρια αὐτοῦ μανός ἐστιν, ἀλλὰ τὸ κοῦφος εἶναι καὶ εὐδιαίρετος. διόπερ τῶν κατὰ ποιότητα ἂν εἴη τοῦτο, ἀλλ' οὐ τῶν κατὰ θέσιν. τῷ δὲ τοιούτῳ μανῷ φησὶν Ἰάμβλιχος, οὐ τὸ πυκνὸν, ἀλλὰ τὸ στερεὸν ἀντιτάξομεν. ᾧ τὸ δυσδιαίρετον ὑπάρχει καὶ βαρύ. καὶ τὸ μὲν τοιοῦτον, κατὰ ποιότητα ἔσται. τὸ δὲ κατὰ θέσιν, ὑπὸ τὰ πρός τι ἀναχωρήσεται. Ἐπιστῆσαι δὲ ἄξιον, ποῖον τοῦ στερεοῦ σημαινόμενον ἀντίκειται τῷ μανῷ. εἰ μὲν γὰρ τὸ τριχῇ διαστατὸν, ἡ ἐπιφάνεια τούτῳ καὶ ἡ γραμμὴ ἀντίκειται. εἰ δὲ τὸ ἰσχυρὸν, τὸ σαθρὸν ἂν εἴη τούτῳ ἀντικείμενον. εἰ δὲ τὸ δυσδιαίρετον, εἰ μὲν διὰ τὴν σκληρότητα ἔχει τοῦτο, τῷ μαλακῷ αὐτῷ ἀντίκειται. εἰ δὲ διὰ τὴν πυκνότητα, τὸ ἀραιόν. καὶ εἴη ἂν τῷ μανῷ κυρίως, οὐ τὸ στερεὸν, ἀλλὰ τὸ πυκνὸν ἀντικείμενον.

Πλωτῖνος μὲν γὰρ οὐκ ἀξιοῖ δύο σημαινόμενα τῆς μανότητος καὶ πυκνότητος ἀκούειν. τὸ μέν, ὑπὸ τὸ πρός τι. τὸ δέ, ὑπὸ τὸ ποιὸν ἀναγόμενον, ἀλλὰ μόνην ποιότητα ὁρᾷ. οὔτε γὰρ ἐν διαστάσεσιν εἶναι τὰ μανὰ καὶ πυκνά. κἂν τοῦτο δέ τις φησὶ συγχωρήσειε ποιότητα εἶναι καὶ τὴν διάστασιν. πρὸς ὃ ῥητέον. ὅτι τὸ διττὸν τοῦτο τῆς φύσεως, οὐκ ἔδει συγχεῖν. φιλοσόφου γὰρ ἀνδρός ἐστι, καὶ τὰς ἐν τοῖς κοινωνοῦσι διαφορὰς ἀπολογίζεσθαι. ἀλλ' οὐδέ, φασί, τὴν διάστασιν αἰτιώμενον, ὑπ' ἄλλην ἀνάγειν κατηγορίαν. ἥνωται γὰρ ἡ οὐσία καὶ μία ἐστίν. ἀλλ' εἴρηται καὶ πρότερον ὅτι Ἀριστοτέλης, οὐ τὰς πρώτας καὶ στοιχειώδεις τῶν μορίων θέσεις αἰτιᾶται, ἀλλὰ τὰς ἐν τοῖς συνθέτοις ἤδη περιγραφείσας. αἵτινες εἰργόμεναι ὑπὸ λεπτοτέρων σωμάτων, διαφεύγουσι τὴν αἴσθησιν, πῶς ἔχουσι τὸ ἐν διαστάσει συγκινούμεναι. οἱ δὲ στωϊκοί, δύναμιν ἢ μᾶλλον κίνησιν τὴν μανωτικὴν καὶ πυκνωτικὴν τίθενται. τὴν μέν, ἐπὶ τὰ ἔσω. τὴν δέ, ἐπὶ τὰ ἔξω. καὶ τὴν μέν, τοῦ εἶναι. τὴν δέ, τοῦ ποιὸν εἶναι νομίζουσιν αἰτίαν. ἀλλ' οὐδὲν ταῦτα τοῖς νῦν λεγομένοις ἐνίσταται, ἕως ἂν μὴ περὶ τῶν ἐν τῇ φύσει λόγων, ἀλλὰ περὶ τῆς ἐπισκευαστικῆς μανότητος, τῆς κατὰ διάστασιν θεωρουμένης ἐστὶ νῦν ὁ λόγος. οἱ δὲ περὶ τὸν Ἀχαϊκὸν παραιτοῦνται καὶ εἰς τὸ πρός τι ἀνάγειν τὴν μανότητα, καὶ εἰς ἕτερόν τι πέμπτον εἶδος ποιότητος. ἀλλὰ οὐδὲ εἰς τὰς παθητικὰς αὐτὴν τιθέασιν ὡς Ἀνδρόνικος, ἀλλ' εἰς τὰς ἐν τῷ τετάρτῳ γένει. λεπτότητα μὲν καὶ κουφότητα ἕπεσθαι μανότητι λέγοντες. παχύτητα δὲ καὶ βαρύτητα, πυκνότητι. ἀλλὰ πῶς μανότητα καὶ πυκνότητα εἰς τὸ τέταρτον εἶδος ἀνάξουσι κατὰ τὰς ἀριστοτελικὰς ἐννοίας, ἄδηλον. τοῦ Ἀριστοτέλους σαφῶς αὐτὰς τῆς ποιότητος ἐξοικίσαντος. εἰ δὲ καὶ ποιότητές εἰσι, πῶς ὑπὸ τὸ τέταρτον γένος ἀναχθήσονται. αὗται μὲν ὅλαι δι' ὅλου χωροῦσι τοῦ ὑποκειμένου. τὸ δὲ τετάρτῳ γένει, κατὰ τὸ ἐπιπολῆς θεωρούμενον. ἐπεὶ δέ τινες ἐνταῦθα καὶ τὸν περὶ βαρύτητος καὶ κουφότητος λόγον ἐπεισάγουσιν, ἀνάγκη καὶ περὶ τούτου, ὀλίγα διελθεῖν καὶ φάναι. ὅτι τὸ μὲν κατὰ τὸν σταθμὸν βαρὺ καὶ κοῦφον τῷ ἐπὶ πλείονι καὶ ἐλάττονι χρώμενον, ποσὸν ἂν εἴη, εἴπερ καὶ Ἀρχύτας ἓν εἶδος τοῦ ποσοῦ κατὰ τὴν ῥοπὴν καὶ τὸν σταθμὸν ἀφωρίσατο. αἱ δὲ περὶ τοῖς σώμασιν ἰδιότητες καθ' ἃς κοῦφος ὁ ἀὴρ λέγεται καὶ κουφότερον τὸ πῦρ τοῦ ἀέρος, βαρεῖα δὲ ἡ γῆ καὶ βαρυτέρα τοῦ ὕδατος, αὗται ποιότητα ἐμφαίνουσιν. ὡσαύτως δὲ καὶ τὸ ἰσχνὸν καὶ παχύ. τὰ μέν, ἐν τῷ ὄγκῳ καὶ μετρούμενα κατὰ τοῦτον ἐν τῷ ποσῷ θεωροῦνται. τὰ δὲ ἐν τῇ ἰδιότητί τινι τοῦ χαρακτῆρος κατὰ τὸ ποιόν. ὅσα οὖν τούτων μὴ τῷ ποσῷ συντακτέα ἀλλὰ τῷ χαρακτῆρι καὶ τῷ ποιῷ, πότερον ἐν ἄλλῳ εἴδει τακτέα παρὰ τὰ εἰρημένα τέτταρα τῆς ποιότητος, ὥσπερ Ἀνδρόνικός τε καὶ Πλωτῖνος ὑπολαμβάνουσιν, ἢ ἔνεστιν ὑφ' ἓν αὐτὰ τῶν τεττάρων προσβιβάζειν. τοῦτο δέ ἐστι σαφές, ἐὰν περὶ αὐτῆς τῆς βαρύτητος καὶ κουφότητος γνωσθῇ, τίνες εἰσί. καὶ γὰρ εἰ μὲν ἡ θερμότης ἀναπλοῦσα τὰ σώματα, ποιεῖ ταὐτὸν ἑαυτῇ τὸ κοῦφον. καὶ ἡ ψυχρότης συνάγουσα, ποιεῖ ταὐτὸν ἑαυτῇ τὸ βαρύ, εἰς τὰς παθητικὰς καὶ ταῦτα ποιότητας ἀναχθήσεται. εἰ δὲ τῷ μὲν θερμῷ παρακολουθεῖ ἡ κουφότης, τῷ δὲ ψυχρῷ ἡ βαρύτης, καὶ εἰσὶ ποιητικαὶ ἥ τε θερμότης καὶ ἡ ψυχρότης, τὸ δὲ βαρὺ καὶ κοῦφον, οὔτε ποιεῖν τι οὔτε πάσχειν πέφυκε, δόξουσιν ἐκεῖναι μέν, εἰς τὰς παθητικὰς ποιότητας ἀνάγεσθαι. αὗται δέ, εἰς ἄλλο τι γένος ἴδιον. καὶ εἰ

μὲν κατ' οὐδὲν ἂν τοῖς στοιχείοις ὑπάρχοιεν, δόξουσι μηδὲ εἶναι ποιότητες. τὸ δὲ καὶ τὸ διειλημμένον αὐταῖς ποιόν ἐστι, καὶ λέγεται ποιόν, καὶ ἀπὸ τῆς οὐσιώδους διαφορᾶς ἐγγίνεταί τις ἐν τοῖς μετέχουσι σώμασι μορφωτικὸς χαρακτήρ, εἴη ἂν καὶ ταῦτα ποιά. δοκεῖ δέ τισιν οὕτως πολύχουν εἶναι τὸ τῆς ποιότητος γένος, ὡς πάσαις ταῖς κατηγορίαις συνυπάρχειν. εἶναι γὰρ τὰς μὲν, οὐσιώδεις, ὡς ἀνθρωπότητα καὶ σωκρατότητα. τὰς δὲ, ἐπὶ τοῦ ποσοῦ, οἷον, γραμμῆς τὴν εὐθύτητα καὶ καμπυλότητα. καὶ ἐπὶ ἀριθμῶν, τοὺς τριγώνους καὶ τοὺς τετραγώνους ἀριθμούς. καὶ ἐν ποιότητι δὲ, ποιότης θεωρεῖται, ὡς ἐν χρώμασι τὸ διακριτικὸν καὶ συγκριτικόν. καὶ ἐν τοῖς πρός τι, ἡ σχέσις τοῦ διπλασίονός τε καὶ ἡμίσεος. καὶ ἐν τῷ ποῦ, ὅταν εὐάερον τόπον λέγωμεν καὶ δυσάερον. καὶ ἐν τῷ πότε, ὁ καιρὸς καὶ ἡ εὐκαιρία. καὶ ἐν τῷ ποιεῖν καὶ πάσχειν, αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητες. καὶ ἐν τῷ κεῖσθαι δὲ, τὸ εὔθετον καὶ μή. καὶ ἐν τῷ ἔχειν, τὸ εὐπερίβλητον καὶ μὴ τοιοῦτον. φθάνειν δέ φασι καὶ ἐπὶ τὰ ἀνύπαρκτα, ὥστε τὴν ἱπποκενταυρότητα. καὶ ἐπὶ τὰ μὴ ὑπαρκτὰ ὄντα, ὥστε τὴν τεττιγότητα χειμῶνος. μὴ ὑπαρκτὰ δὲ λέγουσι, τὰ πεφυκότα μὲν εἶναι, οὐ μὴν κατὰ τόνδε τὸν καιρὸν, ἢ τόνδε τὸν τόπον. τούτων δὲ τὰ μὲν, τῷ σχήματι μόνῳ τῆς λέξεως ἐμφαίνει τὴν ποιότητα, ὡς ἡ ἀνθρωπότης καὶ ἡ σωκρατότης, οὐκ ὄντα ποιά. τὰ δὲ, ὅλως οὐδὲ ὑφέστηκεν, οὔτε ἔχει τινὰ διάνοιαν, ὡς ἡ ἱπποκενταυρότης. καὶ ἐν χειμῶνι, ἡ τεττιγότης. τίς γὰρ ἂν γένοιτο τῶν μὴ ὄντων ποιότης, τοιάδε ταῦτα παρεχομένη. περὶ δὲ τῶν ἄλλων ῥητέον. τὰς μὲν ἐν ποιότητι διαφορὰς, ποιότητος μόνης εἶναι οἰκείας. τὰς δὲ ἐπὶ τῶν ἄλλων κατηγοριῶν θεωρουμένας, ἧς ἂν ἑκάστης κατηγορίας ὑπάρχωσι συμπληρωτικαὶ τοῦ οἰκείου ἑκάστης λόγου, μηδαμῶς ἐκβαίνειν ἀπὸ τῆς ἐν ἑκάστῃ ἰδιότητος ἐπὶ τὸ τῆς ποιότητος γένος. ἐπ
ὰν δὲ συμβαίνωσιν ἄλλως ὡς ἔξωθεν αὐτῶν ἀφορίζουσι τὸν χαρακτῆρα, ποιότητας τὰς τοιαύτας νομισθῆναι, διασωζούσας καὶ ἐν τούτοις τὸ ἐκ περὶ οὐσίας τοῦ εἶναι προσθήκην. μήποτε δὲ σαφέστερον ὧδε περὶ αὐτῶν ῥητέον. ὅτι ἐν μὲν οὐσίαις ποιότης θεωρεῖται, κατὰ τὰς οὐσιώδεις διαφοράς. ἐν δὲ τοῖς ἄλλοις γένεσιν, οἰκείως ἐν ἑκάστῳ τὴν ἰδιότητα τοῦ γένους ἀφορίζουσα. τοῦτο γὰρ ποιότητος ἴδιον. Ἀλλ' ἐπεὶ καὶ τὰς ἀπορίας καὶ τὰς λύσεις τῶν ἀποριῶν διεληλύθαμεν, καλῶς ἂν ἔχοι καὶ τὰς θεωρητικωτέρας ἐπιστάσεις τοῦ Ἰαμβλίχου περὶ τοῦ τετάρτου εἴδους τῆς ποιότητος πρὸς τὸ σαφέστερον ἀναγράψαι. καὶ γὰρ ἐφιστάνει, ὅτι Πλάτων μὲν τὰ σχήματα προηγούμενα τῆς συστάσεως τῶν σωμάτων ὡς αἴτια τοῖς σώμασι τοῦ εἶναι, καὶ τῶν ποιοτήτων τὰς διαφορὰς, ἀπὸ τῆς τῶν σχημάτων διαφορᾶς ἀπολογίζεται, θερμὸν εἶναι λέγων, τὸ ἀπὸ τῶν ὀξυγωνίων σχημάτων συγκείμενον, οἷαί εἰσιν αἱ πυραμίδες. καὶ ψυχρὸν, τὸ ἀπὸ τῶν ἧττον τοιούτων. οἷον τὸ εἰκοσάεδρον. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὐ τὰ μαθηματικὰ σχήματα παραλαμβάνων. ἐκεῖνα γὰρ, οὔτε ἔνυλα ἐστὶν, οὔτε φυσικὰ, οὔτε ἐν κινήσει θεωρούμενα, ὥσπερ τὰ Πλάτωνος ἐπίπεδα. ταῦτα γὰρ καὶ ἔνυλα, καὶ φυσικὰ τίθησιν ὁ Πλάτων. ὁ μέντοι Ἀριστοτέλης, οὔτε ἀρχὰς τῶν στοιχείων ὑποτίθεται εἶναι τὰ σχήματα ὥσπερ ὁ Πλάτων, οὔτε ἀκίνητα καὶ ἀσώματα καὶ ἄυλα ὥσπερ οἱ μαθηματικοί, ἀλλ' ἔνυλα μὲν, ἐπισυνιστάμενα δὲ τοῖς σώμασι.

καὶ τὸ ἐπιφάνειαν αὐτῶν ὁρίζοντα καὶ μορφοῦντα ὑποτίθεται. ἀλλ᾽ οὐ δὲ ἡ τῶν στωϊκῶν δόξα, λεγόντων σώματα εἶναι τὰ σχήματα, ὥσπερ καὶ τὰ ἄλλα ποιὰ, συμφωνεῖ τῇ ἀριστοτέλους δόξῃ περὶ σχημάτων. διότι τὸ μὲν σῶμα, ἐν ποσότητι θεωρεῖται. ἡ δὲ ποιότης, ἑτέρα τοῦ ποσοῦ ὑπάρχει. μέση τοίνυν ἐστὶν ἡ ἀριστοτέλους δόξα, τῶν τε ἀσώματα τὰ σχήματα λεγόντων πάντῃ, καὶ σωματικά. ἀρχύτας δὲ, καλῶς τὴν τοιαύτην δόξαν διεσάφησεν, οὐκ ἐν σχήματι εἶναι τὴν τοιαύτην εἰπὼν ποιότητα, ἀλλ᾽ ἐν σχηματισμῷ. ἐνδεικνύμενος τὸ περὶ τοῖς σώμασιν ὑφεστηκὸς τοῦ γένους τῆς τοιαύτης ποιότητος. καὶ ὅτι μετασχηματιζομένων ἤδη τῶν σωμάτων, αἱ τοιαῦται ποιότητες συνίστανται. ἄλλων μὲν ὄντων τῶν μετασχηματιζομένων, κατ᾽ ἄλλα δὲ ἱσταμένων τῶν ποιοτήτων, κατὰ τὰ σχήματα καὶ τὰς μορφὰς μετὰ τὴν πλάσιν. καὶ ἐπ᾽ αὐταῖς ταῖς τροπαῖς τὸ πέρας αὐτῶν ἀφοριζουσῶν. ἔτι δὲ δηλοῖ, καὶ τὸ μὴ δι᾽ ὅλου εἶναι τὰ σχήματα, ἀλλ᾽ ἐπιπολῆς μόνον. τὰ γὰρ σχηματιζόμενα καὶ μὴ ὄντα σχήματα, ἔξωθεν ἔχει περικείμενον ἑαυτοῖς τὸ σχῆμα. ἔτι τοίνυν τὸ μὴ κατ᾽ ἐνέργειαν ἐξ ἑαυτῶν, ἀλλὰ κατὰ παραδοχὴν ἀπ᾽ ἄλλου συνίστασθαι τὰς τοιαύτας ποιότητας, ἱκανῶς ἐμφαίνει τὸ σχηματιζομένας λέγεσθαι, ἀλλὰ μὴ σχηματιζούσας. διαφαίνεται δὲ ἀπὸ τοῦ αὐτοῦ, καὶ τὸ μὴ κατὰ τελειότητα πρώτην, ἀλλὰ κατὰ τελείωσιν εἰς ἄλλο ἀναγομένην συνίστασθαι τὰς τοιαύτας ποιότητας. ἀλλ᾽ ὁ μὲν ἀρχύτας, ἑνὶ ἠρκέσθη ὀνόματι τοῦ γένους τούτου τῷ σχηματισμῷ, εἰωθὼς καὶ ἐν τοῖς ἄλλοις γένεσι τῆς ποιότητος ἓν ἐφ᾽ ἑνὶ ἀφορίζεσθαι. οὐ μέντοι πλείονα ἑνὸς παραστατικὰ λέγειν, οὐδὲ εἰς πολλὰ διαιρεῖν τὸ ἕν. ὁ δὲ ἀριστοτέλης ποιεῖ. οὐκ ἀφιστάμενος μὲν οὐδὲ αὐτὸς τοῦ ἑνὸς, περὶ δὲ τὸ ἓν τὸ πλῆθος συνθεωρῶν. ἀλλὰ ὅτι τὸ γένος τοῦτο τῆς ποιότητός ἐστι. καὶ πῶς ἓν ὄν, περιέχει πολλὰς ἐν ἑαυτῷ διαφοράς. καὶ ὥσπερ καὶ πρότερον εἴρηται, περιγραφὴ περὶ τοῖς σώμασιν ἐστὶ συμφυὴς τοῖς σώμασιν ἡ τῶν σχημάτων ἀποπεράτωσις κατὰ τὴν οὐσιώδη διάστασιν καὶ φυσικὴν καὶ ἀνάλογον τύπον ἀφοριζομένη. ἥτις καὶ ἐν κινήσει καὶ ὕλῃ νοεῖται. ὥσπερ δὲ τῆς διαστάσεως τὸ τέλος ἐστὶ τὸ σχῆμα, οὕτως ἡ τοῦ ὅλου εἴδους ἀποτελεύτησις, ἄχρι τῆς ἐπιφανείας τὴν μορφὴν ἀπογεννήκασιν, οὖσαν αὐτὴν τὸ φαινόμενον ἴχνος τοῦ εἴδους, καὶ τελευταίαν ἔκτασιν τῆς τοῦ λόγου ὅλου τὰ ἐκ τῆς προόδου. ὁμοίως δὲ καὶ ἡ εὐθύτης τῆς ἰσότητος τῶν λόγων, τὸ ἔσχατον εἶδος συνεμφαίνει. καὶ ἡ καμπυλότης τῆς ἀνισότητος. εἰ μέντοι καμπυλότητά τις λαμβάνοι τὴν περιφερῆ γραμμήν, καὶ οὕτως τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς τοῦ λόγου ἔλλαμψιν ἐμφαίνει. καὶ πάντα ταῦτα κατὰ τὴν ἔξω προελθοῦσαν ἀποπεράτωσιν. καὶ ὅρα ὅπως συνεγγύς ἐστι ταῦτα, καὶ οὐ πόρρω ἀλλήλων κατὰ τὸ ἔσχατον καὶ ἐπιπολῆς εἴδωλον, κατὰ τὸ περιωρισμένον τῆς περιγραφῆς θεωρούμενον. διὸ καὶ ὑφ᾽ ἓν τάττεται γένος. καθόσον δὲ ὁ τρόπος τῆς τῶν ἐσχάτων ἰδιότητος διώρισται καθ᾽ ἓν ἕκαστον ἑτερότητι, κατὰ τοῦτο ἴδιον εἶδος ἐφ᾽ ἑκάστων τούτων χωρὶς ἀναπέφηνε, καὶ πλείονα θεωρεῖται. καὶ οὕτως ἀμφότερα σώζεται. ἥ τε τῶν πλειόνων διαφορότης κατ᾽ εἴδη, καὶ ἡ πρὸς ἓν γένος αὐτῶν ἀναγωγή. ἀλλὰ πόθεν γίνεται τὸ ἓν τοῦτο γένος, τὸ ἐν αὐτῷ πολλὰ περιέχον εἴδη. ἡ ἀπὸ τῆς ἐν ἄλλῳ ἕδρας τοῦ εἴδους ἐπακολουθεῖ ὅτι ἐν τοῖς σώμασι

πέρας ἀνάλογον τῷ τοῦ εἴδους πέρατι. καὶ τοῦτο τὰ σώματα ἀφορίζει κατὰ τὰ ἴχνια τῶν ἐν τοῖς λόγοις πρεσβυτέρων καὶ κυριωτέρων ὅρων. ἀφ' ἧς αἰτίας ἐγγίνεται τοῖς σώμασιν ἡ τοῦ τετάρτου γένους τῆς ποιότητος ὑπόστασις. παρέχεται γε μὴν δευτέραν ὑπουργίαν, καὶ ἡ τοῦ δεχομένου φύσις ἔνυλος οὖσα, καὶ ἡ διάστασις καὶ ἡ σύνθεσις, καὶ δεομένη περιγραφῆς τῆς ἀφοριζούσης αὐτὴν κατὰ πάσας τὰς περὶ αὐτὴν θεωρουμένας ἰδιότητας. οὐκ ἔλαττον δὲ τούτων, καὶ ἡ εἰς ἕκαστον τῶν εἰδῶν πρόοδος, ἄχρι τῶν εἰδώλων τῶν περὶ τοῖς σώμασιν ἐμφανιζομένων. καὶ ἡ τῶν ὄγκων καὶ τῆς ὕλης καὶ τῆς αἰσθητῆς διαστάσεως ἑτερότης. ἡ γὰρ ἐν πᾶσι τούτοις τελευτὴ ἀφορίζουσα τὸ πέρας πάντων τῶν τοιούτων, ὑφίστησι τὸ γένος τὸ νῦν ἐπιζητούμενον τῆς ποιότητος. χρείαν δὲ παρέχεται τὸ γένος τοῦτο, διορίζον τὰς ἰδίας φύσεις ἑκάστων, καὶ τρόπον τινὰ εἰδοποιοῦν. τοῖς τε σώμασι περιέχον, τὸ σώμασι φαίνεσθαι, τούς τε ὄγκους ὡς ὄγκους μεμετρημένους ἀπεργάζεται. καὶ τὸ ἄπειρον τῶν σωμάτων διαλαμβάνει πέρασιν. ἀλλ' ἐπεὶ καὶ ταῦτα περὶ τοῦ τετάρτου καὶ τελευταίου γένους τῆς ποιότητος εἴρηται, καλῶς ἂν ἔχοι τοὺς ἐπιχειρήσαντας ἄλλως διελεῖν τὰ γένη τῆς ποιότητος ἱστορῆσαι, καὶ κατά τι τοῦ ἀκριβοῦς παραλλάττουσιν ἐπιστῆσαι. Πλωτῖνος μὲν οὖν διαιρεῖ τὰς μὲν σώματος ποιότητας. τὰς δὲ ψυχῆς λέγων. οὐ ποιότητος κατὰ ἀλήθειαν ποιούμενος οὕτως διαίρεσιν, ἀλλὰ διάστασιν μόνην παραδεικνὺς τῶν ἐν οἷς ἐστιν ἡ ποιότης. τοῦτο δὲ οὐ δείκνυσι ποιότητος διαφοράν. διὸ καὶ Ἀριστοτέλης ἐν ταῖς παθητικαῖς ποιότησι, τὰς μὲν ψυχῆς εἰπὼν, τὰς δὲ σώματος, οὐ παρεξῆλθεν εἰς ἄλλο γένος ποιότητος, ἀλλ' ἐν τῷ αὐτῷ μεμένηκε. καθάπερ εἰδώς, ὡς ἡ ὑποδοχὴ τῶν εἰδῶν ἐναλλαττομένη, τῆς μὲν ἐπικειμένης χώρας ποιεῖ ταύτην ἑτερότητα. τοῦ δὲ ἐνυπάρχοντος εἴδους ἢ χαρακτῆρος, οὐδεμίαν ποιεῖ διαφοράν. πάλιν δὲ τὰς τοῦ σώματος κατὰ τὰς αἰσθήσεις διαιρεῖ, τῷ τε αὐτῷ περιπίπτων ἀτόπῳ. καὶ ἔτι μέντοι τὸ ἕν φησιν Ἰάμβλιχος κατακερματίζων εἰς τὰ κατ' ἀριθμὸν ἕτερα, καὶ οὐκέτι εἰς τὰ τῷ εἴδει διαφέροντα. τὸ γὰρ αἰσθητὸν ἢ αἰσθητόν, ἕν ἐστιν εἶδος. κἄν τις τὸ συνεζευγμένον ἑκάστῃ αἰσθήσει ὡς ἴδιον αἰσθητὸν λαμβάνῃ, κατ' ἀριθμὸν αὐτὰ διακρίνει. δηλοῖ δὲ τοῦτο καὶ Ἀριστοτέλης. τὰς γὰρ παθητικὰς ποιότητας ὡς αἰσθητὰς συντάττων πρὸς τὴν αἴσθησιν, κοινῶς αὐτὰς πρὸς ὅλας τὰς αἰσθήσεις ἀνήγαγε. τὰς δὲ πρὸς ἑκάστην συνεζευγμένας, οὐκέτι προσέθηκεν, ὡς μὴ ποιούσας τὴν κατ' εἶδος ἑτερότητα, ἀλλὰ ἀριθμῷ μόνον διαφερούσας. ἐπιστῆσαι δὲ ἄξιον, εἰ μὴ καὶ αἰσθήσεις κατ' εἶδος ἀλλήλων διαφέρουσι, καὶ τὰ ἴδια τῶν αἰσθήσεων αἰσθητά, ὧν ὁ Πλωτῖνος τὴν κατ' εἶδος διαφορὰν ἐκ τῶν αἰσθήσεων ἐπεχείρησεν ἐπιδεῖξαι. οὐ γάρ ἐστι κατ' ἀριθμὸν ἡ τοιαύτη διαφορά, εἰς ἃ χρῶμα καὶ αὐτὴ διαιρουμένη τόδε τὸ ὁρατὸν καὶ τόδε. εἰ δὲ Ἀριστοτέλης μὴ μέχρι τούτου διεῖλεν, οὐδὲν θαυμαστὸν μέχρι τῆς πρώτης εἰς εἴδη τῶν ἀνωτάτω γενῶν διαιρέσεως προάγων τὸν λόγον. ὅπερ ἔδει καὶ τὸν Πλωτῖνον φυλάξαι τὴν τῶν ἀνωτάτω γενῶν ποιούμενον διαίρεσιν. τὰς δὲ τῆς ψυχῆς ποιότητας, κατὰ τὰ μόρια τῆς ψυχῆς διΐστησιν ὁ Πλωτῖνος. καίτοι δυνατὸν καὶ ἐν πλείοσι μορίοις τὴν αὐτὴν εἶναι ποιότητα, ὡς τὸ εὐήνιον καὶ σκληρόν. καὶ ἐν ἑνὶ πολλάς, ὅταν ἢ πολυειδῆ-

μον. ὡς ἐν τῷ λογικῷ πολλὰς ἐπιστήμας καὶ διαφόρους τοῖς εἴδεσι. μετὰ δὲ τοῦτο, τὰς τοῦ λογιστικοῦ πλείους οὔσας, κατὰ τὰς ἐπιστήμας διαιρεῖ καὶ κατὰ τὰς τέχνας, ἃς τὰ ἔσχατα ἀποπίπτων καὶ οὐκ ἐμμένων τῷ τοῦ ἀριστοτέλους τούτων παραλείψει, κατ' ἓν γένος γινομένην τῆς ἕξεως. οὐδὲ συνορῶν ὅτι οὐ πρόκειται νῦν μέχρι παντὸς προάγειν τῶν εἰδῶν τὴν διαίρεσιν, ἀλλὰ τὰ πάντων γενικώτατα καὶ τὰ τούτοις προσεχῆ. ὧν ἐκεῖνα κατηγορεῖται, ταῦτα μόνα νῦν πρόκειται παραδίδοσθαι. ὥστε οὐδὲ ὅταν τὰς ἐν τῷ ἐπιθυμητικῷ προστίθησι δυνάμεις, ἀποδεικτέον τὴν μέχρι τοσοῦδε τῆς διαιρέσεως πρόοδον. διαρίθμησις γάρ ἐστιν αὕτη τῶν ἐσχάτων, οὐ διαίρεσις τῶν πρώτων γενῶν. ὅλως δὲ πᾶσα διαίρεσις, κατὰ τὴν οἰκείαν ἑκάστου φύσιν ὤφειλε γίνεσθαι. ποσῷ μὲν γὰρ ἡ κατὰ τὰ μόρια διαίρεσις ἁρμόττει. μεριστὸν γὰρ τοῦτο καὶ ἐπὶ τῶν συνθέτων, ἢ τῶν ἀσωμάτων μὲν, ἐχόντων δέ τινα ἐν ἑαυτοῖς οὐσίας ὕφεσιν. οὐκ ἀλλότριον δὲ τοῦτο. ὅταν δέ τις ποιότητα μὴ ὡς ποιότητα διαιρῇ, τοῦτο δέ ἐστιν ὡς ὅλην πανταχοῦ παροῦσαν καθόσον ἐστὶ ποιὰ, καὶ ὡς τὴν αὐτὴν οὖσαν, ἔν τε τοῖς μικροῖς καὶ μεγάλοις, καὶ ἐν ὁποιοισοῦν μέρεσιν, ὡς τὴν γλυκύτητα τοῦ μέλιτος, ἐν ὁποσοισοῦν τοῦ μέλιτος ὄγκοις, οὗτος οὐκ ὀρθῶς ποιεῖται τὴν διαίρεσιν. οὐ γὰρ ᾗ πέφυκε, ταύτῃ τέμνειν αὐτὴν ἐπιχειρεῖ. μήποτε δὲ οὐδὲ τοῦτο μὲν ἀληθὲς, ὅτι πᾶσα ποιότης δι' ὅλου κεχώρηκε τοῦ ποιοῦ, εἴπερ τὸ τέταρτον εἶδος τῆς ποιότητος κατὰ τὸ αὐτὸ πολλῆς ἐθεωρεῖτο, καὶ εἰ τὸ τρίγωνον καὶ τῶν ἄλλων τῶν τοιούτων σχημάτων ἕκαστον. ἔχει μὲν γραμμάς. ἔχει δὲ καὶ γωνίας, οὐχ ὅλον πανταχοῦ πάρεστιν. οὐ γὰρ ἐν ταὐτῷ πᾶσαι αἱ γραμμαὶ, οὐδὲ αἱ γωνίαι μετὰ τῶν γραμμῶν εἰσίν. ἔπειτα, οὐχ ἡ αὐτὴ ποιότης. οἷον ἡ σωφροσύνη, ἢ ἡ μελανία, ψυχῇ καὶ σώματι πάρεστιν. οὐδὲν οὖν ἄτοπον κατὰ τοῦτο ψυχικὰς καὶ σωματικὰς ποιότητας διαιρεῖν, ἀλλὰ τὸ ἀπὸ τῶν ἐνεργειῶν διαφόρων οὐσῶν, τεκμαίρεσθαι τὰς διαφόρους ποιότητας, ὅταν γίνωνται κατ' αὐτὰς τὰ περὶ τῶν δυνάμεων εἰς τὰς ποιότητας μετάγειν. αἱ μὲν γὰρ δυνάμεις ἀφανεῖς οὖσαι ἐκ τῶν ἐνεργειῶν, ἃς ἐπιφέρουσι διαγινώσκονται. αἱ δὲ ποιότητες, ἐμφανῆ ποιὰ ἐπιδεικνύουσι, διὰ τῶν ὁρωμένων ποιῶν ἑτέρων ὄντων. καὶ αὗται κατὰ τὰ κυριώτατα γένη διακρίνονται. ἀλλὰ κἀνταῦθα προσεκτέον, ὡς καὶ αἱ ποιότητες δυνάμεις ἔχουσι. καὶ οὐδὲν ἄτοπον, ἀπὸ μὲν τῶν ἐνεργειῶν τὰς δυνάμεις. ἀπὸ δὲ τῶν δυνάμεων τὰς ὑπάρξεις διαγινώσκεσθαι. ἀλλ' ὅταν τῷ ὠφελίμῳ καὶ βλαβερῷ, τὰς ψυχικὰς καὶ σωματικὰς διαιρῇ ποιότητας ὁ πλωτῖνος, καὶ αὖθις τὰς ὠφελείας καὶ βλάβας διαιρεῖ, ὡς οἰκείας ταύτας διαφορὰς ποιοτήτων νομίζων. διότι ἀπὸ ποιοτήτων, ὠφέλεια πᾶσα καὶ βλάβη παραγίνεται, οὐκ οἰκείως οὐδὲ ἐνταῦθα ποιεῖται τὴν διαίρεσιν. καὶ ὅτι μέτεισιν ἀπὸ τοῦ ποιοῦ αὐτὰ τὰ πρός τι. τὸ γὰρ μέλι τὸ αὐτὸ ὂν κατὰ τὴν ποιότητα, πρὸς μὲν τόνδε ὠφέλιμόν ἐστι. πρὸς δὲ τόνδε, βλαβερόν. καὶ τὸ μύρον, τοῖς μὲν ἄλλοις, ἡδὺ καὶ ὠφέλιμον. τοῖς δὲ κανθάροις, βλαβερὸν καὶ ὀλέθριον. ὥστε τὸ ὠφέλιμον καὶ βλαβερὸν, οὐ ποιόν ἐστιν, ἀλλὰ πρός τι. ἔπειτα εἰ μᾶλλον ποιοτήτων διαφορὰς αἱ ὠφέλειαι καὶ βλάβαι παρέχονται, ἢ οὐσίας, ἢ τοῦ ποιεῖν. καὶ γὰρ ἐν τούτοις αἱ ὠφέλειαι καὶ βλάβαι θεωροῦνται.

ὅτι δὲ καὶ τὸ ποσὸν ἐνίοτε ὡς εἰς δύναμιν συναρμοσθὲν, καὶ πάλιν αὖ μὴ συναρμοσθὲν, ὠφελείας πολλῆς ἢ βλάβης αἴτιον ἐστὶ, δηλοῖ τῶν ἀσκληπιαδῶν ἡ τέχνη, καὶ τὰ ὑπὸ ταύτης περὶ τῆς τοῦ ποσοῦ συμμετρίας παραγγελλόμενα. πρὸς δὲ τούτοις, εἰ μὲν ἐνήργουν αἱ ποιότητες καὶ κατὰ τὴν ἐνέργειαν παρεῖχον τὰ ποιὰ, ἐχῆν λέγειν ὡς ὠφελοῦσιν αὗται ἢ βλάπτουσιν. εἰ δὲ τῷ ἔχεσθαι ποιοῦσιν, οὐδεμίαν βλάβην ἢ ὠφέλειαν ἀφ' ἑαυτῶν ἐμποιοῦσι καθόσον εἰσὶ ποιότητες. καθόλου δὲ πᾶσαι αἱ τοιαῦται διαιρέσεις ἀνοίκειοί εἰσιν, ὡς κατὰ τὸ πρός τι μᾶλλον, ἀλλ' οὐ καθὸ ποιότητες διαιρούμεναι. μετὰ δὲ τὴν μέσην πλωτίνου σκεπτέον, καὶ ἣν ἀριστοτέλης ἐν ἄλλοις ἐκτίθεται διαίρεσιν. διὸ τὰς δυνάμεις καὶ οἱονεὶ ἀρχὰς θεὶς, τὴν μὲν, ποιητικὴν, τὴν δὲ παθητικὴν, τούτων τὰς μὲν ἐναλόγους, ἀλόγους τίθησι. τὰς δὲ ἐν λογικοῖς, λογικάς· οἷον, τὴν ἐν τῷ θερμῷ, τοῦ θερμαίνειν ἄλογον. λογικὴν δὲ, τὴν ἐν τῇ ἰατρικῇ. διὸ καὶ τὴν μὲν, ἑνὸς εἶναι μόνου ποιητικήν, τὴν ἄλογον. οὐκέτι γὰρ καὶ τοῦ ψύχειν ἔχει ἡ θερμότης τὴν δύναμιν. αἱ δὲ λογικαὶ, τῶν ἐναντίων εἰσὶ περιεκτικαί τε καὶ γνωστικαί. αἴτιον δὲ, ὅτι πᾶς λόγος δηλοῖ, τό, τε πρᾶγμα καὶ τὴν στέρησιν αὐτοῦ, πλὴν οὐχ ὁμοίως. οὐδὲ ἀμφοτέρων ἐφίεται. ἀλλὰ τοῦ μὲν καθ' ἑαυτὸ, τοῦ κρείττονος. τοῦ δὲ κατὰ συμβεβηκός, τοῦ χείρονος. ὥσπερ ὑγείας καὶ νόσου ἡ ἰατρική. ἡ δὲ διαίρεσις αὕτη, συνομολογεῖται μὲν ἀριστοτέλους εἶναι. οὐ μὴν αὐτὴ τῶν πρώτων γενῶν τῆς ποιότητος παρειλημμένη. ἴσως δὲ, οὐδὲ αὐτῆς ποιότητος ὅλως. καὶ δεῖ τὰς παρὰ τοῖς παλαιοῖς διαιρέσεις μὴ μεταφέρειν ἀπ' ἄλλου γένους εἰς ἄλλο, ἀλλ' αὐτὰς τούτου ἐφ' ὧν εἰσι παραδεδομέναι, φυλάττειν αὐτάς. ταῦτα μὲν οὖν περὶ τῆς διαιρέσεως εἰρήσθω. καὶ πᾶσι δὲ τοῖς εἴδεσι τῆς ποιότητος. καὶ κοινῶς τῷ περὶ αὐτῆς λόγῳ παράκεινται τινὲς ἐπιστάσεις τοιαῦται. ἐπεὶ δὲ καὶ τὴν οὐσίαν ταῖς κατὰ ποιότητα διαφοραῖς διαιροῦμεν, οἷον τοῦ ζῴου τὸ μὲν, λογικόν. τὸ δὲ, ἄλογον λέγοντες. καὶ τὰς πράξεις τὰς μὲν, καλάς. τὰς δὲ, αἰσχρὰς τιθέμενοι, ζητεῖν χρὴ πῶς ἄν τις τὸ ποιὸν διέλοι κατὰ εἴδη, καὶ ποίαις χρώμενος διαφοραῖς. καὶ ἐκ ποίου γένους. τὸ γὰρ ποιότητα λέγειν, ἑαυτῷ ἐστὶ λέγειν καὶ ὅμοιον. ὡς εἴ τις διαφορὰς οὐσίας ἐποιεῖτο. καὶ τὴν διαφορὰν λέγει, διαφορᾷ διαφέρειν. ἐπειδὴ πᾶν τὸ διαφέρον, διαφορᾷ διαφέρει. καὶ οὕτως εἰς ἄπειρον ἀνάγκη ἰέναι. τίνι οὖν διαιροῦμεν τοὺς χυμοὺς ἀπὸ τῶν χρωμάτων. εἰ γὰρ τοῖς διαφόροις αἰσθητηρίοις, οὐκ ἔσται ἐν τοῖς ὑποκειμένοις, ἀλλὰ περὶ ἡμᾶς ἡ διαφορά. κἂν συγχωρήσῃ δέ τις τῇ τοιαύτῃ διαφορᾷ τῇ κατὰ τὴν αἴσθησιν, τίνι διοίσει. οἷον τὸ λευκὸν τοῦ μέλανος. ἢ τὸ γλυκὺ καὶ τὸ στρυφνόν. εἰ δὲ ὅτι τὸ μὲν, διακριτικόν. τὸ δὲ, συγκριτικόν. τὸ μὲν, ὄμματος. τὸ δὲ, γλώττης, πρῶτον μὲν ἀμφισβητεῖται περὶ τῶν παθῶν, εἴτε διακρίσεις εἰσὶν, εἴτε συγκρίσεις. ἔπειτα ὁ ταῦτα λέγων, οὐκ ἐκείναις οἷς διαφέρει εἴρηκεν, ἀλλὰ τὰ ἀπ' αὐτῶν πάθη. ῥητέον δὲ πρὸς ταῦτα, ὡς ἐν ἑκάστῳ τῶν ἐν ταῖς κατηγορίαις γενῶν, καὶ τῶν ἐν αὐταῖς λόγων, πολλὴ μὲν ἐστὶν οἰκεία ταυτότης, καθ' ἣν οἱ αὐτοὶ λόγοι αὐτῶν πλειόνων θεωροῦνται. πολλὴ δὲ ὅμως ἐστὶ καὶ σύμφυτος ἑτερότης, καθ' ἣν τὰ εἴδη διακρίνεται χωρὶς ἀπὸ τοῦ γένους. αὕτη δὲ οὐκ ἔξωθεν ἐπεισέρχεται διαφορότης. ἀλλ' ἐν ἑκάστῳ τῶν γενῶν, σύμφυτός ἐστιν. οὐκ ἄρα δεῖ ζητεῖν, εἰ περὶ τὴν οὐσίαν ἔσται οὐσία. καὶ περὶ τὴν ποιότητα ποιότης. καθ' ἣν τὰ ἐν ἑκατέρῳ τούτων τῶν γενῶν εἴδη διέστηκεν ἀπ' ἀλλή-

Universitäts- und
Landesbibliothek Düsseldorf

λων. οὐ γὰρ ἔξωθεν ἑκάστου γένους αἱ τῶν εἰδῶν ἐπεισέρχονται ποιητικαὶ διαφοραί, ἀλλ' ἐν ἑκάστῳ γένει ἐνυπάρχουσιν. οὐ γὰρ ἔσται εἴδη τῶν ἐν ἑκάστοις γενῶν, εἰ μὴ ἀφ' ἑαυτῶν ἔχει τὰς οἰκείας διαφορὰς συμφύτους τὰ γένη, ὡς περιεχομένας ὑπὸ τῶν γενῶν. εἰ δὲ ἔξωθεν αὐτὰς προσθήσομεν, οἷον ἀπ' ἄλλου γένους σύμμιξις ἔσται πολλῶν κατηγοριῶν τὰ ὑφ' ἕκαστον γένος εἴδη. καὶ οὐκέτι ὑπὸ τὴν αὐτὴν κατηγορίαν ταχθήσεται, τό, τε ἀνωτάτω γένος ἑκάστης, καὶ τὰ περιεχόμενα ὑπὸ τῶν γενῶν εἴδη. μία μὲν οὖν ἔστω λύσις αὕτη τῶν ἠπορημένων. ἑτέρα δέ, ὡς τῶν μὲν ἄλλων διὰ τὰς διαφορὰς ζητουμένοις χωριοῦμεν ἕκαστα ἀλλήλων. τῶν δὲ διαφορῶν διαφορὰς, ἀδύνατον εἶναι κατὰ λόγον. αὗται γὰρ ἑαυτὰς διαφέρουσιν ἀφ' ἑαυτῶν ἀρχόμεναι τῆς οἰκείας δυνάμεως. μᾶλλον δὲ οὐδὲ δέονται τοῦ διαφορεῖσθαι αὐτοδιαφοραὶ οὖσαι. ὥσπερ οὐδὲ ἡ ἑτεροιότης τοῦ ἑτεροιοῦσθαι. καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἰδιοτήτων αὐτὸ ἕκαστον, οὐκ ἂν λέγοιτο μετέχειν ἑαυτοῦ. οἷον, τὸ ἴσον οὐκ ἄν τις ἰσοῦσθαι λέγοι. οὐδὲ τὸ καλὸν κεκαλλύνθαι. ὥστε τὸ μὲν διαφέρον, διαφορᾷ πάντως διαφέρει. ἀλλὰ τὰ μὲν ἄλλα πάντα ἕτερα οὖσι παρ' αὐτὰ τῇ διαφορᾷ διαφέρει. ἡ δὲ διαφορὰ, ἑαυτῇ διαφέρει. μᾶλλον δὲ αὐτοδιαφορά ἐστι. Οἱ στωϊκοὶ δέ, ποιότητας ποιοτήτων ποιοῦσιν ἑαυτῶν, ποιοῦντες ἑκτὰς ἕξεις. οὐδὲ δέονται γὰρ οὐκέτι τῶν τὰς διαφορὰς παρεχουσῶν. οὔτε γὰρ ἑαυταῖς αἱ ποιότητες ἀλλήλων διαφέρουσιν. οἱ δὲ ἀπὸ τῆς ἀκαδημίας διαφορῶν διαφορὰς ζητοῦντες, εἰς ἄπειρον ἐξέπεσον. ἐπιστῆσαι δὲ καὶ τοῦτο χρή, εἰ πᾶσα ποιότης δύναται γίνεσθαι οὐσιώδης διαφορά. ἡ ἐπὶ μὲν τῶν σωμάτων, ἀνάγκη συγχωρεῖν. ἡ γὰρ λευκότης συμβεβηκὸς οὖσα, οὐσιώδης διαφορὰ ἐστὶν ἐπὶ ψιμυθίου. ἐπὶ δὲ τῶν ἐπιστημῶν, πῶς ἔχει. ἢ καὶ ἡ γραμματικὴ ἤ τις εἴη ψυχῆς, ἡ φύσει τοιαύτη, γένοιτο ἂν εἰδοποιὸς διαφορά. καὶ τοῦτο δὲ προσθετέον. ὅτι ταῖς ποιότησι συντακτέον τοὺς κατ' αὐτοὺς ποιούς, καθόσον περὶ αὐτοὺς εἰσὶν αἱ ποιότητες, μὴ προσποιουμένοις τὸ ὑποκείμενον. μὴ δὲ κατὰ σύλληψιν τοῦ ὑποκειμένου ποιοῦντας τὸ ποιόν, ἵνα μὴ κατηγορίαι δύο νοῶνται, ἀλλ' εἰς τοῦτο ἀνιόντας ἀπ' αὐτῶν ἀφ' οὗ λέγονται. οὐδὲν δὲ χεῖρον ὑπομνῆσαι πάλιν, ὅτι αἱ νοηταὶ ποιότητες καὶ αἱ αἰσθηταί, οὐδαμῶς ὑπὸ τὸ αὐτὸ γένος ταχθήσονται. οὐ γὰρ αἱ κατηγορίαι περὶ τῶν νοητῶν εἰσίν, ἀλλὰ περὶ τῶν λεγομένων. οὐ δὲ δύναται τῶν ὄντως ὄντων, καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ φερομένων, ὡς στοιχείων ἓν εἶναι γένος ποιότητος. ἀλλ' ἐπεὶ περὶ πάντων τῶν τῆς ποιότητος εἰδῶν εἴρηται τὰ αὐτάρκη, καιρὸς ἂν εἴη λοιπὸν καὶ τὰ ἴδια τῆς ποιότητος ἐπισκέψασθαι. ἤτοι τὰ ὑπάρχοντα αὐτῇ.

Ὑπάρχει δὲ καὶ ἐναντιότης κατὰ τὸ ποιόν. ἕως τοῦ, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸ ποιὸν ἐναντίων. ὥσπερ ἐπὶ τῶν ἄλλων κατηγοριῶν, μετὰ τὴν διαίρεσιν ἐπῆγε τὰ ὑπάρχοντα ἑκάστῃ, τά, τε κοινὰ πρὸς ἄλλας καὶ τὰ ἴδια, οὕτως καὶ ἐνταῦθα. καὶ πρῶτον, τὴν ἐναντιότητα προχειρίζεται. ὡς ὑπάρχουσαν τῷ ποιῷ. ὑπάρχει δὲ καὶ ἐναντιότης εἰπών. καὶ τὸν καὶ σύνδεσμον προσθείς, διότι καὶ ἄλλα ὑπάρχοντα ἐπάγει. ὥσπερ τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὸ ὅμοιον. κατὰ τὸ ποιὸν δὲ εἶπεν, ἀντὶ τοῦ κατὰ τὴν ποιότητα. δηλοῖ δὲ τὰ ἐπαχθέντα ὑποδείγματα. δικαιοσύνη. ἀδικία. ἐναντίον. ποιότητες γὰρ αὗται, καὶ οὐ ποιά. ἴσως δὲ διὰ τοῦ τὸ ποιὸν

ἀντὶ τῆς ποιότητος εἶπεν, ὅτι συνείληπται ἐν τῷ ποιῷ καὶ ἡ ποιότης. καὶ τοῦ ποιοῦ ἐπιδεχομένου, πάντως καὶ ἡ ποιότης ἐπιδέχεται. ἐπειδὴ καὶ τὴν ποιότητα κατὰ τὸ ποιὸν ἐπιδέχεται. κατασκευάζει δὲ ἐκ τῆς ἐπαγωγῆς τῶν τε ψυχικῶν καὶ τῶν σωματικῶν ποιοτήτων, παραδείγματα προσθείς. οὐ μόνον δὲ ταῖς ποιότησιν ὑπάρχειν τὴν ἐναντιότητα φησίν, ἀλλὰ καὶ τοῖς κατ᾽ ἐκείνας τὰς ποιότητας ποιοῖς λεγομένοις. οὔτε δὲ πάσῃ τῇ ποιότητι ὑπάρχει ἡ ἐναντίωσις, οὔτε γὰρ τοῖς κατὰ τὸ σχῆμα ποιοῖς, οἷον τῷ τριγώνῳ, καὶ τετραγώνῳ, οὔτε τοῖς μέσοις χρώμασιν. οἷον πυρρῷ, ἢ ὠχρῷ. δῆλον δὲ ὅτι, οὐδὲ τοῖς κατὰ τὰς ἄλλας αἰσθήσεις ἐν μεσότησιν. οἷον, χλιαρῷ. ἢ τῇ τῆς μέσης χορδῆς ἀπηχήσει. καὶ τοῦτο εἰκότως, εἴπερ ἐναντία ἐστὶ τὰ πλεῖστον ἀλλήλων διεστηκότα. ἀλλὰ μὴν, οὐδὲ μόνῃ τῇ ποιότητι ὑπάρχει ἡ ἐναντίωσις. καὶ γὰρ τοῖς πρός τι πρόσεστιν ὡς μεμαθήκαμεν. ὥστε οὐκ ἔστιν ἴδιον τῆς ποιότητος τοῦτο. ἐπάγει δὲ πρὸς τούτοις θεώρημά τι πρὸς πάσας χρήσιμον τὰς κατηγορίας, ἐν αἷς θεωρεῖται ἐναντίωσις. ἐὰν γὰρ τῶν ἐναντίων θατέρου τὸ ἕτερον ποιὸν ὑπάρχῃ, καὶ τὸ ἐναντίον αὐτῷ ποιὸν ἔσται. καὶ καθόλου, ἐὰν τὸ ἕτερον τῶν ἀντικειμένων μὲν, ὡς ἐναντίον ἐν τινὶ γένει ὑπάρχῃ, καὶ τὸ ἀντικείμενον μὲν οὖν πρὸς αὐτὸ, ὡς ἐναντίον ἐν τῷ αὐτῷ γένει ὑπάρξει. γένοιτο δ᾽ ἂν φανερὸν τοῦτο δῆλον, εἰ προχειριζοίμεθα τὰς ἄλλας κατηγορίας οἰκείως τῇ εἰσαγωγικῇ πραγματείᾳ, τὰ τοιαῦτα ἐκ τῆς ἐπαγωγῆς πιστούμενοι. γένοιτο δ᾽ ἂν καὶ ἄλλως δῆλον, ἀπὸ τοῦ τῶν ἐναντίων ὅρου. εἰ γὰρ ἐναντία ἐστὶ τὰ ὑπὸ τὸ αὐτὸ γένος πλεῖστον ἀλλήλων διεστηκότα, δηλονότι ὑφ᾽ ὃ τὸ ἕτερον ἀνάγεται γένος, ὑπὸ τοῦτο καὶ τὸ λοιπόν. ἀλλ᾽ αὐτὸς μήπω τοῦ τῶν ἐναντίων ὅρου ἀποδοθέντος, εἰκότως οὐκ ἐδοκίμασεν αὐτῷ χρήσασθαι. ἐὰν οὖν ζητῶμεν, ὅτι τῶν κατηγοριῶν ἐν αἷς ἐστιν ἐναντίωσις, ἐμάθομεν ἐντεῦθεν, ὅπως δεῖ μεθοδεύειν τὴν εὕρεσιν. ληψόμεθα γὰρ τὸ ἐναντίον τοῦ ζητουμένου, εἴπερ εἴη γνωριμώτερον. καὶ ἐὰν γνωσθῇ ἐν ποίᾳ ἐστὶν ἐκεῖνο κατηγορίᾳ, εἰσόμεθα ὅτι καὶ τὸ οὗ ἐστιν ἐναντίον, ἐν τῇ αὐτῇ κατηγορίᾳ τακτέον. οἷον, εἰ τὴν ἀδικίαν ζητοῦμεν ἐν ποίῳ ἐστὶ γένει, ληπτέον τὴν δικαιοσύνην. ἔστι δὲ αὕτη ποιότης. ἔστιν ἡ ἀδικία ἄρα ποιότης. καὶ εἰ ἡ τυφλότης ὁράσει ἐναντίον, ἡ δὲ ὅρασις ποιότης, καὶ ἡ τυφλότης ἔσται ποιότης. οὐδεμίᾳ γὰρ τῶν ἄλλων κατηγοριῶν ἐφαρμόσει. Ἀλλὰ διὰ τί εἶπεν, εἰ ἔστιν ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον. διὰ τί γὰρ τὸ εἰ τὸ ὑποθετικόν. Ἢ ὅτι τινὲς οὐ συνεχώρουν τῇ δικαιοσύνῃ ἐναντίον εἶναι τὴν ἀδικίαν. ἀλλὰ τὴν μὲν ἐναντίαν ἕξιν, ἀνώνυμον ἔλεγον. τὴν δὲ ἀδικίαν, στέρησιν. τὰς γὰρ ἕξεις, καταφατικῶς δεῖ προσαγορεύειν. τὰς δὲ στερήσεις, ἀρνητικῶς. οὐ καλῶς τοῦτο λέγοντες. καὶ γὰρ ἕξεις ἀποφατικῶς προσαγορεύομεν, ὥσπερ τὴν σωφροσύνην ἀντικειμένην ἀκολασίᾳ. καὶ στερήσεις καταφατικῶς, ὡς τὴν τυφλότητα καὶ χωλότητα. καὶ τοῦτο μὲν ἀληθές. μήποτε δὲ διὰ τοῦτο εἶπεν ὁ Ἀριστοτέλης, εἰ ἔστιν ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον. ὅτι οὔπω τίνα ἐστὶ τὰ ἐναντία παραδέδωκε. καὶ ὅτι κατὰ ἀλήθειαν, οὐχ ὡς ἐναντία ταῦτα ἀντίκειται, ἀλλ᾽ ὡς ἕξις καὶ στέρησις. διὸ, καὶ ἀκριβέστερον εἶπεν ὁ Ἀρχύτας. οὐ μόνον ἐναντίωσιν εἰπὼν ὑπάρχειν τῇ ποιότητι, ἀλλὰ στέρησιν γράφων οὕτως. Καὶ τᾷ ποιότητι δὲ, κοινά τινα συνήρτηται. οἷον, τό, τε ἐναντιότητά τινα ἐπιδέχεσθαι καὶ στέρησιν. Ἀποροῦσι δέ τινες πρὸς

τὸ ἀπὸ τῶν ἐναντίων θεώρημα οὕτως. εἰ γὰρ τοῦτό φησιν ὑγιές ἐστιν, ἔσται καὶ ἡ στέρησις ἡ τῷ εἴδει ἐναντία οὐσία. οὐσία γὰρ καὶ τὸ εἶδος. εἰ δέ τις λέγοι ὅτι κοινότερον ἡ στέρησις ἐναντία λέγεται τῷ εἴδει, ψεῦδος ἐρεῖ. εἰ γὰρ εἶδος καὶ στέρησις αἱ ἀρχαὶ τῶν φυσικῶν ἐναντία λέγονται, καὶ ἐξ ἐναντίων ἡ γένεσις. εἰ δὲ ἐναντία ταῦτα, οὐκέτι ἔσονται δύο ἀρχαί, ἀλλ' ἓν τὸ κοινὸν αὐτῶν γένος. ἀφ' οὗ καὶ παρὰ τὰς δύο ὑφίσταται.

Ἀλλὰ τοῦτο μὲν λύειν ἄξιον. οὐ γὰρ πρῶται αὗται ἀρχαί, ἀλλὰ τῶν φυσικῶν ἀρχαί. καὶ οὐδὲν θαυμαστόν, εἴ τι κοινὸν τούτων. διότι ὄν, εἴτε φύσις, εἴτε τὸ εἶδος, τῇ παρουσίᾳ τῇ ἑαυτοῦ καὶ τῇ ἀπουσίᾳ ἑκάτερον τούτων ἀπεργαζόμενον. πρὸς δὲ τὸ πρῶτον, δυνατὸν μὲν λέγειν, ὅτι τῆς ὕλης καὶ τοῦ εἴδους ὄντων ὑπὸ τὴν οὐσίαν, ἐπεὶ μετὰ τῆς ὕλης συνείληπται, ἔσται οὕτως καὶ αὐτὴ διὰ τὸ εἶδος καὶ τὴν ὕλην ἐν τῇ οὐσίᾳ. εἰ δέ τις ἐν τῷ εἴδει περιέχεσθαι λέγοι τὴν στέρησιν, κατὰ τὴν ἀπουσίαν αὐτοῦ ἔσται καὶ οὕτως ἐν τῇ οὐσίᾳ περιειλημμένη. ῥητέον δὲ μᾶλλον, ὅτι ὁ κανὼν, οὐκ ἐπὶ πάντων εἴληπται τῶν ἐναντίων, ἀλλ' ἐφ' ὧν προδήλως τὸ ἕτερον ὑπό τι γένος ἐστὶν, ὑπὸ τὸ αὐτὸ καὶ θάτερον ἀνάγκη εἶναι. τοιγαροῦν καὶ ὁ ἀριστοτέλης οὐκ εἶπεν ὅτι τὰ ἐναντία ὑπὸ τὸ αὐτὸ γένος ἐστὶν, ἀλλ' ὅτι τῶν ἐναντίων ἐὰν τὸ ἕτερον ὑπό τι γένος ᾖ, καὶ τὸ ἕτερον ὑπὸ τὸ αὐτὸ γένος ἔσται. καίτοι ἐν τοῖς ἑξῆς ἐν οἷς τὰ εἴδη διαιρεῖται τῆς ἀντιθέσεως τὰ κυρίως ἐναντία, ὑπὸ τὸ αὐτὸ γένος εἶναι βούλεται. καὶ γὰρ τὰ ἐν τοῖς ἐναντίοις δοκοῦντα γένεσιν εἶναι κοινόν τι ἐπαναβεβηκὸς ἔχει γένος. ὡς ἡ δικαιοσύνη καὶ ἡ ἀδικία. διὸ καὶ αὐτός, οὐ τὰ προσεχῆ, ἀλλὰ τὰ πόρρω γένη ἔλαβεν. οὐ γὰρ εἶπεν ἐὰν θάτερον ὑπ' ἀρετὴν ἢ ἕξιν ᾖ τῶν ἐναντίων ὅτι καὶ τὸ ἕτερον, ἀλλ' ἐὰν θάτερον ᾖ ποιόν, καὶ θάτερον. τί οὖν εἴ τινες πρῶτα γένη ἐναντία τίθενται, ὡς τὸ ταὐτὸν καὶ θάτερον. ἢ τὰς δύο συστοιχίας ὡς οἱ πυθαγόρειοι, ἢ οὐδὲ ἔκγονα πρῶτα. οὐ γὰρ δυνατὸν, οὐδὲ τοῖς πυθαγορείοις ἀρέσκον, τὸ πολλὰ εἶναι τὰ πρῶτα. ἀλλὰ διὰ τί αἱ πλεῖσται ἐναντιώσεις κατὰ τὸ ποιὸν μάλιστα θεωροῦνται. ἢ γὰρ ἐν χρώμασιν εἰσὶ τἀναντία, ὡς λευκὸν καὶ μέλαν. ἢ ἐν χυμοῖς, ὡς γλυκὺ καὶ πικρόν. ἢ ἐν ἁπτοῖς, ὡς θερμὸν, καὶ ψυχρόν. μαλακὸν, καὶ σκληρόν. ἢ ἐν ψόφοις, ὡς ὀξὺ καὶ βαρύ. καὶ περὶ σῶμα. ὡς νόσος, ὑγίεια. κάλλος, αἶσχος. καὶ περὶ ψυχήν. ὡς ἀρετὴ, καὶ κακία. καὶ ἄλλαι πολλαὶ τοιαῦται. Καὶ αὐτὸ δὲ τοῦτο ζητήσεως ἄξιον, διὰ τί τῇ ποιότητι ὅλως ὑπάρχει τἀναντία περὶ οὐσίαν μὴ θεωρούμενα. Καὶ ῥητέον οἶμαι, ὅτι τἀναντία συνυπάρχειν ἀλλήλοις ἀδυνατεῖ. γίνεσθαι οὖν αὐτὰ καὶ ἀπογίνεσθαι ἀνάγκη. καὶ διὰ τοῦτο ἐν μὲν τῇ οὐσίᾳ, οὐδαμῶς θεωρεῖται. ἐν δὲ τῇ ποιότητι μάλιστα, ὡς ἐπὶ ποσοῦ ἰδεῖν. καὶ γὰρ ὅπου μὲν ἔστιν ὡς περιττὸν καὶ ἄρτιον. ὅπου δὲ οὐκ ἔστιν ὡς ἐν τῷ ὡρισμένῳ ποσῷ. ἐν μέντοι τῇ ποιότητι, ἐπειδὴ τῶν ἐπισυνισταμένων εἰσί, καὶ ἐπ' ἄλλοις καὶ ἄλλοις ἐπιγινομένων, οὕτως ἡ ἐναντίωσις ἐπιγίνεται. τὰ γὰρ ἐναντία, ἐπ' ἀλλήλοις. καὶ περὶ ἄλλας ὑποστάσεις τῶν ποιῶν, καὶ τὰ ἐναντία πέφυκε μετ' αὐτῶν συνυφίστασθαι. καὶ ἄλλως δέ. ἐπειδὴ πρώτη διαφορὰ κατὰ τὰς ποιότητάς ἐστι, καὶ ἡ μεγίστη διαφορὰ κατὰ ταύτας ἔσται, ἥτις ἐστὶν ἐναντίωσις. καὶ ἐπεὶ ἡ πρώτη τομὴ κατὰ τὰς ποιότητας ἐγγίνεται πορρώτερον προϊοῦσα, αὕτη τὰ

ἐναντία περιάγει. πλεῖσται δὲ ἐναντιώσεις εἰσὶν ἐν τῷ ποιῷ. διότι πολυειδεῖς εἰσὶν αἱ ποιότητες. δεῖ δὲ καὶ τὰς ἐναντιώσεις ἀνευρίσκειν προσφόρως, ἐφ' ἑκάστων χρωμένους ταῖς οἰκείαις δυνάμεσιν. ἐπὶ μὲν οὖν τῶν σωμάτων, διότι αἰσθηταί εἰσιν αἱ ἐναντιώσεις, αἰσθήσει θηρευτέον αὐτάς. τὰς δὲ τῆς ψυχῆς, λογισμῷ θηρευτέον. διότι τούτῳ περιληπταί εἰσιν. εἰκότως δὲ τοῦτο τὸ περὶ τῶν ἐναντίων θεώρημα, τῷ περὶ τῆς ποιότητος συνέζευξε λόγῳ. διότι ὡς εἴρηται, πρὸς ποιότητα μάλιστα συγγενῶς ἔχει τὸ ἐναντίον. καὶ γὰρ ἐν ταῖς ἄλλαις κατηγορίαις, ἐναντία κατὰ τὸ ἐν ἑκάστῃ ποιὸν ἐγγίνεσθαι δοκεῖ. δεῖ δὲ τὰ ἐναντία λαμβάνειν, οὐ μετὰ τοῦ ὑποκειμένου. κοινὸν γάρ ἐστιν αὐτοῖς τὸ ὑποκείμενον. καὶ οὐκέτι ὅλα ὅλοις ἀντικείμενα ληφθήσεται. οὐδὲ οὕτως ἔσται ἐναντία. ἀλλὰ μόνον καθὸ ποιόν ἐστιν ἑκάτερον, κατὰ τοῦτο δεῖ θεωρεῖν αὐτὰ ὡς ἐναντία. ἔστι δὲ ποιά, κατὰ τὸ ἔχειν ποιότητα. ὥστε κατὰ τὴν ποιότητα αὐτοῖς ἡ ἐναντίωσις. Ἀλλὰ διὰ τί τὰ μεταξὺ, οὔτε ἀλλήλοις ἐστὶν ἐναντία, οὔτε τοῖς ἄκροις. ὅτι ἔσται ἑνὶ πλείονα ἀντικείμενα, καὶ οὐκέτι ἔσται ἓν ἑνὶ ἐναντίον, ἐὰν ᾖ καὶ τὰ μεταξὺ ἐναντία. Ὁ δὲ Πλωτῖνος ἀπορεῖ. μήποτε πρὸς τὴν ποιότητα ἐστί τις ἐναντίωσις. καὶ γὰρ τὸ μέσον, τοῖς ἄκροις ἐστὶν ἐναντίον. μεσότης γὰρ οὖσα κατὰ Ἀριστοτέλην ἡ ἀρετὴ, ἐναντία ἐστὶ ταῖς ὑπερβολαῖς καὶ ταῖς ἐλλείψεσιν οὔσαις κακίαις. Ῥητέον δὲ πρὸς τοῦτο, ὅτι ἄλλως μὲν ὡς μεσότης ἡ ποιότης ἐπινοεῖται. ἄλλως δὲ ὡς ἀρετή. καὶ κατὰ μὲν τὴν μεσότητα, οὐκέτι ἔχει ἐναντίωσιν. κατὰ δὲ τὴν ἀρετὴν, ἔχει. Ἔτι δὲ τὴν μεσότητα θεωροῦμεν καὶ ὡς ἰσότητα. τὴν δὲ ὑπερβολὴν καὶ ἔλλειψιν, ὡς ἀνισότητα. ὅταν οὖν τὴν μεσότητα λέγωμεν ἐναντίαν εἶναι τῇ ὑπερβολῇ καὶ τῇ ἐλλείψει, οὐδὲν ἄλλο λέγομεν, ἢ ὅτι ἰσότης τῇ ἀνισότητι ἀντίκειται. καὶ οὕτως ἐπὶ ἄλλων. ἀλλ' οὐκ ἐπὶ μὲν τοῦ μέσου ἡ ἀντίθεσις ἐστὶν, ἀλλ' ἐπὶ τῶν χρωμάτων. φαίη ἄν τις, οὐχ οὕτως ἐστὶν ἡ ἀντίθεσις τῶν ἄκρων πρὸς τὸ μέσον. τὸ γὰρ φαιὸν εἰ ἀντίκειται τῷ λευκῷ, ἤτοι κατὰ τὸ ἐνὸν μίγμα τοῦ λευκοῦ ἀντίκειται αὐτῷ, ἢ κατὰ τὸ ἐνὸν μίγμα τοῦ μέλανος. ἀλλ' εἰ μὲν κατὰ τὸ λευκοῦ μίγμα, λευκὸν λευκῷ ἀντίκειται ὅπερ ἀδύνατον. εἰ δὲ κατὰ τὸ μέλαν, τὸ μέλαν τῷ λευκῷ ἀντίκειται. οὐ γάρ τι μίγμα ἕτερον. ἀλλὰ τὸ μὲν συμπέρασμα ἀληθὲς, τὸ μὴ ἀντικεῖσθαι τὸ φαιὸν τῷ λευκῷ, ἢ τῷ μέλανι ὡς ἐναντίον. ὁ δὲ τρόπος τῆς ἐφόδου, πολλὰς ἔχει ἀντιλήψεις. σύνθετον γὰρ ποιεῖ τὸ μέσον ἐκ τῶν ἄκρων. καὶ ὡς ἐξ ἀμφοῖν συνιστάμενον. ἀλλ' οὐχ ἕν τι παρὰ τὰ ἄκρα. ἐνεργείᾳ τε διαφυλάττει τὰ ἁπλᾶ ἐν τῷ μίγματι. ἀλλ' οὐ μόνον κατὰ δύναμιν, ὅπερ ἄρα καὶ τοῦτο ποιοῦντι. μήποτε γὰρ οὐδαμῶς συμμιγνυμένων τῶν ἄκρων ὑφίσταται τὰ μέσα χρώματα. ἀλλ' εἰσί τινες καὶ τούτων προηγούμενοι λόγοι, ὥσπερ καὶ τῶν ἄκρων. οὐ κατὰ μίξιν ὑφιστάμενοι, ἀλλ' ἁπλῆ καὶ αὐτοφυῆ τὴν ἑτερότητα καὶ τὴν ποικιλίαν ἔχοντες, καὶ ἐγγεννῶντες αὐτὴν τοῖς αἰσθητοῖς, καὶ συντεταγμένοι τοῖς ἄλλοις λόγοις κατὰ τὴν αὐτὴν οὐσίας σύνταξιν. κἂν ἐκ τῶν ἄκρων δὲ λέγῃ τις τὸ μέσον ἔχειν τινὰ ὑπόστασιν, μὴ οὐδὲ μίξις ᾖ ἡ τὰ μέσα ποιοῦσα, ἀλλὰ παράθεσις τῶν ἄκρων, ἢ ἐπιπόλασις, ἢ πόρρωθεν ἀπόστασις. κατὰ γὰρ πάντα ταῦτα ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητῶν τὰ μέσα χρώματα ὑφίστασθαι δοκεῖ. ὁ μέντοι Πλωτῖνος, εἰ κατὰ σύνθεσιν φησὶ τῶν ἄκρων ἐγίνετο τὰ μέσα, ἔδει μὴ ἀντιδιαιρεῖν λέγοντας, ἢ λευκὸν,

ἢ μέλαν, ἢ φαιόν, ἢ ξανθόν, ἢ τι τοιοῦτον. ἀλλὰ μόνον εἰς λευκὸν καὶ μέλαν, διαιρεῖν. τὰ δὲ ἄλλα συνθέσεις λέγειν. νῦν δὲ ἀντιδιαιρουμένην καὶ ἀντιτίθεμεν. ὅτι κἂν μίξις ἢ τῶν ἄκρων, οὐκέτι παράθεσις, ἀλλὰ κρᾶσις ἄλλην ἀποτελέσασα ἐκ τοῦ κράματος ποιότητα. τῷ οὖν ἄλλην τινὰ εἶναι τῶν μεταξὺ γεγονέναι, κἂν ἐκ συνθέσεως θεωρῆται, οὕτως ἀντιτίθεμεν. ταῦτα δὲ λέγοντες, τὸ μὲν ἄλλην γεγονέναι τὴν μέσην ποιότητα τοῦ χρώματος συγχωροῦσι καὶ οἱ μετ' αὐτόν. τὸ δὲ ἐκ κράσεως αὐτὴν ἢ συνθέσεως ἄλλην θεωρεῖσθαι, οὐκέτι ὁμολογοῦσιν. οὐ γὰρ οὕτως φησὶν ὁ τρόπος τῆς τῶν ἀσωμάτων ποιοτήτων οὐσίας. ἀλλ' ἀσώματα μὲν μιγνύμενα, ἢ κεραννύμενα, ἢ συντιθέμενα, δύναται ποιεῖν διάφορα σώματα. τὸ γὰρ σύνθετον καὶ σύμμικτον γένος ἐν ἑαυτῷ περιέχει τὴν φύσιν κατὰ τοῦτο ἐναλλαττόμενον, διάφορον ἑαυτοῦ καθίσταται. τὸ δὲ μήτε ἐν συγκράσει μήτε ἐν συνθέσει ἔχον τὸ εἶναι, ἁπλῆν δέ τινα οὐσίαν ἀσώματον προειληφὸς κατὰ μίαν ποιότητα αὑτοῦ, τοῦτο γὰρ ἤδη ἂν διάφορον πάθη ἀπὸ συγκράσεως ἢ συνθέσεως. ὥσπερ οὐδὲ τὸ ἀμέριστον ὑπὸ τοῦ μεριστοῦ. ἀλλ' ἐπειδὴ τὸ μὲν λευκὸν τῷ μέλανι εἶπεν ἐναντίον, τῷ δὲ πυρρῷ καὶ ὠχρῷ μηδὲν εἶναι ἐναντίον, ἄξιον ἂν εἴη προλαβόντας ὀλίγον ἐπισκέψασθαι τὸν ὅρον τῶν ἐναντίων, καὶ τίνα ἔχει τὴν ὀρθότητα. ἀπὸ γὰρ τούτου, τά τε περὶ τῶν ἐναντίων θεωρήματα, καὶ τὰ περὶ τῶν χρωμάτων νῦν εἰρημένα, εἰ ὀρθῶς εἴρηται μαθησόμεθα. λέγεται δὲ ἐναντία εἶναι, τὰ πλεῖστον ἀλλήλων ἀφεστηκότα ὑπὸ τὸ αὐτὸ γένος, ὥσπερ τὸ μέλαν καὶ τὸ λευκόν. ἄμικτα γὰρ ταῦτα πρὸς ἄλληλα. τὸ δὲ φαιὸν καὶ ὠχρὸν καὶ πυρρὸν καὶ τὰ τοιαῦτα, οὐ πλεῖστον ἀφέστηκε. διότι συμμέμικται ἀλλήλοις. ἐρωτᾷ δὲ ὁ Πλωτῖνος, πόθεν οὕτως ὁρίσασθαι τὰ ἐναντία. εἰ μὲν γὰρ ἀπὸ τῶν μέσων καὶ τῆς πρὸς ταῦτα ἀποστάσεως, οὐ πρὸς τὰ ἄκρα ποιεῖται τὴν ἐναντίωσιν, ὥσπερ οὐδὲ τὴν ἀπόστασιν, ἀλλὰ πρὸς τὰ μέσα. καὶ πῶς τὰ μέσα ἐρεῖτε ἐναντία. οἷον ὑγείαν καὶ νόσον. εἰ δὲ κατ' αὐτὴν τὴν μορφὴν τὴν ἀπόστασιν λαμβάνετε, ὅταν μηδὲν ἔχωσι ταὐτὸν κατὰ τὸ εἶδος, ἐν ἑνὶ ὄντα γένει φέρε εἰπεῖν τῷ ποιῷ, διά τι τὸ ξανθὸν τῷ λευκῷ οὐκ ἔσται ἐναντίον, οὐδὲ μίαν ἔχον ἑτερότητα πρὸς τὸ λευκόν, ὥσπερ δοκεῖ τὸ φαιόν. πρὸς ἃ ἀντιλέγοντες οὗτοι φήσουσι, μὴ ἀπὸ τῶν μέσων τὴν ἐπὶ τὸ πλεῖστον ἀπόστασιν παραδέχεσθαι τὰ ἄκρα. οὐ γὰρ διά τινος πορείας ποιεῖται τὴν ἀπόστασιν τὰ ἐναντία ἀπ' ἀλλήλων. οὐδὲ οὕτως τὸ μέσον ὑπερβάντα καθίσταται ἑαυτοῖς εἰς τὴν ἐναντίαν χώραν, ἀλλὰ κατὰ τοὺς λόγους αὐτῶν, καὶ τὰ εἴδη ἡ ἀπόστασις ἐστί. ταῖς ἰδιότησιν οὖν προσεκτέον. εἰ αἱ μὲν, οὕτως ἔχουσιν, ὥστε ἀναιρεῖν ἀλλήλας. αἱ δὲ, τινὰ συνεμφαίνουσιν ἑτερότητα φύσεως πρὸς θάτερον τῶν ἐναντίων, ἢ ἔμφασιν τῶν ἄκρων ἢ τὴν μὲν, ὕφεσιν, τὴν δὲ, ἐπίτασιν. ἢ ἄλλην τινὰ μεσότητα τοιαύτην. αἱ γὰρ οὕτως ἔχουσαι, κατ' ἰδίαν κεχωρισμέναι εἰσίν. ἄλλως μὲν αἱ ἄκραι. ἄλλως δὲ αἱ μέσαι. καὶ οὐ προηγοῦνται αἱ μέσαι, ἵνα περὶ αὐτὰς τὴν ἀπόστασιν λαμβάνωσιν αἱ ἄκραι. ἀλλὰ τοὐναντίον αἱ ἄκραι τῶν μέσων κυριώτεραί εἰσι πρὸς ἀπόστασιν. καὶ ἀπὸ τῶν ἄκρων τὰ μέσα τὸν ὅρον λαμβάνει. καὶ ἀπὸ τῶν ἐναντίων τὰ μεταξύ, ἢ κατὰ σύγκρισιν, ἢ κατὰ ἔμφασιν καὶ καθ' ὁμοιότητα, ἢ κατὰ παράθεσιν. ἢ κατὰ ἄλλον τρόπον. καὶ εἰ μὲν κατὰ μεταβολήν, ἀπὸ τοῦ ἑτέρου ἐναντίου, εἰς τὸ ἕτερον διὰ μέσου πρόεισιν ἡ γένεσις, ἐνῆν λέγειν, ὡς διὰ τοῦ μέσου

προχωροῦντα τὰ ἐναντία, ἀφίσταται ἀπ' ἀλλήλων. ἡ δὲ οὔτε μεταβολὴ, οὔτε γένεσις θεωρεῖται, ἀλλ' ἀρχηγὰ τὰ ἄκρα ἐστὶ καθ' ἑαυτὰ, καὶ οὐ κατὰ κίνησιν διὰ τῶν μέσων παραγόμενα, οὐκ ἂν λαμβάνοι τὴν ἀπόστασιν ἀπὸ τῶν μέσων. ὥστε οὐδ' ἂν ἀπ' αὐτῶν τὸ εἶναι. πολλῷ δὲ μᾶλλον κατ' αὐτὴν τὴν μορφὴν, καὶ κατ' αὐτὴν τὴν ἑτερότητα τὴν διάστασιν εἴληφεν, ὅταν ὅλα ὅλων διαφέροντα φαίνηται. ἀλλὰ τὸ ξανθὸν τῷ λευκῷ κατά γε τοῦτον τὸν διορισμὸν ἐναντίον ἔσται, ἢ οὐχ οὕτως ἔχει. τὸ γὰρ ξανθὸν, ἐγγύτητά τινα ἔχει πρὸς τὸ λευκὸν, ὡς καὶ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ προσομολογεῖ, καὶ Ἀριστοτέλης ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητῶν. ἀμφότεροι γὰρ περὶ τὸ λευκὸν ὡς συγγενὲς, τὴν ὑπόστασιν παράγουσι τοῦ ξανθοῦ. τρόποις μὲν διαφέρουσι χρώμενοι τῆς παραγωγῆς. ἐν δὲ τοῦτο κοινῇ συνομολογοῦντες ὡς ἔχει παρακειμένην τινὰ ἔμφασιν τὸ ξανθὸν πρὸς τὸ λευκόν. πιστωθείη δ' ἄν τις τοῦτο ῥᾳδίως καὶ ἀπὸ τῆς αἰσθήσεως. οὐ γὰρ ὁμοίως διατιθέμεθα τὰ λευκὰ καὶ ξανθὰ παραθέντες, καὶ τὰ λευκὰ καὶ μέλανα. τὰ γὰρ ξανθὰ θεωροῦντες παρὰ τὰ λευκὰ, οὐ πάντη τὴν ἐναντίαν αἴσθησιν μεταπίπτομεν, ὡς ὑπ' αὐτῶν ἑτέρων διακρινόμενοί τε καὶ συγκρινόμενοι. οὕτως δὲ καὶ τὰ ἄμεσα ἐναντία ἔσται, μηδὲν ἔχοντα ταυτὸν κατ' εἶδος, κἂν μὴ ᾖ τινὰ μεταξὺ αὐτῶν ἐπαμφοτερίζοντα. οὐ γὰρ ἀπὸ τῶν μέσων, ἀλλ' ἀπὸ τῆς τῶν ὅλων ἰδιότητος ἔχει τὴν ἐναντίωσιν. τὰ δὲ μέσα, οὐκ ἔσται ἐναντία. διότι ἔχει τὸ κοινὸν καὶ συνεμφαίνει ἑαυτοῖς ὁμοίως ἄμφω τὰ ἐναντία. τὸ δὲ λέγειν, ὡς εἰ μὴ τῷ λευκῷ καὶ τῷ μέλανι ἐστὶν ἐναντίον τὸ ξανθὸν, ἄλλῳ γέ τινι ἔσται ἐναντίον, παντελῶς ἄτοπόν ἐστιν. ὃ γὰρ ἐν συμμίξει καὶ ἐμφάσει τῶν ἐναντίων συνέστηκε, καὶ οὐδὲ μόνος διέστη τὴν πλείστην διάστασιν, πῶς ἂν εἴη τινὶ ἐναντίον. ἀλλὰ ταῦτα οἰκειότερον μὲν ἂν ἐν τοῖς ἑξῆς ἐρρέθη, ἔνθα προηγουμένη ἐστὶν ἡ τῶν ἐναντίων διδασκαλία. ἔχει δὲ καὶ νῦν τινὰ λόγον πρὸς τοὺς ἀντιλέγοντας τοῖς ὑπὸ τοῦ Ἀριστοτέλους εἰρημένοις ἀγωνιζόμενα. ἐπειδὴ δέ τινες οἴονται τὸν Ἀριστοτέλην καὶ οὐσίᾳ τι ἐναντίον ἀπολείπειν, διότι οὐσία μέν ἐστι τὰ στοιχεῖα. γῆ. πῦρ. ὕδωρ. ἀήρ, λέγει δὲ ὕδωρ μὲν, πυρί. γῆ δὲ ἀέρι ἐναντίον, ἰστέον ὅτι καὶ ταῦτα κατὰ τὰς ἐνούσας ποιότητας ἔχει τὴν ἐναντίωσιν. καὶ γὰρ τὸ μὲν ὕδωρ, ψυχρόν ἐστι καὶ ὑγρόν. τὸ δὲ πῦρ, θερμὸν καὶ ξηρόν. καὶ ἡ μὲν γῆ, ψυχρὰ καὶ ξηρά. ὁ δὲ ἀὴρ, θερμὸς καὶ ὑγρός. ταῦτα δὲ ποιότητες. οὐ κατὰ τὴν οὐσίαν οὖν ἔχουσι τὸ ἐναντίον. ἐν μιᾷ γὰρ εἰσὶ τῇ ἐνύλῳ οὐσίᾳ, ἀλλὰ κατὰ τὰς συνιστάσας αὐτὰς ποιότητας.

Ἐπιδέχεται δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον τὰ ποιά. ἕως τοῦ, ὥστε ἴδιον ἂν εἴη ποιότητος, τὸ ὅμοιον ἢ ἀνόμοιον λέγεσθαι κατ' αὐτήν.

Καὶ περὶ τοῦ μᾶλλον καὶ ἧττον ἐν πάσαις ταῖς κατηγορίαις ζητήσας, εἴτε ὑπάρχει αὐταῖς, εἴτε μὴ, ἀκολούθως καὶ ἐπὶ τῆς ποιότητός φησιν ἐπιδέχεσθαι τὰ ποιὰ τὸ μᾶλλον καὶ τὸ ἧττον, ποιὰ τὰς ποιότητας λέγων, ὡς δηλοῖ τὰ παραδείγματα. δικαιοσύνην γὰρ ἔλαβε, καίτοι πρότερον τὸ δίκαιον εἰπών. κατασκευάζει δὲ πάλιν ἐκ τῆς ἐπαγωγῆς τὸ προκείμενον. τὸ μὲν λευκὸν, τῶν σωματικῶν παράδειγμα. τὸ δὲ δίκαιον, τῶν ψυχικῶν προτιθείς. ἑκάτερον γὰρ τούτων, πρός ἄλλα τε ὁμοειδῆ συγκρινόμενον, καὶ πρὸς ἑαυτὸ λέγεται ἐπίτασιν λαμβάνειν καὶ ἄνεσιν. χιὼν γὰρ λευκοτέρα γάλακτος ἂν ῥηθείη. καὶ τὸ ἐν τῷ σώματι τῶν ἀνθρώπων λευκὸν, ἢ τὸ ἐν ταῖς ψυχαῖς δίκαιον. καὶ προϊόντος τοῦ χρόνου, αὐτὸ πρὸς ἑαυτὸ τὴν ἐπίτασιν καὶ ἄνεσιν λαμβάνει. οὐ μὴν ἴδιόν ἐστι τοῦτο τῆς ποιό-

τητος. οὐδὲ γὰρ μόνη ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐπείπερ καὶ τοῖς πρός τι ἔλεγε τοῦτο ὑπάρχειν. οὔτε πάσης. οὔτε γὰρ ἡ τῶν σχημάτων ποιότης ἐπιδέχεται αὐτά· ὥσπερ ἡ τριγωνότης καὶ ἡ τοῦ κύκλου ποιότης, οὔτε μέντοι ἡ τελεία ἀρετὴ καὶ ἡ τελεία τέχνη. αἱ μέντοι πολλαὶ ἐπιδέχονται. τέσσαρες δέ εἰσιν αἱρέσεις περὶ τῆς ἐπιτάσεως καὶ ἀνέσεως, τῶν τε ποιοτήτων καὶ τῶν ποιῶν. καὶ γὰρ οἱ μὲν, καὶ τὰς ποιότητας πάσας καὶ τὰ ποιὰ δέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἀποφαίνονται, ὥσπερ Πλωτίνῳ καὶ ἄλλοις δοκεῖ Πλατωνικοῖς. διότι πᾶν ἔνυλον, ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τῆς ὕλης τὸ μᾶλλον ἐχούσης καὶ τὸ ἧττον, διὰ τὴν σύμφυτον αὐτῆς ἀπειρίαν. Ἄλλη δέ ἐστι δόξα ὑπεναντία ταύτῃ. ἥτις ἐν μὲν ταῖς ποιότησιν αὐταῖς, οἷον ἐν δικαιοσύνῃ καὶ λευκότητι, οὐδαμῶς εἶναι τὸ μᾶλλον καὶ τὸ ἧττον φησίν. ἑκάστην γὰρ ὅλον τι εἶναι, καὶ καθ' ἕνα λόγον ἑστάναι. καὶ διὰ τοῦτο μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. ἐν δὲ τοῖς μετέχουσιν, εἶναι ἐπίτασιν καὶ ἄνεσιν. πλάτος γὰρ ἔχουσιν αἱ μετοχαί. καὶ οἱ μὲν, μᾶλλον μετέχουσιν. οἱ δὲ, ἧττον. καὶ διὰ τοῦτο καὶ αἱ ἕξεις αὐτὰς νομίζουσι τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι, καίτοι τῶν ποιῶν ὄντων τῶν ἐπιδεχομένων. ταύτης δὲ ἔοικε τῆς δόξης ὁ Ἀριστοτέλης μνημονεύειν, ὅταν λέγῃ. δικαιοσύνη γὰρ δικαιοσύνης εἰ λέγοιτο μᾶλλον, ἀπορήσειεν ἄν τις. καὶ ἐφεξῆς δὲ, δικαιοσύνη μὲν δικαιοσύνης, οὐ πάνυ μᾶλλον καὶ ἧττον λέγεται. τὰ δὲ κατὰ ταύτας λεγόμενα ποιὰ, ἀναμφισβητήτως ἐπιδέχεσθαι τὸ μᾶλλον φησί. γραμματικώτερον γὰρ ἕτερον ἑτέρου λέγεσθαι μᾶλλον, καὶ δικαιότερον. καὶ ὑγιεινότερον. ὅταν δὲ λέγῃ, ὡσαύτως δὲ καὶ γραμματικὴν καὶ τὰς ἄλλας διαθέσεις, κοινότερον τὰς ἕξεις διαθέσεις ἐκάλεσεν. ὥσπερ καὶ ἐν τοῖς πρὸ τούτων, ποιὰ τὰς ποιότητας. Τρίτη δὲ αἵρεσις ἡ τῶν στωϊκῶν. οἵτινες διελόμενοι χωρὶς τὰς ἀρετὰς ἀπὸ τῶν μέσων τεχνῶν, ταύτας οὔτε ἐπιτείνεσθαι λέγουσιν, οὔτε ἀνίεσθαι. τὰς δὲ μέσας τέχνας, καὶ ἐπίτασιν καὶ ἄνεσιν δέχεσθαι φασί. τῶν οὖν ἕξεων καὶ τῶν ποιῶν κατὰ τούτους, τὰ μὲν, οὔτε ἐπιτείνεται οὔτε ἀνίεται. τὰ δὲ, ἀμφότερα ἐπιδέχεται. Τετάρτη δέ ἐστι δόξα ἥτις τὰς μὲν ἀΰλους καὶ καθ' αὑτὰς ποιότητας ἔλεγε, μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. τὰς δὲ ἐνύλους καὶ τοὺς κατὰ ταύτας ποιούς, ἐπιδέχεσθαι. διαφέρει δὲ αὕτη τῆς προτέρας ἡ δόξα. διότι ἐκείνη οὐδὲ μίαν ἀντιδιαίρεσιν τῶν ἀΰλων ἐποιεῖτο πρὸς τὰς ἐνύλους. ἐφ' ἧς ἂν εἴη δὲ ὁ Πορφύριος ταύτῃ τῇ δόξῃ, ὡς οὐ καλῶς ἀΰλους ποιότητας τιθεμένῃ. ἐκείνας γὰρ οὐσίας εἶναί φησι. καὶ διὰ τοῦτο, οὔτε ἄνεσιν, οὔτε ἐπίτασιν ἐπιδέχονται, ὥσπερ οὐδὲ ἄλλαι οὐσίαι. διωρισμένων δὲ τῶν αἱρέσεων, ἴδωμεν ὅπως κατασκευάζει μὴ ἴδιον εἶναι τῆς ποιότητος, τὸ, τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι. τρίγωνον δέ φησι καὶ τετράγωνον, οὐδὲ δοκεῖ τὸ μᾶλλον ἐπιδέχεσθαι. οὐδὲ τῶν ἄλλων σχημάτων οὐδέν. διὸ οὐκ ἔστιν ἴδιον πάσης ποιότητος, τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον. ἀποδείκνυσι δὲ τὸ τὰ σχήματα μὴ ἐπιδέχεσθαι καθολικὸν θεώρημα προλαβών, ποῖα ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ ποῖα οὔ. ὅσα μὲν γὰρ ἐπιδέχεται τὸν τοῦ προκειμένου λόγον, καθὸ μᾶλλον καὶ ἧττον λέγεται, ταῦτα ῥηθήσεται μᾶλλον. ἐὰν δὲ μὴ ἐπιδέχηται, οὐ ῥηθήσεται τὸ ἕτερον τοῦ ἑτέρου μᾶλλον. οὐκ ἐπιδέχεται μὲν οὖν τὸ τρίγωνον τὸν τοῦ κύκλου λόγον. καὶ διὰ τοῦτο, οὐκ ἂν εἴη τὸ τρίγωνον τοῦ τετραγώνου μᾶλλον κύκλος. τὸ μέντοι λευκὸν ἱμάτιον καὶ ἡ χιὼν καὶ πολλὰ λευκά, ἐπιδέχεται τὸν τοῦ λευκοῦ λόγον. καὶ διὰ τοῦτο λευκὸν ἄλλο ἄλλου μᾶλλον εἶναι λέγεται. Τί οὖν. ἄρα πάντα ὅσα ἐπιδέχεται τὸν αὐτὸν λόγον, ταῦτα

τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται, ἢ οὐ πάντα. καὶ γὰρ πάντες μὲν οἱ κατὰ μέρος ἄνθρωποι, ἐπιδέχονται τὸν τοῦ ἀνθρώπου λόγον. ἄνθρωπος δὲ ἀνθρώπου, οὐκ ἔστι μᾶλλον ἄνθρωπος. ὥστε τῶν μὲν μὴ ἐπιδεχομένων τὸν αὐτὸν λόγον, οὐδὲν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. τῶν δὲ ἐπιδεχομένων, τὰ μὲν, ἐπιδέχεται. τὰ δὲ, οὐκ ἐπιδέχεται. εἰ μὲν γὰρ οὐσίας εἴη ὁ λόγος, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, διότι οὐδὲ ἡ οὐσία ἐπιδέχεται. ὁμοίως δὲ, οὐδὲ ὁ ποσότητος ὡρισμένης, ἢ τῶν πρός τι. τὸν γὰρ τοῦ διπλασίου λόγον ἐπιδέχεται, καὶ τὰ τέτταρα πρὸς δύο. καὶ τὰ δύο πρὸς ἕν. καὶ οὐδέτερον μᾶλλον ἐστὶν, ἢ ἧττον, οὐδέτερον διπλάσιον. εἰ μέντοι ποιότητος εἴη ὁ λόγος, οἷον λευκότητος ἢ γλυκύτητος, ἐπιδέχεται. ὅπως δὲ ἐν τοῖς ὑπὸ τὸν αὐτὸν λόγον ἐστὶ τὰ τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχόμενα. διότι ἐν τούτοις ἡ σύγκρισις, ἀλλ' οὐ καὶ τοῖς ἐκβεβηκόσι τὸν αὐτὸν λόγον. εἰ οὖν μηδὲν τῶν σχημάτων ἔχει τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐκ ἔστιν ἴδιον τοῦτο τῆς ποιότητος. ἀλλ' ἴδιον αὐτῆς ἐστι τὸ ὅμοιον καὶ ἀνόμοιον. καὶ γὰρ κατὰ πάσης καὶ κατὰ μόνης τῆς ποιότητος κατηγορεῖται τὸ ὅμοιόν τε καὶ ἀνόμοιον. οὕτως μὲν οὖν ἡ λέξις τοῦ ἀριστοτέλους αὐτάρκως ἔτυχε διαρθρώσεως. Ζητεῖ δὲ ὁ ἰάμβλιχος, διατί τὸ μᾶλλον καὶ τὸ ἧττον ὡς κοινὸν τίθησι πλειόνων κατηγοριῶν. καὶ φησὶν, ὅτι ἐν μετοχῇ ταῦτα θεωρεῖται. ἄλλου μὲν ὄντος τοῦ μεταλαμβάνοντος, ἑτέρου δὲ τοῦ μετεχομένου. καὶ εἰ μὲν μέθεξιν τὴν ἐν τῇ ὕλῃ λέγει, ἔδει καὶ τὴν οὐσίαν καὶ τὸ ποσὸν, καὶ τὰς ἄλλας κατηγορίας καθόλου ἑαυτὰς δέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. πᾶσαι γὰρ εἰς τὴν ὕλην προέρχονται. εἰ δὲ μετέχεσθαι τὰς ἐπιούσας λέγοι κατηγορίας, οἵα καὶ ἡ ποιότης ἐστὶ καὶ τὰ πρός τι, ἔδει καθ' ὅλην ἑαυτὴν τὴν ποιότητα καὶ τὰ πρός τι, δέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. μήποτε οὖν τὸ μὲν τῆς ἐπισυγκρίσεως παρέχειν ἀληθές. καὶ ἐν τῇ ποιότητι δὲ, τὰ οὐσιωδέστερα εἴδη, ὥσπερ τὰ σχήματα καὶ τὰ κατὰ τὸ μάλιστα θεωρούμενα, ὡς ἡ ἀρετή. ταῦτα τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχεται. ἀλλὰ διατί φασιν εἰς πολλὰς δόξας διαιρεῖται ἡ κατὰ τὰς ποιότητας τοῦ μᾶλλον καὶ ἧττον ἐπίτασίς τε καὶ ἄνεσις. ἢ καὶ ὁ λόγος αὐτὸς τῆς ποιότητος, καὶ τὸ μετέχον καὶ τὸ σύνθετον τῆς τοιαύτης τῶν δοξῶν διαφορᾶς, γέγονεν αἴτια πολλὰ ἐν ἑαυτοῖς ἔχοντα τὴν διαφορὰν, καὶ διαφόρους ἐννοίας ἀνακινοῦντα. καὶ γὰρ τὸν λόγον αὐτὸν τῆς ποιότητος. οἱ μὲν, ἑστάναι καθ' ἕνα ὅρον νομίζουσιν. οἱ δὲ, ἐπὶ μὲν τινῶν ἑστάναι. ἐπὶ δὲ τινῶν, μή. οἱ δὲ, μὴ δὲ ὅλως αὐτὸν ἑστάναι. ἔνυλον γὰρ αὐτὸν εἶναι, καὶ μετὰ τῆς ὕλης συναλλοιούμενον αὐτῆς τῇ ἀπεράντῳ φύσει. οἱ δὲ, διαιροῦσιν αὐτόν. ἄλλον μὲν τὸν ἄυλον τιθέμενοι, ἄλλον δὲ τὸν ἔνυλον. καὶ πάντες οὗτοι περὶ τὰς διαφορὰς τῆς ποιότητος διακρίνονται. κατ' ἄλλον δὲ τρόπον. κατὰ τὰ μετέχοντα καὶ ὑποδεχόμενα τὸν λόγον, γίνεται τῶν δοξῶν ἡ διαίρεσις. ὅταν λέγωμεν πλατέως, ἢ ἐν πλάτει μετέχει. καὶ ὅτι μᾶλλον καὶ ἧττον μετέχει. Τρίτη δὲ ἂν ἀνακύπτοιτο διαφορὰ κατὰ τὸ κοινὸν ἐξ ἀμφοῖν. δύο γάρ τινων συνιόντων, ἡ τοῦ ἑτέρου ἐπικράτεια ἐπίτασιν ποιεῖ καὶ ἄνεσιν. ἐπικρατοῦντος μὲν γὰρ τοῦ εἴδους, τὸ μᾶλλον συμβαίνει. ἐπικρατούσης δὲ τῆς ὕλης, τὸ ἧττον. καὶ ὅταν μὲν τὸ εἶδος ἐπικρατῇ, ἕστηκε καὶ ὁ λόγος ἐν ἑνί. εἰ δὲ

περισπώμενος καθ' ἑαυτόν. ὅταν δὲ τὸ ὑποδεχόμενον, τότε ἀλλοίωσις γίνεται καὶ οὐκίνησις ἐν αὐτῷ. ὅταν δὲ διστάζῃ, τὰ μὲν, οὕτως ἔχει τῶν μορίων. τὰ δὲ, οὕτως. καὶ οὕτως αἱ διάφοροι γίνονται δόξαι. Μετὰ δὲ τὴν κοινὴν τῶν διαιρέσεων ἐπίβλεψιν, καὶ ἑκάστην ἰδίᾳ πολυπραγμονῆσαι καλόν. πρὸς μὲν γὰρ τοὺς ἀπὸ τῆς στοᾶς, τὸ μὲν σπουδαῖον γένος, βέβαιον λέγοντας. τὸ δὲ μέσον, ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεσθαι. Ἀπορῆσαι ἄξιον, εἰ μὴ ὁ ἔχων τὴν ἀρετὴν, ἐλλείπων δὲ κατὰ συνάσκησιν ἢ κατὰ φύσιν, ἧττον ἂν εἴη σπουδαῖος. ἴσως δὲ ἐροῦσι τὴν ἀρετὴν οὖσαν ἐπιστήμην, ἐξ ἑαυτῆς ἔχειν τὸ πάγιον. τῶν γὰρ οἰκείων λόγων οὖσα θεωρητική, καὶ στοχαζομένη ἀεὶ τοῦ καθ' ἑαυτὴν πάντα ποιεῖν, ἐνεργεῖ βεβαίως ἑστῶσα ἐν τῷ ἀμεταπτώτῳ εἴδει τῆς ἐπιστήμης. ἀλλὰ πῶς τοῦτο δυνατὸν τῆς ῥεπτικῆς καὶ παθητικῆς τῆς οὐσίας τῆς ποιότητος, καὶ μάλιστα κατ' αὐτοὺς χύσιν τε καὶ συστολὴν ἐχούσης ἐπ' ἄπειρον ἐν ἑαυτῇ καὶ τῆς ἀρετῆς, διό τι σώματα καὶ τὰς ποιότητας λέγουσι. Μήποτε οὖν τὰ περὶ ἑτέρων ἀρχῶν παρὰ τοῖς ἀρχαίοις λεγόμενα, καὶ ἐπ' ἄλλας ἀρχὰς οὗτοι μεταφέρουσιν, εἰ μὴ ἄρα τὴν σπουδαίαν ἕξιν κατὰ τὸ μάλιστα τιθέμενοι, καὶ οὐκ ἐν κινήσει θεωροῦντες, εἰκότως οὐδὲ ἐπίτασιν, οὔτε ἄνεσιν ἠξίουν ἐπ' αὐτῆς θεωρεῖσθαι. ἀλλ' εἴπερ, καὶ τῶν τεχνῶν ἑκάστης ἔστι τὸ μάλιστα, ὃ καὶ αὐτὸ ἕστηκε. πάντως γὰρ τοῦ μᾶλλον καὶ ἧττον, ἔστι τὸ πάντως καὶ τὸ μάλιστα. καὶ ἴσως κατὰ ταύτην τὴν ἔννοιαν ἡ δόξα, ἣν ὁ Ἀριστοτέλης μνημονεύει τὰς ἕξεις τὰς τελείας οὐκέτι περὶ τῆς μόνης, ἀλλὰ καὶ περὶ ὑγείας καὶ γραμματικῆς, καὶ τῶν ἄλλων διαθέσεων λαμβάνουσα, ἀνεπιτάτους αὐτὰς καὶ ἀνέτους εἶναι φησὶν ἐν τοῖς μετέχουσι τῶν ἕξεων, μᾶλλον καὶ ἧττον τὴν ἐπίτασιν θεωροῦσα καὶ τὴν ἄνεσιν. καὶ γὰρ ἐν αὐταῖς ἐστιν ἰδεῖν τοῦτο. οὐ μόνον ταῖς τέχναις, ἀλλὰ καὶ ταῖς ἀρεταῖς. καὶ τῶν ἀρετῶν γὰρ, αἱ μὲν, τέλειαι εἰσίν. αἱ δὲ, ἀτελεῖς. ἀτελεῖς μὲν, αἱ φύσει μόνον, ἢ ἔθει, ἢ λόγῳ. τέλειαι δὲ, αἱ τοῖς τρισὶ τούτοις συμπεπληρωμέναι. εἰ μὴ ἄρα αὕτη μὲν ἡ ἀρετή, τελεία καὶ ὁλόκληρός ἐστι. μετέχεται δὲ κατὰ μέρος, ὥσπερ καὶ ἡ γραμματική. καὶ τῶν ἄλλων τεχνῶν ἑκάστη διὰ τὸ ἀτελές. καὶ τὸ μᾶλλον καὶ ἧττον, ἐν τῇ μεθέξει θεωρεῖται. Ἀλλὰ ποίας διαθέσεις ὡς τελείας ὁρᾷ ὁ Ἀριστοτέλης ἄλλας παρὰ τὰς ἐχομένας. ἆρα τὰ χωριστὰ εἴδη, καὶ τὴν αὐτοδικαιοσύνην, ἣ οὔτε σύνηθες αὐτῷ τοῦτο, οὔτε τοῖς προκειμένοις οἰκεῖον, οὔτε διαθέσεις ἂν ἐκεῖναι κληθεῖεν. ἀλλὰ τὰς μετεχομένας τελείας θεασάμενος, κατὰ τὴν πρὸς ἐκείνας ἀναφορὰν τὰς ἀπολειπομένας αὐτῶν, τὸ μᾶλλον καὶ τὸ ἧττον ἔχειν βούλεται. καὶ ἀκριβέστερον ὁ λόγος οὗτος ἐν πάσαις ταῖς διαθέσεσι καὶ τὸ τέλειον κατὰ τὴν ἀκρότητα αὐτῶν θεωρεῖ. καὶ τὸ μᾶλλον καὶ ἧττον, κατὰ τὴν ἐν πλάτει μέθεξιν. τῶν δὲ ἄλλων, ὅ, τε τῶν στωϊκῶν ἀτελὴς δοκεῖ, μήτε τῶν ἀρετῶν τὸ ἀτελές, μήτε τῶν ἄλλων τεχνῶν τὸ τέλειον θεασάμενος. καὶ γὰρ εἰ μὲν ἐν λόγῳ μόνῳ ἐθεωρεῖτο ἡ ἀρετή, ὁ τὸν λόγον ἔχων καὶ τὴν ἐπιστήμην, οὐκ ἂν ἐπιτείνοιτο. εἷς γὰρ ὁ ἀληθὴς λόγος. ἀληθὴς δὲ ἀληθοῦς γὰρ μᾶλλον οὐκ ἔστιν. εἰ δὲ τὴν ἐπιστήμην ἔχων ἐλλείποι, κατὰ τὴν συνάσκησιν ἢ τὴν φύσιν, ἧττον ἂν εἴη δίκαιος. ὥστε ἡ τελεία ἕξις οὐκ ἐκ μόνων τῶν θεωρημάτων συνέστηκεν, ἀλλὰ καὶ ἐκ φύσεως καὶ

ἔθους, εἰ καὶ ἄλλος ἄλλου δικαιότερος. καὶ ἐπὶ τῆς δὲ ὁ μὲν λόγος, εἷς καὶ ὁ αὐτὸς ὁ συμπληρούμενος ὑπὸ τῶν θεωρημάτων. ἡ δὲ συνάσκησις καθ᾽ ἣν ὁ ἀτελὴς γραμματικὸς θεωρεῖται, ποιεῖ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐν τῷ διαφόρῳ τρόπῳ τῆς μετοχῆς τοῦ αὐτοῦ λόγου. ὡσαύτως δὲ καὶ εἷς μὲν ὁ λόγος τῆς λευκότητος. λευκοτέρα δὲ ἡ χιὼν λέγεται γάλακτος, διὰ τὴν μὴ τοῦ λευκοῦ σύμμιξιν. ὅπου γὰρ ὕλης μίξις, ἀνάγκη μετέχειν τοῦ μὴ τοιούτου. καὶ ἐπίτασιν γίνεσθαι καὶ ἄνεσιν. Ἀλλὰ πῶς φησὶ λευκότερον γίνεσθαί τι, μὴ πρότερον ὂν λευκόν. ἢ γραμματικώτερον, ὃ μηδέπω γραμματικὸς ἐστίν. ἀλλὰ μὴν οὐ λέγεται γραμματικὸς ὁ μὴ ἔχων. προκόπτων δέ ἐστι συνεθίζων ἔτι πρὸς τὴν γραμματικήν. οὐδὲ λευκὸς ὡσαύτως. καὶ ὅταν δὲ τοῦτο τούτου μείζονα λέγωμεν, οὐδέτερος ἐστὶ μέγας ἁπλῶς. ἓν γὰρ τὸ ἁπλῶς μέγα. καὶ μέγιστόν ἐστι. καὶ μία ἡ ἁπλῶς γραμματική. καὶ μία ἡ ἄκρα ἀρετή. Ἀλλὰ τὴν μὲν ἀπορίαν λυτέον, κατὰ τὴν πρὸς τὸ τέλειον ἀναφορὰν λέγεσθαι τὰς συγκρίσεις. οὕτω δὲ τούτων λεγομένων, θαυμαστὸν οὐδὲν ἐνδέχεται τὴν τελείαν ταύτην ποιότητα ἄϋλον εἶναι. τὸ γὰρ τέλειον καὶ ἑστηκὸς ὡσαύτως, ἄλλης ἂν εἴη φύσεως, καὶ οὐ τῆς ἐνύλου. ἔτι δὲ τούτου φησὶν ὁ Ἰάμβλιχος ἀτοπώτερον, εἰ ἄϋλος μὲν ἐστὶν ἡ ποιότης, οὐ τὰ αὐτὰ δὲ πάσχει τοῖς ὑποδεχομένοις αὐτὴν ἐνύλοις ὑποκειμένοις. σχεδὸν γὰρ οὕτω χωριστὴ γίνεται εἴ τινα ἴδια ἔχει ἔργα κεχωρισμένα τοῦ κοινοῦ. καὶ γοῦν δέ φησιν ἄτοπον. εἰ ἡ ποιότης μὲν ἀεὶ συνέζευκται μετὰ τοῦ ποιοῦ ὥσπερ δίδυμον ἔχουσα πρὸς αὐτὸ τὴν φύσιν καὶ ἀπαράλλακτον. κεχώρισται δὲ τῷ παντί. πάλιν ἡ μὲν ποιότης οὐκ ἐπιτείνεται. τὰ δὲ ποιὰ ἐπιτείνεται. μήποτε οὖν φησιν ἐπὶ πάντων τούτων, ἐπὶ τοὺς ἀΰλους λόγους ἀπέφερον. καὶ γὰρ ἐπὶ τῶν ἀρετῶν, οἱ τὰς μὲν προκοπὰς διδόντες, τὸ δὲ τέλειον ἐπὶ τῶν ἀνθρώπων ἀπογινώσκοντες, ἐλάνθανον ἑαυτοὺς ἀΰλους τοὺς τελείους ὑπολαμβάνοντες. ἐπειδὴ παρὰ τῶν ἐνύλων ταύτας ἀπεγίνωσκον. εἰ δὲ τοῦτο, ἐκπίπτει ἡ δόξα ἐπ᾽ ἄλλην φύσιν διαφέρουσαν παντάπασι. τὸ γὰρ τῆς ποιότητος, οὐκέτι τῶν ἀΰλων. ταῦτα μὲν αὐταῖς λέξεσιν ὁ Ἰάμβλιχος ἔγραψε. μήποτε δὲ τούτῳ τῷ λόγῳ τὸ μᾶλλον καὶ ἧττον καὶ ἐπὶ τῆς οὐσίας ἀνάγκη τίθεσθαι. ἔνυλος γάρ ἐστι καὶ αὕτη. τὸ δὲ τέλειον καὶ ἑστηκός, ἄλλης ἂν εἴη φύσεως. ἔτι τὸ ποσόν, ὁμοίως. καὶ αὐτὸ τὸ ὡρισμένον. καὶ πᾶσαι αἱ ποιότητες, ἀλλ᾽ οὐ κατὰ τὸ ἔνυλον. οἶμαι δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον λαμβάνειν, ἀλλὰ κατὰ τὸ ἐπείσακτον καὶ ἧττον οὐσιῶδες. ἔτι γὰρ ἡ μὲν οὐσία, κατ᾽ αὐτὸ τὸ εἶναι ὅπερ λέγεται θεωρουμένη, οὐκ ἔχει τὸ μᾶλλον καὶ ἧττον. ἡ δὲ ποιότης, κατὰ τὴν ἐν τῇ οὐσίᾳ μέθεξιν ὑφεστῶσα, εἰκότως ἐπιδέχεται τοῦτο. καὶ γὰρ μᾶλλον μὲν ἐν τοῖς ἧττον οὐσιώδεσιν. ἧττον δὲ, ἐν τοῖς οὐσιωδεστέροις, ὥσπερ ἐν τοῖς σχήμασι. ἔτι τὸ ποσὸν δὲ πλησιαίτερον τῆς οὐσίας ὄν, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. ἀλλ᾽ οὐδὲ αἱ ποιότητες αἱ κατὰ τὴν ἄκραν ἑαυτῶν τελειότητα θεωρούμεναι, ὥσπερ ἡ τελεία ἀρετὴ καὶ ἡ τελεία γραμματικὴ ἐπιδέχονται τὸ μᾶλλον ἢ ἧττον. κατὰ γὰρ τὸ μάλιστα αὗται θεωροῦνται. καὶ οὐκ εἰσὶν αἱ τελειότητες αὗται κυρίως ἄϋλοι καὶ χωριστοί, ἀλλ᾽ ἔνυλοι μέν. κατὰ δὲ τὸ εἶδος αὐτὸ θεωρούμενοι. καθὸ καὶ ἀφοριζόμεθα ἕκαστον τῶν ἐνύλων. οὐκ εἰς τὴν ὕλην, ἀλλ᾽ εἰς τὸ εἶδος ἀποβλέποντες. καὶ εἰ μὲν μηδὲν

Universitäts- und
Landesbibliothek Düsseldorf

τῶν ἐνύλων τυγχάνει ποτὲ τῆς ἑαυτοῦ τελειότητος, καλῶς ἔχει λέγειν ἐν ταύταις τὸ μᾶλλον καὶ ἧττον ὑπάρχειν. εἰ δὲ τοῦτο ἄτοπον, ἔστι δὲ καὶ τὸ μάλιστα. καὶ οὕτως ἡ μὲν καὶ ἡ Πλωτίνου δόξα διορθωθήσεται κατὰ τὸ ἔνυλον καὶ γένεσιν εἰλημμένη μόνον, ἀλλ' οὐχὶ κατὰ τὸ τῆς ποιότητος ἰδίωμα. καθὸ τῆς οὐσίας καὶ τῆς ποιότητος διενήνοχεν. ὁ δὲ Ἰάμβλιχος ὑπαντῶν πρὸς τὴν Πλωτίνου δόξαν, τὸ ὁμοίως μὲν τὰς ποιότητας, ὁμοίως δὲ τοὺς ποιοὺς μεταβάλλουσιν ἐν ταῖς ἐπιτάσεσι καὶ ἀνέσεσιν, ἄτοπον φησὶ τὰς αἰτίας συμπάσας ἀλλοιοῦσθαι τὸν λόγον, ὥσπερ καὶ τὸ σύνθετον. εἰ γὰρ διοίσει τῶν μετεχόντων τὸ μετεχόμενον. καὶ ἅμα τὸ κοινὸν αὐτοῦ περὶ τῶν ἀσωμάτων ἀξίωμα, ὡς ἀπαθῆ ἐστι καὶ ἄτρεπτα, ἀναιρεθήσεται οὕτως. ταῦτα δὲ πρὸς τὸν Πλωτῖνον εἰπών, τὴν ἀληθεστάτην ἐπάγει θεωρίαν τοῦ δόγματος. οὐσία γάρ τις φησὶ τῶν λόγων ἀσώματος οὖσα, δίδωσιν ἑαυτὴν τοῖς δεχομένοις. καὶ ποιοῦσα τὸ ποιὸν περὶ τῷ σώματι, οὐδὲν ἧττον μένει καθ' ἑαυτὴν ἀσώματος ἐν τῷ σώματι, τὸ εἶναι καθ' ἑαυτὴν ἔχουσα, καὶ τῆς ὑποστάσεως αὐτῷ μεταδιδοῦσα μετὰ τοῦ μὴ ἀπολλύναι τὴν οἰκείαν φύσιν. ὅθεν δὴ ἔστι μὲν τὸ ἐπ' αὐτῆς ἀποτυπούμενον μόρφωμα, οἷον ἐπίτασιν ἐπιδέχεσθαι. ἔστι δὲ καὶ ἡ ἀσώματος οὐσία τῆς ποιότητος οἷα ἑστάναι ἐν τῷ αὐτῷ εἴδει. καὶ οὐ γίνεται διὰ τοῦτο ἄυλος, ἀλλ' ἔνυλος. οὐ μέντοι ὅλης τῆς ὕλης γίνεται. διότι καὶ ἑαυτῶν ἐστι τὰ εἴδη, καὶ κατὰ τὸ ἓν καὶ ταὐτὸν κυρίως ὥρισται. καὶ διὰ τοῦτο, οὐδὲ ἐν τῷ τῆς ὕλης γίνεσθαι ἀφίσταται ταύτῃ τῆς ὅλης ἑαυτῶν φύσεως. μένοντα δὲ ἐν αὐτῷ, τὸ ὁπωσγέτινα ἀναπίμπλαται τῆς ἐναντίας πρὸς αὐτὴν ἐκστάσεως τε καὶ ἀοριστίας. λοιπὴν δὲ τὴν τελευταίαν αἵρεσιν εὐθύνων ὁ Ἰάμβλιχος, ἥτις τὰς μὲν νοητὰς ποιότητας, ἀνεπιτάτους ἡγεῖται. τὰς δὲ ἐνύλους, ἐπιτάσεως μετέχειν καὶ ἀνέσεως, ἐκεῖνο τὸ τοῦ Πορφυρίου φησίν. ὅτι πάντα τὰ νοητά, καὶ ἅπερ ὄντα οὐσίαι εἰσί. καὶ διὰ τοῦτο οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον. ἀλλὰ δυνατὸν φησι πρὸς τοῦτο λέγειν, ὡς καὶ ἐν τοῖς νοητοῖς διασώζεται ἡ τάξις τοῦ λόγου τῆς ποιότητος, εἰ καὶ κατ' οὐσίαν ἐκεῖ πάντα ὑπάρχει. καὶ γὰρ κατὰ τοῦτον τὸν λόγον, περὶ τὴν οὐσίαν ἡ στάσις καὶ ἡ κίνησις θεωρεῖται, διασώζουσα ὡς ἐν νοητοῖς τὸν λόγον τῆς ἐνυπαρχούσης ἐν ἑτέρῳ καὶ περὶ ἕτερον ἐνεργείας. ἀλλ' ὅλως οὐ περὶ τῶν νοητῶν ὁ νῦν προκείμενος λόγος. ταῦτα μὲν οὖν ἀρκούντως εἴρηται. θαυμαστῶς δὲ οἱ ἀρχαῖοι τῷ βραχεῖ

» λόγῳ τὴν αἰτίαν τοῦ ἧττον καὶ μᾶλλον ἐνεδείξαντο εἰπών. Καὶ τῇ ποιότητι δέ, κοινά τινα
» συνήρτηται. οἷον, τό, τε ἐναντιότητα ἐπιδέχεσθαι καὶ στέρησιν. καὶ τὸ μᾶλλον
» δὲ καὶ ἧττον, ἐν τοῖς πάθεσι. διότι γὰρ ἀπειρίας τινὸς μετέχει τὰ πάθη, διὰ τοῦτο
» μετείληφε τινὸς ἀορίστου ἐπιτάσεως κατὰ τὸ μᾶλλον καὶ ἧττον. καὶ οὕτως κατὰ τὸν

ἑαυτοῦ λόγον τὸ ποιόν, τὸ μᾶλλον ἔξει καὶ τὸ ἧττον, καὶ οὐκ ἀπὸ τῶν μετεχόντων. ἔστι δὲ ἐν τοῖς μετέχουσι θεωρουμένη ἐπίτασίς τε καὶ ἄνεσις. νῦν μὲν λευκοῦ μόνου ὄντος εἰ τύχοι, ὅταν δὲ ἐπικαυθῇ ὑπὸ τοῦ ἡλίου ἧττον γινομένου λευκοῦ, κἂν κατ' ἐπιτηδειότητα, κἂν ἐπιτηδειότητα γένηται τοῦ μετέχοντος κατὰ σύμμιξιν τοῦ μὴ τοιούτου, ἔχει ὅμως καὶ αὐτὴ ἡ ἐν τοῖς μετεχομένοις λόγοις τὴν ὑπεροχήν. οὕτω τὸ διαφόρως ἐπιγινόμενον προσκη

παραμενόντων τῶν ἑτέρων παθήματος. οὐ μὴν, ἀλλ' ἔχει γε ἀμφισβήτησιν, μή ποτε ἐν τοῖς
ὑποδεχομένοις ἐστὶ τὸ διάφορον. ἐπὶ δὲ τῶν συμφύτων χρωμάτων, οἷον τοῦ ἐν γά-
λακτι καὶ χιόνι λευκοῦ, φανερά ἐστιν ἡ κατ' αὐτὸν τὸν φυσικὸν λόγον κατὰ τὸ μᾶλλον
ὑπεροχή. Ἀλλὰ πῶς ἴδιον τῆς ποιότητος, τὸ ὅμοιον καὶ ἀνόμοιον εἶναί φησιν. Ἢ ὅτι ὡς
εἴρηται πολλάκις ἐπείσακτός ἐστιν ἡ ποιότης, καὶ διὰ τοῦτο, οἷον παράχωσιν ποιεῖ ἡ
κατ' αὐτὴν κοινωνία. ἕκαστον γὰρ τῶν εἰδῶν, ἰδίαν ἔχει τῆς κοινωνίας τὴν φύσιν. καὶ τὰ μὴ κατ'
οὐσίαν κοινωνοῦντα, ταυτότητα συνδέδεται, διότι τὸ αὐτό ἐστιν. τὸ δὲ, κατὰ ποσότητα ἴσον.
τὸ δὲ, κατὰ ποιότητα ὅμοιον. ὡς γὰρ ἐπεισοδιώδης ἡ ποιότης, οὐκ ἔστιν ὅλον καὶ πᾶν, ὅπερ ἐστὶ
τὸ δεχόμενον, ἀλλὰ περὶ τὸ αὐτὸ ἐγγίνεται χαρακτήρ τις περὶ τὴν οὐσίαν, ὅπερ τὴν ὁμοιότη-
τα ποιεῖ. καὶ γὰρ ὁμοιότης ἐστὶν ἡ τοῦ αὐτοῦ εἴδους ἐπεισοδιώδης μέθεξις, ὡς δέδεικται ἐν
τῷ Παρμενίδῃ. καὶ ἀνομοιότης, ἡ τοῦ ἑτέρου. ἐπεὶ γὰρ τὴν ὁμοιότητα μὲν ὁ χαρακτὴρ μάλιστα
ποιεῖ, ἐν δὲ τῷ χαρακτῆρι τὸ εἶναι ἔχει ἡ ποιότης, εἰκότως κατὰ τὸ ὅμοιον καὶ ἀνόμοιον
ἔχει τὴν ἰδιότητα. δηλοῖ δὲ καὶ Ἀρχύτας γράφων οὕτως. ποιότητος δὲ ἴδιον, τό, τε
ὅμοιον καὶ ἀνόμοιον. καὶ γὰρ χροίᾳ λέγομεν ὁμοίους, τοὺς ἔχοντας τὸ αὐτὸ χρῶμα. καὶ χα-
ρακτῆρι, τοὺς ἔχοντας τὴν αὐτὴν ἰδέαν. καὶ ἀνομοίους δὲ, κατὰ τὸ ἐναντίον. ὁ δὲ αὐτὸς λό-
γος, καὶ ἐπὶ τῶν ἄλλων. καὶ ἐπὶ τούτου δὲ, ἔστι μὲν καὶ ἐν τῷ λέγειν ὅμοια ἢ ἀνόμοια τὰ με-
τέχοντα ἐπὶ τὸν λόγον ἀναφέρειν τὴν αἰτίαν. μετεχόμενα μὲν γὰρ, ὡσαύτως ὅμοια γί-
νεται τὰ κατ' αὐτὴν εἰδοποιούμενα. ἑτέρως δὲ καὶ ἑτέρως, ἀλλὰ καὶ ἄλλα γίνεται τὰ
μεταλαμβάνοντα. οὐ μὴν ἀλλὰ καὶ αὐτὸν καθ' αὑτὸν τὸν λόγον τῆς ποιότητος, ὡς ἀρ-
χηγικὸν τῆς ὁμοιότητος καὶ ἀνομοιότητος ὑποληπτέον. ὑφιστάμενον γὰρ ἔχει μεθ'
ἑαυτοῦ τὸ ὅμοιον καὶ ἀνόμοιον. διὸ καὶ πάσης ποιότητος ὡς συνακολουθοῦν μετὰ
τῆς οἰκείας φύσεως, καὶ συνήρτηται οὖν αὐτῷ καθόλου. κατὰ γὰρ τὸν χαρακτῆρα τῆς ποιό-
τητος, καὶ κατὰ τοὺς κοινοὺς αὐτῆς λόγους τοὺς περὶ πάντα τὰ εἴδη τῆς ποιότητος συνυφέ-
στηκεν αὐτῇ τὸ ὅμοιον καὶ ἀνόμοιον. διὸ καὶ πάσῃ ποιότητι τὸ αὐτὸ ἴδιον ὑπάρχει. Οὐ
δεῖ δὲ ταράττεσθαι, ἕως τοῦ, οὐδὲν γὰρ ἄτοπον ἐν ἀμφοτέροις τοῖς γένεσιν αὐτὸ καταρι-
θμεῖσθαι. φιλανθρώπου διδασκαλίας ἐστὶ, τὸ λύειν τὰς ἀναφυομένας ἐκ τῶν εἰρημένων
ἀπορίας. ἐμνημόνευσεν οὖν ὁ Ἀριστοτέλης, ὅτι τὰς ἕξεις καὶ διαθέσεις, πρότερον μὲν ἐν
τοῖς πρός τι κατηρίθμησε. περὶ ποιότητος δὲ λέγων, πρῶτον εἶδος αὐτὰς τῆς ποιότη-
τος ἐλογίσατο. καὶ ὅτι ταραχθῆναι εἰκὸς ἦν ἐκ τούτου τοὺς ἀκούοντας. ἐπεὶ γὰρ δύο κατηγορι-
ῶν ἐστὶν ἡ ἕξις, συμβέβηκε δὲ μίαν οὖσαν αὐτὴν, ἑτέραις τῶν εἰδῶν ἔχεσθαι διαφοραῖς. τῶν
γὰρ ἑτέρων γενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, ἑτέρας αὐτὸς ἔφη εἶναι τῷ εἴδει τὰς διαφο-
ράς. λύει οὖν τὴν ἀπορίαν ταύτην διχῶς. καθ' ἕνα μὲν τρόπον δεικνὺς ὅτι πάντα τὰ τῶν τοι-
ούτων τὰ μὲν γένη, πρός τι λεγόμενα. οἷον ἐπιστήμην τινὸς ἐπιστήμη. τὰ δὲ εἴδη καὶ τὰ καθ'
ἕκαστον, οὐκέτι τῶν πρός τι. ἡ γὰρ γραμματικὴ καὶ ἡ Ἀριστάρχου γραμματική, οὔτε πρὸς
ἄλληλα, οὔτε πρὸς ἕτερον λέγονται. εἰ γὰρ ἡ γραμματικὴ Ἀριστάρχου ὡς πρός τι, καὶ Ἀρίσταρ-
χος ἔσται τῆς γραμματικῆς ὡς πρός τι, ὁμοίως καὶ ἡ μουσικὴ καὶ ἡ Ἀριστοξένου μουσική. καὶ γὰρ καὶ
αὐτὰ δοκοῦσι πρός τι λέγεσθαι, κατὰ τὸ αὐτὸ τὸ γένος ἔχουσι τὸ πρός τι. ἡ γὰρ γραμματική, τινὸς
ἐπιστήμη λέγεται, ἀλλ' οὐ τινὸς γραμματική. καὶ ἐπιστήμων ὁ γραμματικὸς λέγεται

κατὰ τὴν περὶ τὸ γένος ἀναφορὰν, ἐπιστήμων γραμματικῆς, ἀλλ' οὐχ ἁπλῶς ἐπιστήμων ἐῤῥηθήσεται. ἔτι δὲ ἡ γραμματικὴ τοῦ ἔχοντος λέγεται. οὐκέτι δὲ οὕτως τὰ πρός τι. εἰ οὖν τὸ μὲν πρός τι ἐν τοῖς γένεσι, τὸ δὲ ποιὸν ἐν τοῖς καθ' ἕκαστα, ἄλλως μὲν ἡ ἕξις ἔσται ἐν τοῖς πρός τι, ἄλλως δὲ ἐν τοῖς ποιοῖς κατὰ τὸ καθ' ἕκαστα. δείκνυσι δὲ ὅτι κατὰ τὰ καθ' ἕκαστα ποιὰ γίνονται τὰ μετέχοντα ἀπὸ τοῦ ἔχειν ἡμᾶς τὰ καθ' ἕκαστα, ἀλλ' οὐ τὰ καθόλου. καὶ ἀπὸ τοῦ λέγεσθαι ποιὰ τὰ μετέχοντα τὰ ἐν μέρει. ἕκαστος γὰρ ἀπὸ τῆς καθ' ἕκαστα ποιότητος τῆς οἰκείας, λέγεται ποιός, καὶ οὐκ ἀπὸ τῆς καθόλου. ὁ γοῦν γραμματικὸς μὲν, ἀπὸ γραμματικῆς. ἀρίσταρχος δὲ γραμματικός, ἀπὸ τῆς ἀριστάρχου γραμματικῆς, καὶ οὐκ ἀπὸ τῆς ζηνοδότου. ἐπεὶ οὖν ἀπὸ τῶν καθ' ἕκαστα ποιοὶ λέγονται, οὐκ ἂν εἶεν τῶν πρός τι οἱ καθ' ἕκαστα. οὐ γὰρ λέγεται ἡ γραμματικὴ ἀριστάρχου ὡς πρός τι, ἐπεὶ ἔδει ἀντιστρέφειν, καὶ ῥηθήσεσθαι. ἀρίσταρχος, γραμματικῆς ἀρίσταρχος. ὁ πορφύριος. δευτέραν δὲ λύσιν ἐπάγει, ὅτι οὐδὲν κωλύει τὸ αὐτὸ ἐν δυσὶν εἶναι κατηγορίαις, ὅταν μὴ κατὰ ταὐτό, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο σημαινόμενον γίνηται ἡ ἀναφορά. ὁ γοῦν σωκράτης, ὑπὸ πολλὰς ἀναχθήσεται κατηγορίας. ὡς μὲν ἄνθρωπος, ὑπὸ τὴν οὐσίαν. ὡς δὲ δίπηχυς εἰ τύχοι, ὑπὸ τὸ ποσόν. ὡς δὲ πατὴρ καὶ ὡς υἱός, ὑπὸ τὰ πρός τι. ὡς δὲ φιλόσοφος, ὑπὸ τὸ ποιόν. οὕτως δὲ ἔστι κατὰ τὰ ἄλλα τῶν ὑπαλλήλων ὑπαρχόντων, καὶ εἰς τὰς ἄλλας ἀναχθήσεται κατηγορίας. τί οὖν ἄτοπον, εἰ καὶ ἡ ἕξις καὶ ἡ διάθεσις κατ' ἄλλο τι καὶ ἄλλο, ὑπ' ἄλλην καὶ ἄλλην ἀνάγονται κατηγορίαν. ὥσπερ γὰρ ὁ τόπος κατὰ μὲν τὸ διάστημα, ποσόν ἐστι. κατὰ δὲ τὸ πέρας εἶναι τοῦ περιέχοντος, πρός τι. οὕτω καὶ ἡ διάθεσις. κατὰ μὲν τὸ ἔχειν πῶς, ποιότης ἔσται. κατὰ δὲ τὸ τινὸς διακειμένου λέγεσθαι, πρός τι ῥηθήσεται. ὁ μέντοι ἀφροδισιεὺς ἀλέξανδρος, περὶ μόνων τῶν πρός τι συμβαίνειν οἴεται τοῦτο τὸ τινὰ τῶν πρός τι, καὶ ὑπ' ἄλλην κατηγορίαν ἀνάγεσθαι. διότι τὴν ἀρχὴν τὸ πρός τι, οὐδὲ εἶχεν οἰκεῖον ὑποκείμενον, ἀλλ' ἐπ' ἄλλης κατηγορίας τὸ εἶναι εἶχεν. οὐ μήν ἐστί γε ἀληθὲς τοῦτο. καὶ γὰρ περὶ πασῶν τῶν κατηγοριῶν, τοῦτο θεωρεῖται. ἐπειδὴ γὰρ οὐχ ἕν τι ἐστὶν οὐδὲ ἁπλοῦν ἕκαστον τῶν λαμβανομένων, ἀλλ' ἐν συνθέτῳ φύσει συντέτακται, οὐδὲν θαυμαστὸν εἰ ἕκαστον κατ' ἄλλο μέν τι τῶν ἐν ἑαυτῷ, ὑφ' ἕτερόν τι γένος ὑποτάττεται, κατ' ἄλλο δὲ ὑφ' ἕτερον. μήποτε δὲ περὶ μὲν τῶν συνθέτων οἷον τοῦ σωκράτους, τοῦτο καὶ ἀλέξανδρος συγχωρήσειεν. ἀναλυθέντος δὲ εἰς τὰ ἁπλᾶ καὶ ἄνευ συμπλοκῆς τοῦ συνθέτου, ἕκαστον ὑπὸ μίαν κατηγορίαν ἀναχθήσεται. ὁ ἄνθρωπος. ὁ πατήρ. ὁ δίπηχυς. ὁ φιλόσοφος. ἴδιον δέ τι περὶ τῶν πρός τι ἐνέδειξεν ὁ ἀλέξανδρος, τὸ πάντως σὺν ἄλλῃ κατηγορίᾳ ὑφεστάναι. ὡς ὁ μὲν πατήρ, μετὰ οὐσίας. τὸ δὲ μεῖζον, μετὰ ποσοῦ. ὁ δὲ φιλόσοφος, μετὰ ποιοῦ. καὶ ὁ τύπτων, μετὰ τοῦ ποιεῖν. καὶ περὶ τῶν ἄλλων ὡσαύτως.

Ἀλλ' ἀπορήσειεν ἄν τις ὡς οἶμαι, πῶς φησὶν ὁ ἀριστοτέλης, τὰ μὲν γένη, πρός τι λέγεσθαι. τὰ δὲ καθ' ἕκαστα, ποιὰ εἶναι. δῆλον γὰρ ὅτι ἧσπερ ἂν ἡ κατηγορίας τὸ γένος, τῆς αὐτῆς ἂν εἴη κατηγορίας καὶ τὰ ἐν τῷ γένει ἐκείνῳ καθ' ἕκαστα. εἰ γὰρ οὐσία τὸ γένος, καὶ αἱ ὑπὸ τὸ γένος καθ' ἕκαστα οὐσίαι. καὶ εἰ ποιότης τὸ γένος, καὶ τὰ καθ' ἕκαστα ποιότητες. τὸ γὰρ γένος οὐ μόνον τῶν εἰδῶν, ἀλλὰ καὶ τῶν ἀτόμων συνωνύμως κατηγορεῖται. πῶς οὖν τὸ μὲν γένος πρός τι εἶναι φησί. τὰ δὲ καθ' ἕκαστα μὴ εἶναι πρός τι, ἀλλὰ ποιότητας. ἔτι δὲ οἶμαι καὶ τοῦτο ἀπορίας ἄξιον, ποίας ἕξεις καὶ διαθέσεις ἐν τῷ εἴδει τῆς ποιότητος ἔθετο ὁ ἀριστοτέλης. εἰ μὲν γὰρ τὰς

ὡς γένος, πῶς νῦν προστίθησιν αὐτὰς εἶναι φησὶν, ἀλλ' οὐ ποιότητας. εἰ δὲ τὰς καθ' ἕκαστα, πῶς οὐ λέγει καὶ τὰς ὡς γένος. ἡ γὰρ τὶς ἕξις, καὶ ἕξις. καὶ ἡ τὶς θέσις, καὶ διάθεσις. ὥσπερ καὶ ὁ τὶς ἄνθρωπος, καὶ ἄνθρωπος. ῥητέον δὲ οἶμαι πρὸς ταῦτα, ὅτι οὐκ εἶπε γένη μὴ εἶναι ποιότητας, οὐδὲ ὅτι ἡ γενικὴ ἕξις καὶ διάθεσις οὐκ ἔστι ποιότης, ἀλλ' ὅτι εἰ καὶ λέγηται πρός τι ἡ ἕξις καὶ ἡ διάθεσις, οὐ πᾶσα ἔχει τοῦτο, ἀλλ' ἡ γενικὴ μόνον. ποιότης μέντοι πᾶσα καὶ ἡ γενικὴ καὶ ἡ καθ' ἕκαστα. καὶ οὐδὲν ἄτοπον τὴν μὲν γενικὴν ἕξιν, καὶ πρός τι εἶναι. τὴν δὲ καθ' ἕκαστα, ποιότητα μόνον. διότι οὐ λέγεται ὡς πρός τι γένους ἐδόθησαν αἱ καθ' ἕκαστα ἕξεις, ἀλλὰ τῆς ὡς ποιότητα. καὶ γὰρ ἡ ἐπιστήμη ὡς μὲν πρός τι, οὔτε μὴν εἰς εἴδη. ἡ δὲ ποιότης, διαιρεῖται εἰς τὰς κατὰ μέρος ἐπιστήμας. αἵτινες πρός τι μὲν οὐκ εἰσὶν, ὡς ἀποδέδεικται. ποιότητες δὲ εἰσίν. εἰ δὲ χρὴ καὶ κοινούς τινας ἐκθέσθαι διορισμοὺς, πῶς οἷόν τε ἐπ' ἄλλην καὶ ἄλλην κατηγορίαν ἀναφέρειν. ῥητέον ὅτι δεῖ τὰ προστιθέμενα ὡς σύνθετα ἀναλύειν μέχρι τῶν ἄνευ συμπλοκῆς ἀναγόντων ἡμῶν ἕκαστα. καὶ τότε ἢ ἀπὸ τῶν σημαινομένων τῆς ἑτερότητος, ἢ ἀπὸ τῆς τῶν νοημάτων διαφορᾶς, ἢ ἀπὸ τοῦ ἐν ταῖς λέξεσι διαφόρου χαρακτῆρος, ὡς μὲν ἔστι τὰ τοιαῦτα διακρίνειν, καὶ τὰ καθ' ἕκαστα οὕτως εἰς τὰς κατηγορίας ἀνάγειν. συνεπισκεπτέον δὲ καὶ τὰ γένη καὶ τὰ εἴδη. καὶ τὰς διαφορὰς ἑκάστου ταυτότητάς τε καὶ ἑτερότητας. πῶς γὰρ ὁ Πλωτῖνος, καὶ εἰς τὰς ποιότητας ἀνάγει καὶ εἰς τὰ πρός τι. καθὸ μὲν διάκειταί πως, εἰς ποιότητα. καθὸ δὲ πρὸς ἕτερον λέγεταί τι ποιεῖν, πρός τι. πῶς δὲ πάλιν πάθος ὄντας, τὸ μὲν, ἐν ἀποτελέσματι, ὅπερ ἐκ πάθους γέγονε. τὸ δὲ, ὡς αἴτιον, ὅπερ ἐμποιεῖ πάθος κοινόν τι, θεωρεῖται ἡ παθητικὴ ποιότης. ὅτι ὁ τρόπος τῆς ἀναφορᾶς ὑπὲρ τὸ αὐτὸ πάθος, καὶ τοῦ κοινοῦ χαρακτῆρος ὁ τύπος, τῆς εἰδοποιίας τὸ κοινὸν ἀπεργάζεται. δεῖ δὲ τὰ ἐν πλείοσι γένεσι συνιστάμενα, παραιτεῖσθαι ἐν τῇ τῶν κατηγοριῶν διαριθμήσει. τῶν γὰρ ἁπλῶν ἐν αὐταῖς ἐστὶν ἡ διαίρεσις. ὁμοίως δὲ καὶ εἴ τινα μέσα ἐστὶν ἢ κοινὰ ἢ ἐπιπλεκόμενα γένη, οὐ προσήκει ταῖς κατηγορίαις. ἀλλὰ ταῦτα μὲν προσκεῖται, διότι καὶ ὁ Ἀριστοτέλης ἐνεδείξατο, πῶς τὸ αὐτὸ ἐπ' ἄλλην καὶ ἄλλην κατηγορίαν ἀνάγειν δυνατόν. τέλος δὲ ἤδη καὶ ἡμῖν ὁ περὶ τῆς ποιότητος ἐχέτω λόγος.

## ΠΕΡΙ ΤΟΥ ΠΟΙΕΙΝ ΚΑΙ ΠΑΣΧΕΙΝ

Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναντιότητα. ἕως τοῦ, ὑπὲρ μὲν οὖν τῶν γενῶν, ἱκανὰ τὰ εἰρημένα. τῶν δὲ καταλειπόντων τὰ μὲν τέσσαρα, περὶ ὧν ἤδη διῆλθεν ὁλικώτερα ὄντα καὶ πλείονα θεωρίαν ἐπιδεχόμενα, πολλῶν ἠξίωται λόγων ὑπὸ τοῦ Ἀριστοτέλους. περὶ δὲ τῶν λοιπῶν λέξει, εἰ καὶ ὑφειμένως. ἀλλ' ἀδύνατον ἦν καὶ περὶ ἐκείνων πολλοὺς εἰπεῖν καὶ καλοὺς λόγους. ἄρχεται δὲ ὡς ἐν εἰσαγωγῇ, τὴν ἔννοιαν αὐτῶν παραστῆσαι, ἵνα ἔχωσιν οἱ νέοι τὰ ἁπλᾶ εἰς τὰ οἰκεῖα γένη ἀνάγοντες, οἰκείως ποιεῖσθαι τὰς κατηγορίας. ὅπερ ἐν ἀρχῇ διὰ τῶν παραδειγμάτων ἐποίησεν. ἴδια μέντοι περὶ ἑκάστου τούτων, ἀκριβεῖς ἐποιήσατο λόγους. περὶ μὲν τοῦ ποιεῖν καὶ πάσχειν, ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς. περὶ δὲ τοῦ ποτὲ καὶ ποῦ, ἐν τῇ φυσικῇ ἀκροάσει

ἐνταῦθα καὶ περὶ χρόνου καὶ τόπου τελέως ἐδίδαξε. περὶ πάντων δὲ, ἐν τῇ μετὰ τὰ φυσικὰ τοῖς τελεωτάτοις πεποίηται λόγοις. αἱ γὰρ ἀρχαὶ κατὰ μὲν τὴν σημαντικὴν αὐτῶν λέξιν, ἐν τῇ λογικῇ πραγματείᾳ δηλοῦνται. κατὰ δὲ τὰ σημαινόμενα πράγματα, ἐν τῇ μετὰ τὰ φυσικὰ οἰκείως. πρῶτον δὲ ἐν τούτοις ἐμνημόνευσε τοῦ ποιεῖν καὶ πάσχειν. διότι φασὶ κατὰ τὴν ποιότητα, τὸ ποιεῖν ἐστὶ καὶ πάσχειν. εἰκότως οὖν μετὰ τὴν ποιότητα εὐθὺς προεβλήθη. καίτοι καὶ κατὰ τὴν οὐσίαν ἐστὶ ποιεῖν, ὥσπερ τὸ γεννᾶν καὶ οἰκοδομεῖν. καὶ κατὰ ποσότητα, ὡς τὸ ἀριθμεῖν. καὶ πρὸς τὰ πρός τι δὲ οἰκείως ἔχει, εἴπερ τὸ ποιεῖν καὶ τὸ πάσχειν πρός τί ἐστι. κάλλιον οὖν λέγειν, ὅτι πρὸς τὰς τέσσαρας κατηγορίας οἰκείως ἔχον τὸ ποιεῖν καὶ πάσχειν, ὡς πρὸς ὕπαρξιν ἐνεργείας καὶ πάθους, εἰκότως μετὰ τὰς τέσσαρας ἔτυχε λόγου. καὶ διότι καὶ τοῖς σώμασι τοῖς ὑπάρχει ταῦτα τῶν ἐφεξῆς γενῶν πάντων ἐν μόνοις θεωρουμένων τοῖς σώμασιν. ἅμα δὲ αὐτῶν ἐμνημόνευσε, διότι καὶ ἅμα συνυφεστήκασι. καὶ ὅπου θάτερον, ἐκεῖ καὶ θάτερον. ὡς ἀξιοῦν ἡμᾶς μὴ δεῖν ἰδίας ἀφορίζειν αὐτοῖς κατηγορίας, ἀλλ' ὑπὸ τὰ πρός τι τάττειν αὐτά. ὁ μέντοι Ἀρχύτας, καὶ τὸ ἔχειν καὶ τὸ ποῦ προέταξε τοῦ ποιεῖν καὶ πάσχειν. καὶ τὴν αἰτίαν εἰπὼν οὕτως. ἐπειδὴ πᾶν τὸ κινούμενον, ἐν τόπῳ κινεῖται τινί, τὸ δὲ ποιεῖν καὶ τὸ πάσχειν κινήσεις τινές εἰσι κατ' ἐνέργειαν, φανερὸν ὅτι τόπον εἶναι ὑπέμεν δεῖ πρῶτον, ἐν ᾧ περ ἐστὶ τὸ ποιεῖν ἢ τὸ πάσχειν. σημαίνει δὲ τὸ μὲν ποιεῖν, ἐνέργειαν. τὸ δὲ πάσχειν, πάθος οὐ κατὰ τὸν χαρακτῆρα τῆς πείσεως, τοῦτο γὰρ ποιότης ἐστὶν, ἀλλὰ κατὰ τὴν ἐν τῷ πάθει κίνησιν. καὶ αὕτη ἐστὶν, ἡ περὶ αὐτῶν πρόχειρος ἔννοια. διὸ ταύτην μὲν ὡς σαφῆ παρῆκεν εἰπεῖν. τὰ δὲ παρακολουθοῦντα καὶ τούτοις ἐπάγει, ὧν πρῶτον τὸ ἐναντιότητα ἐπιδέχεσθαι, τὸ ποιεῖν καὶ τὸ πάσχειν. τὸ γὰρ θερμαίνειν καὶ τὸ ψύχειν, ἐναντίον. ἑκάτερον δὲ ἐν τῷ ποιεῖν. καὶ τὸ θερμαίνεσθαι τῷ ψύχεσθαι. ἑκάτερον δὲ ἐν τῷ πάσχειν. ὥσπερ καὶ τὸ ἥδεσθαι καὶ τὸ λυπεῖσθαι. εἰ γὰρ κατὰ τὴν ποιότητα αἱ τοιαῦται ἐναντιώσεις, τῷ γὰρ θερμῷ τὸ ψυχρόν ἐστιν ἐναντίον, τὰ δὲ ἐναντία τῶν ἐναντίων ἐστὶ ποιητικά, εἴη ἂν καὶ ἐν τῷ ποιεῖν ἐναντίωσις, ὅταν ὡς ἐνέργεια λαμβάνηται τῶν ἐναντιότητα ἐπιδεχομένων γενῶν. εἰ δὲ ἐν τῷ ποιεῖν, καὶ ἐν τῷ πάσχειν. ὃ γὰρ τὸ ποιοῦν ποιεῖ, τοῦτο πάσχει τὸ πάσχον. καὶ τῶν ἐναντίων δὲ, τὰ μὲν ἔχει τι μεταξύ. τὰ δὲ, οὐκ ἔχει. ὧν μὲν γὰρ αἱ ποιότητες ἔχουσί τι μεταξύ, τούτων καὶ ἡ κατὰ τὸ ποιεῖν καὶ πάσχειν ἐναντίωσις, ἔχει τι μεταξύ. ὡς τὸ χλιαίνειν καὶ ἐρυθραίνειν. ἐπειδὴ τὸ χλιαρόν, μεταξύ ἐστι θερμοῦ καὶ ψυχροῦ. καὶ τὸ ἐρυθρὸν ἢ τὸ φαιόν, λευκοῦ καὶ μέλανος. ὧν δὲ αἱ ποιότητες οὐκ ἔχουσί τι μεταξύ, οὔτε τὰ ἐνεργητικὰ τούτων οὔτε τὰ παθητικά. ὡς τὸ ὑγιάζειν καὶ τὸ νοσάζειν. διπλοῦς δὲ ὁ λόγος ἐστί. τῶν γὰρ ποιήσεων, αἱ μὲν εἰσὶ πρὸς ἕτερον τὸ πάσχον ἀντιτιθέμεναι, ὥσπερ ἡ τοῦ θερμαίνειν. τὸ γὰρ θερμαῖνον θερμαινομένῳ θερμαίνει. αἱ δὲ, ἀπόλυτοι, ὥσπερ ἡ τοῦ λέγειν. οὐκ ἔστι δὲ ἴδιον τοῦ ποιεῖν καὶ πάσχειν τὰ ἐναντία. οὔτε γὰρ μόνοις, οὔτε πᾶσιν ὑπάρχει τοῦτο. οὐδὲ γὰρ τῷ λέγειν, ἢ γράφειν, ἢ τεκταίνεσθαι, ὅτι μηδὲν τοῦτ' ἐναντιότητι θεωρεῖται. ἀλλ' ἐκείνοις μόνοις, ὅσα κατ' ἐνέργειαν ἢ πάθος ἦν τῶν ἐναντιότητα

ἐχόντων. ἐπιδέχεται δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὸ ποιεῖν καὶ τὸ πάσχειν. θερμαίνειν γὰρ καὶ θερμαίνεσθαι, καὶ τἆλλα τὰ εἰρημένα ποιεῖν καὶ πάσχειν ἐστὶ καὶ μᾶλλον καὶ ἧττον. διότι καὶ ἐν αὐταῖς ταῖς ποιότησιν ἦν τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὰ κατ' αὐτὰς ποιοῦντα καὶ πάσχοντα, τὸ μᾶλλον ἕξει καὶ ἧττον. οὐ δεῖ δὲ οὐδὲ τὸ μᾶλλον καὶ ἧττον αὐτῶν τοῦ ποιεῖν καὶ πάσχειν ζητεῖν, ἀλλ' ἐπ' ἐκείνων, ὅσα κατὰ τὰ ἐπιδεχόμενα γένη τὸ μᾶλλον καὶ τὸ ἧττον, τὸ ποιεῖν ἔχει καὶ τὸ πάσχειν. ἐπεὶ οὔτε γραμμὴν ἐστὶ μᾶλλον καὶ ἧττον, οὔτε ἀριθμεῖν. οὔτε γὰρ ἡ οὐσία, οὔτε τὸ ποσὸν, ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. διαίρεσις δ' ἂν εἴη τοῦ ποιεῖν καὶ πάσχειν, κατά τε τὰς ἐνεργείας πολλαχῶς διαιρουμένας, καὶ κατὰ τὰς παθητικὰς ποιότητας. περὶ δὲ τοῦ κεῖσθαι, εἰς τὰ πρότερον τὴν ἀκρόασιν ἀνέπεμψεν. εἴρηται δὲ, ὅτι ἡ μὲν θέσις τινὸς οὖσα τοῦ κειμένου, τῶν πρός τι ἐστί. τὸ δὲ κεῖσθαι παρωνύμως ἀπὸ τῆς θέσεως λεγόμενον, ἄλλης ἐστὶ κατηγορίας. οἷον τὸ ἀνακεῖσθαι. ἑστάναι. καθῆσθαι. οὐ θέσεις γὰρ ταῦτα, ἀλλ' ἀπὸ τῆς θέσεως παρωνόμασται. καὶ ἔχομεν ἀπ' αὐτοῦ καὶ τὴν τοῦ κεῖσθαι διαίρεσιν παραδεδομένην. περὶ μέντοι τῶν λοιπῶν γ΄ εἰδῶν, τοῦ τε ποῦ, καὶ τοῦ ποτὲ, καὶ τοῦ ἔχειν, διὰ τὸ προφανῆ εἶναι φησὶν, οὐδὲν ἄλλο ἢ περὶ αὐτῶν, ἢ ὅσα ἐν ἀρχῇ εἴρηται. καὶ ἐκεῖ δὲ οὐδὲν ἄλλο ἢ παραδείγματα αὐτῶν παρέθετο. ποῦ λέγων, οἷον ἐν Λυκείῳ. ποτὲ δὲ, οἷον χθές. πέρυσιν. ἔχειν δὲ, οἷον ὑποδέδεται. ὥπλισται. προϊὼν δὲ καὶ διαίρεσίν τινα τοῦ ἔχειν ὡς πλεοναχῶς λεγομένου παραδώσει. ἀλλ' ἐπεὶ ταῦτα παρὰ τῷ Ἀριστοτέλει καταπεφρόνηται, καλῶς ἂν ἔχοι τὰ παρὰ Πορφυρίῳ καὶ Ἰαμβλίχῳ περὶ αὐτῶν φιλοτεχνούμενα καταμαθεῖν. τὸ δὴ ποῦ καὶ ποτέ φασιν, ὥσπερ καὶ τὰ πρός τι μὴ εἶναι τῶν προηγουμένως αὐτῶν πραγμάτων θεωρουμένων, ἀλλὰ τῶν ἐν ἄλλοις ἐπιγινομένων. τοῦ γὰρ ποσοῦ ὑποκειμένου, καὶ τῶν ἐπ' αὐτῷ τόπου τε καὶ χρόνου, ἐπισυνίσταται τὸ ποῦ καὶ τὸ ποτέ φασιν, ὥσπερ καὶ τὰ πρός τι μὴ εἶναι. οὔτε δὲ τὸ ποῦ ὁ τόπος ἐστὶν, οὔτε τὸ ποτὲ ὁ χρόνος, ἀλλὰ προϋπάρχοντος τόπου καὶ χρόνου. εἶτα ἑτέρου ἐν τούτῳ ὄντος, ποῦ εἶναι λέγεται τὸ ἐν τόπῳ ὄν. καὶ ποτὲ, τὸ ἐν χρόνῳ. ὡς Σωκράτης ἐν Λυκείῳ ἦν χθές. δοκεῖ δὲ μονοειδὲς τὸ εἶναι ποῦ, καὶ μὴ ἐπιδέχεσθαι διαφοράς. καὶ γὰρ τὸ μὲν, ἀορίστως λέγεται ἐν τόπῳ. οἷον ἐν τῇ πόλει. τὸ δὲ, ὡρισμένως. οἷον ἐν τῇ ποικίλῃ στοᾷ, ἢ ἐν τῷδε τῆς στοᾶς τῷ μέρει. ἐπιδέχεται δὲ καὶ τὰς τοῦ τόπου πάσας διαφοράς. καὶ γὰρ τὸ ἄνω καὶ τὸ κάτω, κατὰ τὸν προσεχῆ τόπον, καὶ τὸν κοινόν, καὶ τὸ καθ' αὑτὸ, καὶ τὸ κατὰ συμβεβηκός. ἔστι γὰρ καθ' ἕκαστον τούτων, ποῦ εἶναι. ὁμοίως δὲ καὶ τὸ ποτὲ, οὐκ ἔστι χρόνος. ἀλλὰ προϋπάρχοντος τοῦ χρόνου, τὸ ἐν χρόνῳ εἶναι λέγεται ποτέ. οἷον, Διονύσια πέρυσιν. ἢ τῆτες. ἢ ἐς νέωτα. αὐτὸς μέντοι ὁ χρόνος, ἐν ᾧ ἐστὶ τὸ ποτὲ λεγόμενον εἶναι, οὐκ ἔστι τῆς τοῦ ποτὲ κατηγορίας, ἀλλὰ τῆς τοῦ ποσοῦ. ἐπιδέχεται δὲ καὶ τὸ ποτὲ, τὰς κατὰ τὸν χρόνον διαφοράς. τὸ μὲν γὰρ πέρυσι, κατὰ τὸν παρεληλυθότα λέγεται. τὸ δὲ τῆτες, κατὰ τὸν ἐνεστῶτα. τὸ δὲ ἐς νέωτα, κατὰ τὸν μέλλοντα. τὸ δὲ ἔχειν σημαίνει, ὅταν ὑπάρχῃ τινὶ ἐπίκτητόν τε καὶ κεχωρισμένον τῆς οὐσίας τοῦ σώματος συνυπάρχῃ αὐτῷ. σχέσις οὖν ἐπικτήτων τινῶν ἐστὶ τὸ ἔχειν. τὸ γὰρ ἐνδεδύσθαι, ἔχειν ἐστὶ χιτῶνα. καὶ τὸ ὑποδεδέσθαι, ἔ-

Universitäts- und
Landesbibliothek Düsseldorf

χειν ὑποδήματα. ταῦτα δὲ ἕτερα τοῦ ἔχοντός ἐστι καὶ κεχωρισμένα τῆς οὐσίας αὐτοῦ. οὔτε κατ᾽ οὐσίαν, οὔτε ὡς συμβεβηκότα αὐτῷ ὑπάρχοντα. ὥσπερ μελανία καὶ χλωρότης. διαφορὰς δὲ εἰδοποιοὺς τὸ ἔχειν, καθ᾽ αὑτὸ μὲν οὐκ ἔχει. δύναται δὲ κατὰ τὰς τῶν ἐχομένων διαφορὰς ἐπιδέχεσθαι τὴν διαίρεσιν. εἰ τὰ μὲν, ἔμψυχα εἴη, οἷον οἰκέτης καὶ βοῦς. τὰ δὲ, ἄψυχα, οἷον, ἱμάτια καὶ ὅπλα. δύναται δὲ καὶ κατὰ τὴν διαφορὰν τῶν καθ᾽ ἃ ἔχειν ἐπιδέχεσθαι τὴν διαίρεσιν. οἷον, εἰ ἐν ψυχῇ, ἔχει φασὶ τὰς ἐπικτήτους ἕξεις, ἢ ἐν σώματι τὰ περὶ σῶμα ἐπίκτητα. καθ᾽ αὑτὸ μέντοι τὸ ἔχειν ἢ ἔχεσθαι, οὐδεμία ἂν γένοιτο διαφορά. ἀλλ᾽ ἐπεὶ καὶ πορφύριος καὶ ἰάμβλιχος τὸ ἐν ψυχῇ ἔχειν παρέλαβον ἐπὶ τῶν ἐπικτήτων ἕξεων, ἐπιστήσειεν ἄν τις μήποτε ποιότητές εἰσιν ἐκεῖναι, καὶ ποιὰ τὰ ἀπ᾽ αὐτῶν, ὥσπερ καὶ τὰ μελανίας ἐπικτήτου μετέχοντα σώματα. οὐ γὰρ ὡς τὰ ὑποδήματα, οὕτως περίκεινται αἱ ἕξεις ἐν τῇ ψυχῇ, ἀλλὰ διαθέσεις τινές εἰσι περὶ αὐτὴν, αἳ μᾶλλον ἢ ἧττον αὐτὴν ἀλλοιώσασαι. ἐκ δὴ τῶν εἰρημένων, λέλυνται αἱ τοιαῦται ἀπορίαι. πῶς γένη εἰσὶν αἱ ἓξ κατηγορίαι, εἴπερ μὴ ἔστιν αὐτῶν εἴδη. τὰ γὰρ γένη, πρὸς εἴδη λέγεται. καὶ εἰδῶν ἐστι γένη. ὅτι δὲ γένη εἰσὶν αἱ κατηγορίαι, αὐτὸς ἐδήλωσεν ὁ ἀριστοτέλης εἰπών. περὶ μὲν οὖν τῶν προτεθέντων γενῶν, ἱκανὰ τὰ εἰρημένα. εἰ τοίνυν ἐστὶ καὶ τούτων εἴδη τινὰ ὡς ἐδείξαμεν, οὐκέτι χώραν ἔχει ἡ ἀπορία. κἂν γὰρ γένη τὰ τοιαῦτά ἐστι, κατ᾽ εἰδῶν λέγεται τῶν εἰρημένων. ἴσως δέ τις ἐρεῖ, ὅτι οὐχ οὕτως λέγεται γένη ταῦτα, ὡς κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενα, ἀλλ᾽ ὅτι μάλιστα σημαίνει τὰς διαφερούσας φύσεις, καὶ ἀλλήλων κεχωρισμένας. ὡς λέγομεν καὶ ἐπὶ τῶν ἐπιστημῶν ἑκάστην αὐτῶν εἶναι περί τι γένος ἀφωρισμένον, ἴσον λέγοντες περί τινα φύσιν τῶν ἄλλων κεχωρισμένην. διὸ καὶ κατηγορίας αὐτὰς ὀνομάζει. Πάλιν δὲ ἀντιλέγουσί τινες τὸ ποιεῖν καὶ τὸ πάσχειν πρὸς ἄλληλα λέγεσθαι, βουλόμενοι καὶ εἶναι καὶ μὴ εἶναι πρός τι. ἀλλὰ μὴ ἰδίας τινὰς κατηγορίας ὡς ὁ ἀριστοτέλης φησίν. Οὐκ ὀρθῶς δὲ λέγουσιν. οὐ γάρ ἐστιν αὐτοῖς τὸ εἶναι ἐν τῇ πρὸς ἄλληλα σχέσει. οὐ γὰρ ὡς τὸ δεξιὸν καὶ ἀριστερὸν ἐν σχέσει μόνον ὑφέστηκεν, ἀλλ᾽ ἔστι καὶ γινόμενόν τι ὑπ᾽ αὐτῶν. καθὸ τὸ μὲν, ποιοῦν ἐστι. τὸ δὲ, πάσχον. εἰ δὲ καὶ δοθείη πρὸς ἄλληλα λέγεσθαι τὸ ποιεῖν καὶ πάσχειν, ἀλλ᾽ οὔτι γε τὰ κατὰ μέρος. οὐ γὰρ δὴ τὸ περιπατεῖν ἢ τὸ ἔχειν πρός τι, καίτοι ποιὸν ὄν. οὐδὲ γὰρ ἡ γραμματικὴ πρός τι ἦν. ἐπεὶ ἐν ἐπιστήμῃ αὐτῆς τὸ γένος τῶν πρός τι ὄν. ὅλως δὲ κατὰ παντὸς μὲν ἐνεργοῦντος, τὸ ποιεῖν λέγεται. οὐ πᾶσα δὲ ἐνέργεια πρὸς πάσχον. οὐδὲ γὰρ αἱ ἀπόλυτοι ποιήσεις. οἷον τὸ λέγειν καὶ γράφειν καὶ ἀναγινώσκειν, καὶ τὰ τοιαῦτα. ὥστε οὐκ ἂν εἴη τὸ ποιεῖν ἅπαν τῶν πρός τι. κἂν γὰρ πάσχῃ τι τὸ ἔδαφος ὑπὸ τοῦ περιπατοῦντος, ἀλλ᾽ οὐ κατὰ τοῦτο λέγεται τὸ περιπατεῖν ποιεῖν, ἀλλὰ κατὰ τὴν τοιάνδε κίνησιν. ὁμοίως δὲ καὶ τὸ ἀλγεῖν, ἢ μελαίνεσθαι, ἢ λευκαίνεσθαι κατὰ τὸ οὕτως ἔχειν. ὡς γὰρ τὸ μὲν κοινῶς ἐναντίον πρός τι, ἕκαστον δὲ αὐτῶν ὑπὸ τὸ οἰκεῖον γένος, οὕτω καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν κἂν πρὸς ἄλληλα λέγηται, οὐκ ἤδη ἂν εἴη καὶ ταῦτα ὑπὸ τὰ πρός τι. ἐπεὶ οὖν μήτε ὑπὸ τὰ πρός τι ἐστὶ, μήτε ὑπό τινα τῶν ἄλλων κατηγοριῶν, ἴδιαι ἂν εἶεν κατηγορίαι.

Ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι ἔδει καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ὑπὸ τὰ πρός τι ἀνάγεσθαι. ὥσπερ καὶ τὰ ἐναντία. τὰ δὲ καθ' ἕκαστα ποιεῖν καὶ πάσχειν, ὑπὸ τὰ οἰκεῖα γένη ἕκαστα. τὸ μὲν κτίζειν τυχὸν καὶ σκηνοῦν, ὑπὸ τὴν οὐσίαν. τὸ δὲ ἀριθμεῖν καὶ λέγειν, ὑπὸ τὴν ποσότητα. διότι ποσὸν ὁ λόγος καὶ ὁ ἀριθμός. τὸ δὲ λευκαίνειν καὶ μελαίνειν, ὑπὸ τὴν ποιότητα. μήποτε οὖν οὕτως ἔχει τὸ ποιεῖν καὶ πάσχειν πρὸς τὰς ἄλλας κατηγορίας, ὡς πρὸς οὐσίαν ἐνέργεια καὶ πάθος. καὶ γὰρ κατὰ τὰ πρός τι ἐστὶν ἐνεργεῖν, ὡς τὸ φιλεῖν. καὶ κατὰ τὰς ἄλλας δέκα κατηγορίας. Ἀλλ' εἴποι ἄν τις ὅτι τὰ μὲν κοινὰ εἶπε τοῦ ποιεῖν καὶ πάσχειν. τὰ δὲ ἴδια, οὐκ ἀπέδειξε. Πρὸς ὃ φησὶν ὁ Ἰάμβλιχος. ὡς ἐν αὐτοῖς τοῖς κοινοῖς νομιζομένοις, καὶ τὰ ἴδια αὐτῶν ἐπιδέδεικται. οὐ γὰρ ἁπλῶς ἐναντία λαμβάνει καὶ μᾶλλον καὶ ἧττον. ἀλλὰ τὰ μὲν, ἐν τῇ ἐνεργείᾳ. τὰ δὲ, ἐν τῷ πάθει. ῥᾴδιον δὲ πρὸς τοῦτο λέγειν, ὡς καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν τὰ ἐναντία. καὶ τὸ μᾶλλον καὶ ἧττον, οὐ τὰ τυχόντα ἐλάμβανεν, ἀλλὰ τὰ οἰκεῖα ἑκάστων. καὶ ὅμως οὐδὲν ἧττον ἐδόκει δεῖν τὰ ἴδια τοῖς κοινοῖς προστιθέναι. τὸ οὖν ἐξ ἀρχῆς μᾶλλον ἀληθές. ὅτι ἐπὶ τούτων τοῖς ὁλοσχερεστέροις ἠρκέσθη. Ἀλλὰ πῶς οὐχὶ εἰ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἀμφότερα γένη, τοῦ ἔχειν γένους ὄντος, καὶ τὸ ἔχεσθαι γένος ἐστί. τὸ γὰρ ἔχειν πρὸς τὸ ἔχεσθαι ἀντιδιαιρεῖται, ὥσπερ τὸ πάσχειν πρὸς τὸ ποιεῖν. Ἢ ὅτι ἐν τῷ ἔχειν καὶ τὸ ἔχεσθαι περιέχεται. ὃ γὰρ ἂν ἔχον ληφθῇ, πάντως καὶ τὸ ἐχόμενον ἔχει συνηρτημένον. οὐκέτι μέντοι ἐν τῷ ποιεῖν ἁπλῶς τὸ πάσχειν περιέχεται. καὶ γὰρ ποιεῖν ἐστὶ τὸ βοᾶν. καὶ περιπατεῖν. καὶ γε ἔχειν. καὶ γράφειν. καὶ οὐδὲν τούτων ἔχει πρὸς τὸ πάσχον συνηρτημένον. ἀλλὰ μὴν, οὐδὲ τὸ ἔχειν πρός τι ἐστὶν ὡς δοκεῖ πρὸς τὸ ἔχεσθαι. καθ' ὧν γὰρ κατηγορεῖται, ὡς κατὰ τοῦ ὑποδεδέσθαι καὶ ὡπλίσθαι, ταῦτα οὐ λέγεται πρός τι. τὸ μὲν γὰρ ἔχον, πρὸς τὸ ἐχόμενον ἂν λέγοιτο. τὸ δὲ ἔχειν, οὐκ ὂν ταὐτὸ τῷ ἔχοντι, οὐ πρὸς ἄλλο. ἐγκαλοῦσι δέ τινες τῷ Ἀριστοτέλει, ὡς ὀλίγα εἰρηκότι περὶ τῶν ἓξ κατηγοριῶν. καὶ μήτε τὴν φύσιν αὐτῶν ἥτις ἐστὶν ὑπογράψαντι, μήτε εἰς τὰς διαφορὰς διελόντι. καίτοι δῆλα ταῦτα ὂν ὡς παρ' ἡμῶν εἴρηται. τὸ μὲν ποῦ, εἰς τὰς τοῦ τόπου διαφορὰς διελεῖν. τὸ δὲ ποτὲ, εἰς τὰς τοῦ χρόνου. καὶ ὅτι μὲν ἐλλιπῶς εἴρηται, πρόδηλον καὶ δι' ὧν Ἀρχύτας περὶ αὐτῶν μακρότερον διδάσκει τὰ ἴδια. καὶ τούτων ἕκαστα ὥσπερ τῶν προτέρων παραδιδούς. ὑπὲρ δὲ Ἀριστοτέλους ἀπολογοῦνται λέγοντες. τὰ μὲν ἐν ταῖς κοιναῖς ἐννοίαις μὴ πάνυ ὑπειλημμένα, ταῦτα αὐτὸν διδάξαι δι' ἀκριβείας. ὅσα δὲ ὑπείληπται καὶ φανερά ἐστι, ταῦτα παρῆκε διὰ τὸ φανερὰ εἶναι. δηλοῖ δὲ καὶ αὐτὸς λέγων διὰ τὸ προφανῆ εἶναι, οὐδὲν ὑπὲρ αὐτῶν λέγεται, ἢ ὅσα ἐν ἀρχῇ ἐρρέθη. καὶ γὰρ εἰ φυσικῆς ἔχοιτο θεωρίας ἕκαστον τούτων, οἷον κινήσεως μὲν, τὸ ποιεῖν. τόπου δὲ καὶ χρόνου, τὸ ποῦ καὶ ποτὲ, οὐδὲν δεῖ πλέον ἐν λογικῇ πραγματείᾳ περιεργάζεσθαι τῆς κατὰ τὴν σημασίαν φαινομένης ἀπὸ ἐννοήσεως. διότι δύσκολος ἐστὶν ἡ ἀκριβὴς περὶ τοῦ τόπου καὶ χρόνου θεωρία. ἔτι δὲ καὶ ταῦτα λέγουσιν. ὅτι ταῦτα τὰ ἓξ γένη ἐπείσακτον ἔχοντα τὴν φύσιν, εἰκότως περιεργοτέρας ἔτυχε διδασκαλίας. τῇ γὰρ αἰσθητῇ καὶ φυσικῇ οὐσίᾳ, τὰ μὲν, συνεισῆλθεν ὡς ποιότης καὶ πρός τι. τὰ δὲ, ἐπεισῆλθεν ὡς τὸ ποιεῖν καὶ

πάσχειν, κινηθεῖσαι εἰς εἴδη πρὸς ἃ ἠδύναντο. τούτοις ἐπηκολούθησαν, τὸ ἐν χρόνῳ καὶ ἐν
τόπῳ, καὶ τὸ κεῖσθαι καὶ τὸ ἔχειν. καὶ γὰρ ποιοῦντές, ἐν χρόνῳ ποιεῖ. καὶ κινεῖται κατὰ τόπον.
καὶ ὁ πάσχων πολλάκις, ἐν χρόνῳ πάσχει. καὶ κεῖται τὸ γινόμενον, ἢ ἔχει τι. Ἀποροῦ-
σι δέ τινες, καὶ διὰ τί οὐ συνῆψε τὸν περὶ τοῦ ἔχειν λόγον ταῖς ἄλλαις κατηγορίαις, ἀλλὰ
μεταξὺ περὶ ἀντικειμένων. καὶ προτέρου. καὶ ὑστέρου. καὶ τοῦ ἅμα. καὶ κινήσεως. καὶ ἄλλων
τινῶν μνημονεύσας, οὕτως τὴν τοῦ ἔχειν διαίρεσιν ἐποιήσατο. Ἀλλὰ καὶ λύουσιν ἕτε-
ροι καλῶς, ὅτι τὸ ἔχειν, τῷ ποῦ καὶ ποτὲ συντάξας, ὡς περὶ προφανῶν εἶπε, μη-
δὲν ἄλλο δεῖν περὶ αὐτοῦ λέγειν. ἀλλὰ μετὰ τὰς κατηγορίας βουληθεὶς ἐκεῖνα οἷς ἐχρή-
σατο κατὰ τὰς τῶν πολλῶν ἐννοίας διαρθρῶσαι τεχνικώτερον, περί τε τῶν ἀντικειμέ-
νων φημὶ, καὶ τοῦ προτέρου καὶ ὑστέρου καὶ τῶν λοιπῶν. ἐπειδὴ ὁμώνυμον τὸ ἔχειν ἦν.
ἵνα μή τις οἰηθείη τῶν ὁμωνύμων αὐτῶν ἓν γένος τίθεσθαι, τὴν ὁμωνυμίαν τοῦ ἔχειν
ἀκριβῶς αὐτὴν τῷ τέλει διεστείλατο. Ἀλλὰ πῶς φασὶν οὐ χεῖρον αἱ ἓξ τελευταῖαι κατη-
γορίαι εἰς τὰς φθανούσας ἀναχθήσονται. ἡ μὲν τοῦ ποτὲ, εἰς τὸν χρόνον. οὗτος δὲ, εἰς τὸ
ποσόν. ἡ δὲ τοῦ ποῦ, εἰς τὸν τόπον. καὶ οὗτος δὲ, εἰς τὸ ποσόν. ἡ δὲ τοῦ ποιεῖν καὶ πάσχειν,
καὶ τοῦ κεῖσθαι καὶ τοῦ ἔχειν, εἰς τὸ πρός τι. Ἔστι δὲ καὶ πρὸς ταῦτα σαφὴς ἐκ τῶν εἰρημένων ἡ
ἀντίρρησις. ἄλλο γὰρ τὸ εἶναί τινι, καὶ ἄλλο ἐκεῖνο τὸ ἐν ᾧ ἐστι τὸ εἶναί τινι. εἰ δὲ τοῦτο, καὶ τὸ ἐν τό-
πῳ διοίσει τοῦ τόπου, καὶ τὸ ἐν χρόνῳ τοῦ χρόνου. ἄλλα οὖν ἔσται γένη τοῦ ποῦ καὶ πο-
τὲ, παρὰ τὸν τόπον καὶ τὸν χρόνον. καὶ τὸ ποιεῖν δὲ καὶ πάσχειν ἐδείχθη πρότερον ἰδίας
ἔχοντα φύσεις παρὰ τὰ πρός τι. ὥσπερ καὶ τὸ κεῖσθαι καὶ ἔχειν. καὶ γὰρ τὰ πρός τι, σχέ-
σεις μὲν ἔχει διαφόρους. τὸ μὲν γὰρ κεῖσθαι, τινὸς πρὸς ἕτερον. τὸ δὲ ἔχειν, ἑτέρου
πρός τι. αὐτὸ δὲ τὸ πρός τι, κοινὴν ἔχει τὴν πρὸς ἄλληλα σχέσιν. διώρισται ἄρα ἰδίαις
διαφοραῖς ταῦτα τὰ γένη, καὶ οὐκ ἀνάγεται εἰς τὰ πρός τι. ἀλλὰ ταῦτα μὲν ἔστω κοινῶς
τε καὶ σποράδην ἠπορημένα τε καὶ λελυμένα. τὸ δὲ ἐντεῦθεν περὶ ἑκάστου διηκρι-
νημένως, τὰ προσήκοντα ζητήματα ἐπισκεπτέον. καὶ πρῶτον, ὅτι ἀκόλουθόν ἐστιν
εἶναι γένη τὸ ποιεῖν καὶ πάσχειν, ἐντεῦθεν δῆλον. ὥσπερ γὰρ μετὰ τὴν οὐσίαν ἦν ποσότης, καὶ
διὰ τοῦτο ἓν γένος ἐτέθη ἡ ποσότης. καὶ πάλιν μετὰ τὴν οὐσίαν περὶ τὴν οὐσίαν ποιότης,
καὶ γέγονεν ἕτερον γένος ἡ ποιότης, οὕτως καὶ ἡ ἐνέργεια καὶ τὸ ποιεῖν, μετὰ τὴν οὐσίαν. καὶ
χρὴ καὶ κατὰ ταῦτα γένος τίθεσθαι μετὰ τὴν ὕπαρξιν τὴν ἐνέργειαν καὶ τὸ ταύτης συγγενὲς πά-
θος, ἤτοι τὸ πάσχειν. ἀλλ᾽ ἆρα τὸ ποιεῖν ἦν τίθεσθαι γένος, ἢ τὸ ποιοῦν, ἢ τὴν ποίησιν. ὥσπερ
καὶ ἡ ποιότης ἦν γένος, καὶ τὸ ἀπ᾽ αὐτῆς ποιόν. ἣν συζυγίαν μὲν ὑπάρχει καὶ ἐνταῦθα, ποίη-
σις. ποιεῖν. ποιοῦν. ἀλλὰ τὸ μὲν ποιοῦν, συμπεριλαμβάνει καὶ τὸ ὑποκείμενον, καὶ σύνθετον
ὑπόνοιαν ἔκ τε τοῦ ἐνεργοῦντος καὶ τῆς ἐνεργείας ἐμποιεῖ. ἡ δὲ ποίησις καὶ τὸ ποιεῖν, ἁ-
πλούστερα, καὶ οὐδὲν συνθέσεως ἐφαπτόμενα. ὥστε οἰκειότερα ταῦτα τοῦ ποιοῦντος εἰς
γένους ἀφορισμόν. τούτων δὲ πάλιν τὸ ποιεῖν καὶ τῆς ποιήσεως προετίμησε, διότι δι-
χῶς λέγεται ἡ ποιότης. καὶ γὰρ ἡ ἐνέργεια ποίησις λέγεται, καὶ τὸ ἀποτέλεσμα τῆς ἐνερ-
γείας. ὡς λέγομεν τὴν Ὁμήρου ποίησιν. χρεία δὲ, οὐ τοῦ ἀποτελέσματος, ἀλλὰ τῆς ἐνερ-
γείας. ἣν τὸ ἐνεργεῖν σημαίνει μοναχῶς. διὸ τὸ ποιεῖν ὡς γένος τίθεται. τὸ γὰρ ποιεῖν,

τῆς ἔτι γινομένης ἐνεργείας εἶναι. ὥσπερ ἡ ποίησις τοῦ πεποιημένου μᾶλλον, καὶ τὸ ἀποτέλεσμα τοῦ ποιοῦντος. ἀλλ' ἐπεὶ τὸ ποιεῖν τὴν ἐνέργειαν περιέχει, διὰ τοῦτο γένος οὐκ ἐνέργειαν μᾶλλον τίθεμεν, ἀλλὰ τὸ ποιεῖν. ἴσως δὲ καὶ ἡ ἐνέργεια διὰ τοῦτο οἰκειοτέρα τῆς ποιήσεως, διότι τὸ κατὰ κίνησιν ἐμφαίνει, ἀλλ' οὐ τὸ μετὰ τὴν κίνησιν ὥσπερ ἡ ποίησις. ἔδει κίνησιν θέσθαι ἓν γένος ἐν ταῖς κατηγορίαις. ὥσπερ γὰρ τὰ ἅμα περὶ τὴν οὐσίαν, οὕτω καὶ ἡ κίνησις, ἐν ᾗ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐστίν. ἄμφω γὰρ ἐν κινήσει. ἀλλ' οἱ ταῦτα λέγοντες, ὥσπερ Πλωτῖνος, οὐ ταῖς Ἀριστοτέλους ὑποθέσεσι προσχρῶνται. ἐκεῖνος γὰρ τὸ πρώτως ποιοῦν καὶ κινοῦν, ἀκίνητον εἶναί φησι. διὰ τοῦτο καὶ τὸ ποιεῖν παρ' αὐτῷ κεχώρισται τοῦ πάσχειν. καὶ οὐχ ὑφ' ἓν ἄμφω τέτακται γένος. ὥστε οὔτε εἰς ἓν ἄμφω ταῦτα ἀνάγειν χρή, ἀλλὰ δύο ἀφορίζεσθαι, ὥσπερ καὶ Ἀριστοτέλης αὐτὰ χωρὶς διέστησεν. οὕτως μὲν οὖν ὁ Βοηθὸς καὶ Ἰάμβλιχος πρὸς τὴν ἀπορίαν ἐνέστησαν, τὴν ἓν γένος ἀξιοῦσαν τὴν κίνησιν τοῦ τε ποιεῖν καὶ τοῦ πάσχειν προϋποτίθεσθαι. Πορφύριος δέ φησιν ἔν τισι δοκεῖν τὴν κίνησιν ἐπί τε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν μίαν καὶ συνεχῆ εἶναι, ὡς ἐπὶ τῶν κατὰ πληγὴν κινήσεων. οἷον ῥίψεως καὶ ὤσεως. οἵα γὰρ ἡ τοῦ ἐμπίπτοντος τὸ ξύλον κίνησις, τοιαύτη καὶ ἡ τοῦ ἐμπιπτομένου. καὶ οἵα ἡ ὦσις τοῦ ὠθοῦντος, τοιαύτη καὶ ἡ τοῦ ὠθουμένου. διὸ καὶ μία καὶ συνεχὴς ἑκατέρα. τὸ δὲ εἶναι, οὐ ταὐτὸν ἔχει πρός τε τὸ πλῆττον καὶ τὸ πληττόμενον. ἀλλὰ τὸ μὲν τοῦ πληττομένου, πάθος γίνεται. τοῦ δὲ πλήττοντος, ποίησις. καὶ οὕτως τὸ ποιεῖν καὶ πάσχειν οὐκ ἔστιν ἁπλῶς ἑνὸς γένους τῆς κινήσεως, ἀλλ' ἔχει διαφοράν. ταύτην δὲ τὴν τῆς ἀπορίας λύσιν, αἰτιᾶται ὁ Ἰάμβλιχος, ὡς πόρρωθεν ἀναγομένην, καὶ μὴ ἀπὸ πάνυ γνωρίμων προϊοῦσαν. μήποτε ἀπὸ τῶν δοκούντων Ἀριστοτέλει. οὐ γὰρ εἴ τις ποίησις οὕτως ἔχει, ἤδη καὶ πᾶσα. οὐδὲ ἔδει ἀπὸ τῶν ἐσχάτων ἄρχεσθαι ποιήσεων. λέγω δὴ τῶν κατὰ πληγὴν καὶ ὦσιν. οὐδὲ τοῖς στωϊκοῖς συγχωρεῖν περὶ ὧν διατελοῦμεν αὐτοῖς διαφερόμενοι. ὡς τὸ ποιοῦν πελάσει τινὶ ποιεῖ καὶ ἅψει. βέλτιον γὰρ λέγειν, ὡς οὐ πάντα πελάσει καὶ ἅψει ποιεῖ, ἀλλὰ κατὰ τὴν ἐπιτηδειότητα τοῦ ποιοῦντος πρὸς τὸ πάσχον ἐστὶν ἡ ποίησις. καὶ ὡς πολλὰ ἀναφῶς δρᾷ, ἅπερ ἅπαντες ἐπιστάμεθα. καὶ ὅτι καὶ ἐφ' ὧν δεόμενα ὁρῶμεν παραθέσεως τὰ ποιοῦντα, κατὰ συμβεβηκός ἐστιν ἡ ἐπαφή, διότι ἐν τόπῳ ἐστὶ τὰ μετέχοντα τῆς τοῦ ποιεῖν ἢ τοῦ πάσχειν δυνάμεως. τοιαῦτα γάρ ἐστι τὰ σώματα. καὶ τὰ μετέχοντα τῶν ποιητικῶν ἢ παθητικῶν δυνάμεων. ἐφ' ὧν δὲ οὐδὲν ἐμποδίζει διάστασις σωμάτων, ὥστε τὸ μέν, ποιῆσαι, τὸ δέ, πάσχειν καὶ δέξασθαι τὴν τοῦ ποιοῦντος ἐνέργειαν, αὐτῶν τούτων ἀδιαστάτως ἐστὶ καὶ ἀκώλυτος ἡ ἐνέργεια, ὡς αἱ τῆς λύρας χορδαὶ συνέχουσι πόρρω ἀλλήλων διεστῶσαι. καὶ ὁ νάφθας δέχεται πόρρωθεν τὸ τοῦ πυρὸς εἶδος. πολλὰ δὲ καὶ ἐφαπτόμενα οὐ ποιεῖ, ὡς ἡ ἔμπλαστρος, ἢ ἄλλο τι τῶν ἰατρικῶν φαρμάκων, ἐπιτιθέμενα λίθῳ. εἰ οὖν καὶ ἁπτόμενα οὐ ποιεῖ πολλάκις καὶ μὴ ἁπτόμενα ποιεῖ, οὐκ ἔστι πληγὴ καὶ ὦσις ἡ κυριωτάτη ποίησις. οὐδὲ ἐφ' ὧν ὁρῶμεν τινὰ πλήττοντα, οὐδὲ αὐτῶν τούτων ἐστὶν ἡ ἁφὴ αἰτία. ἀλλ' ἡ τῆς δυνάμεως συγγένεια. καὶ τότε τὸ κῦρος παρέχεται τοῦ ποιεῖν. εἰ δὲ τὴν αὐτὴν οὐσίαν τις τοῦ ποιοῦντος λέγει καὶ τοῦ πάσχοντος, καὶ τὸ κινοῦν κινηθήσεται, καὶ τὸ κινούμενον κινήσει. καὶ

ὅλον δι' ὅλου κινοῦν τε ἔσται καὶ κινούμενον. καὶ τὰ ἀξιώματα τὰ περὶ κινήσεως, ἀναιρεθήσεται πάντα, ὡς ἀΐδιος ἡ κίνησις πρόεισι καὶ ἔστι. καὶ ὡς ἄλλη τίς ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ ἄλλη αὐτὴ ἡ κίνησις, ὡς ἀπὸ τῆς ἀρχῆς ἀποτελουμένη. ἐφ' ὧν δὲ χωριστά ἐστι τὰ αἴτια τῆς κινήσεως, πολὺ μᾶλλον ἀναιρεθήσεται. δεῖ τοίνυν μὴ ἐκείνων ἀποσφάλλεσθαι, τὰς τῶν ἀρχῶν τῶν γενῶν διαιρουμένας ἀληθεῖς δόξας, καὶ διακρινούσας ἑκάστην ᾗ πέφυκεν. εἰ γὰρ δεῖ καὶ σύμμικτόν τινα τὴν κίνησιν ὑπονοεῖν, ἔκ τε τῆς τοῦ ποιοῦντος ἐνεργείας καὶ τῆς τοῦ πάσχοντος ῥοπῆς, οὐκέτι ἐν τοῖς ἁπλοῖς καὶ ἀμιγέσιν αὐτὴ γένεσις. σύμμικτος δὲ οὖσα ἔκ τε τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος, ἀποβληθήσεται εἰκότως τῶν πρώτων γενῶν ὡς δευτέρα. καθάπερ καὶ τὰ ἄλλα σύνθετα πάντα. οὐ δεῖ τοίνυν συγχωρεῖν, ὡς ἡ κίνησις περιέχει τὰς ποιήσεις καὶ πείσεις, καὶ συνάπτει αὐτὰς πρὸς ἀλλήλας κατὰ μίαν συνέχειαν. οὐδὲ ὅτι κοινωνεῖ τῆς οὐσίας πρὸς ἀμφοτέρας. ἢ ὅτι μερίζεται εἰς αὐτάς. καὶ τὸ μὲν, ἀποφαίνει ποίησιν τῶν ἐν αὐτῇ. τὸ δὲ, πάθος. κατὰ πάντας γὰρ τούτους τοὺς τρόπους, κοινὸν γίνεται ἡ κίνησις τοῦ ποιεῖν καὶ πάσχειν. κίνησις δὲ τοῦ ποιοῦντος καὶ πάσχοντος κεχώρισται, ὡς μέση οὖσα ἀμφοτέρων. καὶ ἀπὸ μὲν τοῦ ποιοῦντος, προϊοῦσα. εἰς δὲ τὸ πάσχον ἐναπεργαζομένη τὸ πάθος. ὡς οὖν τὸ κινοῦν καὶ κινούμενον δίχα ὑπάρχει, οὕτως καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον δίχα διώρισται. ἀλλὰ ταῦτα μὲν ἀρκείτω πρὸς πορφύριον, ἤτοι τὰς ἀπ' αὐτοῦ παρατεθείσας δόξας ἀντειρημένα. ὁ δὲ μέγας πλωτῖνος παραιτεῖσθαι φησὶ τὸν ἀριστοτέλην τὴν κίνησιν ἐν γένει τιθέναι, διὰ τὸ ἀτελῆ λέγεσθαι τὴν κίνησιν ἐνέργειαν. εἰ δὲ τοῦτό φησιν, οὐδὲν ἐκώλυε τὴν μὲν ἐνέργειαν προτάττειν. ὡς ἐν δὲ εἶδος τῆς ἐνεργείας, ἀτελῆ οὖσαν ἐνέργειαν τὴν κίνησιν ὑποβάλλειν. πρὸς δὴ ταῦτα ἀντιλέγων ὁ ἰάμβλιχος, τὴν ἀρχὴν φησὶ κατίδωμεν, εἰ οὕτως λέγεται ἀτελὴς ἐνέργεια ἡ κίνησις, ὡς ἐν τῇ αὐτῇ φύσει ὑφειμένη. ἢ μᾶλλον ὡς ἐξισταμένη εἰς πάντῃ καταδεεστέραν φύσιν. καὶ γὰρ εἰ μὲν οὕτως λέγοιτο ἀτελής, ὡς ἐν τῇ αὐτῇ φύσει ὑφειμένη, οὐδὲν κωλύει, τὴν μὲν ἐνέργειαν, ὡς γένος προτάττειν. ὑποβάλλειν δὲ ὡς εἶδος τὴν κίνησιν. εἰ δὲ εἰς ἄλλο γένος ἐξίσταται, οὐ δύναται γένος αὐτῆς εἶναι ἡ ἐνέργεια. εἰ οὖν ἡ μὲν κίνησις ἐπὶ τὸ τέλος σπεύδει, ὡς ἕνεκα αὐτοῦ γινομένη, καὶ μηδέπω αὐτὸ ἐν ἑαυτῇ ἔχουσα, ἡ δὲ ἐνέργεια, κατὰ τὸ τέλος ἕστηκε πλήρης οὖσα ἑαυτῆς, καὶ τῆς οἰκείας τελειότητος, οὐκ ἂν τὸ τελειότατον πρὸς τὸ ἐπειγόμενον εἰς τελείωσιν, ἔχοι τινὰ κοινωνίαν φύσεως. καὶ εἰ ἡ μὲν ἐνέργεια τὸ εἶδος ἐν ἑαυτῇ τέλειον ἔχει, ἡ δὲ κίνησις ὁδεύει πρὸς τὸ εἶδος, δύναμιν μόνον ἔχουσα αὐτοῦ καὶ κατὰ ὑλικὴν καὶ ἀνείδεον ἐπιτηδειότητα, δῆλον καὶ οὕτως ἔσται τὸ εἰρημένον. πάλιν, εἴπερ ἡ μὲν κίνησις ἐν διεξόδῳ θεωρεῖται καὶ συνεχείᾳ, εἰς ἀεὶ συνεχῆ διαιρετὴ οὖσα ἐπ' ἄπειρον, ἡ δὲ ἐνέργεια καθ' ἓν πέρας ἵσταται, αὐτὴ ἀφ' ἑαυτῆς ἔχουσα τὸ εἶναι, καὶ ἅμα τὸ ἐν παντὶ συλλαβοῦσα καθ' ἑαυτήν, οὐκ ἂν οὐδὲ οὕτω γένος εἴη τῆς κινήσεως ἡ ἐνέργεια. καὶ εἰ ἡ μὲν κίνησις μεριστὴ καὶ ἄπειρος καὶ ἀόριστος, ἡ δὲ ἐνέργεια ἀμέριστος, καὶ πέρας καὶ ταυτότητα ἔχουσα, πῶς ἂν εἴη τοῦ ἑτέρου γένους τὸ ἕτερον. εἰ δὲ καὶ ἡ μὲν κίνησις συμμεμιγμένην ἔχει τὴν ὑπόστασιν πρὸς τὸ ἐναντίον, καὶ ἀπὸ τοῦ ἐναντίου μεταβαίνει ἀεὶ ἐπὶ τὸ ἐναντίον, ὡς ὅταν ἐκ λευκοῦ μέλαν γίγνηται. ἡ γὰρ ἀπὸ τοῦ ἑτε-

ρου εἰς ἕτερον κίνησις, οὐδέτερον δέ ἐστι τῶν ἄκρων. συμμέμικται δὲ ἐξ ἀμφοῖν. ἡ δὲ ἐνέρ-
γεια ἄμικτος οὖσα παντελῶς, καὶ καθ' ἓν τῶν ἐναντίων ἵσταται, οὐδὲν ἀναπιμπλα-
μένη τῆς ἐναντίας φύσεως, πῶς δύναται εἶναι γένος ἡ ἐνέργεια τῆς κινήσεως. κἂν λέ-
γοι δέ, χρόνῳ μὲν ἀντιπαρατείνεσθαι τὴν κίνησιν, ὥσπερ διϊστᾶσαν τὴν οὐσίαν, αἰῶνι δὲ τὴν ἐνέρ-
γειαν ὡς ἀδιάστατον ὑπάρχουσαν, καὶ ὁμοῦ ὅλην ἐν τῷ νῦν οὖσαν, οὐδὲ οὕτως ἂν εἴη
τῆς τῶν αἰωνίων καὶ τῶν ἐν χρόνῳ ὁμογενὴς φύσει. ἔτι μᾶλλον, ἡ μὲν ἐνέργεια ἀκινήτως
προϋπάρχει, τὴν ἀρχὴν καὶ τὸ τέλος ὁμοῦ τῆς κινήσεως ἐν μιᾷ ἠρεμίᾳ συνέχουσα. ἡ
δὲ κίνησις ἐν διεξόδῳ τῇ κατ' ἀριθμὸν προϊούσῃ, ἡ διακριθεῖσα. ἀλλ' ἔοικε φησὶν ὁ Πλω-
τῖνος, ταῖς μὲν καθαρωτέραις δόξαις περὶ τῆς ἐνεργείας μὴ συνομολογεῖν. ἐπεὶ ἐκείνην
δὲ ἀποφέρεσθαι τὴν ἔννοιαν, καθ' ἣν κατὰ τὸ κινεῖσθαι τινὲς τὸ ἐνεργεῖν ἀφορίζουσι. καὶ ταύτην
ὑπολαμβάνουσι κίνησιν τὴν κατὰ τὸ κινεῖσθαι καὶ ἐνέργειαν. ὃ πολλοῦ δεῖ ἀληθὲς εἶναι.
ἔτι δὲ δεῖ πείθεσθαι Θεοφράστῳ. τούτῳ μὲν γὰρ δοκεῖ μὴ χωρίζεσθαι τὴν κίνησιν τῆς ἐνεργεί-
ας. εἶναι δὲ τὴν μὲν κίνησιν, καὶ ἐνέργειαν, ὥσπερ ἐν αὐτῇ περιεχομένην. οὐκέτι μέντοι καὶ τὴν
ἐνέργειαν κίνησιν. τὴν γὰρ ἑκάστου οὐσίαν καὶ τὸ οἰκεῖον εἶδος, ἐνέργειαν εἶναι ἑκάστου, μὴ
οὖσαν ταύτην κίνησιν. καὶ γὰρ ἡ τελειότης, καὶ ἐν τοῖς νοητοῖς καὶ φύσει ἀκινήτοις εἶναι
οὐ κεκώλυται. εἰσὶ δὲ καὶ ἐν τοῖς αἰσθητοῖς πολλαὶ τοιαῦται. οἷον τὴν κατὰ τὸ σχῆμα τοῦ ἀνδριάν-
τος. ἔοικε δὲ τὸ σχῆμα κατὰ ταύτην τὴν τελειότητα. εἰ δὲ εἰς τοσοῦτον προέχει ἡ ἐνέργεια τῆς
κινήσεως, οὐκέτι δεῖ συνάπτειν αὐτάς. οὐδὲ τὸ ἕτερον τοῦ ἑτέρου γένος ποιεῖν. εἰ δέ τις τὴν
μὲν ἐνέργειαν τὸ κινεῖσθαι φησὶ προβάλλειν κατὰ τὸ συντετάχθαι πρὸς τὸ αὐτό, τὸ δὲ ἐνερ-
γεῖν κατὰ τὸ σχῆμα τοῦ ἀνδριάντος, καὶ τὴν ἑκάστου ἐντελέχειαν ἱσταμένου πρὸς τὸ δυνάμει λέ-
γεσθαι ὑπερῃρημένου αὐτοῦ, ἀλλ' οὐ χωρὶς τῆς κινήσεως τὴν ἐνέργειαν, ἀγνοεῖ οὗτος. ὅτι τὸ μὲν ἐνερ-
γεῖν, ἀντιτίθεται πρὸς τὸ δυνάμει, καὶ τοῦ ἀτελοῦς ἐστι τελειότης. σχέσιν τε πρὸς τὸ ἐναν-
τίον προσείληφεν. ἡ μέντοι ἐνέργεια, αὐτὴ καθ' ἑαυτήν ἐστιν ἀπολύτως, πρὸς οὐδὲν
ἐναντίον λεγομένη. ἥτις καὶ τῷ ἐνεργείᾳ ὄντι, παρέχει τὴν τελειότητα. πολλοῦ ἄρα
δεῖ ἐνέργεια μὲν εἶναι τὸ σχῆμα, ἐνέργειαν δὲ μὴ ὑπάρχειν. ὅλως γὰρ οἱ τοῦτο λέγοντες,
τὸ καθαρὸν γένος οὐκ ἴσασι τῆς ἐνεργείας. οὐδὲ τὸ χωριστὸν ἀπὸ τῆς κινήσεως. οὐδὲ τὸ
πρότερον τῆς ἐνεργείας. καὶ οὐδὲ τοῦτο ἀναμιμνήσκουσι. πῶς λέγομεν ἐνεργείας τὰς νοή-
σεις, τὸ ἀμερὲς αὐτῶν τῆς γνώσεως, καὶ ἅμα. καὶ ἐν τῷ νῦν. καὶ ἐν τῷ ἤδη ἀθρόον, καὶ τὰ τοι-
αῦτα παριστάντες. ὅπερ γὰρ ἐν τῷ χρόνῳ τὸ νῦν ἐστι, τοῦτο νοεῖσθαι τὴν ἐνέργειαν ἐν τῇ
κινήσει. καὶ τὴν μὲν καθαρὰν ἐνέργειαν, κινήσεως ἐκτὸς εἶναι. ἀπ' αὐτῆς δὲ ἄλλας ἐνεργείας
προϊέναι, αἵτινες οὐκ ἄνευ κινήσεως θεωροῦνται. ὥσπερ τὴν φαντασίαν καὶ τὴν αἴσθησιν
λέγομεν. κατὰ μὲν τὸ πάθος, κινήσεις εἶναι. κατὰ δὲ τὸ εἶδος, ἐνέργειαν. καὶ οὕτως, τὰς μὲν,
ἀχωρίστους τῶν κινήσεων εἶναι. τὰς δέ, χωριστάς. ἀχωρίστους μέν, ὅσαι τελειωτικαὶ τῶν
κινήσεων προηγούμεναι αὗται, καὶ προάγουσαι αὐτὰς εἰς ἐνέργειαν. χωριστὰς δέ, ὅσαι
μονοειδεῖς ἦσαν, καὶ παντελῶς ἀκίνητοι. μέχρι μὲν οὖν τούτων, ἀνάσχοιτο ἄν τις τῶν οὕ-
τω τὰς ἐνεργείας καθελκόντων. διότι καὶ εἴδη τινά ἐστιν ἔνυλα, μεθ' ὧν καὶ αἱ ἔνυλοι
ἐνέργειαι συνεῖναι ἐμφαίνουσι. τῶν δὲ προσωτέρω προχωρούντων καὶ καθελκόντων αὐ-
τὰ μετὰ τὰς κινήσεις, οὐδαμῶς ἄν τις ἀνάσχοιτο. οὐδὲ τῶν τιθεμένων τῆς κοινῆς λεγο

μένης ἐνεργείας. τὰς μὲν, ἀμερεῖς καὶ ἀθρόας εἶναι. τὰς δὲ, ἐν τῷ γίνεσθαι, καὶ γενέσεις. ἃς καὶ κινήσεις καλεῖσθαι. οὔτε γὰρ ἓν γένος γένοιτο ἂν τῶν ἀμερῶν καὶ μεριστῶν, οὔτε τοῦ ἐν τῷ εἶναι καὶ τοῦ ἐν τῷ γίνεσθαι. οὐ πάντως ἡ αὐτὴ ἐνέργεια ἀμερής τε εἴη καὶ διατείνοιτο περὶ τὰ μεριστὰ, ἀθρόα τε καὶ ἐν τῷ γίνεσθαι ὑπάρχοι. πάντα γὰρ ταῦτα, ἀναιρεῖ τὴν τούτων φύσιν, καὶ τῆς ἐνεργείας τὴν οὐσίαν οὐ διαφυλάττει. δῆλον δὲ ὅτι καὶ τὸ ποιεῖν κοινὸν γένος τῶν ποιήσεων καὶ τῶν πείσεων τὴν κίνησιν, ὑπεναντίον ἐστὶ τῇ ἀριστοτέλους δόξῃ, τῇ τε ἄλλῃ καὶ τῇ νῦν ἐν τῇ τῶν κατηγοριῶν διαιρέσει διατεταγμένῃ. οὐκέτι γὰρ δύο ἔσονται γένη τὸ ποιεῖν καὶ πάσχειν, ἀλλ' ἓν πρὸ αὐτῶν ἡ κίνησις. πῶς δὲ τὸ κινεῖσθαι, κοινῶς διατείνουσι τά τε ἐν τῷ πάσχειν καὶ τὰ ἐν τῷ ποιεῖν θεωρούμενα κατὰ κίνησιν. οἱ γὰρ περὶ παθῶν. καὶ κατὰ σχέσιν, οἷον τὸ περιβεβλῆσθαι. καθῆσθαι. μικτὰ γὰρ ταῦτά ἐστιν, ἐκ πάθους καὶ ἐνεργείας. οὐ τῆς κυρίως, ἀλλὰ τῆς τῷ πάθει συμμεμιγμένης. ἀλλὰ καὶ τὸ τὴν ἐνέργειαν περὶ μόνων λέγειν τῶν ποιήσεων, ἀνεξετάστως λέγεται. οὔτε γὰρ πᾶσα ἐνέργεια ποίησις, οὐ γὰρ δὴ καὶ ἡ νόησις. οὔτε πᾶσα ποίησις ἐνέργεια. εἰσὶ γάρ τινες καὶ παθητικαὶ ποιήσεις. ἐκ δὲ τούτων συνακτέον, ὅτι πλωτῖνος καὶ οἱ ἄλλοι οἱ ἀπὸ τῆς τῶν στωϊκῶν συνηθείας εἰς τὴν ἀριστοτέλους αἵρεσιν μεταφέροντες τὸ κοινὸν τοῦ ποιεῖν καὶ πάσχειν εἶναι τὰς κινήσεις, οὕτω συγχέουσιν εἰς ταὐτὸ κίνησίν τε καὶ ἐνέργειαν, καὶ τὴν ποίησιν οὐ τηροῦσι καθαρὰν, ἀπηλλαγμένην τοῦ πάθους, εἴπερ μετὰ κινήσεως αὐτὴν ὁρῶσι. καὶ ἔτι μέντοι τὴν ἀρχὴν τῆς κινήσεως οὐ τηροῦσιν ἀκίνητον, ὡς ἀριστοτέλει δοκεῖ. καὶ γὰρ ὅταν οἱ στωϊκοὶ διαφορὰς γενῶν λέγωσι, τὸ ἐξ αὐτῶν κινεῖσθαι. ὡς ἡ μάχαιρα τὸ τέμνειν ἐκ τῆς οἰκείας ἔχει κατασκευῆς. κατὰ γὰρ τὸ σχῆμα καὶ τὸ εἶδος ἡ ποίησις ἐπιτελεῖται. τὸ δὲ δι' ἑαυτοῦ ἐνεργεῖν τὴν κίνησιν, ὡς αἱ φύσεις καὶ αἱ ἰατρικαὶ δυνάμεις, τὴν ποίησιν ἀπεργάζονται. καταβληθὲν γὰρ τὸ σπέρμα, ἀναπληροῖ τοὺς οἰκείους λόγους καὶ ἐπισπᾶται τὴν παρακειμένην ὕλην, καὶ διαμορφοῖ τοὺς ἐν αὐτῷ λόγους. ἀλλὰ μὴν καὶ τὸ ἀφ' ἑαυτοῦ ποιεῖν. ὅ ἐστι κοινῶς μὲν ἀπὸ ἰδίας ὁρμῆς ποιεῖν. ἕτερον δὲ, ἀπὸ λογικῆς ὁρμῆς, ὃ καὶ πράττειν καλεῖται. τούτου δὲ ἔτι ἰδικώτερον, τὸ κατ' ἀρετὴν ἐνεργεῖν. ὅταν οὖν ταῦτα διαιρῶνται, τὸ ἐναντίον ἁμάρτημα ποιοῦσιν, ἢ ὅπερ ἐν τοῖς ἔμπροσθεν. πάντα γὰρ ταῦτα ὑφ' ἓν ὀφείλοντα γένος τετάχθαι. διότι ἐν τῷ ποιεῖν πάντα, οὐ καλῶς εἰς πολλὰ γένη διακρίνουσι. διότι πολλαί εἰσιν αἱ ἀρχαὶ, ἀφ' ὧν αἱ ποιήσεις γίνονται. καὶ ὁ τῆς ἐνεργείας δὲ ὅρος, συγκεχυμένος ἐστὶ παρ' αὐτοῖς. διὰ τῆς ἐνεργείας γὰρ αὐτὴν ἀποδιδόασι. καὶ ὅταν δὲ τὸ ποιεῖν καὶ πάσχειν γένος ποιῶσι, τοῦτο μὲν καλῶς λέγουσιν. ὅταν δὲ τὸ κινεῖσθαι περιέχειν τὸ κινεῖν διατάττωνται, μάχονται πρὸς ἑαυτοὺς καὶ γένος τὸ κινεῖσθαι τοῦ κινεῖν ποιοῦντες, διότι περιέχει αὐτό. καὶ οὐ γένος, διότι πρὸς αὐτὸ ἀντιδιαιρεῖται. εἴπερ τὸ μὲν, ποιεῖν ἐστί. τὸ δὲ, πάσχειν. καὶ τῆς κινήσεως φησὶν ἰάμβλιχος, οὐ καλῶς οἱ στωϊκοὶ ἀντιλαμβάνονται λέγοντες, τὸ ἀτελὲς περὶ τῆς κινήσεως εἰρῆσθαι. οὐχ ὅτι οὐκ ἔστιν ἐνέργεια, ἔστι γὰρ πάντως φασὶν ἐνέργεια, ἀλλ' ἔχει τὸ πάλιν καὶ πάλιν. οὐχ ἵνα ἀφίκηται εἰς ἐνέργειαν, ἔστι γὰρ ἤδη, ἀλλ' ἵνα ἐργάσηταί τι ἕτερον, ὅ ἐστι μετ' αὐτήν. ταῦτα μὲν οὖν οἱ στωϊκοὶ λέγουσι. πῶς δέ φησιν ἰάμβλιχος δυνατὸν ἀτέλεστον ἐνέργειαν λέγειν, ἣ πάντων ἐστὶ τελεωτάτη, εἶναι δὲ τρόπον ἐν τῷ ἐνεργεῖν ἐ-

στῶσα, πληθύνεται κατὰ τὸ πάλιν καὶ πάλιν. ὥσπερ τὰ κατ' ἀριθμὸν προϊόντα. ὅλως δὲ ἀτελὴς ἡ κίνησις λέγεται παρὰ τοῖς ἀρχαίοις, πρὸς ἀντιδιαστολὴν τῆς ἐνεργείας. οὐ δὲ γὰρ ἐνέργεια, ἀλλ' ἐντελέχεια ἀτελὴς εἴρηται. διότι ἡ μὲν ἔστιν ἐντελέχεια, οἷον ὀχὴ κατὰ τὸ εἶδος τῆς τελειότητος. ἡ δὲ ἀπὸ τοῦ δυνάμει κινητοῦ, εἰς τὸ εἶδος ἀναγωγή. ἥτις κίνησις οὖσα, ἀτελὴς ἐντελέχεια λέγεται πρὸς τὴν τῆς τελείας ἐντελεχείας ἀντιδιαστολήν. οἷον, ἡ μὲν τόρευσις καὶ χαλκεία τοῦ ἀνδριάντος, κίνησις καὶ ἀτελὴς ἐντελέχεια. τὸ δὲ εἶδος αὐτοῦ καὶ αὐτὸς ὁ ἀνδριάς, ἡ τελεία ἐντελέχεια. καὶ διὰ τοῦτο τὴν κίνησιν ὁ ἀριστοτέλης ὡρίσατο, ἐντελέχειαν τοῦ κινητοῦ ᾗ κινητόν. τουτέστιν, ἐν ἀτελεῖ ἀεὶ μένουσαν ἐντελέχειαν. ἥτις κεχώρισται τῆς ἐνεργείας. οὐ μὴν οὐδὲ πᾶσα κίνησις ἐστὶν ἀτελής. ἀλλ' ἡ ἄρα ἡ ἀρχὴν ἔχουσα καὶ πέρας. διό περ ἡ τοῦ οὐρανοῦ, οὐδαμῶς ἐστιν ἀτελὴς ἀεὶ ἐντελεχοῦσα. παραιτεῖται δὲ τὸν παρόντα λόγον, τὸ ἐνέργεια συγχεόμενον εἰς τὴν ἐνέργειαν. τὸ γὰρ ἀπὸ τῆς δυνάμεως μεταβάλλον εἰς ὃ ἠδύνατο, τοῦτο ἐνέργεια λέγεται, ἄντε εἶδος ᾖ, ἄντε πάθος, ἄντε ἠρεμία. ὁ μὲν γὰρ χαλκός, ἀπὸ τῆς δυνάμεως εἰς τὸ ἐνέργεια προϊὼν καὶ γενόμενος ἀνδριάς, εἰς εἶδος τελειοῦται. τὸ δὲ θερμαντὸν ὅταν θερμανθῇ, εἰς πάθος προῆλθε. ἔστι τὸ ἐνέργεια τῆς κινήσεως γίνεται ἠρεμία, ὅταν εἰς ταύτην τελειωθῇ. ἡ διαφέρει δὲ τὸ ἐνέργεια τῆς ἐνεργείας. καθόσον τὸ μὲν ἐνέργεια, πρὸς τὸ δυνάμει ὑφίσταται. ἡ δὲ ἐνέργεια, καθ' ἑαυτήν ἐστιν. εἴποι δ' ἄν τις οἶμαι, ὅτι κἂν πρὸς τὸ δυνάμει λέγηται τὸ ἐνέργεια, οὐ δὲ τὸ ἐνέργεια κίνησιν ἐμφαίνει, ἀλλὰ ἔστι τὴν τοῦ πρότερον ὄντος ἀτελοῦς τελειότητα. ὁ δὲ πλωτῖνος, οὐδὲ τὴν κίνησιν ἀτελῆ συγχωρεῖ εἶναι. οὐδὲ τελειοῦσθαι φησὶν αὐτήν, ἀλλὰ τὸ πρᾶγμα οὗ ἐστοχάζετο. οἷον, τὴν βάδισιν ἐξ ἀρχῆς μὲν εἶναι βάδισιν. εἰ δὲ ἔδει στάδιον βαδίσαι, οὔπω δὲ ἦν τοῦτο διανύσας, οὐ τῆς βαδίσεως, οὐδὲ τῆς κινήσεως ἐστὶ τὸ ἐλλεῖπον, ἀλλὰ τῆς ποσῆς βαδίσεως. βάδισις γὰρ ἦν καὶ κίνησις ἤδη, κἂν ὁποσηοῦν. ὁ δὲ ἰάμβλιχος ὑπαντῶν πρὸς αὐτὴν, οὐ χρὴ κινητοῦ φησι λαμβάνειν τὸ ἔργον τῆς κινήσεως, οὐδὲ πρὸς τὴν δύναμιν αὐτὸ συνάπτειν, ἐπεὶ καθὸ κινητὸν οὔπω ἐστὶν ὅλον. οὐδὲ τὴν ἐντελέχειαν οὖν ὡς κινητοῦ λαμβάνειν. ἔστι λέγειν οἶμαι καλῶς. τοιοῦτον γάρ τι δοκεῖ μοι πάσχειν. οἷον, εἴ τις ἔστι τὸ ἀτελὲς αὐτὸ τέλειον λέγοι, ὅταν ἀτελὲς κατὰ τὰ τέλεια ἂν θεωρούμενον, οὕτως δὲ καὶ ἡ κίνησις ἀτελής ἐστιν. ὅτι μέμικται αὐτῆς ἡ φύσις, ἔκ τε τῆς δυνάμεως καὶ ἐντελεχείας, ὡς ἐξ ἀορίστου γεγονός καὶ ὡρισμένου, ἀμόρφου τε καὶ εἴδους, καὶ μὴ ὄντος ὁμοῦ καὶ ὄντος. ἐξ ὧν δῆλον γίνεται, ὡς οὐδὲν κινητὸν κινήσει πρὸς τὴν καθαρὰν ἐνέργειαν. αὕτη γὰρ καθαρά ἐστι πάσης ἀπείρου καὶ ἀορίστου συμμίξεως, καὶ ὑπερέχει τῶν τοιούτων. ἐπεὶ δὲ τὴν κίνησιν ἐδόκει τοῖς ἀπὸ τοῦ περιπάτου εἰς τὸ ποσὸν ἀνάγειν, βούλεται ὁ πλωτῖνος εἰς τὴν ἐνέργειαν αὐτὴν ἀνάγειν. ἵνα ὡς ἡ ἐνέργεια ἐστὶν οὐ ποσόν, οὕτως καὶ ἡ κίνησις οὐ ποσὴ οὖσα ἀποδειχθῇ. καὶ ὅτι μὲν ποσὸν ἡ κίνησις, δῆλον. οὐκ ἐκ τοῦ ἐν χρόνῳ εἶναι, τοῦτο γὰρ κατὰ συμβεβηκὸς ὑπάρχει αὐτῇ, ἀλλ' ἐκ τῆς διαστάσεως αὐτῆς καὶ καθὸ ἑτερότης ἦν, ὥς φησι πλάτων καὶ ἀνομοιότης. μέχρι μὲν γὰρ ἓν καὶ ταυτόν ἐστι, πάντως ἠρεμεῖ. καθὸ δ' ἂν λάβῃ τὴν διαφοράν, κεκίνηται. ἐπεὶ οὖν τὴν μὲν ἠρεμίαν ἕν, τὴν δὲ κίνησιν πολλὰ ἀναγκαῖον εἶναι, ποσόν ἐστιν ἡ κίνησις. ἐνέργεια δὲ ὅτι μὲν οὐ πᾶσα κίνησίς ἐστι, πρόδηλον. οὐ γὰρ δὴ καὶ ἡ τοῦ νοῦ ἐνέργεια ἀκίνητος.



Universitäts- und
Landesbibliothek Düsseldorf

οὖσα. περὶ δὲ τινῶν γεγένηται ζήτησις, εἰ κινήσεις χρὴ λέγειν. οἷον, τήν τε αἴσθησιν, καὶ τὴν τῆς ψυχῆς νόησιν. ὡς δοκεῖ τισιν, οὐκ ἄνευ μὲν κινήσεως, οὐ μὴν κινήσεις εἶναι, εἴγε ἀμέριστοί εἰσιν, ὥς ἐν τοῖς περὶ ψυχῆς δέδεικται. κίνησις δὲ πᾶσα μεριστή. εἰ δὲ καὶ ἐν τῷ νῦν, ἥ τε αἴσθησις καὶ ἡ νόησις ἐπιτελοῦνται, οὐ δὲ οὕτως ἂν εἶεν κινήσεις, ἀλλ᾽ ἐνέργειαι ἂν ὀρθότερον καλοῖντο. μελίσσου δὲ εἰπόντος παντὸς τοῦ γινομένου ἀρχὴν εἶναι, φησὶν ἀριστοτέλης, μὴ περὶ πάντων τῶν γινομένων ἀρχὴν εἶναι τοῦ πράγματος, ἀλλὰ τοῦ χρόνου μὲν εἶναι ἀρχήν, οὐκέτι μὴν καὶ τοῦ πράγματος. δύνασθαι γὰρ ἀθρόως μεταβάλλειν, ὥσπερ ἐπὶ τοῦ φωτιζομένου ἀέρος. ἀθρόως γὰρ πᾶς φωτίζεται. οὐ μὴν ὅτι καὶ ἀχρόνως. ἐν γὰρ τῇ ἀνατολῇ ἐφωτίσθη. οὐ μὴν ὅτι καὶ ἄχρονός ἐστιν ἡ ἀνατολή. οὐ γὰρ κατὰ τὸ νῦν ἐστιν. οὐ δὲ ὁ φωτισμὸς κατὰ τὸ νῦν. κἂν ἀθρόως ὁ ἀήρ, καὶ οὐ τόδε μετὰ τόδε φωτίζεται. τοῦ τοίνυν ἀριστοτέλους ἀθρόαν οὕτως εἰπόντος μεταβολήν, ὁ πλωτῖνος εἰ ἀθρόα φησίν ἐστι μεταβολή, ἔστι καὶ ἀθρόα κίνησις καὶ ἄχρονος. φαίη ἂν οὖν ὁ ἀριστοτέλης, τὸ μέν, κατὰ τὸ μεταβάλλειν εἶναι μεταβολήν. τὸ δέ, κατὰ τὸ μεταβεβληκέναι. καὶ ἡ μὲν κατὰ τὸ μεταβάλλειν, κίνησίς ἐστιν. ἡ δὲ κατὰ τὸ μεταβεβληκέναι, ἠρεμία. εἰ μὲν οὖν ἡ κατὰ τὸ μεταβεβληκέναι πάντως, ἀπὸ τῆς κατὰ τὸ μεταβάλλειν συνίσταται μεταβολῆς. καὶ προυπάρχει μὲν ἡ κατὰ τὸ μεταβάλλειν, ἡλίου ἀνατέλλειν μέλλοντος. ἡμῖν δὲ ἀνεπαισθήτως μόνη ἡ κατὰ τὸ μεταβεβληκέναι ἐνίσταται. εἴη ἂν οὖν, οὐκ ἄνευ μὲν κινήσεως. οὐ μὴν κίνησις ἡ τοῦ φωτισμοῦ ὑπόστασις. εἰ δὲ ἐνδέχεται τὴν κατὰ τὸ μεταβεβληκέναι ἐνστῆναι ἄνευ τοῦ μεταβάλλειν, οὐκ ἂν εἴη κίνησις, οὐδὲ μετὰ κινήσεως ἡ τοιαύτη μεταβολὴ ἡ ἐν τῷ μεταβεβληκέναι, ἀλλ᾽ ἐνέργειαί εἰσι καὶ οὐχ αἱ κινήσεις αἱ τοιαῦται μεταβολαί. πολλὰ δὲ τῶν ὑπὸ πλωτίνου περὶ κινήσεως λεγομένων, οὐκ ἐφαρμόζει ταῖς κινήσεσι. τό, τε γὰρ ἄχρονον λέγεσθαι κίνησιν, μάχεται πρὸς τὴν διάνυσιν αὐτῆς καὶ τὴν διέξοδον. τό, τε ἐν ἀχρόνῳ αὐτὴν ἄρχεσθαι ποτὲ τὴν συνέχειαν τῆς φύσεως αὐτῆς ἀναιρεῖ. τό γε νομίζειν πάλιν ταὐτὸν συμπεραίνεσθαι κίνησιν, ἀδύνατον ἐπὶ συνεχοῦς. ἐπὶ γὰρ τῶν κατ᾽ ἀριθμὸν διωρισμένων μόνων, δυνατὸν μονάδα καὶ ἄλλην μονάδα ἐπινοεῖν, καὶ οὕτως συνάπτειν εἰς ταὐτὸ τὸ διωρισμένον πλῆθος. ἐφ᾽ ὧν δὲ συνέχειά ἐστιν ἀπερίοριστος, οὐκ ἔνεστιν ἐπὶ τούτων ὡς ἐπὶ διωρισμένου τὸ πλῆθος, εἰς ταὐτὸ συγκεφαλαιοῦσθαι. οὐκ ὀρθῶς δὲ λέγεται καὶ εἰ ἀθρόα γίνεται μεταβολὴ καὶ ἄχρονος, γίνεσθαι καὶ κίνησιν τοιαύτην. εἰ γὰρ κατ᾽ εἶδος γίνονται, ἀκίνητοι παρουσίαι εἰδῶν. μεταβολαὶ μὲν ἄχρονοι ἔσονται. κινήσεις δέ, οὔ. ἀλλ᾽ οὐδὲ τοῦτο ὀρθῶς ὑπολαμβάνουσιν, ὥς εἷς ἐστιν ὁ λόγος τῶν κινήσεων καὶ τῶν ἐνεργειῶν. καὶ εἰ ἄχρονός ἐστιν ἐνέργεια, ἄχρονον εἶναι καὶ κίνησιν ὡσαύτως. καὶ γὰρ ἡ μὲν ἐνέργεια, κατὰ τὴν ἀκίνητον εἴδους παρουσίαν καὶ τελειότητα, ἕστηκεν ἡ αὐτή. ἡ δὲ κίνησις, πρόεισιν ἀεί, ἕως ἂν εἰς τὴν ἐντελέχειαν ἀφίκηται. καὶ τὸ ποσὸν δὲ ἐπὶ τῆς κινήσεως, οὐ κατὰ τὸ πλῆθος τὸ διηριθμημένον ληπτέον. οὐ γὰρ ἔχει συνέχειαν τὸ τοιοῦτον, ἀλλὰ μᾶλλον κατὰ τὴν διέξοδον, παραπλησίως τῇ διαστάσει τοῦ σώματος. εἰ οὖν ποσόν ἐστιν ἡ κίνησις, εἰς ἴδιον γένος οὐ δύναται τάττεσθαι. ἀλλὰ ταῦτα μὲν ἀρκούντως. τινῶν δὲ λεγόντων, ὅτι διὰ τοῦτο οὐκ ἔθετο γένος τὴν κίνησιν καὶ τὴν ἐνέργειαν ἐν ταῖς κατηγορίαις ὁ ἀριστοτέλης, ὅτι ταῦτα ὑπὸ τὰ πρός τι ἀνάγεται, τῷ τὴν μὲν ἐνέργειαν τοῦ δυνάμει εἶναι ἐνεργητικοῦ. τὴν δὲ

κίνησιν, τοῦ δυνάμει κινητοῦ. καλῶς ὁ Πλωτῖνος ἀντιλέγων, φησὶν. ὅτι τὰ μὲν πρός τι αὐτὴ ἡ σχέσις ἐγέννα, ἀλλ' οὐ τὸ πρὸς ἕτερον μόνον λέγεσθαι. ὅταν δὲ ἡ τῆς ὑποστάσεως κἂν ἑτέρου ᾖ, κἂν πρὸς ἕτερον, τήν γε τοῦ πρός τι εἴληφε φύσιν. αὐτῇ τοίνυν ἡ ἐνέργεια καὶ ἡ κίνησις καὶ ἡ ἕξις, κἂν ἑτέρου ᾖ, ἀλλὰ τοῦ εἶναι τὸ πρὸ τοῦ πρός τι. καὶ νοεῖσθαι καθ' αὑτὰ οὐκ ἀφῄρηνται. καὶ ὅλως τὰ μὲν πρός τι, καθ' αὑτὴν μόνην θεωρεῖται τὴν σχέσιν, ὥσπερ ἡ δεξιότης καὶ ἡ ὁμοιότης. τὰ δὲ ἑτέρων ὄντα οὕτως, ὡς κατὰ μετοχὴν ὑφιστάμενα. ὡς ἐν τῷ κινουμένῳ ἡ κίνησις, καὶ ἐν τῷ ἐνεργοῦντι ἡ ἐνέργεια, οὐ τὴν πρός τι σχέσιν ἐπίστησιν, ἀλλὰ μετοχὴν τῆς κινήσεως. αἱ δὲ μετοχαὶ, οὐκ ἐποίουν τὸ πρός τι. ἐπεὶ οὕτως ἐν ἑνὶ λόγῳ πάντα ἐστὶ πρός τι. καὶ μάλιστα οὕτω συνεζευγμένου ὑπ' αὐτοῦ τοῦ ποιεῖν τῷ πάσχειν, διὰ τὴν πρὸς αὐτὸ σχέσιν, ὡς περὶ ἀμφοτέρων ἕνα ποιήσασθαι λόγον τὸν Ἀριστοτέλην. καὶ εἰ μὴ ὁ τῆς δεκάδος τῶν γενῶν ἀριθμὸς ἀπῄτει διῃρῆσθαι, ὤκνησαν ἄν τινες ὅτι εἰς μίαν τὰ δύο ἀναγάγῃ κατηγορίαν. ἢ ὅτι τὸ ὡς γένος λαμβανόμενον ποιεῖν κατὰ τὴν καθαρὰν ποίησιν ἱστάμενον κεχωρίσθαι τελέως τοῦ πάσχειν. καὶ γὰρ τὸ θερμαίνειν καὶ ψύχειν παρέλαβεν ὁ Ἀριστοτέλης, οὐχ ὡς τὰ ὀρθὰ παρὰ τοῖς στωϊκοῖς λεγόμενα, ὅπερ ὡς εἰς ἕτερον ἐξιοῦσαν ἔχει τὴν κίνησιν, ἀλλὰ καθ' αὑτὴν τὴν προηγουμένην αἰτίαν τῆς κινήσεως, ἥτις ἐν αὐτῷ τῷ εἴδει τῆς θερμότητος καὶ ψυχρότητος προϋπάρχει. οὕτω γὰρ καὶ καθαρὰ ποίησις ἔσται κεχωρισμένη πάντη τοῦ πάσχειν, ἀλλ' οὐ δὲ τοῦ θερμαίνεσθαι καὶ ψύχεσθαι. ταῦτά ἐστιν ἅπερ ὕπτια καλοῦσι κατὰ τὴν πρὸς τὸ θερμαῖνον σχέσιν θεωρούμενα. ἀλλὰ σημαίνεσθαι μὲν καὶ τοιαῦτά τινα ἀπὸ τῶν φωνῶν τούτων, οὐκ ἂν ἀντείποιμεν. οὐ μὴν ταῦτά γε εἶναι τὰ ἐν τῷ πάσχειν ὑπὸ Ἀριστοτέλους τιθέμενα. ὡς γάρ ἐστι καθαρὰ ποίησις ἄλλη παρὰ τὴν ἐξιοῦσαν εἰς τὸ πάσχον, καὶ ἄμικτος πάντη πρὸς αὐτὴν, οὕτως ἐστὶ καὶ καθαρὰ πεῖσις τὴν ἐν τῷ πάσχοντι μόνον πεῖσιν περιειληφυῖα. μήτε ἀναφορᾶς, μήτε σχέσεως, μήτε συζεύξεως πρὸς τὴν ποίησιν ἐφαπτομένη. ὥστε οὐ δὲ ὀρθὰ, οὐ δὲ ὕπτια ταῦτα ἐστὶν, ὡς τοῖς στωϊκοῖς καλεῖν ἔθος. ἐφ' ὧν γὰρ οὐκ ἔστι τὸ πάθος ἀπολελυμένον τῆς πρὸς τὸ ποιοῦν σχέσεως, ἀλλὰ τούτων καὶ τὰ ὀρθὰ καὶ τὰ ὕπτια εἰκότως ἐνομίζετο. τὰ μὲν, τὴν ἐνέργειαν εἰς ἕτερον συντάττοντα. τὰ δὲ, ὑφ' ἑτέρου τὴν κίνησιν ἐν τῷ πάσχοντι συναρμόζοντα, καὶ ἀναφέροντα αὐτὴν πρὸς ἕτερον. ἅπερ εἰ καὶ τῷ ὄντι ἐστὶν, ἀλλ' οὐκέτι γε ἁπλᾶ καὶ ἄμικτα, καὶ πρῶτα γένη καὶ καθ' ἑαυτὰ ὑφεστηκότα, καὶ μὴ ἐν ἄλλοις ἔχοντα τὸ εἶναι. καὶ τοῦτο γὰρ ὀρθῶς λέγεται. ὡς οὐ τοῖς κατηγορήμασι πρώτοις δεῖ προσεῖναι τὸ πρός τι εἶναι, ἀλλὰ τοῖς συνυφισταμένοις πῶς ἔχουσιν. οἷον τῷ κάοντι καὶ τύπτοντι. οὕτως γάρ ἐστιν, ὁ τόνδε τύπτων, καὶ τόνδε κάων. ἐπεὶ γὰρ ἐν συνθέσει πῶς ἔχει ὁ τύπτων μετὰ τοῦ ὑποκειμένου ὀνόματος, καὶ ἡ ποίησις αὐτοῦ τὸ σύμμικτον πως ἐμφαίνει, καὶ τὸ ἔχον πῶς πρὸς ἕτερον. τὸ μέντοι ποιεῖν, ἐπειδὴ καθαρῶς μόνῃ τῇ ἐνεργείᾳ συνέζευκται διὰ τοῦτο καθ' αὑτὴν ἵσταται μόνην καθαρῶς. καὶ τὸ μὲν, οὔτε σχέσεως οὔτε μίξεως τῆς πρὸς τὸ πάσχον ἀναπίμπλαται. καὶ γὰρ μάλιστα μὲν οὐ δὲ ἔστιν ἐν τοῖς κατηγορήμασι τὰ πρός τι. εἰ δὲ ἄρα τις αὐτὸ μέχρις ἐπινοίας λαμβάνει, ὡς δι' ἑτέρου νοεῖται. αὐτοὶ μὲν γὰρ οἱ πῶς ἔχοντες, κατὰ προηγούμενον εἶεν ἂν πρός τι. ἕτερον δὲ τρόπον, κατὰ δευτέραν αἰτίαν.

καὶ τὰ κατηγορήματα, τοιαῦτα ἐπινοεῖται. καὶ τοῦτο δὲ καλῶς εἴρηται. ὥστε τὰ μὲν πρός τι, μόνη ἡ σχέσις ὑφίστησι. τὸ δὲ ποιεῖν καὶ πάσχειν, ἔχει τινὰς ἰδίας φύσεις, περὶ ἃς αἱ σχέσεις. εἴπερ ἄρα τὰ πρός τί πως δεύτερα ἐπινοεῖται. διόπερ οὐκ ἐξίσταται ἧς ἔχει ἑκάτερον καθ᾽ ἑαυτὸ ἰδίας κατηγορίας. Ἀλλὰ διὰ τί φασιν οὐχ ἓν μὲν γένος τὸ κινεῖσθαι. εἴδη δὲ τούτου δύο. τὸ κινεῖν, ὅπερ ταὐτόν ἐστι τῷ ποιεῖν, καὶ τὸ ὁμωνύμως τῷ γένει κινεῖσθαι λεγόμενον, ἐν ᾧ τὸ πάσχειν. ὥστε μίαν κατηγορίαν εἶναι τοῦ κινεῖσθαι, ἀλλὰ μὴ δύο τοῦ ποιεῖν καὶ πάσχειν. λύσις δὲ τούτου, καὶ πρόσθεν μὲν ἐπεδείχθη διὰ πλειόνων. καὶ νῦν δὲ λεγέσθω. ὅτι ἐν τῷ κινεῖσθαι οὐ περιέχεται τὸ ποιεῖν, εἴ τις τὰς καθαρὰς λαμβάνει ποιήσεις. μόνον δὲ τὸ πάσχειν περιείληπται. οὐ δύναται οὖν γένος εἶναι τὸ κινεῖσθαι τῆς ποιήσεως. ὧν οὐδὲ ὅλως ἐν τῷ εἶναι κατηγορεῖται. ἡ μὲν γὰρ κίνησις, ἑτεροιώσει τινὶ καὶ μεταβολῇ σύνεστιν. ἡ δὲ ποίησις ἡ καθαρά, ἥτις καὶ ἀντιδιαιρεῖται πρὸς τὸ πάσχειν ὡς μηδὲν ἔχουσα κοινὸν πρὸς αὐτήν, ἀπαθής ἐστι καὶ ἄτρεπος καὶ ἀμετάβλητος. ποιεῖ οὖν μόνως αὐτὴ οὐδὲν τῆς δεχομένης πάθος. ἀκινήτως ἄρα ποιήσει. οὐκ ἄρα ἐν τῷ κινεῖσθαι ἐστὶ τὸ πρώτως ποιεῖν ὡς ἐν γένει, ἀλλὰ μᾶλλον ἐν τῷ μὴ κινεῖσθαι. αὕτη μὲν οὖν ἀκριβὴς λύσις τῆς ἐνστάσεως. εἰ δέ τις τὸ ποιεῖν διατείνοι καὶ ἐπὶ τὰς κινήσεις, λεγέτω ὡς κατὰ τοὺς παλαιούς, ἀπὸ τῆς κινήσεως ὑφίσταται τὸ κινεῖσθαι. τοιοῦτον δὲ ὄν, οὐκ ἐπὶ πασῶν τῶν ἐνεργειῶν τάττεσθαι, ἀλλ᾽ ἐπὶ μόνων, ὅσαι κινήσεσιν ἦσαν αἱ αὐταί. τὸ μέντοι ποιεῖν, οὐ κινήσεως μόνον, ἀλλὰ καὶ ἐνεργειῶν ἐστι περιληπτικόν. οἰκείως οὖν ἔθετο αὐτὸ εἰς γένους ἰδίου θέσιν, οἰκεῖον ὑπάρχον τῶν τε ἐνεργειῶν ἃς οὐ περιέχει τὸ κινεῖσθαι, καὶ κινήσεων δραστικῶν καὶ χωρὶς μὲν παντελῶς ἀπὸ πείσεων. διὸ ἀκολούθως ἕτερον ἔθετο γένος τὸ ποιεῖν τοῦ πάσχειν. τὸ δὲ κινεῖσθαι, μὴ δὲ ὅλως εἶναι ἐπ᾽ αὐτοῖς γένος. οὐχ ὅτι οὐ δεῖ ὅλως λέγειν ἐπὶ τῶν ποιήσεων τὸ κινεῖσθαι, ὡς ἡ πρώτη λύσις ἐβούλετο ἀπολογίζεσθαι, ἀλλ᾽ ἐπειδὴ τὸ ποιεῖν περιέχει καὶ τὰς κατ᾽ ἐνέργειαν κινήσεις, αἵτινες οὐ περιέχονται ἐν τῷ κινεῖσθαι. ὑπομνήσειε δὲ ἄν τις τὸ δύο εἶναι γένη τὸ ποιεῖν καὶ πάσχειν. καὶ ἀπὸ τῆς ἐν τῷ παντὶ φύσεως. εἰ γὰρ τὸ μὲν γεννᾷ, τὸ δὲ ὑποδέχεται τὴν γένεσιν, καὶ τὸ μὲν ἐστι δραστικόν, τὸ δὲ παθητικόν, ἐξ ἀνάγκης δεῖται ταῖς ἀρχαῖς ὁμολογουμένως, καὶ τὰ γένη εἶναι διττά. καὶ ἐπεὶ πανταχοῦ τὸ ἄμικτον τοῦ μικτοῦ προηγεῖται, ἐξ ἀνάγκης καὶ τὸ καθαρῶς ποιεῖν καὶ πάσχειν τοῦ μικτοῦ τῆς κινήσεως γένους προϋπάρχει. αὕτη γὰρ ἡ ὑπὸ ἄλλου γινομένη, εἰς ἄλλο ποιεῖ. καὶ εἴπερ ἓν γένος, ἐν τοῖς μετέχουσι καὶ ἄμικτα ἔσται τὰ γένη, ὅπερ ἄτοπον. πολλὰ μέντοι τῶν ποιούντων καὶ πάσχει ὑπὸ τοῦ δύο ἀρχάς, τήν τε παθητικὴν καὶ τὴν δραστικήν, εἰς μίαν πολλαχοῦ συμπίπτειν φύσιν. ἐπεὶ καθαρῶς γε διορίζονται τὰ πράγματα. οὔτε τὸ ποιοῦν ἢ ποιεῖ καὶ πάσχει, οὔτε τὸ πάσχον ἢ πάσχει ποιεῖ. διὸ τὰ μὲν πρῶτα τῶν αἰτίων, ἀκίνητά ἐστιν. ὧν κινήσεων αἴτια γίνεται. τινὰ δὲ τῶν ἐξῆς κινοῦντα, καὶ κινεῖται ὑπὸ τοῦ ἀμφοτέρας ἔχειν ἐν ἑαυτοῖς ἀρχάς. καὶ εἶναι μέν τι αὐτῶν κινοῦν. εἶναι δὲ καὶ κινούμενον ἕτερον. καὶ οὕτως τὸ ὅλον κινεῖν καὶ κινεῖσθαι δοκεῖ. παρίστησι δὲ τοὺς πολλοὺς εἰς τὸ καὶ ἐν ταῖς ποιήσεσι κινήσεις τίθεσθαι, τὸ νομίζειν ὥσπερ σὺν μοχλείαις τὰς ποιήσεις γίνεσθαι. ἀλλὰ μὴ ὡς τοῖς παλαιοῖς ἔδοξε τῷ δραστηρίῳ

δυνάμει καὶ τῇ ἐπιτηδειότητι τοῦ ποιοῦντος καὶ πάσχοντος. τὰ γὰρ ὠθοῦντα καὶ ἕλκοντα καὶ τὰ τοιαῦτα, σύμμικτά ἐστιν, ἔκ τε τοῦ ποιεῖν, ἔκ τε τοῦ πάσχειν. εἴτε οὖν τὴν αἰτίαν τοῦ ποιεῖν καὶ τοῦ πάσχειν, εἴτε τὴν μορφὴν διακρίνοι τις ὡς ἑτέραν, οὐδὲν αὖ τῆς ἔσται κοινὸν γένος. ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας δείκνυται, ὅτι καὶ τὸ νοεῖσθαι καὶ τὸ ὁρᾶσθαι, τῆς τοῦ ποιεῖν ἐστι κατηγορίας, ἀλλ' οὐ τῆς τοῦ πάσχειν. οὐ γὰρ πάσχει τι τὸ νοητὸν εἰς νόησιν, ἀλλ' ἔστι τὸ νοεῖσθαι, τὸ νόησιν ποιεῖν. καὶ τὸ ὁρᾶσθαι, τὸ ὅρασιν, τῆς λέξεως τὸ σχῆμα μόνον ἐχούσης τοῦ πάσχειν. δεῖ οὖν μὴ εἰς τὸ σχῆμα τῆς λέξεως ἀφορᾶν, ἀλλ' εἰς τὰ πράγματα. καὶ γὰρ τινὰ μὲν ἐστι καὶ τῷ πράγματι καὶ τῷ σχήματι τῆς λέξεως τὸ ποιεῖν ἔχοντα ὡς τὸ ἰατρεύειν. τινὰ δὲ τῷ μὲν πράγματι, ποιητικά ἐστι. τῷ δὲ σχήματι τῆς λέξεως παθητικά, ὡς τὸ νοεῖσθαι καὶ τὸ ὁρᾶσθαι. τύπτειν γάρ ἐστι τοῦτο. τὸ δὲ τύπτειν, ποιεῖν. τινὰ δὲ ἀνάπαλιν, ὡς τὸ ὁρᾶν καὶ νοεῖν. τύπτεσθαι γάρ ἐστι. τὸ δὲ τύπτεσθαι, πάσχειν. ἐπιστάσεως δὲ ἄξιον, μήποτε τὸ νοεῖν καὶ τὸ ὁρᾶν οὐκ ἔστι πάσχειν μόνον καὶ τύπτεσθαι, ἀλλ' ἔχει τινὰ καὶ ἔνδοθεν ἀνεγειρομένην ἐνέργειαν, καθ' ἣν ἡ ἀντίληψις γίνεται· καὶ οὐδὲν οἶμαι θαυμαστὸν εἶναι συμμιγές τι ἀπὸ τούτων συμβαίνειν. καὶ γὰρ ἀκόλουθον τὰ μὲν, ποιεῖν μόνως. τὰ δὲ, πάσχειν μόνως. τὰ δὲ, ποιεῖν ἅμα καὶ πάσχειν, ὥσπερ τὸ νοεῖν καὶ τὸ ὁρᾶν. πάλιν δὲ ὁ Πλωτῖνος ἐπισκεπτέον φησὶν, εἰ ἐν τῷ ποιεῖν, τὰς μὲν, ἐνεργείας φήσουσι. τὰς δὲ, κινήσεις. οἷον τὸ τέμνειν. ἢ πᾶσα ποίησις καὶ κίνησίς ἐστιν. ἢ μετὰ κινήσεως. καὶ εἰ πάσας τὰς ποιήσεις πρὸς τὸ πάσχειν, ἢ τινὰς καὶ ἀπολύτως. οἷον τὸ βαδίζειν καὶ τὸ λέγειν. καὶ εἰ τὰς μὲν, πρὸς τὸ πάσχειν πάσας κινήσεις. τὰς δὲ, ἀπολύτους ἐνεργείας, ἢ ἐν ἑκατέροις ἑκάτερον. τὸ γοῦν βαδίζειν ἀπολελυμένον, κίνησιν ἂν πάντες εἴποιεν. τὸ δὲ νοεῖν, καίτοι ἔχον πάσχον τὸ νοούμενον, ἐνέργεια οἶμαι ῥητέον. τούτων δὲ πρὸς τὸ πρότερον. ὅτι τὸ πᾶσαν ποίησιν κίνησιν εἶναι ἢ μετὰ κινήσεως, οὐκ ἐγκριτέον. ἀλλὰ τοὐναντίον, τὸ ποιοῦν ἡ ποιεῖ, καὶ τὴν καθαρὰν ἐνέργειαν ἔχει, οὐδ' ὅλως κινεῖσθαι. ὥστε ἐν τῷ ποιεῖν, οὐδὲ τὰς μὲν, ἐνεργείας λέγειν, τὰς δὲ κινήσεις. ὅλως γὰρ οὐκ εἰσὶν ἐν τῷ ποιεῖν αἱ κινήσεις, διὰ τὰς εἰρημένας αἰτίας. ἀλλ' οὐδὲ τὰς ἀθρόας ἁπλῶς φήσομεν ἐνεργείας εἶναι, καθόσον εἰσὶν ἀθρόαι. διότι τὸ ἀθρόον, καὶ τῶν μεταβολῶν ἐστιν ἴδιον. καὶ οὐδέποτε ταύτῃ ἀντιδιαιρεῖται ἐνέργεια πρὸς κίνησιν. διότι ἡ μὲν, ἀθρόα ἐστίν. ἡ δὲ, ἐν χρόνῳ. ἀλλ' ἄλλαις τισὶ διαφοραῖς. πρὸς δὲ τὸ δεύτερον, τὸ, εἰ πᾶσαι πρὸς τὸ πάσχειν αἱ ποιήσεις, ἢ τινές εἰσι καὶ ἀπόλυτοι, δυνατὸν λέγειν, ὅτι οὐκ ἐκεῖνο τὸ ποιεῖν τὸ ἀντιτατόμενον τῷ πάσχειν ὡς γένος τέθεικεν ὁ ἀριστοτέλης, ἀλλὰ τὸ κοινότερον καὶ ἴσον τῷ ἐνεργεῖν, καθ' ὃ ἐξ ἑαυτοῦ ποιεῖν. ὥστε ὑποπίπτειν. καὶ τὸ περιπατεῖν καὶ τὸ καθῆσθαι, καὶ πάντα τὰ ἀπόλυτα. ὑποπίπτειν δὲ καὶ τὸ ἀντιτεταγμένον τῷ πάσχειν. καθὸ τὸ μὲν, ἐν ἑαυτῷ. τὸ δὲ, ἐν ἑτέρῳ, τὴν τῆς κινήσεως ἀρχὴν ἔχει καὶ αἰτίαν. ἔστι δὲ καὶ τοῦτο λέγειν. ὡς τὸ μὲν ἀντιτατόμενον πρὸς τὸ πάσχειν καὶ λεγόμενον ὀρθὸν ὑπὸ τῶν στωϊκῶν, οὐκ εἴληπται νῦν, ἀλλὰ τὸ κοινόν. τὸ δὲ ἀντιτατόμενον ἐν τοῖς παραδείγμασιν εἴληπται, ὡς σαφέστερον ἴσως. ὁμοίως δὲ καὶ τὸ πάσχειν. οὐ γὰρ τὸ ὕπτιον λεγόμενον τὸ πρὸς τὸ ποιοῦν, ἀλλὰ τὸ κοινόν. βέλτιον δὲ τὸ πρῶτον καὶ κυριώτατον τοῦ ποιεῖν γένος καθαρὸν τίθεσθαι, καὶ μὴ δὲ μίαν ἔχον πρὸς τὸ πάσχον

συμπλοκήν. οὕτω γὰρ καθαρὰν νοεῖσθαι τὴν ἐξ αὐτοῦ ἐνέργειαν. εἰ δέ τις καὶ τὴν ἀντίθεσιν τοῦ ποιεῖν καὶ πάσχειν βούλοιτο λαμβάνειν, ἀποδεικτέον καὶ τοῦτο, οὐ κατὰ σχέσιν, ἀλλὰ κατ' ἰδίαν ἑκατέρου ὑπόστασιν. ἥτις ἐν ἑκατέρῳ οὖσα, προσλαμβάνει ἐκ δευτέρου τὸν τῆς ἐναντιώσεως λόγον. τὸ δὲ τρίτον, οὐκ ἔστιν εὐδιόριστον, διὰ τὴν ἐν πολλοῖς τῶν δύο ἀρχῶν μίξιν. τὸ οὖν βαδίζειν, μέμικται ἔκ τε κινήσεως καὶ ἐνεργείας. ἴσως δὲ καὶ τὸ νοεῖν, ἔκ τε τοῦ πάσχειν καὶ τοῦ ἐνεργεῖν. καὶ διὰ τοῦτο, οὐ ῥᾴδιον ἀποφαίνεσθαι ἐν ποίῳ γένει τὰ προτεινόμενα. ἀλλὰ καθόλου διαιρετέον. πρώτας μὲν ποιήσεις, τὰς καθαρὰς καὶ ἀμίκτους λέγοντες. δευτέρας δὲ, τὰς ἀπ' ἐκείνων, εἰς τὰ σύμμικτα γένη. τούτων δὲ εἶναι πλείονας διαφοράς. τὰ μὲν γὰρ αὐτῶν, πρὸς τὸ πάσχειν. τὰ δὲ, πρὸς ἄλλα τινὰ συμπλέκεται. καὶ τὰ μὲν, ἐπικρατεῖ κατὰ τὴν ἑαυτῶν ἐνέργειαν. τὰ δὲ, ὑπὸ τῶν ἄλλων τῶν συμμιγνυμένων ἐπικρατεῖται. τὰ δὲ, ἄλλως ποικίλως συνυφαίνεται. τοιαῦτα δὲ πρὸς τὴν πλωτίνου ἀντιταξάμενος ὁ ἰάμβλιχος, τεχνικώτερον φησὶν ἐστὶ πρότερον διελέσθαι τὴν ἰδιότητα τῶν γενῶν τούτων, τοῦ τε ποιεῖν καὶ τοῦ πάσχειν, καὶ τὴν διαφορὰν αὐτῶν τὴν πρὸς ἄλληλα ἐπιδεῖξαι. ἀπὸ γὰρ τούτου φανήσεσθαι καὶ τίνα ὑποτάττειν αὐτοῖς δεῖ. καὶ ποῖα τὰ μεταξὺ αὐτῶν ἐστι σύμμικτα. εἰ δὲ δεῖ πρὸ τῶν ἰαμβλίχου τὰ ἀρχύτου παραθέσθαι, ὅσα ἐκεῖνος ἴδια τοῦ ποιεῖν καὶ πάσχειν ἀνέγραψε.
» καὶ γὰρ καὶ ὁ ἰάμβλιχος ἐκεῖνα ἐπεξηγεῖται. γράφει τοίνυν ὁ ἀρχύτας, οὕτως. Τὸ δὲ
» ποιέοντος ἴδιόν ἐστι, τὸ ἐν αὐτῷ τὰν αἰτίαν ἔχειν τᾶς κινάσιος. τῷ δὲ ποιωμένω καὶ τῷ
» πάσχοντι, τὸ ἐν ἑτέρῳ. ὁ μὲν γὰρ ἀνδριαντοποιὸς ἐν ἑαυτῷ τὰν αἰτίαν ἔχει τῶ ποιεῖν
» τὸν ἀνδριάντα. ὁ δὲ χαλκὸς, τῶ ποιεῖσθαι ἐν ἑαυτῷ τε καὶ τῷ ἀνδριαντοποιῷ. καὶ ἐπὶ
» τῶν παθέων δὲ τᾶς ψυχᾶς, ὁ αὐτὸς λόγος. ὁ γὰρ θυμὸς ἐφ' ἑτέρῳ τινὶ πέφυκεν ἀνεγεί-
» ρεσθαι. καὶ ὑφ' ἑτέρω τινὸς ἔξωθεν ἐρεθίζεσθαι. οἷον, ὀλιγωρίας. ἀτιμίας. ὕβριος. ὁ δὲ
» ταῦτα δρῶν, ἐν ἑαυτῷ τὰν αἰτίαν ἔχει τῶ ταῦτα δρᾶν. Ταῦτα τοίνυν ἐξηγούμενος ὁ ἰάμ-
βλιχος, φησὶ, τὸ ποιεῖν ἐν ἑαυτῷ ἔχειν τὴν αἰτίαν τῆς ἐνεργείας. τὸ δὲ πάσχειν, τὴν τῆς κινήσεως ἐν ἑτέρῳ καὶ ἐν ἑαυτῷ. ὡς ὁ χαλκὸς ἐν ἑαυτῷ καὶ τῷ ἀνδριαντοποιῷ. διότι καὶ ἰδίαν τινὰ ἔχει βεβαιότητα τῆς ἑαυτοῦ οὐσίας τὸ πάσχειν. καὶ οὐχ ὅλον ἐξήρτηται ἀπὸ τοῦ ποιοῦντος. καὶ λοιπὸν τὰς πρὸς τὸν λόγον ἐπάγει ἐνστάσεις. καὶ γὰρ ἀντιλέγουσι φασί τινες. ὡς καὶ τοῦ ποιεῖν τινά ἐστιν ἐν ἑτέρῳ ἔχοντα τὴν αἰτίαν, οἷον τὸ νοεῖν. εἰ δὲ μὴ τὸ νοεῖν τις ἐν τῷ ποιεῖν τιθείη, ἀλλὰ τὸ νοεῖσθαι, ὡς τοῦ νοεῖν ἐν τῷ πάσχειν ὄντος, οὐδὲ οὕτως τὸ νοεῖσθαι τὴν πᾶσαν αἰτίαν παρέχει τῷ νοοῦντι τῷ κινεῖσθαι. εἰ οὐ τοιοῦτός ἐστιν ὁ τρόπος τῆς κοινωνίας, οἷον ὑπολαμβάνουσιν οἱ ἀποροῦντες ἐπί τε τοῦ νοῦ καὶ τοῦ νοητοῦ. ἀλλ' ἄρα ἐκεῖνος μὲν τῆς περὶ νοῦ θεωρίας οἰκεῖος. λυτέον δὲ τὴν ἀπορίαν συμμέτρως τοῖς προκειμένοις λέγοντας ὥς οἶμαι. ὅτι ὁ μὲν ἀρχύτας, τὰς καθαρὰς ποιήσεις καὶ πείσεις ἀπελογίσατο. τὸ δὲ νοεῖν κἂν ἔστι τι πάσχειν, ἀλλ' ἔχει τινὰ ἔνδοθεν ἐγειρομένην ἐνέργειαν. ὥσπερ τὸ ὁρᾶν καὶ ὅλως τὸ γινώσκειν. καὶ οὐκ ἔδει ἀπὸ τούτων τῶν συμμεμιγμένων προσάγειν τῷ λόγῳ τὴν ἔνστασιν. ἄλλοι δὲ ἀπὸ τοῦ ὀρέγεσθαι καὶ ὁρμᾶν τὴν αὐτὴν ἀπορίαν προσάγουσιν. ὡς ἄρα ταῦτα ἐν αὐτοῖς μὲν ἔχει τὴν αἰτίαν τῆς κινήσεως. οὐ πάντη δὲ καθαρεύει τῆς παρ' ἄλλου καὶ ἔξωθεν προκατάρχουσης αἰτίας. ταύτην δὲ τὴν

Universitäts- und
Landesbibliothek Düsseldorf

ἀπορίαν λύων ὁ Ἰάμβλιχός φησιν· ὅτι οὐκ ἔστιν ἁπλᾶ τὰ ὁρμῶντα καὶ ὀρεγόμενα· σύνθετα δὲ ὄντα, οὔτε τὴν αἰτίαν τῆς ἐνεργείας καθόλου ἔχει, οὐδὲ κυρίαν ἀφ' ἑαυτῶν. ἐκ μέρους δέ τινος τῶν ἐν ἑαυτοῖς καὶ δυνάμεως ὥρμηνται εἰς τὰς ποιήσεις. ὅθεν καὶ συνεργείας ἀπὸ τῶν ἔξωθεν δεῖται. καὶ προκαταρχούσης, καὶ συμβαλλούσης, καὶ συμβαλλομένης, κινήσεώς τε παθητικῆς μεταλαμβάνει. περὶ ἄλλο μὲν γινομένης, λέγω δὲ τὸ σύνθετον ζῷον. ἀπ' ἄλλου δὲ ἐνδιδομένης, λέγω δὲ τῆς αἰτίας τῶν ἐνεργειῶν δυνάμεως. διὸ οὐδὲ ποίησίς ἐστιν αὕτη καθαρά. οὐδὲ πάθος μόνον. οὐδὲ ἀπὸ ταύτης ἐνίστασθαι δεῖ πρὸς τὸν ἀποδοθέντα λόγον περὶ τοῦ ποιεῖν, τὸν λέγοντα τὴν αἰτίαν αὐτοῦ παρεῖναι τῆς ἐνεργείας ἀφ' ἑαυτοῦ. μόνον δὲ δεῖ φησὶν ὁ Ἰάμβλιχος προστιθέναι τὸ κυρίως καὶ πρώτως ἀφ' ἑαυτοῦ καὶ ἀφ' ὅλου ἑαυτοῦ τὴν αἰτίαν παρεχόμενον. καὶ μόνως ἐν ἑαυτῷ ταύτην ἔχον. καὶ αὐτοτελῆ εἰς τὰ ὅλα αὐτὴν προϊέμενον. δῆλον δὲ ὅτι σαφέστερος μὲν ὁ λόγος οὕτως ἔσται διὰ τῆς προσθήκης. καὶ ἀρχύτας δὲ ἐν βραχεῖ λόγῳ πάντα ταῦτα ἐνεδείξατο. τὸ γὰρ ἐν ἑαυτῷ ὡς ἐν ὅλῳ εἴληπται κυρίως καὶ πρώτως. πάλιν δὲ τοῦ πάσχειν ἴδιον φησί, τὸ ἐν ἑτέρῳ τὴν αἰτίαν ἔχειν τῆς κινήσεως. εἰ γὰρ ἀναίτιόν ἐστι τὸ πάθος, ὅπερ ἄτοπον εἶναί τι τῶν γινομένων ὑπὸ μηδεμιᾶς αἰτίας γινόμενον ἢ ἔχον αἰτίαν. καὶ εἰ τοῦτο, ἢ ἐν αὐτῷ τῷ πάσχοντι, καὶ οὕτως οὐ πάσχον μόνον ἐστίν, ἀλλὰ καὶ ποιοῦν, ἢ ἔξωθεν καὶ ἐν ἑτέρῳ. ὡς γὰρ ἂν ποιῇ τὸ ποιοῦν καὶ ὥσπερ ἂν ἐκεῖνο ποιῇ, ταύτῃ πάσχει τὸ πάσχον. Ἀπορεῖ δὲ καὶ πρὸς τοῦτο ὁ Πλωτῖνος, πῶς ἐστιν ἀπολυτά τινα καὶ ἐν τῷ πάσχειν οὐκ ὄντα ἐξ ἄλλων. οἷον τὸ σήπεσθαι καὶ ἰοῦσθαι. πολλὰ δὲ καὶ ἐν ἄλλῳ τὴν αἰτίαν ἔχοντα τῆς κινήσεως οὐ πάσχει. ὡς κύκνος φέρεται ἐκ τοῦ ἐν αὐτῷ λόγου λευκὸς γινόμενος, ἄγεται μὲν εἰς τὴν οἰκείαν ἐντελέχειαν. οὐ μέντοι διὰ τοῦ ὑπ' ἄλλου πάθος τὸ τοιοῦτον. καὶ τὸ αὖξον δὲ ἀπὸ τοῦ ἐνόντος λόγου, οὐ δήπου κατὰ πάθος εἰς τὴν αὔξησιν ἄγεται. ἀλλὰ πρὸς μὲν τὸ τοιοῦτον ῥητέον, μήτε τὸν κύκνον ἐν ἄλλῳ ἔχειν τὴν αἰτίαν τοῦ λευκὸν εἶναι ἀλλ' ἐν ἑαυτῷ, μήτε ἄλλο μηδὲν τῶν εἰς τὸ οἰκεῖον εἶδος τὸ σύμφυτον ἀγομένων, ἔξωθεν ἔχειν τὴν τοῦ οἰκείου εἴδους μετοχήν. πάθος γε οὖν λέγομεν τὸ οὕτως μετέχειν, οὐχ ὅτι ἄλλου οὐκ ἔστι πάθος τὸ τοιοῦτον, ἀλλ' ἐπειδὴ οὐσίας μετάληψίς ἐστιν ἡ τοῦ εἴδους μετοχὴ καὶ ἐνέργεια, ὑπὸ ἀέρων ἢ ὑπὸ ὑδάτων, ἢ ἄλλου τινὸς ὑγροῦ ἀναθυμιάσεως γινομένη. ἴσως δὲ καὶ διὰ τὴν σύνθεσιν τῶν σηπομένων καὶ ἰουμένων, ἔστι τινὰ ἐν αὐτοῖς. τὰ μὲν, ἐν τῷ ποιεῖν. τὰ δέ, ἐν τῷ πάσχειν. ἅπερ μὴ δυνάμενοι διακρίνειν, ἀπολύτους πείσεις τὰς τοιαύτας ὑποτίθενται. ἀλλὰ πολλά φασιν ἐν ἑαυτοῖς τὴν αἰτίαν ἔχοντα τοῦ ποιεῖν, ἐπαθαίνει τό. καθάπερ τοὺς φαύλους ἀπὸ τῆς ἐν αὐτοῖς κακίας, ἐμπαθεῖς εἶναι λέγομεν. καὶ αὐτῷ δοκεῖ τῷ Πλωτίνῳ, μήτε πάθη ἀλλ' ἐνεργήματα εἶναι τὰ τῆς ψυχῆς πάθη, καὶ ἐν αὐτῇ μὲν ἐνεργήματα, ἐν δὲ τῷ σώματι, πάθη. ὥσπερ οὖν τὴν αἰτίαν τῆς κακίας ἐν ἑαυτοῖς ἔχουσιν οἱ φαῦλοι, οὕτως καὶ τὴν ἐνέργειαν αὐτῆς ἔχουσιν ἐν τῷ ποιεῖν, εἴπερ πάθος αὐτῆς τῆς ψυχῆς οὐ λέγεται. εἰ δὲ περὶ τὸ σῶμα γίνεται τὸ πάσχειν, ἀλλ' ἐν ἄλλῳ ἔσται τὸ πάθος, καὶ ἐπ' ἄλλου. καὶ οὕτως ἀληθὴς γίνεται ὁ τοῦ πάσχειν ὁρισμός. μήποτε δὲ καὶ ἐν τῇ ψυχῇ πλειόνων ὄντων μορίων, καὶ πλεῖ-

ὄντων κρίσεων, καὶ πλειόνων φαντασιῶν, ἢ δυνάμεων, ἢ δοξῶν διαφερομένων, κατὰ τὴν ἀνομολογίαν αὐτῶν γίνονται ἐμπαθεῖς οἱ φαῦλοι. τῶν μὲν, ποιουσῶν. τῶν δὲ, πασχουσῶν ἐναντιώσεων. καὶ μένει ὁ τοῦ πάσχειν λόγος ὑγιής, ὡς ἐν ἄλλῳ ἔχουσι τὸ πάσχειν. Ἀλλ' ἡ τῆς ὕλης ἐπιτηδειότης πάθος οὖσα τῆς ὕλης, πῶς οὐκ ἀπ' αὐτῆς ἐστι τῆς ὕλης ἀλλ' ἔξωθεν. Ἢ δύναται μέν τις λέγειν καὶ τὴν ἐπιτηδειότητα ἔμφασιν τοῦ εἴδους οὖσαν, ἀπὸ τοῦ εἴδους ἐνδίδοσθαι τῇ ὕλῃ. τινὲς δὲ αὐτὸ τοῦτο ὅπερ ἐστι, πάθος τὴν ὕλην εἶναι λέγουσιν. εἰ δὲ μή ἐστι πάθος, ἀλλὰ πάσχει περὶ τῆς ἐπιτηδειότητος, ζητητέον. εἰ μὲν πάσχει τὴν ἐπιτηδειότητα, πάντως ἐστί τι τὸ ποιοῦν αὐτήν. εἰ δὲ μὴ πάσχει, ἀλλ' αὐτὸ ἐπιτηδειότης ἐστὶν, οὐσία ἐστὶν αὐτὴ τῆς ὕλης. ὁ δὲ λόγος, περὶ τοῦ πάθους ἐστὶν. εἴτε ἔνδοθεν, εἴτε ἔξωθεν. ἀλλ' ἐδόκει φησὶν, οὔτε αὐτὸ τὸ ἀφ' ἑαυτοῦ καὶ μὴ ἀπ' ἄλλου ἱκανὸν εἶναι χαρακτηρίζειν τὸ ποιεῖν, οὔτε τὸ δι' ἄλλου καὶ μὴ ἀφ' ἑαυτοῦ τὸ πάσχειν. ἐπεὶ καὶ εἰς ἄλλο τι ποιοῦν, αὐτὸ μὲν ἐφαίνετο τὸ πάσχον. ὁ δὲ ἐποίει, οὐ πάσχον, ἀλλὰ ποιοῦν. οἷον ὁ κασσίτερος ποιεῖν εἰς τὸν ἄργυρον, αὐτὸς μὲν πάσχει ἀναλισκόμενος καὶ φθειρόμενος. τὸν δὲ ἄργυρον καθαίρει, τὸ φθεῖρον αὐτὸν ἀποβάλλων. ὥστε μᾶλλον αὐτὸ συνέχειν τὸν ἄργυρον ἐν τῇ αὐτῇ ποιότητι. ἀλλ' ἐπεὶ ἐν συνθέτοις πράγμασι, σύμμικτα εἴληπται ποιήματα καὶ παθήματα, οὔτε ὁ κασσίτερος ποιεῖ μόνον, ἀλλὰ καὶ πάσχει. ποιεῖ μὲν, καθαίρων τὸν ἄργυρον. πάσχει δὲ, ἀναλισκόμενος ὑπ' αὐτοῦ. καὶ ὁ ἄργυρος, πάσχει μὲν, τῷ καθαίρεσθαι. ποιεῖ δὲ, τῷ ἀναλίσκειν κατ' ἄλλο καὶ ἄλλο. ἀλλ' ἐπεὶ καθόλου διώρισται, τί μέν ἐστι τὸ ποιεῖν, τί δὲ τὸ πάσχειν, καὶ τίνα τὰ ἑκατέρου ἰδιώματα, ἐπιτήδειον λοιπὸν μετὰ τὸ διαστήσασθαι τὰ εἴδη τοῦ ποιεῖν καὶ τοῦ πάσχειν. ὧν ἀφοριζομένων, εὔδηλον ἔσται, τίνα οὐκ ὀρθῶς ἀναφέρεται εἰς τὰ κυριώτατα γένη, καὶ τίνα ὀρθῶς. τίνα τέ ἐστι σύμμικτα ἐπ' ἀμφοτέρων, καὶ τίνα ἁπλῶς εἰς τὸ ἕτερον ἀναφέρεται. ἀφ' ὧν καὶ τὰ πολλὰ τινῶν εὔδηλα φανεῖται, εἰ ὀρθῶς ὑποτάττει τινὰ ὑπὸ τὸ ποιεῖν καὶ οὐχ ὑποτάττει. δεῖ δὲ κἀνταῦθα τὴν ἀρχύτα παραθέσθαι τοῦ ποιεῖν διαίρεσιν λέγοντος οὕτως. Τῶ δὲ ποιεῖν, ἀνωτάτω μὲν ἁ ἐνέργεια. τᾶς δὲ ἐνεργείας, διαφοραὶ τρεῖς. τὸ μὲν γάρ τι ἐστὶν αὐτᾶς ἐν τῷ θεωρεῖν. οὗ, ἀστρονομεῖν. τὸ δὲ, ἐν τῷ ποιεῖν. οὗ, ὑγιάζεν. τεκταίνεν. τὸ δὲ, ἐν τῷ πράσσεν. οὗ, στραταγέν. πολιτεύεσθαι. τὸ δὲ ἁ μὲν ἐνέργεια, καὶ ἄνευ διανοίας. οἷον ἐν τοῖς ἀλόγοις ζώοις, γενικώτατα δὲ αὐτά. ἐν δὲ τούτοις, τὸ μὲν ἀνωτάτω καὶ κοινὸν τοῦ ποιεῖν κατὰ τὴν ἐνέργειαν ἀφορίζεται τὸ ἁπλῶς. ἥτις ἐν ἑαυτῇ συνείληφε πάντα ὁπόσα ἐστὶ κατ' εἴδη διακεκριμένα ἐνεργήματα, κινήσεως πάσης ἀπολελυμένη. καὶ τὸ κινητικὸν ἔχουσα καθαρόν. καὶ τὸ αἴτιον ἐξ ἑαυτῆς καὶ οὐκ ἀπ' ἄλλου τινὸς προκατάρχοντος, ἢ συνεργοῦντος. ἀπὸ δὲ τούτου μερισθεῖσα πλείονα πρόεισιν εἴδη ποιήσεως. ὧν πρῶτον ἐστὶ, τὸ θεωρητικὸν ἀΰλοις ἐνεργείαις χρώμενον καὶ ἀτρέπτοις. καὶ αὐτὸ εἰς πλείονα μεριζόμενον εἴδη. ὧν τὸ πρῶτον, ὁμώνυμον ἂν εἴη τῷ προσεχεῖ ἐν ἑαυτῷ γένει, θεωρητικὸν καὶ αὐτό. καὶ κυρίως τοῦτο θεωρητικὸν καλούμενον. τοῦτο δ' ἐστι, τὸ περὶ τῶν νοητῶν καὶ ἀμερίστων οὐσιῶν ἐπισκοποῦμεν ἁπλαῖς νοήσεσιν. οὗ ἐστι τὸ νοερόν. τοῦτο δὲ παρῆκεν ὁ ἀρχύτας. καίτοι τῆς

πυθαγορικῆς οὖν διαιρέσεως. διὰ τὸ προσεισαγωγικὸν ἴσως ἀσύμμετρον τῆς τοιαύτης θεωρίας. τὸ δὲ περὶ τῶν ἀκινήτων καὶ μαθηματικῶν οὐσιῶν ποιεῖται τὴν διανόησιν. οἷον δὴ τὸ γεωμετρεῖν. ὡρισμέναις μὲν, οὐ μὴν ἁπλαῖς ἐπιχρώμενον ταῖς ἐπιβολαῖς, ἀλλὰ συνθέτοις ἤδη καὶ κατὰ διέξοδον, οἷαι τῆς καθαρᾶς διανοίας εἰσὶν αἱ ἐνέργειαι. τρίτον δέ ἐστιν ἐν τούτοις, τὸ περὶ τῶν ἀϊδίων καὶ ἀεικινήτων αἰσθητῶν οὐσιῶν, ποιούμενον τὴν θεωρίαν, αἰσθήσει μετὰ λογισμοῦ χρώμενον, οἷον δὴ τὸ ἀστρονομεῖν. συμφώνους τοὺς λόγους τοῖς φαινομένοις ἐπιδεικνύον. καὶ οὕτως ἡ ὅλη τῆς θεωρίας ἐνέργεια ἄνωθεν ἀπὸ τῶν καθαρῶν νοήσεων, μέχρι τοὺς κατ᾽ αἴσθησιν διαλογισμοὺς προχωρεῖ. μετὰ δὲ τοῦτο τὸ εἶδος τὸ ποιητικὸν, ὁμώνυμον τῷ γένει τίθησιν ὁ ἀρχύτας. ὅπερ ἐν τῷ εἰς τὴν οὐσίαν ἄγειν τὰ μηδέπω τοῦ εἶναι μετέχοντα κυρίως ὑφέστηκε. τούτου δὲ, πολὺ μέν ἐστι τὸ θεῖον. ὅπερ ἐν τῇ δημιουργίᾳ τῶν θεῶν περιέχεται. πολὺ δὲ καὶ ἐν τῇ φύσει τοῦ παντός. καὶ μάλιστα ἀπὸ τοῦ οὐρανοῦ καθῆκον, περὶ πᾶν τὸ γινόμενον. πολὺ δὲ καὶ ἐν ταῖς τέχναις μιμουμέναις τὴν φύσιν, καὶ τὸ παραλειπόμενον ὑπ᾽ αὐταῖς, ἀναπληρούσαις. ὡς γὰρ ἡ φύσις τὸ τῆς ὑγείας εἶδος ἐν τοῖς σώμασιν ἐντίθησιν, οὕτως καὶ ὁ ἰατρὸς ἐν τῷ ὑγιάζειν ἀνασώζει τὴν τῆς φύσεως τελειότητα ἐν τοῖς σώμασι. καὶ ὡς ἡ φύσις ὄνυχάς τε καὶ αὐτοφυῆ περιβλήματα περιέβαλε τοῖς ζώοις, οὕτως ἡ οἰκοδομικὴ καὶ τεκτονικὴ καὶ ὑφαντικὴ, καὶ αἱ ἄλλαι τέχναι, τὰ ἐλλείποντα τοῖς ἀνθρώποις ἀναπληροῦσι, τὰ χρήσιμα πρὸς τὴν αὐτάρκειαν τοῦ βίου κατασκευάζουσαι. τρίτον δὲ τοῦ ποιεῖν γένος, τὸ ἐν τῷ πράσσειν ἀπηρίθμηται. ὅπερ τοῦ λόγου τὰς περὶ τὰ αἰσθητὰ καὶ σύνθετα ποιήσεις ἐπιτροπεύει, προαίρεσιν, καὶ βουλὴν. δόξαν τε, καὶ σκέψιν. καὶ τὰς τοιαύτας ποιήσεις περιεχόμενον. τούτου δὲ, τὸ μέν ἐστι καθόλου, τὰ τῶν πόλεων πράγματα διοικοῦν. καὶ ἐν μὲν πολέμῳ, στρατηγοῦν. ἐν δὲ εἰρήνῃ, τὰς πόλεις ἐπανορθοῦν. τὸ δὲ μερικώτερον, τὰς ἰδίας οἰκήσεις εὐθετίζον, ὅπερ οἰκονομικὸν καλεῖται. τοῦτο δὲ τὸ ὅλον γένος, τῶν δοξαστικῶν ἐστι λόγων τῆς ψυχῆς, περὶ τὰ αἰσθητὰ ἐνεργούντων, καὶ ἀρετὴν καὶ κακίαν ἐπιδεχομένων. διότι κατὰ προαίρεσιν καὶ ὁρμὴν ζωτικὴν ἐπιτελεῖται. οὕτω μὲν ἀρχύτας τὸ πράττειν ἀπὸ τοῦ ποιεῖν διαιρεῖ. τινὲς δὲ ποιητικὰς μὲν λέγουσιν, ὧν ἑπόμενα τὰ ἀποτελέσματα καὶ μετὰ τὴν ποίησιν. ὡς τεκτονικὴ καὶ οἰκοδομική. πρακτικὰς δὲ, ὧν τὰ ἀποτελέσματα ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι. ὡς αὐλητική τε καὶ ὀρχηστικὴ, καὶ αἱ τοιαῦται. ἄλλο δὲ γένος ἐνεργείας ἐστὶ μετὰ ταῦτα, ὃ κοινῶς ἄνευ διανοίας ἀρχύτας ἀποκαλεῖ, τὸ ἐν τοῖς ἀλόγοις ζώοις. καὶ δῆλον ὅτι ὅσα ποτέ ἐστι καὶ ὁποῖα εἴδη τῶν ἀλόγων ζώων, τοσαῦτα καὶ τοιαῦτα καὶ ἐν τῷ ποιεῖν διάφορά ἐστιν εἴδη κατὰ τὴν τοιαύτην ἐνέργειαν, περὶ ὧν ἐν ταῖς περὶ ζώων ἱστορίαις διαριθμεῖσθαι εἰώθαμεν. τελευταῖον δὲ γένος ἐνεργειῶν νοείσθω φησὶν ἰάμβλιχος, ὅπερ ψυχῆς μὲν καὶ φύσεως καὶ λόγων καὶ ζωῆς οὐκέτι ἐπιδείκνυσι ποίησιν. τῶν δὲ σωμάτων, ἢ σώματά ἐστιν ἄψυχα, φανερὰν καθίστησι τὴν σωματοειδῆ ἐνέργειαν. κατὰ πάσας μὲν τὰς περὶ τὸ σῶμα τὰς φαινομένας ἰδιότητας. κατὰ πάσας δὲ αὐτῶν τὰς δυνάμεις, οὐ χρὴ μόνον στερεά ἐστι καὶ

ἀντίτυπα, ἀλλ' ἢ καὶ περὶ αὐτῶν ἔχει πολλὰς δραστηρίους δυνάμεις. αἵ τε γὰρ σύμφυτοι
τῶν στοιχείων ἐνέργειαι, καὶ αἱ τῆς ῥοπῆς κινήσεις, ἡ ἐπὶ τὸ βάθος, ἡ ἐπὶ τὸ ὕψος, αἵ τε
πληκτικαὶ καὶ κατὰ τὴν ὦσιν γινόμεναι, ἔσχαταί τε ὑπάρχουσι, καὶ ἐν τοῖς συνθέτοις θεω-
ροῦνται. συμμιγεῖς τέ εἰσι πρὸς ἄλλας φύσεις. αἵτινες οὐκέτι εἰσὶν ἐνέργειαι, τό, τε δρα-
στήριον οὐκέτι ὁμοίως ἔχουσιν. ἀλλ' ἐπιμεμιγμέναι πρὸς πάθη εἰσὶν, αὗταί τε καθ' ἑ-
αυτὰς οὖσαι, καὶ ἀφ' ἑτέρων δεχόμεναι τινὰ εἰς ἑαυτὰς ἐπιπλοκήν. ὅσα μὲν οὖν ὑπὸ τὸ
ποιεῖν ὑπάγεται, διὰ τούτων πέφηνεν. Ἄξιον δὲ ἐπιστῆσαι, διότι τὸ τελευταῖον
τοῦτο εἶδος τὸ ἐπὶ τῶν ἀψύχων θεωρούμενον, οὐκ ἔτι τελέως ὁ ἀρχύτας. καί μοι δο-
κεῖ τὰς κυρίως ποιήσεις διελέσθαι προθέμενος, αἵτινες ἐν ἑαυταῖς κυρίως ἔχουσι
τὴν ἀρχὴν τῆς κινήσεως, παραλείψασθαι τὰς σωματικὰς ταύτας. ἅτε πρὸς πάθος συμ-
μεμιγμένας καὶ μετὰ κινήσεως καὶ ἀλλοιώσεως γινομένας. τούτων δὲ διαιρεθέντων, και-
ρὸς ἂν εἴη λοιπὸν τὰ ὑπὸ τοῦ πλωτίνου λεγόμενα ἐπισκέψασθαι. τὸ τοίνυν τὰς
πρὸς τὸ πάσχειν ῥεπούσας κινήσεις λέγειν ποιήσεις δύο, συγχεῖ τὰ δύο γένη πρὸς ἄλ-
ληλα. οὐ γάρ εἰσιν ἁπλῶς ἐν τῷ ποιεῖν αἱ συμπλεκόμεναι πρὸς τὸ πάσχειν κινήσεις.
εἰ δέ τις καὶ τὰς κινήσεις περιέχεσθαι λέγοι ἐν τῷ ποιεῖν, τὰς κατὰ τὸ κινεῖν δηλονότι λή-
ψεται αἰτίας τοῦ κινεῖσθαι. αἵτινες ὡς ἐν αἰτίας λόγῳ, περιέχουσι τὰς ἀρχὰς ὅλας
τῶν κινήσεων. ἀλλ' οὐδὲ τὰς ἐνεργείας τῷ ἀπολύτῳ τρόπῳ δεῖ χαρακτηρίζειν. καὶ γὰρ
κινήσεσι τὸ ἀπόλυτον ὑπάρχει. ὡς τὸ βαδίζειν. καὶ ἐνεργείαις οὐχ ὑπάρχει, ὡς ἐν τῷ
νοεῖν. ἐπειδὴ τὸ νοεῖσθαι ἐστὶν ἢ ποιεῖν, ἢ πάσχειν. τὸ δὲ λέγειν μήποτε οὐδὲ τοῦ ποιεῖν
ἐστὶ τὸ νοεῖν καὶ τὸ βαδίζειν διὰ τὸ εἶναι ἀπόλυτα, τοὐναντίον μᾶλλον κατασκευά-
ζει δικαίως. πολὺ γὰρ μᾶλλον ἔσται ἐν τῷ ποιεῖν. διότι αἱ προηγούμεναι ἐν αὐτῷ ποι-
ήσεις ἦσαν ἀπόλυτοι. ἀλλὰ μᾶλλον φησὶ τὸ νοεῖν τῶν πρός τι. ἢ πρῶτον μὲν οὐδὲ ἡ νόη-
σις πᾶσα πρός τι ἁπλῶς. εἰ γὰρ καὶ πρός τι δείκνυτις αὐτὴν οὖσάν γε πρότερον καθ' ἑαυ-
τὴν, προσλαμβάνει τὴν σχέσιν. καὶ γὰρ περὶ τῆς αἰσθήσεως αὐτὸς ὁ πλωτῖνος καὶ αἴσθη-
σις φησὶ πρὸ τῆς σχέσεως ἐνέργεια ἐστὶν, ἢ πάθος. ὡσαύτως δὲ καὶ ἡ νόησις. εἰ δὲ καὶ τὴν νόη-
σιν τις τῶν πρός τι νομίζοι, ἀλλά τό γε νοεῖν, ἐν τῷ ποιεῖν ἔσται. ἐπεὶ καὶ ἡ ἀρχὴ τῶν πρός
τι ἐστὶν. ἀλλὰ τὸ ἄρχειν τοῦ ποιεῖν. ἐπειδὴ δὲ τὴν αὐτὴν κίνησιν καὶ ἐνέργειαν ὁ πλωτῖνος
ὑποθέμενος ἓν γένος τὴν κίνησιν ἀπεφήνατο, ἴδωμεν πῶς διαιρεῖ τὸ γένος τοῦτο.
φησὶ δὴ, τὰς μὲν, σωματικὰς εἶναι. τὰς δὲ, ψυχικὰς κινήσεις. καὶ τῶν ψυχικῶν, τὰς
μὲν, λογικάς. τὰς δὲ, ἀλόγους. καὶ δῆλον ὅτι παρὰ τὰ μετέχοντα ἐν οἷς ἐγγίνονται
ἐστὶν ἡ τοιαύτη διαφορὰ κατὰ συμβεβηκὸς ἑπομένη. ἀλλ' οὐ κατὰ τὴν τοῦ γένους οἰ-
κείαν διαφορὰν γενομένη. εἰσὶ δὲ σωματικαὶ μὲν κινήσεις, ἐν τῷ ποιεῖν, αἵ τε ὀργάνῳ
τῷ σώματι χρώμεναι, ὡς ἐν τῷ τύπτειν, καὶ ὅσαι τοῦ σώματός εἰσιν ἴδιαι. ὥσπερ τὸ βα-
ρεῖν. ἐπὶ ψυχῆς δὲ ἐν τῷ ποιεῖν κίνησις. διὰ ψυχῆς μὲν τὸ γεωμετρεῖν. ψυχῆς δὲ οἰ-
κεία ἐνέργεια ἡ ζωή. δύναται δέ τις καὶ τὰ μὲν, ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι τιθέναι. κατὰ
τοὺς τιθεμένους καὶ περὶ ψυχὴν γίνεσθαι πάθη. πάλιν δὲ τὰς μὲν, παρ' ἑαυτῶν εἰς ἄλ-
λα φησὶ κινήσεις. τὰ δὲ ὑπ' ἄλλων, εἰς αὑτάς. καὶ δῆλον ὅτι τὴν ποιητικὴν καὶ παθητικὴν

κίνησιν διορίζει ταῦτα ἀπ᾽ ἀλλήλων. καθόσον ἡ μὲν ἀπὸ ἑαυτῶν ἔχει τὸ ἐνεργεῖν ἐπ᾽ ἄλλα. τοῦτο γάρ ἐστι ποίησις. ἡ δὲ ὑπ᾽ ἄλλων ἢ ἐξ ἄλλων εἰς ἑαυτήν. αὕτη δέ ἐστιν ἡ παθητική. ἀλλὰ τὸ μὲν εἰλικρινὲς καὶ καθαρὸν ἰδίωμα τοῦ ποιεῖν ἐστιν, ἐν τῷ ἐξ ἑαυτοῦ. τοῦ δὲ πάσχειν, τὸ ἐν ἄλλῳ ἔχειν τὴν αἰτίαν. ὁ δέ, οὐ τηρεῖ τὸ καθαρὸν αὐτῶν, προστιθεὶς τὸ μέν, ἐξ ἑαυτοῦ τὸ εἰς ἄλλα ἐνεργεῖν. διὰ γὰρ τὴν σύμμιξιν καὶ τὴν εἰς ἄλλο ῥοπήν, οὐ διασώζει τὴν καθαρὰν ἐνέργειαν. τὸ δὲ ἐξ ἄλλου, τῷ εἰς αὐτὰ σύνθεσίν τινα ἐργαζόμενος. πολὺ γὰρ διαφέρει. ἢ ἐν ἄλλῳ ἔχειν τὴν αἰτίαν τοῦ πάθους κεχωρισμένῳ, ἢ συνῆφθαι πρὸς τὴν αἰτίαν τοῦ πάθους. τρόπον γάρ τινα ὑπὸ τούτων, αἱ δύο ἀρχαὶ εἰς ταὐτὸν συγχέονται. αἰτία δὲ τούτου γέγονεν, ἡ τῆς κινήσεως ὡς κοινοῦ γένους προτίμησις. δι᾽ ἣν οὐ χωρίζοντες καθαρῶς λοιπὸν τὸ πάσχειν καὶ ποιεῖν διασκέψασθαι. ὅθεν καὶ ἐπὶ τῆς τμήσεως συγχεῖ ὁ λόγος ταῦτα τὰς εἰς ἄλλα κινήσεις, τὰς αὐτὰς ταῖς ἐξ ἄλλων κινήσεσι τιθέμενος. ἔστω γὰρ ἡ μὲν τμῆσις, μία. τὸ μέντοι τέμνειν καὶ τέμνεσθαι, ἕτερα. τοῦτο δὲ οὐδαμῶς συγχωρητέον. ὡς γὰρ ἔχει ἡ τμῆσις, οὕτως καὶ τὸ τέμνειν καὶ τὸ τέμνεσθαι. ὥσπερ οὖν ἡ ἀπὸ τοῦ τέμνοντος ἐνέργεια τῆς ἐν τῷ τεμνομένῳ φύσεως κεχώρισται, οὕτως καὶ ἡ κατὰ τὸ τέμνειν τομή, τῆς κατὰ τὸ τέμνεσθαι διέστηκεν. ἔστι γὰρ ἡ μέν, ἐκ τῆς ἐνεργείας καὶ τῆς δραστικῆς κινήσεως προκατάρχουσα αἰτία. ἑτέρα δὲ καὶ διάδοχος ταύτης, ἐν τῷ τεμνομένῳ παθητικὴ γενομένη τομή. ἐπεὶ καὶ ἐπὶ τῆς τριχός, ἄλλη μέν ἐστιν ἡ τῶν χειρῶν διάστασις τῶν ἐκτεινουσῶν τὴν τρίχα. ἄλλη δὲ ἡ τῆς τριχὸς ἀνάπλωσις. οὕτως οὖν καὶ ἐπὶ τῆς τομῆς. ἄλλη μὲν ἔσται ἡ κατὰ τὸ ἐνεργεῖν καὶ τέμνειν τμῆσις. ἄλλη δέ, ἡ κατὰ τὸ τέμνεσθαι. ἐπεὶ δὲ περιάπτεται συνεχῶς, ἡ ἐγγὺς ἡ ἑτέρα πρὸς τὴν ἑτέραν, τὸ διττὸν αὐτῶν διαλανθάνει. καὶ τότε μέν, δόξαι ἄν τισι πάσχειν, ὡς ἐν τῷ ἐνεργεῖν ὂν τὸ συναμφότερον. τότε δέ, ὡς ἐν τῷ πάσχειν. οὐ μὴν οὕτω γε τὸ ἀληθὲς ἔχει. ἀλλὰ δύο τὰ κινήματά ἐστι. διεστηκότα μὲν ἀλλήλων κατὰ φύσιν. ἐν δὲ τοῖς συνθέτοις, εἰς ταὐτὸν συγχεόμενα. διαλανθάνει δέ, διὰ τὴν σύμμιξιν, καὶ διότι τὸ ποιεῖν καὶ πάσχειν εἰς ἓν γένος συνάγουσιν. ἑξῆς δὲ ἀλλήλοις καὶ τοῦτο ζητεῖ ὁ Πλωτῖνος κατὰ τὰ λεγόμενα τῆς κινήσεως εἴδη, εἰ πανταχοῦ συνέπεται τὸ ποιεῖν τῷ πάσχειν. ἴσως δὲ τὰ εἴδη τῆς κινήσεως, γένεσις, καὶ φθορά. αὔξησις, καὶ μείωσις. ἀλλοίωσις, καὶ ἔτι ἡ κατὰ τόπον μεταβολή. ὁ δὲ Ἰάμβλιχος, εὐθὺς μὲν ἐνιστάμεθα, φησὶ πρὸς τὴν ἀρχὴν τῆς ἐφόδου. οὐκ ἀξιοῦντες ἀπὸ τῆς κινήσεως τὰς ποιήσεις χαρακτηρίζεσθαι. ἄλλο γὰρ γένος εἶναι τῶν κινούντων, καὶ ἄλλο τῶν κινουμένων. ἔπειτα ἀντιλέγομεν, οὐκ οἰόμενοι δεῖν ἀπὸ τοῦ αὐτοῦ τὰ ποιοῦντα καὶ πάσχοντα χαρακτηρίζεσθαι, ὥσπερ ἀπὸ τοῦ κινεῖσθαι. μήποτε δὲ ῥητέον πρὸς τὸν Ἰάμβλιχον, ὡς ταὐτὰ εἴδη τῆς κινήσεως καὶ τῶν κινούντων ἐστὶ καὶ τῶν κινουμένων. τὸ γὰρ γινόμενον, ὑπὸ τοῦ ποιοῦντος γίνεται. καὶ τὸ φθειρόμενον, ὑπὸ τοῦ φθείροντος φθείρεται. καὶ ἐπὶ ἀλλοιώσεως δὲ καὶ τῆς κατὰ τόπον μεταβολῆς, ὁ αὐτός ἐστι λόγος. πρὸς μὲν οὖν τὰς ἀπορίας τοῦ Πλωτίνου, τοιαύτας οἱ μετ᾽ αὐτὸν ἐπήγαγον λύσεις. ἐπειδὴ δὲ ἀντὶ τοῦ ἀποδοθέντος ὁρισμοῦ τοῦ ποιεῖν καὶ πάσχειν ὑπὸ τῶν Πυθαγορείων, ἄλλον ὁ Πλωτῖνος ἐνέκρινε, πάρα-

θῶμεν καὶ τοῦ τὸν νοῆσαι, γράφοντες καὶ τὰ πρὸς αὐτὸν ἑρμηνεύματα τῷ Ἰαμβλίχῳ, καὶ τοῖς ἄλλοις συντόμως. λέγει τοίνυν ὁ Πλωτῖνος, ὅτι ἐδόκει τισὶ, μὴ ἐκ τοῦ ἀφ' ἑαυτοῦ ἢ ἀπ' ἄλλου χαρακτηρίζειν τὸ ποιεῖν καὶ τὸ πάσχειν, ἀλλ' ἐκ τοῦ κατὰ φύσιν ἢ παρὰ φύσιν. τὰ μὲν γὰρ τοῦ οἰκείου τέλους τυγχάνοντα, ἐν τῷ ποιεῖν εἶναι. τὰ δὲ ἐναντία τούτων, ἐν τῷ πάσχειν. τὸν γοῦν ὑπὲρ πατρίδος ἀποθνήσκοντα, οὐ πάσχειν, ἀλλ' ἐνεργεῖν φησί. σώζοντα τὸ κατὰ λόγον, καὶ τὸ κατὰ τὴν οἰκείαν τελειότητα. τὸν δὲ ἀδικοῦντα, κἂν πάντας ἀναιρῇ φησὶν ἀνθρώπους, φθείροντα τὸ κατὰ λόγον καὶ τὰς κατὰ φύσιν ἀφορμὰς, πάσχειν ἀλλ' οὐ ποιεῖν φησί. διὸ καὶ τὴν αὐτὴν κίνησιν συμβαίνει τοῦ ποιεῖν καὶ τοῦ πάσχειν εἶναι. τὸ γὰρ αὐτὸ ὡς μὲν τεχνητὸν, κατὰ φύσιν ποιεῖ. ὡς δὲ φυσικὸν, παρὰ φύσιν. οἷον τὸ ἐν τοῖς ζώοις πῦρ κάτω κινούμενον. καὶ ἡ γῆ ἄνω. κατὰ μὲν τὴν τέχνην τοῦ δημιουργοῦ, κατὰ φύσιν κινοῦνται. διὸ οὐκ ἔστι παθητικὴ, ἀλλὰ δραστικὴ ἡ τοιαύτη κίνησις. πρὸς δὲ τὴν ἐξ ἀρχῆς οὐσίαν, παθητική. πρὸς δὴ ταῦτα ἀντιλέγοντες, ἄλλο φασὶν εἶναι τὸ ποιητικὸν αἴτιον, καὶ ἄλλο τὸ τελικόν. κἂν ἐν τοῖς αἰτίοις τὸ τελικὸν ὑπερέχουσαν ἀξίαν ἔχῃ, ἀλλ' ἐν τῷ ποιεῖν τὸ ποιητικὸν κυριώτερον. καὶ οὐδενὸς ἄλλου προσδεόμενον ἐν τούτῳ. ὅταν οὖν ποιοῦντί τι τοῦ τέλους διαμαρτάνῃ, κατὰ μὲν τὸ ποιητικὸν ἐν ἑαυτῷ αἴτιον, ποιεῖν ἂν λέγοιτο δικαίως. κατὰ δὲ τὴν ἁμαρτίαν τοῦ τέλους, πάσχειν ἂν εἰ παρὰ φύσιν διατίθοιτο. τάχα δὲ κατὰ τὴν τεῦξιν τοῦ τέλους, ὅταν κατὰ φύσιν διατίθηται, πάσχειν ἂν λέγοιτο καὶ οὕτως. οὐ γὰρ πᾶν πάθος δηλοῖ τὸ παρὰ φύσιν, ἀλλ' ἔστι τι καὶ κατὰ φύσιν. εἰ δὲ καὶ τὸ τέλος καὶ τὸ ἀγαθὸν ἐν ἑαυτῷ ἔχει ὥς φασι τὸ ποιεῖν λεγόμενον, καὶ οὗτος ὁ περὶ τοῦ ποιεῖν ἀποδοθεὶς λόγος, ἀραρὼς ἔσται ὅτι ποιεῖν ἐστὶ τὸ ἐν ἑαυτῷ τὴν αἰτίαν ἔχειν. μήποτε δὲ ἐπὶ τῶν ἁπλῶν, οὔτε διαιρεῖται τὸ ποιητικὸν καὶ τὸ τέλος, ἀλλ' εἰς ταὐτὸ συνδεδράμηκεν. εἰ δὲ διῄρηται, οὐδὲν ἄτοπον. κατὰ μὲν τὸ ποιητικὸν, ποιεῖν. κατὰ δὲ τὸ τέλος, πάσχειν. ὅταν δὲ τὸ τέλος ποιῇ, κατ' ἐκεῖνο ποιεῖν λέγεται. ὁ γοῦν ὑπὲρ πατρίδος ἀποθνήσκων, τὴν μὲν κατὰ τὸ τέλος ποίησιν καθ' ἣν σώζει τὸ κατὰ φύσιν καὶ κατὰ λόγον ταύτην, ἐνεργεῖ. καὶ ἔχει ἐν ἑαυτῷ τὴν αἰτίαν τῆς τοιαύτης ἐνεργείας, τῆς τὸ τέλος περιποιούσης τὸ οἰκεῖον. ἡ δὲ τοῦ τέλους μέθεξις, πεπόνθησις. ἀλλ' ὑφ' ἑαυτοῦ. τὴν μέντοι σωστικὴν καὶ τηρητικὴν ἑαυτοῦ ἐνέργειαν, οὐκέτι ἔχει ὅταν ἀποθνήσκῃ. ἀλλ' ἄλλος αἴτιος τοῦ ἀποθνήσκειν. διὸ καθὸ οὐκ ἔχει ἐν ἑαυτῷ τὴν αἰτίαν ἀλλ' ἐν ἄλλῳ, κατὰ τοῦτο πάσχει, ἀλλ' οὐ ποιεῖ. εἰ μὴ ἄρα ἑαυτὸν ὑπὲρ τῆς πατρίδος ἐπιδιδοὺς, αὐτὸς πάλιν τὸ ποιοῦν καὶ τὸ πάσχον κατ' ἄλλο καὶ ἄλλο. ποιοῦν καθόσον ποιεῖ, ἐν ἑαυτῷ τὸ αἴτιον ἔχει τοῦ ποιεῖν. πάσχον δὲ καθὸ πάσχει, ἐν ἄλλῳ. καὶ τὸν ἀδικοῦντα οὖν ὅταν πάσχειν τις λέγῃ, φθειρομένου τοῦ κατὰ λόγον ἐν αὐτῷ. κἂν ἀναιρῇ πάντας ἀνθρώπους, πολλαχῇ ἐν αὐτῷ θεωρεῖ. καὶ γὰρ ποιεῖ αὐτὸς ἐν ἑαυτῷ, τὴν τοῦ κατὰ λόγον φθοράν. εἴπερ ἑαυτὸν διαφθείροι. καὶ πάσχει δὲ ὡς ὑπ' ἄλλου ἑαυτῷ διαφθειρόμενος. καὶ μέντοι καὶ τὴν τῶν ἄλλων ἀναίρεσιν ποιεῖ. εἰ μέντοι ἐπ' ἄλλου γένοιτο ἀδίκως, ἐκεῖνος εἰς αὐτὸν ποιεῖ. οὗτος δὲ πάσχει μὲν ὑπὸ τοῦ ποιοῦντος εἰς αὐτόν. ποιεῖ δὲ εἰς τοὺς ἀναιρουμένους. καὶ τὸ πῦρ δὲ τὸ ἐν

τοῖς ζῴοις εἰ κάτω κινεῖται, καὶ ἡ γῆ ἄνω. πρὸς μὲν τὴν τεχνικὴν τοῦ δημιουργοῦ φησὶν ὁ Ἰάμβλιχος ἀρχὴν οὖσαν καὶ αὐτὴν ποιήσεως, ποιεῖ τοῦτο. πρὸς δὲ τὴν τῆς φύσεως αἰτίαν, εἴπερ παρὰ φύσιν κινεῖται, πάσχει τοῦτο. θαυμάζω δὲ ἐγώ, εἰ μὴ νῦν ὅπερ βούλεται ὁ Πλωτῖνος, καὶ ἡμεῖς λέγομεν. ὅτι τὰ μὲν κατὰ φύσιν, ἐν τῷ ποιεῖν ἐστι. τὰ δὲ παρὰ φύσιν, ἐν τῷ πάσχειν. ἴσως οὖν σαφέστερόν ἐστι λέγειν, ὅτι τοῦ πυρὸς ἡ ἐπὶ τὰ κάτω κίνησις, καὶ τῆς γῆς ἡ ἐπὶ τὰ ἄνω, πάθη εἰσὶν ἀπὸ τῆς δημιουργικῆς ποιήσεως ἐγγινόμενα. ἀλλὰ τελειωτικὰ καὶ ταῦτα ποιὰ τοῦ σωθέντος. παθητικὴν δὲ ποίησιν αὐτῶν τῶν στοιχείων, εἴ τις ἐπιζητεῖ, τὴν κατὰ τὸ εἶδος καὶ τὴν ἐν αὐτοῖς αἰτίαν ἐνεργοῦσαν, ταύτην ἀφοριζέσθω. διὸ κατὰ μὲν τὰς ἐνεργείας, καὶ ἔρρωται καὶ αὔξεται κατὰ τὰ πάθη, κἂν ἀπὸ δημιουργικῶν ᾖ λόγων ἐγγινόμενα. τοῖς μὲν συνθέτοις, εἰς τὴν σύστασιν τοῦ εἴδους συντελεῖ, εἰς ἣν καὶ ὁ δημιουργὸς βλέπει. αὐτὰ δὲ βιαζόμενα, φθίνει τε καὶ ἀμυδροῦται. καὶ αἱ ἐπὶ τῶν ζῴων δὲ αἱ ἀνοικείως φασὶ τῷ εἴδει γινόμεναι ὁρμαὶ καὶ κινήσεις ἀφιστάμεναι τῆς ποιητικῆς αὐτῶν ἀρχῆς, παρὰ φύσιν τε ἔχουσι, καὶ εἰς τὴν ἐναντίαν τῇ τοῦ ποιεῖν αἰτίᾳ μεθίστανται. διὸ καὶ ἐν τῷ πάσχειν αὐτὰς ῥητέον, τά τε ἄλλα. καὶ ὅτι ἡ μὲν τοῦ ποιεῖν ἀρχή, εἰς τὸ εἶναι αὐτὰς συνέχει. ταῦτα δὲ εἰς φθορὰν ἀποκλίνει. ἀλλ' εἰ τοῦτο, ἔσονται καὶ τούτων αἱ ἀρχαί, οὐκ ἐν ἑαυταῖς ἀλλ' ἔξωθεν. εἴπερ εἰσὶν ἐν τῷ πάσχειν. εἰ μέντοι ἔνδοθεν αἱ ἀρχαί, ποιήσεις καὶ ταύτας ῥητέον, κἂν ἀφίστανται τοῦ κατὰ φύσιν. εἰσὶ γὰρ καὶ φθαρτικαὶ ποιήσεις, ὥσπερ καὶ πείσεις τελειωτικαί. καὶ οὐ πᾶν τὸ ποιεῖν εἰς τὸ εἶναι ἄγει, ἀλλὰ καὶ εἰς τὸ μὴ εἶναι, εἴτε εἰς ἑαυτό τι ἐνεργεῖ, εἴτε εἰς ἄλλο. καὶ γὰρ τὸ παρὰ φύσιν ἔχον, ἀπὸ τῆς παρὰ φύσιν ταύτης διαθέσεως ἐνεργεῖ τινὰς ἐνεργείας, εἰ καὶ μὴ καθαράς, διότι πάθει συμμιγεῖς εἰσιν, εἰ καὶ ἀπὸ πεπονθυίας διαθέσεως προαγόμεναι. καὶ ἐπὶ τῶν ἔξωθεν δὲ κινούντων, ὅταν εἰς τὴν φύσιν κινῶσιν, ὥσπερ οἱ γεωργοὶ καὶ οἱ διδάσκαλοι. ἐπειδὴ ἡ ποιητικὴ ἀρχὴ τῆς φύσεως καὶ ἡ τῆς τέχνης, εἰς ταυτὸ συμπίπτουσι. καὶ δύο ἐνέργειαι συνέχονται. αἱ μὲν τῆς τέχνης, ὡς τέχνης ἔξωθεν ἔχουσαι τὴν ἀρχήν, πάθη γίνονται ἐν τῷ κατὰ φύσιν ἔχοντι. αἱ δὲ φυσικαὶ τῆς φύσεως ἔνδοθεν ἔχουσαι τὴν ἀρχήν, μένουσιν ἐν τῷ τῆς ἐνεργείας εἴδει. καὶ ὅταν δὲ ἡ τοῦ διδάσκοντος ἀκοὴ εἰσίῃ εἰς τὸν μανθάνοντα, ἡ μὲν ἀπὸ τῆς φωνῆς ἐνέργεια, τὸ διὰ τῆς ἀκοῆς πάθος σύζυγον ἔχει. καὶ οὕτως ἐπὶ τούτων τὸ ποιεῖν τῷ πάσχειν συνέζευκται. ἄλλης μὲν οὔσης τῆς κατὰ τὴν φωνὴν ἐνεργείας. ἄλλου δὲ τοῦ κατὰ τὴν ἀκοὴν πάθους. ὅταν δὲ τὸ ὑπὸ τῆς φωνῆς πάθος μηκέτι ἵστηται ἐν τῷ πάθει, ἀλλὰ προβάλλει ἀφ' ἑαυτῆς ἄλλην ἐνέργειαν τῆς ἀντιλήψεως, τότε ἄλλη ἀρχὴ μὲν τῆς δὲ ἑαυτοῦ ἐνεργείας ἡ γνώρισις τοῦ ἐκθέντος. εἰ δὲ ὁ δεξάμενος τὴν προτέραν ἐνέργειαν κατὰ πάθος, ἄλλην ποιεῖται ἐκ τοῦ πάθους ἐνέργειαν, οὐ διὰ τοῦτο χρὴ συνάπτειν αὐτὴν πρὸς τὴν προηγησαμένην τοῦ πάθους ἐνέργειαν, τὸ ἐν μέσῳ πάθος ἐκλείποντα. οὐδὲ τὴν ἀρχὴν τῆς δευτέρας ἐνεργείας ἐν τῷ διδάσκοντι θετέον, ἵνα ἐν ἄλλῳ φανῇ τῆς ποιήσεως ἡ αἰτία. ἀλλ' ὥσπερ ἐστὶ σύζυγον, τοῦ μὲν ἐν τῷ μανθάνοντι διὰ τῆς φωνῆς ἐν τῇ ἀκοῇ πάθους, ἐν ἄλλῳ ἡ αἰτία τῷ διδάσκοντι. τῆς μέντοι ἀντιλήψεως τὴν οἰκείαν ἀρχήν,

ἐν τῇ τοῦ μανθάνοντος ψυχῇ ὑποθετέον, ἐγειρομένην ἀπὸ τῶν ἐν τῇ ψυχῇ λόγων. ἵνα καὶ ἀληθῶς ἐπιγνῷ τὸ ῥηθὲν, καὶ οἰκείως αὐτὸ παραδέξηται, καὶ μὴ ἐν μόνῃ μείνῃ τῇ πληγῇ καὶ τῇ ἀκούσει. καὶ οὕτως ἡ τῆς ἐνεργείας ἀρχὴ ἐν αὐτῷ τινὶ ἔσται, καὶ οὐκ ἐν ἄλλῳ. ἀπὸ δὲ τῆς αὐτῆς ἐννοίας, καὶ ταῦτα ὁ Πλωτῖνος ἐπάγει. ἆρα ὅπου μὴ ἐνέργεια, πεῖσις δὲ μόνον, ταῦτα ἔσται ἐν τῷ πάσχειν. τί οὖν εἰ κάλλιον γίνοιτο τὸ πάσχον, ἡ δὲ ἐνέργεια τὸ χεῖρον ἔχοι, εἰ κατὰ κακίαν ἐνεργοίη τις καὶ ἄρχοι, εἰς ἄλλον ἀκολάστως. μόνως δὴ ταῦτα ἐν τῷ πάσχειν θήσομεν. καὶ εἴρηται μὲν ταῦτα, ἀπὸ τῆς ἐννοίας τοῦ πάσχειν καὶ ποιεῖν. σωστικὸν μὲν τὸ ποιεῖν, φθαρτικὸν δὲ τὸ πάσχειν λεγούσης. καὶ τὸ μὲν, κάλλιον. τὸ δὲ, χεῖρον. μάχεται δὲ τῇ συνηθείᾳ ἐνεργείας καὶ ποιήσεις, καὶ φαύλας παρὰ φύσιν λεγούσῃ. καὶ αὖ πάλιν πάθη τελειωτικὰ καὶ κατὰ φύσιν λογιζομένῃ. ἡ γὰρ ἁπλῶς ποίησις, οὐχ ἕν τι γένος ἐστὶν ἐνεργειῶν, ἀλλ' ὅσαι ποτὲ εἰσὶ διαφοραὶ τῶν ποιήσεων κατ' εἴδη διωρισμέναι, πᾶσαι περιέχονται ὑφ' ἓν τὸ ποιεῖν. ὡσαύτως δὲ καὶ ὑπὸ τὸ πάσχειν. ἔστι μὲν τελεσιουργὰ πάθη. ἔστι δὲ καὶ ἀτελῆ. καὶ τὰ μὲν, καλά. τὰ δὲ, αἰσχρά. καὶ τὰ μὲν, κατὰ φύσιν ἐν ἑκατέρῳ. τὰ δὲ, παρὰ φύσιν. εἰ δέ τις τὰ ἕτερα μόνον τῶν ἀντικειμένων ἐπ' αὐτῶν λαμβάνει, οὗτος ἐπὶ βραχὺ συστέλλει τὰ γένη ταῦτα. ὥσπερ ἂν εἴ τις ὅλην τὴν ποιότητα τὴν κατὰ φύσιν ἕξιν λέγοι μόνην. ἢ μόνην τὴν παρὰ φύσιν. ἀλλ' οὐδὲ πᾶν φησὶ τὸ ποιεῖν ἐπὶ ἑαυτοῦ, ἀλλὰ καὶ παρ' ἑτέρου. παρ' ἑαυτοῦ μὲν, τὸ ἀπόλυτον, ὡς τὸ βαδίζειν. καὶ τὸ ὀρθὸν, ὡς τὸ τύπτειν. παρ' ἑτέρου δὲ, ὡς τὸ ὀρέγεσθαι. ὅταν γὰρ τὸ ὀρεκτὸν φησὶ βιάζηται τὴν ἐπιθυμίαν, τί διαφέρει τοῦ πεπλῆχθαι, ἢ ὠσθέντος κατενεχθῆναι. ἐν δὲ τούτοις τὰς ὀρέξεις ἐνεργείας οὔσας, οὐκ ἀφ' ἑαυτῶν, ἐκ δὲ τοῦ ὀρεκτοῦ φησὶν ὁρμᾶσθαι. καίτοι γε ἀφ' αὐτῶν εἰσὶν ὡρμημέναι. τὸ δὲ ὀρεκτὸν, ἄλλως προηγεῖται. οὐ μοχλεῦον, οὐδὲ ὠθοῦν τὴν ὄρεξιν, ἀλλὰ προκαλούμενον αὐτὴν τῇ ἐπιτηδειότητι. καὶ γὰρ ἄτοπον τοιαύτην εἶναι τὴν ὄρεξιν ἐπὶ τῆς αὐτοκινήτου ψυχῆς, ἢ ἀκινήτου κατὰ Ἀριστοτέλην. εἰ μέντοι πάθημά ἐστιν ἡ ὄρεξις ὡς αὐτός φησιν, οὐδὲν ἄτοπον εἰ ἔξωθεν ἔχοι τὸ κινοῦν. καίτοι ἄτοπον τὸ ἀπροαίρετον εἰσάγειν ὄρεξιν, καὶ οὐκ ἐξ αὐτῆς ἔχουσαν τὴν ἀρχήν. πολὺ δὲ ἀτοπώτερον τὴν τοιαύτην ὑποτάττειν τὸ ποιεῖν. περὶ μὲν τοῦ ποιεῖν, τοσαῦτα πρὸς τὸν Πλωτῖνον ἀντείρηται. περὶ δὲ τοῦ πάσχειν, ἐφεξῆς ῥητέον. ἐπειδὴ καὶ αὐτὸς ὁ Πλωτῖνος ἰδίᾳ ἀπολαβὼν αὐτὸ σκοπεῖ. μήποτε γὰρ οὐδὲ ἣν φησὶ τὸ παρ' ἑτέρου χαρακτηρίζει τὸ πάσχειν. ἔστι γάρ τι καὶ παρ' ἑαυτοῦ, καὶ οὐ πᾶν παρ' ἑτέρου. παρ' ἑαυτοῦ μὲν, τὸ σήπεσθαι. παρ' ἑτέρου δὲ, τὸ τύπτεσθαι. καὶ οὕτως οὐδὲν διαφέρει τοῦ ποιεῖν. εἴπερ καὶ ἐκεῖνο παρ' ἑαυτοῦ ἦν καὶ παρ' ἑτέρου. ἀλλ' εἴρηται πρότερον, ὅτι οὐδὲ ἐπὶ τοῦ ποιεῖν τὸ παρ' ἑτέρου προστίθεσθαι δεῖ. οὔτε ἐπὶ τοῦ πάσχειν τὸ παρ' ἑαυτοῦ. καὶ περὶ τῆς σήψεως ὅπως ἔξωθεν ἐστὶ, πρότερον εἴρηται. ἀλλ' ὅταν φησὶ, μηδὲν συμβαλλόμενον αὐτὸ ὑπομένῃ ἀλλοίωσιν τὴν μὴ εἰς οὐσίαν ἄγουσαν, ἤ τις ἐξίστησιν αὐτὸ πρὸς τὸ χεῖρον ἢ μὴ, πρὸς τὸ βέλτιον τὴν τοιαύτην ἀλλοίωσιν πεῖσιν εἶναι. τοῦτο δὲ οὔτε διδάσκει τὴν αἰτίαν τοῦ πάθους ὅ τε τοὐναντίον ἢ βούλεται συνάγει. εἰ γὰρ μηδὲν αὐτὸς συμβάλλεται εἰς τὸ πάσχειν, ἢ ἐν αἰτίῳ ὂν ἔσται τὸ πάθος, ἢ ἀπ' ἄλλου τινὸς ἔξωθεν. καὶ τῶν ἐν αὐτῷ δὲ ὄντων,

τὰ μὲν, ποιεῖ· τὰ δὲ, πάσχει. καὶ οὕτως ἔσται ὥσπερ ἀπ᾽ ἄλλου τὸ πάθος. Πῶς δὲ δεῖ, φησὶν Ἰάμβλιχος, μὴ ἄγειν εἰς οὐσίαν τὰ πάθη, εἴπερ ἡ ζημία τῶν παθῶν καὶ εἰς οὐσίαν προάγει, ὅσα ἐστὶ γενεσιουργά. Μήποτε δὲ τοῦτο οἰκειότερόν ἐστι τῷ πάθει. εἰ γὰρ δεῖ προϋπάρχειν τὴν οὐσίαν τὴν δεχομένην τὸ πάθος, οὐκέτι ἦν οὐσιοποιὸν τὸ πάθος, ὥσπερ οὐδὲ ἡ ἀλλοίωσις. ἴδιον ἀλλοιώσεως δὲ εἶπεν ὑπομένειν τὸ πάσχον, τὴν μὴ εἰς οὐσίαν ἄγουσαν. ἀλλὰ πῶς πρὸς τὸ χεῖρον, ἢ μὴ πρὸς τὸ βέλτιον δοκιμάζομεν τὰ πάθη συντελεῖν, ὅταν ζημία αὐτῶν τὸ κάλλιον ἐν ἡμῖν ἀπεργάζηται. ὃ ἐπειδὴ καὶ αὐτὸς ὁ Πλωτῖνος ἠπόρησε πρὸς τοῦτο, ἴδωμεν τί πρὸς ἑαυτὸν ἀντιτίθησιν. ἀλλ᾽ εἰ κάλλιον ὁ χαλκὸς ἀπὸ τοῦ θερμαίνεσθαι, οὐδὲν κωλύει τὸ πάσχειν. διττὸν γὰρ εἶναι τὸ πάσχειν. τὸ μὲν, ἐν τῷ χεῖρον γίνεσθαι. τὸ δὲ, ἐν τῷ βέλτιον, ἢ οὐδέτερον. καὶ δῆλον ὅτι πρότερον μὲν, ἐν τῷ χεῖρον γίνεσθαι τὸ πάσχειν ἐτίθετο. ἐνταῦθα δὲ, ἐνδίδωσιν εἶναί τινα πάθη καὶ πρὸς τὸ βέλτιον ἄγοντα. τεθείσης δέ φησιν Ἰάμβλιχος τῆς ἐπ᾽ ἄμφω ῥοπῆς ἐν τῷ πάσχειν, οὐκ ὀρθῶς ἐπήχθη τὸ ἢ οὐδέτερον. μαχομένως γὰρ λέγεται πρὸς τὴν ὑπόθεσιν τὴν τοῦ ποιεῖν καὶ πάσχειν. εἴπερ τὸ μὲν, ἐν τῷ κατὰ φύσιν καὶ βέλτιον ἐτίθετο. τὸ δὲ, ἐν τῷ παρὰ φύσιν καὶ χεῖρον. καὶ γὰρ εἰ ὅμοιον γίνοιτο τὸ πάσχον, οὐδὲ χεῖρον δηλονότι οὐδὲ βέλτιον γενήσεται. ὥστε οὐδέτερον. ἔστι δὲ καὶ διάφορον γίνεσθαι, τὴν κατὰ τὸ χεῖρον ἢ βέλτιον σύγκρισιν μὴ ἔχον. ὥσπερ ὅταν ἐρυθρὸν ἐκ φαιοῦ γίνηται. ἀλλὰ καὶ πρὸς τὸ μὴ εἰς οὐσίαν ἄγειν τὰ πάθη, ἀπορεῖ ὁ Πλωτῖνος. εἰ γὰρ τὸ θερμαίνεσθαι φησὶ θερμότητα ἐστὶν ἴσχειν, εἴη δὲ τὸ θερμαίνεσθαι τὸν χαλκόν, τοῦ μὲν ἀνδριάντος εἰς τὴν οὐσίαν συντελοῦν, τοῦ δὲ χαλκοῦ οὐκέτι, εἴη ἂν τὸ αὐτὸ πάσχειν τε καὶ μὴ πάσχειν. εἴπερ τὸ πάσχειν ἦν, τὸ μὴ εἰς οὐσίαν συντελεῖν. πρὸς δὲ τοῦτο φησὶν ὁ Ἰάμβλιχος, ὅτι καλῶς εἴληπται ὁ τοῦ πάσχειν ὁρισμός, κατὰ τὸ μὴ εἰς οὐσίαν συντελεῖν. εἴτε γὰρ εἰς οὐσίαν συντελεῖ, εἴτε εἰς ἀλλοίωσιν, εἴτε εἰς ἄλλο ὁτιοῦν τὸ θερμαίνεσθαι, ἐν ἑνὶ τῷ πάσχειν ἐστί. μήποτε δὲ τὸ μὲν μὴ εἰς οὐσίαν συντελεῖν τὸ πάθος καλῶς εἴρηται, δι᾽ ἣν καὶ πρότερον εἶπον αἰτίαν. ἐνταῦθα δὲ, ὁ μὲν χαλκός, θερμαίνεται, καὶ πάσχει θερμαινόμενος. ὁ δὲ ἀνδριάς, κατὰ συμβεβηκὸς θερμαίνεται, διότι χαλκοῦς ἐστιν. οὐδὲ τοῦτο Ἰάμβλιχος ἀποδέχεται, ὥσπερ γίνεσθαι τὸ πάσχειν τῷ ἔχειν ἐν ἑαυτῷ κίνησιν τὴν ἀλλοίωσιν τὴν κατὰ τὸ ἀλλοιοῦσθαι ὁπωσοῦν. οὐ γὰρ τὴν κατὰ ἀλλοίωσιν μόνην κίνησιν φησὶν ἐν τῷ πάσχειν θετέον, ἀλλὰ καὶ ἄλλας πλείονας. καὶ γὰρ καὶ τὸ αὐξανόμενον, πάσχειν ἂν λέγοιτο. καὶ τὸ κατὰ τόπον κινούμενον. ὡς δὲ Ἰάμβλιχος φησί, καὶ τὸ εἰς οὐσίαν ἀγόμενον. ἔτι δέ φησιν ὁ Πλωτῖνος κινδυνεύει ἄμφω πρός τι εἶναι, ὅσα τῷ ποιεῖν πρὸς τὸ πάσχειν. οὗτος κινεῖ, καὶ οὗτος κινεῖται, καὶ δύο κατηγορίαι ἑκάτερον, τό, τε πρός τι, καὶ τὸ ποιεῖν ἢ τὸ πάσχειν. καὶ οὕτως δίδωσι τῷ δὲ κίνησιν, ὥσπερ οὗτος λαμβάνει. ὥστε δόσις καὶ λῆψις. καὶ πρός τι. εἰ δ᾽ ἔχει ὁ λαβών, ὥσπερ λέγεται ἔχειν χρῶμα, διὰ τί οὐκ ἔχει κίνησιν. καὶ μήποτε καὶ τῇ τοῦ ἔχειν κατηγορίᾳ ὑποτάσσεται. οὐ τὰ πρὸς ἄλληλα μόνον, ἀλλὰ καὶ τὰ ἀπόλυτα. καὶ γὰρ καὶ ἡ ἀπόλυτος κίνησις ἡ τοῦ βαδίζειν, ἔχει βάδισιν. πρὸς δὲ ταῦτα ῥᾴδιον λέγειν, ὅτι οὕτως πάντα ἔσται τοῦ ἔχειν, ἐπειδὴ ἐν τῷ μετέχεσθαι θεωρεῖται. ὅ, τε γὰρ λευκός, ἔχει λευκότητα.

καὶ τὸ δίπηχυ, ποσὸν δὲ μέγεθος. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ἀλλ' ἕκαστον ἔχει καθὸ λέγεται, κατὰ τοῦτο ἀνάγειν ἐπὶ τὸ γένος. τὸ δὲ πρός τι, πολλάκις εἴρηται. ὅτι αὐτὸ καθ' αὑτὸ κατὰ μόνην θεωρούμενον τὴν σχέσιν, ἐν ταῖς ἄλλαις κατηγορίαις ἔχει τὸ εἶναι. σχέσις γὰρ καθ' ἑαυτὴν οὐκ ἔστιν. ὥσπερ ἐν τῇ οὐσίᾳ τὸ πρός τι, κατὰ τὸ πατὴρ καὶ υἱός. καὶ ἐν τῷ ποιῷ, κατὰ τὸ ὅμοιον καὶ ἀνόμοιον. καὶ ἐν τῷ ποσῷ, κατὰ τὸ ἴσον καὶ ἄνισον, οὕτως καὶ ἐν τῷ ποιεῖν καὶ πάσχειν, κατὰ τὸ τύπτειν καὶ τύπτεσθαι. καὶ οὐδὲν ἄτοπον τὸ αὐτὸ ὑπὸ δύο κατηγορίας εἶναι. κατά τε τὴν καθ' ἑαυτὰ ὑπόστασιν, καὶ κατὰ τὴν πρὸς ἄλληλα σχέσιν. μετὰ δὲ τὰς τοιαύτας ἀπορίας τε καὶ λύσεις, ἐπὶ τὴν θεωρητικωτέραν τε χρυσολογίαν μετελθὼν ὁ Ἰάμβλιχος, καὶ περὶ τοῦ ποιεῖν καὶ πάσχειν, τίνα τε ἔχει καθ' αὑτὰ ὑπόστασιν, καὶ ὅπως συνήρμοσται πρὸς ἄλληλα, καὶ ἐπὶ ποῖα καὶ τίνα διατείνει ἑκάτερον. ἄρχεται δὲ ἀπὸ τῆς Πλάτωνος περὶ τοῦ ποιεῖν ἐννοίας. ὃς τὸ ποιοῦν τῷ αἰτίου ὀνόματι διαφέρειν φησί. καὶ ὅτι μὲν τὸ ποιητικὸν αἴτιον τὸ ποιοῦν ἐστι, πρόδηλον. πῶς δὲ οὐχὶ τινὸς αἰτίας, ἀλλὰ τοῦ αἰτίου ἁπλῶς, οὐδὲν διαφέρειν φησὶ τὸ ποιοῦν. ἢ ὅτι κυρίως αἴτιον τὸ ποιοῦν ἐστιν. ὕλη μὲν γὰρ καὶ εἶδος, συναίτια μᾶλλον ἐστιν, ἀλλ' οὐκ αἴτια. τὸ δὲ παράδειγμα καὶ τὸ τέλος, οὐ τοῦ ἀποτελέσματος. προσεχῶς δέ. ἀλλὰ τῷ ποιοῦντι τοῦ ποιεῖν ὄντα αἴτια, πρός τι ἂν λέγοιτο τοῦ γενομένου κυρίως. τὸ οὖν ποιοῦν ἂν εἴη τὸ μάλιστα αἴτιον. ὥστε ἀκριβεῖ λόγῳ ἡ περὶ τοῦ ποιεῖν θεωρία, περὶ αἰτίου ἐστίν. ὅσα οὖν τὰ αἴτια καὶ ὁποῖα καὶ ὅσα ἔχει διαφέροντας τρόπους, καὶ τίνα μὲν αὐτῶν πρῶτα, τίνα δὲ δεύτερα καὶ τρίτα, πάντα ταῦτα, καὶ ἐπὶ τὸ ποιεῖν οἰκείως μετενεκτέον. πάλιν τοίνυν. ἐπειδὴ αἱ μὲν, τῶν ἀσωμάτων αἰτιῶν εἰσὶν ἐνέργειαι, ἤτοι τῶν καθ' αὑτὰ κεχωρισμένων, ἢ τῶν ἐν τῷ κόσμῳ ὑπαρχόντων, καὶ ἀχωρίστων τοῦ παντὸς, ὥσπερ αἱ τοῦ οὐρανοῦ εἰς ἅπαντα τὰ ὑπὸ σελήνην γιγνόμενα. αἱ δὲ, τῆς φύσεως κατὰ τοὺς οἰκείους λόγους. αἱ δὲ, τῶν μεριστῶν εἰδῶν, διήκει καὶ διὰ τούτων ὅλων τὸ ποιεῖν, καὶ ἡ περὶ αὐτοῦ θεωρία. καθ' ἕτερον δὲ διορισμόν, ἐπειδὴ τῶν ἐνεργειῶν, αἱ μὲν, εἰσὶ καθαραὶ καὶ ἄμικτοι πρὸς πάντα τὰ ἄυλα γένη. αἱ δὲ, σύμμικτοι πρὸς τὰ ἄλλα. αἵτινες καὶ τὴν συμπλοκὴν ποιοῦνται πολυειδῶς. αἱ δὲ, ἐσχατιοῦσαι πρὸς τὰ παθήματα ἐπικοινωνοῦσιν, ἔσται καὶ τοῦ ποιεῖν ἀρχή τε καὶ μέσα καὶ τέλη, κατὰ πάσας τὰς τοιαύτας διαφοράς. ἐπεὶ δὲ τῶν ποιούντων, τὰ μὲν, ἐστὶ γεννητικά. τὰ δὲ, εἰδοποιά. τὰ δὲ, τελεσιουργά. καὶ τούτων τὰ μὲν, ἑνωτικά. τὰ δὲ, διακριτικά. τὰ δὲ, ἄλλην τινὰ ἔχοντα ἐν τοῖς οὖσι ποίησιν, ἔσται καὶ κατὰ πάντων τούτων τὸ ποιεῖν κυρίως λεγόμενον. ἔτι δὲ, τὰ μέν ἐστι φυσικά, ὡς τὸ θερμαίνειν. ψύχειν. τὰ δὲ, τεχνικά, οἷον, ἰατρεύειν. τεκταίνειν. καὶ τὰ μὲν, πεπερασμένα, ὡς τὰ ἐν ταῖς τέχναις. τὰ δὲ, ἄπειρα καὶ ἀκατάπαυστα, ὡς ἐπὶ τῶν θείων ποιήσεων καὶ τῶν οὐρανίων. εἴπερ ἀΐδιος ὁ κόσμος ἐστίν. ἀλλὰ καὶ εἰ τῷ εἶναί τινα ἀπεργάζοιτο, ὥσπερ ὁ ἥλιος τῷ εἶναι φωτίζει. εἴτε τῷ νοεῖν ποιεῖ, ὥσπερ ὁ τοῦ κόσμου νοῦς. εἴτε τῷ λογίζεσθαι, ὥσπερ ἡ τοῦ παντὸς ψυχή. καὶ ταῦτα πάντα ἐν τῷ ποιεῖν ἐστίν. ἀλλ' οὐδὲ ὅσαι ἐν αὑτοῖς εἰσὶν ἐνέργειαι καθ' ἑαυτὰ καὶ πρὸς ἑαυτά, ὥσπερ τῶν ἀΰλων καὶ χωριστῶν νοήσεων. οὐδὲ ὅσαι δι' ἑτέρων ἐνεργοῦνται,

ὥσπερ διὰ τῆς ψυχῆς, ἢ διὰ τῶν σωμάτων, ἢ διὰ τῶν σωματικῶν δυνάμεων, οὐδὲ αὗται ἐκ τῆς ἁπλουστέρας εἰς τὸ ποιεῖν συντάξεως. ὡσαύτως δὲ καὶ τὰ εἰς ἄλλα ἐνεργοῦντα, καὶ μηδενὸς ἑτέρου προσδεόμενα ἐνεργήματα. καὶ τὰ εἰς ἕτερον ἐνεργοῦντα. καὶ τὰ εἰς αὐτά τε ὁμοῦ καὶ εἰς ἕτερα. καὶ τὰ προηγουμένως μὲν εἰς ἑαυτά, ἔχοντα δὲ κατὰ δεύτερον λόγον καὶ τὴν πρὸς ἄλλα ἐνέργειαν. καὶ ταῦτα ἂν ἐν τῷ ποιεῖν περιέχοιντο. ἀλλὰ δὴ καὶ περὶ πάντα τὰ εἴδη τῶν κατηγοριῶν κατὰ τὴν προοῦσαν διαίρεσιν διατέτακται τὸ ποιεῖν. περὶ μὲν τὴν οὐσίαν, ἐν τῷ εἰς οὐσίαν ἄγειν τὸ γινόμενον. περὶ δὲ τὴν ποιότητα, ἐν τῷ εἰς ποιότητα ἄγειν τὸ ἀλλοιούμενον. περὶ δὲ τὸ ποσόν, ἐν τῷ μεγεθύνειν ἢ μειοῦν. καὶ ἐπὶ τῶν ἄλλων γενῶν ὡσαύτως ἐστί, τοῦ ποιεῖν ἡ ἐπὶ πάντων διήκουσα αἰτία. εἰ δὲ δεῖ συλλήβδην τὸ γένος τοῦ ποιεῖν ἑνὶ λόγῳ συλλαβεῖν, νοήσωμεν κατὰ πάντα τὰ ὄντα ὅσα ποτέ ἐστι καὶ ὁποῖα, τὰς τελειοτάτας ἐνεργείας πανταχοῦ, προηγουμένας τὰς ὅτι μάλιστα ἀπηλλαγμένας πάντος τοῦ δυναμένου. τούτων δὲ τὰς γινομένας καὶ καθ' ἑαυτὰς μονοειδεῖς, εἰ οὕτως ἂν ἀρχηγικωτάτας εἴποιμεν ἐν τῷ ποιεῖν. αὗται γὰρ ἀφ' ἑαυτῶν ἔχουσι τὸ ἐνεργεῖν καὶ ποιεῖν, καὶ ἀπὸ μιᾶς αἰτίας πᾶν αὐτὸ προάγουσιν. ἀμερίστως τε παρέχουσι τοῖς μετ' αὐτὰ τεταγμένοις, καὶ συνέχουσιν αὐτὰ μονοειδῶς. καὶ δυνατώτατα αὐτὰ καὶ αὐταρκέστατα ἀπεργάζονται. ἅπερ καὶ αἱ ἐν τούτοις ἐνέργειαι, ὅταν ἱκανῶς ἔχωσι καὶ τελείως ἀπομιμοῦνται, πλήρωσίν τινα ἀπ' ἐκείνων δεχόμεναι. περὶ μὲν οὖν τοῦ ποιεῖν, τοσαῦτα. δεῖ δὲ καὶ τοῦ πάσχειν κατὰ τὸν αὐτὸν τρόπον τὸ παντελὲς περιλαβεῖν. τοῦτο δὲ ἐναντίωσιν μὲν πρὸς τὸ ποιεῖν οὐκ ἔχει καίτοι μάλιστα ἀντιθέτοις χρῆται φωναῖς. ὡς δὲ συνεζευγμένον αὐτὸ ταῖς κατιούσαις ἀπὸ τῶν ποιούντων ἐνεργείαις, συνθεωρεῖν ὀφείλομεν. ὅταν οὖν αἱ ἐνέργειαι προϊοῦσαι ἐπὶ τὰ ἐκτός, μετὰ σχέσεως δύνανται καθομοιοῦν πρὸς ἑαυτὰ τὰ δυνάμενα αὐτῶν μετέχειν. οὐ κατὰ τὴν ἐνέργειαν, ἀλλὰ κατὰ τὴν ἀδιάδοχον τοῦ ἐνεργήματος κίνησιν, τότε αἱ κινήσεις αὗται τὸ κοινὸν τοῦ πάθους χαρακτηρίζουσι γένος. κατ' ἄλλην δὲ ἀφορμήν, πᾶσα κίνησις καὶ γένεσις ἡ ἐν τῷ παντί. τὸ μέν, ἔχει κινητικόν, καὶ γενεσιουργόν. τὸ δέ, κινούμενον καὶ γινόμενον, καὶ ὡς ἐναποτέλεσμα τοῦτο τὰ ἔξωθεν θεωροῦμεν. εἰ τοίνυν τὸ δι' ὅλων τούτων διῆκον γένος ἐν παντὶ τῷ κόσμῳ, καὶ καθ' ὅλας τὰς κινήσεις τῷ λογισμῷ περιλάβοιμεν, εὕροιμεν ἂν τὸ πάσχειν, ὅσον ποτέ ἐστι καὶ ὁποίαν ἔχει τὴν δύναμιν. ὅλως δὲ τὸ ἐπίκτητον τὸ πᾶν, καὶ παρ' ἄλλου ἐπείσιον, καὶ μηδαμῶς ἑαυτοῦ ὄν, ἀλλ' ἄλλου, καὶ συνακολουθοῦν ταῖς τοῦ προηγουμένου ἐνεργείαις, καὶ ὑπ' ἐκείνων τρεπόμενον, εἰ οὕτως ἂν ἐν τῷ πάσχειν τεθείη. ἔτι δὲ τὸ ἀντικείμενον τῷ εἴδει, καὶ τὸ ὡς ὑλικὸν ὑποκείμενον μορφῆς τε μεταλαμβάνον, καὶ δύναμιν ἔχον τοῦ τελειοῦσθαι. καὶ τὸ ὑποδεχόμενον πάντα ἐν ἑαυτῷ. καὶ τοῦτο ἂν κοινόν τι τοῦ πάθους εἴη γνώρισμα. εἰ δὲ καὶ τὴν ὑπὸ σελήνην τις τῶν ὑλικῶν στοιχείων σύστασιν ὡς παθητὴν ὑποτιθείη πρὸς τὴν ποιητικὴν τοῦ οὐρανοῦ αἰτίαν, καὶ οὕτως ἂν ἔχοι τι δεικνύναι κοινὸν ἐν τῷ παντὶ καὶ ἐν ἑνὶ εἴδει τῷ ποιοῦντι, καὶ τὸ πάσχειν δύνατον θεωρεῖν. καὶ γὰρ ἡ φύσις ποιοῦσα εἰς ἑαυτήν, καὶ ὑφ' ἑαυτῆς πάσχει. καὶ καθὸ μὲν τοῖς λόγοις ἐπιτίθησι

τοῖς γινομένοις, ποιητικὴν αὐτὴν ἀφοριζόμεθα. καθὸ δὲ τὴν διακόσμησιν τῶν λόγων
τοῦ τε ἄλλη παρ' ἑαυτῆς ὑποδέχεται, πάσχειν εἰκότως λέγεται. καὶ ἐπὶ τῆς ψυχῆς δὲ καὶ
μὴ οὕτως, ἀλλ' ὅμως καὶ ἐπὶ ταύτης διῄρηται πολὺ τὸ παθητικόν. καθ' ἑτέραν δὲ
αὖθις ἀναλογίαν, ἔτι ἐπὶ τοῦ λόγου καὶ ἐπὶ τοῦ τῆς ψυχῆς νοῦ θεωρεῖται, ὅσῳ καὶ τὸ πά-
θος ὑποδοχὴ τῶν τελειοτέρων νοήσεων. καὶ ὅλως ἐν πᾶσιν ἐν οἷς τὸ μὲν ἐστι, τελειό-
τερον. τὸ δὲ, ἀτελέστερον. καὶ τὸ μὲν, ἐναποτίθεται τὴν τελείωσιν. τὸ δὲ, ὑποδέ-
χεται ταύτην. θεωρεῖται τις ἀναλογία πάθους, καθ' ἣν τὸ μὲν, ἐμποιεῖ τὸ τέλει-
ον εἶδος. τὸ δὲ, δέχεται τοῦτο ἐν ἑαυτῷ. ἀεὶ μέντοι ἀπ' ἄλλων ἐνδίδοται ἡ τοιαύτη
μετουσία τοῦ πάθους. κἂν ποτε δοκῇ ἀφ' ἑαυτοῦ τι πάσχειν, οὐκ ὀρθῶς ὑπολαμβά-
νεται τὸ τοιοῦτον. οὐ γὰρ κατὰ ταὐτὸν τῶν ἐν ἑαυτῷ πάσχει τε, καὶ τὴν αἰτίαν ἑαυτῷ
παρέχει τοῦ πάσχειν. ὥστε καὶ οὕτως ἀφ' ἑτέρου γίνεται τὸ πάθος. ἡ μὲν γὰρ δρα-
στήριος ἐνέργεια, δύναται καὶ ἑαυτῆς εἶναι αἰτία, καὶ ἀφ' ἑαυτῆς ἄρχεσθαι. τὸ δὲ πά-
θος ἀτελὲς ὂν πάντῃ, οὐ πέφυκε πρὸς τὴν ἑαυτοῦ γένεσιν ἐξηγεῖσθαι. εἰ γὰρ τὸ ἀφ'
ἑαυτοῦ τὴν αἰτίαν τοῦ ἐνεργεῖν ἔχον τὸ ποιητικόν ἐστι, τὸ πάσχον ἀπολειπόμενον
πάσης αἰτίας, οὐδὲ τὴν τοῦ πάσχειν αἰτίαν ἐν ἑαυτῷ ἔχει. οὐδὲν οὖν ἔσται πάθημα
ἀπόλυτον, ὥσπερ ἦν ἀπόλυτον ἐνέργημα τὸ βαδίζειν. καὶ τοῦτο εἰκότως. τὰ μὲν γὰρ
κρείττονα, ἀπολελυμένα τῆς πρὸς ἕτερα σχέσεως, αὐτάρκη καθ' ἑαυτὰ καὶ ἐν ἑαυτοῖς
ὑπάρχει. τὰ δὲ χείρονα, δεῖται τῶν κρειττόνων πρὸς τὸ ὑποστῆναι. καὶ ἐν τῷ ἐξηρ-
τῆσθαι ἐκείνων, καὶ παρ' αὐτῶν δέχεσθαι τινὰ μετουσίαν, τοῦ εἶναι μεταλαμβάνει.
ἔχει οὖν ὁμοίως τοῖς ἐπὶ τοῦ ποιεῖν διατάττεσθαι. ὅτι καὶ τῶν παθημάτων, τὰ
μὲν ἐστιν ἀπόλυτα. τὰ δὲ, ὕπτια. ἀεὶ γὰρ συνήρτηται τοῖς ποιοῦσι τὰ πάσχοντα.
ἐπεὶ δὲ διάκρισιν ἀρχύτας τοῦ πάθους καὶ τοῦ πεπονθότος καὶ τοῦ ποιήματος καὶ
παθήματος παραδέδωκεν, ἄξιον ἐστὶ μὴ δὲ ταύτην παραλιπεῖν ἀνεξέταστον. λέγει δὲ
» ὧδε. τὸ δὲ πάθος τοῦ πεπονθότος διαφέρει. πάθος μὲν γὰρ γίνεται μετὰ αἰσθήσεως.
» οἷον, θυμός. ἀδονά. φόβος. πεπονθέναι δὲ δύναταί τι καὶ ἄνευ αἰσθήσεως. οἷον ὁ κη-
» ρὸς τακεὶς, καὶ ὁ πηλὸς ξηρανθεὶς. ὁμοίως δὲ καὶ τὸ ποίημα τοῦ πεπονθότος. τὸ μὲν
» γὰρ ποιηθὲν, καὶ πεπονθέναι πως. τὸ δὲ πεπονθὸς, οὐκ εὐθέως πεποίηται. δύναται γὰρ
» πεπονθέναι τι καὶ κατὰ τὴν ἔνδειαν καὶ κατὰ στέρησιν. ἐν δὲ τούτοις, πάθος μὲν ὁ ἰάμβλιχος
ἀκούει, τὸ μετὰ αἰσθήσεως καὶ ἀντιλήψεως, ἐν τῷ ἀλλοιοῦσθαι τὰ μένοντά τε τῆς
ψυχῆς καὶ τῶν ζώων, καὶ εἴ τινα τούτων ἐστὶν ἀνωτέρω μετὰ συναισθήσεως καὶ ἄλλης τι-
νὸς παρακολουθήσεως γινόμενα πάθη περιέχον, ὥσπερ καὶ ἀντιτίθεσθαί φησι τῷ πρώ-
τῳ γένει τοῦ ποιεῖν. ὡς γὰρ ἐκεῖνο ἐν τῷ θεωρεῖν προετάττετο, οὕτως τοῦτο ἐν τῷ πά-
σχειν μετὰ τῆς οἰκείας γνώσεως ὑποτίθεται, ἣν καλεῖ συναίσθησιν. διαιρεῖται δὲ
τοῦτο κατὰ τὰ εἴδη τῆς συναισθήσεως πολυειδῶς. καὶ γὰρ ταῖς δυνάμεσι τῆς ἐν τῇ ψυχῇ
ζωῆς παρακολουθούσης, παραδίδοσθαι χρὴ καὶ ταῖς τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων
αἰσθήσεσι τὴν ἐπιβάλλουσαν ἀποδίδοσθαι χρή. καὶ ἐπὶ τῶν ἀμυδρὰν ἐχόντων φυσικὴν
ἀντίληψιν τοῦ πάσχειν, ἐσχάτην τινὰ τίθεσθαι δεῖ συναίσθησιν. καὶ οὕτως φησὶν ὅλον ἡ

μὲν τοῦτο τὸ γένος τοῦ πάσχειν, παρ' ἐκείνου τὸ πρῶτον τοῦ ποιεῖν γένος εἴληφε τὴν ἀντίθεσιν. τὸ δὲ πεπονθὸς φησὶν εἶναι, ὅπερ ἐν μὲν τῷ γίνεσθαι, οὐ συνεμφαίνει τὸ πάθος. μετὰ δὲ τὸ γεγονέναι, ἔνδηλος αὐτοῦ γίνεται ἡ ῥοπή, ὥσπερ τὸ τετηκέναι τὸν κηρὸν, ἢ τὸν πηλὸν ἐσκληρᾶνθαι. διόπερ καίτοι διὰ πάθους ὁδεῦσαν, καὶ τοῦτο ὁμοίως κατὰ τὸ πεπονθέναι αὐτὸ χαρακτηρίζει. ἔστι δὲ τοῦτο τὸ ἄνευ αἰσθήσεως πάντα περιέχον. οἷά τέ ἐστιν ἐν τῇ φύσει παθήματα, καὶ ὅσα ἐν τοῖς φυσικοῖς στοιχείοις, ἔν τε τοῖς συνθέτοις καὶ τοῖς ἁπλοῖς σώμασιν, αἱ ἀπαρακολούθητοι γίνονται ἀλλοιώσεις. πᾶσαι αὗται, κατὰ τὸ πεπονθέναι χαρακτηρίζονται. γένοιντο δὲ ἂν καὶ τούτων πολυειδεῖς διαιρέσεις, εἴτε τὰ τεμνόμενα, καὶ αὐξανόμενα, καὶ ἀλλοιούμενα, καὶ ἄλλως πολλαχῶς ἐν τῷ πεπονθέναι θεωρούμενα, καθόσον ἐστὶ σώματα ἐννοεῖν ἐθέλοιμεν. ἀντιτίθεται δὲ τοῦτο τὸ γένος πρὸς τὰς τῶν ἀψύχων ποιήσεις. τὸ δὲ ποίημα τοῦ πάθους, διαφέρειν φησὶν, οὐχ ᾗ τινὲς οἴονται. τῷ τὸ μὲν, ἀπ' ἄλλου ἐνεργήσαντος γίνεσθαι. τὸ δὲ, οὐδαμῶς. οὐ γάρ ἐστι τι ὅλως πάθος ἀφ' ἑαυτοῦ. ἀλλ' ἐπεὶ τὰ ποιήματα εἰς οὐσίαν συντελεῖ, τὰ τούτοις ἀντιδιαστελλόμενα παθήματα, εἰς οὐδὲν ἀποτέλεσμα ἀποτελευτῶντα, ἐξίστησιν ἀπὸ τοῦ εἶναι. διττῆς δὲ οὔσης τῆς οὐσίας, τῆς μὲν, κατὰ τὸ εἶδος. τῆς δὲ, κατὰ τὸ ὑλικὸν καὶ ὑποκείμενον, διτταὶ καὶ αἱ φθοραὶ λέγονται. ἡ μὲν, κατὰ στέρησιν ἀπουσίαν οὖσαν τοῦ εἴδους καὶ ἔκστασιν τοῦ κατὰ ταῦτα εἶναι παρεχομένη. ἡ δὲ, κατὰ τὴν ἔνδειαν τῆς ἐπιρρεούσης τοῖς ὑλικοῖς ἀποπληρώσεως, καὶ κατὰ τὴν ἀνάλωσιν τῆς ἐν αὐτοῖς ὕλης. ἀλλ' εἰ ἡ στέρησις πάθος, πῶς ἐν τοῖς φυσικοῖς ποιητικὴ λέγεται αἰτία. ἀλλὰ καὶ ἡ στέρησις φησὶν ὁ Ἰάμβλιχος, αἰτία γίνεται ποιητικὴ, ὥσπερ καὶ ἡ τοῦ εἴδους παρουσία. καὶ γίνεται ἄλλο μὲν, αὐτὴ ἡ στέρησις. ἄλλο δὲ, τὸ ἐστερημένον. ὥστε καὶ αὐτὴ αὐτῆς ὑπ' ἄλλου γίνεται, καὶ ἐν τῷ ἐστερημένῳ πεῖσις ὁρᾶται, προηγησαμένου ποιητικοῦ τῆς στερήσεως αἰτίου. καὶ αὐτῆς τῆς ἐνδείας δὲ καὶ ἀποπληρώσεως, ὁ αὐτός ἐστι λόγος. ἐν ἄλλῳ μὲν γάρ ἐστι τὸ ἀποπληροῦν. ἐν ἄλλῳ δὲ, τὸ ἀποπληροῦσθαι. καὶ ἐν ἄλλῳ μὲν, τὸ ἐνδεῶς ἔχειν. ἐν ἄλλῳ δὲ, τὸ τὴν αἰτίαν τῆς ἐνδείας ἀπεργάζεσθαι. Πρὸς δὲ ταῦτα οἶμαι ζητεῖν ἄξιον, τίς ἂν εἴη ποιητικῆς στερήσεως αἰτία ἄλλη παρὰ τὴν ἐν τῷ ἐστερημένῳ. ἆρα τὸ ἐναντίον ἐστὶν αἴτιον τὸ φθεῖρον τὸ ἑαυτῷ ἐναντίον, ἢ τοῦτο μὲν κατὰ συμβεβηκός. ἡ δὲ τῆς γενέσεως καὶ φθορᾶς ἐν τῷ ὑπὸ σελήνην ἀνάγκη, ὥσπερ τῆς παρουσίας τῶν εἰδῶν αἴτια ἀπαιτεῖ προηγούμενα, οὕτως καὶ τῆς ἀπουσίας, ἅπερ οἱ μυθοπλάσται τοῖς μυθικοῖς, δημιουργικοῖς εἰς πόλεμον αἰτίοις ἀντιτάττουσι. τὸ δὲ ποίημα τοῦτο, ἀντιταχθείη ἂν τῷ πρώτῳ τοῦ ποιεῖν εἴδει τῷ κατὰ τὸ ποιητικὸν θεωρουμένῳ. καὶ τοῦτο γοῦν κατὰ τὸ εἰς οὐσίαν ἄγεσθαι ἀφορίζεται. ὥς γε τὸ οἰκοδομεῖν ἰδίως καλεῖται ποιητικὸν, οὕτως καὶ τὸ οἰκοδομεῖσθαι ποίημα λέγεται. ὅσα δὲ καὶ οἷα ἀποδεδώκαμεν εἴδη ταῖς ποιητικαῖς ἐνεργείαις, εἴτε θεῖα, εἴτε ἀνθρώπινα, εἴτε τεχνητὰ, εἴτε ἐπιστητὰ, εἴτε ἄλλως ὁπωσοῦν διαιρούμενα, τοσαῦτα καὶ τοιαῦτα ἀπονέμειν χρὴ τοῖς ποιήμασι τοῖς ἀπὸ τῆς ποιήσεως ἀποτελεσθεῖσι. δῆλον γοῦν ὅτι μετὰ πάθους ποιεῖται τὰ ποιούμενα. τριαδικὴ μὲν οὖν τις καὶ τοῦ πάσχειν ὥσπερ τοῦ ποιεῖν διαίρεσις ὑπὸ τοῦ Ἀρχύτου παραδέδοται

Ἀριστοτέλης δὲ ἐν τῇ μετὰ τὰ φυσικά, τὰ πάθη ὧδέ πως διαιρεῖ. πάθος λέγεται ἕνα μὲν τρόπον, ποιότης, καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται. οἷον τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ γλυκὺ καὶ πικρόν, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα ἄλλα τοιαῦτα. ἕνα δέ, αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις, καὶ μάλιστα ὅσαι βλαβεραί. ἔτι τὰ μεγέθη τῶν συμφορῶν καὶ λυπηρῶν, πάθη λέγεται. τούτων δὴ τὸ μὲν πρῶτον αἴτιον οἶμαι τὸ παθητικὸν ἀποτέλεσμα, καλεῖ πάθος. τὸ δὲ δεύτερον, τὴν κίνησιν τὴν παθητικήν. τὸ δέ γε τρίτον καὶ τέταρτον, τῇ κατὰ τὴν συνήθειαν ὀνομασίᾳ προσκέχρηται. ἀλλὰ μέχρι μὲν τούτων, τὰ δύο γένη ὅλα καὶ τὰ ἐν αὐτοῖς εἴδη, πόσα τέ καὶ τίνα ἐστίν, ἱκανῶς τεθεωρήκαμεν, ὥστε αὐτὰ καθ' ἑαυτὰ ἑκάτερα συλλαβεῖν. δεῖ δὲ καὶ τὴν πρὸς ἄλληλα αὐτῶν σύμμιξιν ἰδεῖν. καὶ γὰρ καὶ ταύτην σὺν τοῖς ἄλλοις Ἀρχύτας παραδίδωκε λέγων.
» Τὸ μέν, ἐντι ποιέον. τὸ δέ, πάσχον. οἷον ἐν τοῖς φυσικοῖς. ποιέον μέν, ὁ θεός. πάσχον
» δέ, ἁ ὕλα. καὶ ποιέον δὲ καὶ πάσχον, τὰ στοιχεῖα. σαφοῦς δέοντος τοῦ λεγομένου, παραδείγματα ἀρχηγικώτατα παρέθετο, ποιεῖν μὲν τὸν θεὸν εἰπών, ᾧ καὶ τὰ ἄλλα τὰ ποιητικὰ αἴτια συνέπεται. πάσχειν δὲ τὴν ὕλην, δι' ἣν καὶ τὰ ἄλλα μετέχει τοῦ πάσχειν. καὶ ποιεῖν δὲ καὶ πάσχειν τὰ στοιχεῖα. ὡς ἂν δὴ μετέχοντα καὶ ὕλης καὶ εἴδους. περὶ δὲ τῆς πρὸς ἄλληλα αὐτῶν σχέσεως, ζητοῦντες λέγουσιν. ὅτι ἀντιθέτως μὲν λέγεται, ἐναντία δὲ οὐκ ἔστιν, ὥσπερ Ἀνδρόνικος ᾠήθη. πῶς γὰρ οἷόν τε τὸ ἐναντίον ἀποτέλεσμα τοῦ ἐναντίου γίνεσθαι. λοιπὸν δὲ ἄξιον, κἂν εἴρηται πρότερον, ἀλλὰ καὶ ἐνταῦθα ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων γενῶν, οὕτως καὶ ἐπὶ τούτων μετὰ τὴν ἄλλην τεχνολογίαν τὰ παρακολουθοῦντα θεωρῆσαι. ἔστι τοίνυν ἐναντίωσις, ἐν τῷ ποιεῖν καὶ ἐν τῷ πάσχειν. καὶ τῶν ἐν αὐτοῖς ἐναντίων, τὰ μέν, ἔχει μεταξύ. τὰ δέ, οὐκ ἔχει. τὰ μὲν οὖν κατὰ ἐναντίας ποιότητας ἐναντία, ὡς τὸ θερμαίνειν καὶ ψύχειν. καὶ τὸ θερμαίνεσθαι, καὶ τὸ ψύχεσθαι. καὶ ὧν αἱ ποιότητες ἔχουσί τι μεταξὺ τούτων. καὶ τὰ ἐν τῷ ποιεῖν καὶ ἐν τῷ πάσχειν ἔχει τι μεταξύ, ὡς τὸ χλιαίνειν ἢ ἐρυθραίνειν. ὧν δὲ οὐκ ἔχουσιν, οὐδὲ ταῦτα, ὡς τὸ ὑγιάζειν καὶ νοσάζειν. καίτοι γε οἱ ἰατροί, καὶ ὑγείας καὶ νόσου μέσην τίθενται τὴν οὐδετέραν κατάστασιν. ἐπιδέχεται δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὸ ποιεῖν καὶ τὸ πάσχειν. οὐκ ἐπὶ πάντων δὲ ἐστὶ ταῦτα. ἐπὶ γοῦν τοῦ φρονεῖν φησὶν Ἰάμβλιχος, τοῦ ἐπὶ τῆς τελείας φρονήσεως, οὐκ ἂν εἴη ταῦτα. τὸ γὰρ ἐπὶ τῆς ἀτελοῦς ἐπιδέχεται. μήποτε δὲ καὶ ἐπὶ πάντων τῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχομένων. τὰ μέν, μάλιστα οὐκ ἐπιδέχεται. τὰ δὲ ἀτελῆ ταῦτά ἐστι τὰ δεχόμενα. ἀλλ' ἴσως ὧδε διαιρετέον. τὰ μὲν ἐν τοῖς γένεσιν ἐκείνοις ἔχοντα τὸ ποιεῖν καὶ τὸ πάσχειν, ἐν οἷς ἐστι τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται. ὥσπερ ἐν ποιότητι τὸ λευκαίνειν καὶ λευκαίνεσθαι. ὅσα δὲ ἐν γένεσιν ἐστὶ τοῖς μὴ ἐπιδεχομένοις τὸ μᾶλλον καὶ τὸ ἧττον οἷον ἐπὶ ποσῶν, τὸ ἀριθμεῖν καὶ μετρεῖν ταῦτα οὐκ ἐπιδέχεται. ἀλλ' οὐδὲ τὸ γυναικοῦν καὶ τὸ γυναικοῦσθαι. ἢ ὅτι ὅλως τῶν ἐν οὐσίᾳ λεγομένων. καὶ τοῦτο ἀληθῶς. τὸ γὰρ ποιεῖν, ἐνεργεῖν ἐστιν. ἡ δὲ ἐνέργεια, ὁμοειδής ἐστι τῇ ὑπάρξει, ἥτις ἐστὶν ἐνέργεια. καὶ καθ' ἑκάστην δὲ τῶν κατηγοριῶν θεωρεῖται τὸ ποιεῖν καὶ πάσχειν. καὶ γὰρ ἑκάστη ὥσπερ οὐσία τις οὖσα καὶ ὕπαρξις, ἔχει τινὰ οἰκείαν τῆς ἑαυτῆς ὑπάρ-

ξεως ἐνέργειαν. καὶ τὸ μὲν κατ' οὐσίαν ποιεῖν, ὡς τὸ ἀνθρωποποιεῖν. οἰκοδομεῖν. ναυπηγεῖν. τὸ δὲ κατ' οὐσίαν πάσχειν, ἀνθρωποποιεῖσθαι. οἰκοδομεῖσθαι. ἐνταῦθα δὲ ἐφιστάνει ὁ Ἰάμβλιχος. μήποτε ταῦτα εἰς οὐσίαν ἀνακτέον. ἀλλ' οὐ πάσχειν κατ' οὐσίαν. διότι ὡς ἔλεγον πρότερον, εἶναι δεῖ καὶ οὕτως πάσχειν. κατὰ ποσὸν δὲ ποιεῖν ἔστι, καὶ πάσχειν. οἷον μεγεθύνειν μεγεθύνεσθαι. πλατύνειν πλατύνεσθαι. βαθύνειν βαθύνεσθαι. καὶ ἀριθμεῖν καὶ χρονίζειν. καὶ κινεῖν καὶ λέγειν. καὶ τὰ τούτοις παθητικῶς ἀντικείμενα. κατὰ δὲ ποιότητα, λευκαίνειν λευκαίνεσθαι. ὑγιάζειν ὑγιάζεσθαι. κατὰ δὲ τὸ πρός τι, διπλασιάζειν διπλασιάζεσθαι. κατὰ δὲ τὸ κεῖσθαι, ἀνακλίνειν ἀνακλίνεσθαι. κατὰ δὲ τὸ ἔχειν, θωρακίζειν θωρακίζεσθαι. πέρας δὲ τοῦ μὲν ποιεῖν, ἔργον ἢ εἶδος. ἔργον μὲν, τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, ὡς ἡ ὄρχησις τοῦ ὀρχουμένου. εἶδος δὲ, τὸ ἐπιγινόμενον ἀποτέλεσμα, ὡς τοῦ ζωγραφοῦντος ἡ μορφή. τοῦ δὲ πάσχειν πέρας, ὅπερ καὶ τοῦ ποιεῖν. ζητεῖται δὲ πότε πῇ γράφεται τὸ ποιεῖν καὶ μεταβάλλειν εἰς τὸ πεποιηκέναι. καὶ οἱ μὲν, ἐν τῷ ἐσχάτῳ χρόνῳ ἔθεσαν τοῦ ποιεῖν. οἱ δὲ, ἐν τῷ μετὰ τὸν ἔσχατον πρώτῳ. τὸν γὰρ ἔσχατον, ἔτι ἐν τῷ ποιεῖν εἶναι. κοινὴ δὲ ζήτησις περὶ τοῦ ἐσταδιευκότος. καὶ ἰατρευκότος. καὶ τεθνηκότος. μήποτε δὲ τὸ πέρας τοῦ ποιεῖν ἐστι, τὸ πρώτως πεποιηκέναι οὐκ ἐν χρόνῳ. ὥσπερ οὖν δὲ τὸ τῆς κινήσεως πέρας, ὃ κίνημα καλοῦμεν. παράγεται δὲ παρὰ μὲν τὸ ποιεῖν, ποίησις ποιοῦν. παρὰ δὲ τὸ πάσχειν, πεῖσις πάσχον. καὶ ἐπὶ μὲν τῶν πάντων, ἡ ποίησις καὶ ἡ πεῖσις, ἤδη τῷ πρός τι κατηρίθμηται. ὡς καὶ ἐπὶ τοῦ κεῖσθαι, ἡ θέσις. παρατηρεῖν δὲ δεῖ καὶ πότε ὀρθόν ἐστι καὶ πότε ὕπτιον τὸ ἐνέργημα ἢ πάθος. αὐτίκα τὸ μὲν λυπεῖν, ὀρθὸν τοῖς πολλοῖς δοκεῖ. τὸ δὲ λυπεῖσθαι, ὕπτιον. οὐ μὴν ἀεὶ τοῦτο συμβαίνει, ὥσπερ ἐπὶ τοῦ τύπτοντος καὶ τυπτομένου. ἐνδέχεται γὰρ μὴ ἀεὶ συνεῖναι τὸν λυποῦντα. οἷον τὸν ἀποθανόντα υἱὸν, εἰ ἐπ' αὐτῷ τις λυποῖτο. ἐνδέχεται δὲ καὶ μὴ λυπεῖσθαι, εἰ μὴ ἄρα ἡ φαντασία ποιητικὴ οὖσα, καὶ αὐτὴ αἴτιον ἐπιμένει. ἔστι δὲ ὅταν καὶ παυσαμένου τοῦ ποιοῦντος, πάσχει τὸ πάσχον, ἐπιμενούσης τῆς διαθέσεως, ὡς ἐπὶ τοῦ ὑπὸ πυρὸς θερμαινομένου. καὶ μετὰ τὴν ἀναχώρησιν τοῦ πυρὸς ἔτι πάσχοντος τὸ θερμαίνεσθαι. διττὸν γὰρ τὸ πάσχειν. τὸ μὲν, τῷ ποιεῖν συνηρτημένον. τὸ δὲ, κατὰ τὴν διάθεσιν θεωρούμενον. ἴσως δὲ καὶ ἐν τούτῳ ἀμυδρὸν συνέζευκται τὸ ποιοῦν. ἤτοι ἡ φαντασία, ἢ

τὸ ἔξωθεν ἐγγινόμενον πῦρ. τοῖς οὖν πράγμασιν ἀλλ' οὐ ταῖς λέξεσιν ἐν
τῇ τούτων ἐπικρίσει ἀκολουθεῖν καλόν. πολλὴ δὲ ἡ τῶν τοιού-
των ἐξεργασία παρὰ τοῖς στωϊκοῖς. ὧν ἐφ' ἡμῶν καὶ ἡ διδασκα-
λία, καὶ τὰ πλεῖστα τῶν συγγραμμάτων ἐπιλέ-
λοιπεν. ἀλλ' ἐπεὶ περὶ τοῦ ποιεῖν καὶ
πάσχειν αὐτάρκως εἴρηται, καιρὸς
ἂν εἴη μεταβαίνειν ἤδη, καὶ
ἐπὶ τὰ λειπόμενα
τῶν γενῶν :~

Universitäts- und
Landesbibliothek Düsseldorf

# ΠΕΡΙ ΤΟΥ ΚΕΙΣΘΑΙ

Μετὰ δὲ τὸ ποιεῖν καὶ πάσχειν, ὁ μὲν Ἀριστοτέλης, τὸ κεῖσθαι τέθεικεν. ὁ δὲ Ἀρχύτας, τὸ ἔχειν. ὁ μὲν γὰρ, ἀπιδὼν εἰς τὸ τέλος εἶναι τοῦ ποιεῖν καὶ τοῦ πάσχειν, τὸ κεῖσθαι. καὶ γὰρ τίθησί τι, καὶ τίθεται. ἵνα οὕτως τὸ κεῖσθαι γένηται. ἔστι δὲ τὸ μὲν τιθέναι, ποιεῖν. τὸ δὲ τίθεσθαι, πάσχειν. καὶ ἐπειδὴ κατὰ φύσιν ἕκαστα ἐν τοῖς οἰκείοις καὶ ἀλλοτρίοις τόποις κείμενα, ποιεῖ καὶ πάσχει. διὰ τοῦτο τῷ ποιεῖν καὶ πάσχειν συνῆψε τὸ κεῖσθαι. καίτοι γε τοῦτο, καὶ προηγεῖσθαι ὀφεῖλον αὐτῶν. καὶ διότι πρώτη σχέσις ἐστὶ παντὸς σώματος. καὶ πρὸς τὸ δεχόμενον αὐτοῦ τὴν θέσιν. ἔπειτα οὕτως δέχεται τὴν τῶν ἐπικτήτων ἕξιν. Ἀρχύτας δὲ ἀπιδὼν εἰς τὰς σχέσεις, τήν τε ἀφ᾽ ἑαυτοῦ πρὸς ἕτερον, καὶ τὴν ἀφ᾽ ἑτέρων πρὸς αὐτό. καὶ ὅτι κατὰ ταύτην μὲν τὸ ἔχειν, κατ᾽ ἐκείνην δὲ τὸ κεῖσθαι γίνεται, προετίμησε τὸ ἔχειν τοῦ κεῖσθαι. διότι ἀσχετωτέρα πως ἐστὶν, ἡ ἀφ᾽ ἑτέρων πρὸς ἑαυτὰ σχέσις, τῆς ἀφ᾽ ἑαυτῶν πρὸς ἕτερα. καὶ διότι ἐνέργειαν μᾶλλον ἐμφαίνει τὸ ἔχειν, ἤπερ τὸ κεῖσθαι. καὶ διότι κοινότερόν ἐστι τὸ ἔχειν τοῦ κεῖσθαι. οἰκείως δὲ ἑκάτερος ταῖς ἑαυτοῦ περὶ τῶν γενῶν τούτων ὑποθέσεσι, καὶ τὴν τάξιν αὐτοῖς ἐπιτέθεικεν. ὁ μὲν γὰρ Ἀρχύτας, τὰ καθαρὰ γένη τοῦ ποιεῖν καὶ πάσχειν ἐν τοῖς ἀρχηγικωτάτοις θέμενος, τοῦ μὲν ποιεῖν, ἐν τῷ θεῷ, τοῦ δὲ πάσχειν, ἐν τῇ ὕλῃ, εὐλόγως συνέταξε τὸ ἔχειν, ὅπερ ἐγγίνεται τῇ ὕλῃ ἀπὸ τοῦ θεοῦ. ἐγγινομένου δὲ τοῦ ἔχειν τῇ ὕλῃ ἀπὸ τοῦ θεοῦ, τὸ εἶδος τότε γίνεται τὸ σύνθετον, σῶμα ἤδη ὂν, καὶ τοῦ κεῖσθαι δεόμενον. ἔστιν οὖν ἀρχηγικὸν καὶ τὸ ἔχειν. ἔστι δὲ καὶ κοινότερον τοῦ κεῖσθαι. τὸ μὲν γὰρ ἔχειν, καὶ ἀσωμάτοις ὑπάρχει, ὡς τῇ ψυχῇ τὸ μὴ ποιητικὸν αὐτῆς ἄκουσμα. τὸ δὲ κεῖσθαι, σώμασι μόνοις, καὶ τοῖς τῶν μεγεθῶν πέρασιν, ὡς ἐπιφανείᾳ, καὶ γραμμῇ, καὶ σημείῳ. ὁ δὲ Ἀριστοτέλης φυσικὰς τὰς ποιήσεις παραδοὺς τὰς κατὰ τὸ θερμαίνειν καὶ ψύχειν, αἵτινες περὶ τὰ σώματα καὶ ἐν σώμασιν ὑπάρχουσι, συμφώνως ἑαυτῷ τὸ κεῖσθαι τῷ ποιεῖν καὶ πάσχειν συνέταξε. τὸ δὲ ἔχειν, ἐν μόνοις τοῖς μεριστοῖς κτήμασιν. οἷον ὑποδήμασι καὶ ὅπλοις ἀφοριζόμενος, εἰκότως ὕστερον τέθεικε τὸ ὅλον αὐτοῦ καὶ ἀρχηγικὸν γένος, μηδέπω παραδοὺς ἐν ταῖς κατηγορίαις. ὅτι δὲ ἀντιπλεονεκτεῖ ἄλληλα, τό τε κεῖσθαι καὶ τὸ ἔχειν, καὶ αὐτὸς Ἀρχύτας ἐδήλωσε, πρὸς τοῖς τέλεσι προτάττων τὸ κεῖσθαι τοῦ ἔχειν. ἐν οἷς φησίν. » ἔτι δὲ ποιεῖν καὶ πάσχειν καὶ κεῖσθαι καὶ ἔχειν. καὶ πάλιν. » οὐδὲ μὰν ποιέων τι ἢ πάσχων. οὐδὲ κείμενος, οὐδὲ ἔχων τι. πολλαχοῦ δὲ καὶ παραλιμπάνει τὸ κεῖσθαι ὁ Ἀρχύτας. περὶ μὲν τῆς τάξεως τοῦ κεῖσθαι, τοσαῦτα εἰρήσθω. περὶ δὲ τῆς ἐννοίας αὐτοῦ, τὸ μὲν διὰ παραδειγμάτων ὑπογράφειν, οἷον κάθηται. ἀνάκειται. καὶ τὰ ἀπαρέμφατα λέγοντα. οἷον τὸ καθῆσθαι. ἑστάναι. ἔχει μὲν τὴν ὑπόμνησιν. οὐ μὴν αὐτάρκης εἰς ἀκριβῆ γνῶσιν, ἀλλὰ διαρίθμησιν μᾶλλον ποιεῖται τῶν ἐν τῷ κεῖσθαι περιεχομένων. βέλτιον οὖν διακαθαίρειν τὴν περὶ αὐτοῦ ἔννοιαν, ἀφαιροῦντα τὴν ἐπεισιοῦσαν τὴν πρός τι σχέσιν. ἀφαιροῦντα δὲ, κίνησιν καὶ στάσιν. ἔτι δὲ καὶ τὸ ποιεῖν καὶ πάσχειν.

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ μόνην ἁπλῆν θεωροῦντα τὴν τῆς θέσεως σχέσιν. ὥσπερ γὰρ ἡ πρὸς τὸν τόπον σχέσις ποιεῖ τὸ ποῦ, καὶ ἡ πρὸς τὸν χρόνον τὸ ποτέ, οὕτως ἡ πρὸς τὴν θέσιν ποιεῖ τὸ κεῖσθαι. οὔτε οὖν τὸ κείμενον σῶμα, οὔτε τὸν τόπον, ἐν ᾧ κεῖται, τῇ διανοίᾳ περιλαμβάνοντα, δεῖ νοεῖν τὸ κεῖσθαι. μόνην δὲ τὴν ἔχουσάν πως θέσιν, ἐν τῷ γένει τοῦ κεῖσθαι λογιζόμενον κατὰ πάντα τὰ ὄντα ὅσα πέφυκεν ἕτερα ὑφ' ἑτέρων ἀνέχεσθαι, ἢ ἐνιδρύεσθαι τὰ ἕτερα ἐν τοῖς ἑτέροις. ἡ γὰρ τοιάδε συμπλοκὴ τῶν ἐνιδρυμένων, καὶ τῶν τὴν ἕδραν παρεχόντων, κυριωτάτη καὶ πρώτη ἐστὶ τοῦ κεῖσθαι ὑπογραφή. ἐὰν μέντοι σχέσιν τις προσάψῃ, ἢ τὸ ποιεῖν ἢ τὸ πάσχειν, ἢ ποιότητα, ἢ τι ἄλλο τῶν τοιούτων. ἐὰν μὲν ἐπικρατῇ καὶ ἐν τοῖς συμμίκτοις τὸ τοῦ κεῖσθαι γένος, ὥστε οὕτως ἐπινοεῖσθαι κατὰ τὴν πρώτην προσβολήν, οὐδὲν ἧττον ἔσται ἐν τῷ κεῖσθαι. ἐὰν δὲ ἄλλο τι τῶν γενῶν προχειροτέραν ποιῆται τὴν φαινομένην εἰδοποιΐαν, κατὰ τὰ νικῶντα γένη ἔσται ἡ ἐπικράτεια τοῦ εἴδους ἀφορισμένη. ἀλλὰ δεῖ τοίνυν καὶ ἐπὶ τοῦ κεῖσθαι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων γενῶν, τὰ παρακολουθοῦντα αὐτῷ διελθεῖν. δοκεῖ δὴ ἐναντίωσις εἶναι τῶν ἐν τῷ κεῖσθαι. ὁ γὰρ ὕπτιος τῷ πρηνεῖ ἐναντίαν ἔχων θέσιν, ἐναντίως κεῖται. ἡ δὲ ἐναντίωσις αὕτη, παρά τε τὴν θέσιν συμβαίνει, ἡ γὰρ πρηνὴς θέσις, τῇ ὑπτίᾳ ἐστὶν ἐναντία, καὶ παρὰ τὸν τόπον. ἔστι γὰρ καὶ ἐν τούτῳ ἐναντίωσις. διὸ ὁ ἄνω κείμενος, τῷ κάτω κειμένῳ ἐναντίως κεῖται, προσειληφὼς τὴν κατὰ τόπον ἐναντίωσιν. καὶ ταύτην μὲν πάντα δ' ἔχειν ὡς οἶμαι τὰ ἐν τῷ κεῖσθαι ὄντα. ἐπειδὴ καὶ πάντα ἐν τινι τόπῳ ἔχουσι πρὸς ἄλλον τόπον ἀντίθεσιν. ἡ δὲ παρὰ τὴν θέσιν ἐναντίωσις, οὐκ ἐπὶ πάντων ἐστίν. ὁ γὰρ κύβος καὶ ἡ σφαῖρα καὶ ἄλλα πολλὰ τῶν ἀψύχων, κἂν διαφορὰν ἔχῃ θέσεων, οἷον κατὰ γωνίαν, ἢ κατὰ πλευράν, ἀλλ' οὐκ ἤδη καὶ ἐναντίωσιν. ὥσπερ τὰ πρηνῆ καὶ ὕπτια ἐπὶ τῶν ζώων μάλιστα θεωρούμενα τῶν φυσικῶς ἐχόντων τὸ ἔμπροσθεν καὶ ὄπισθεν. ἢ τὸ ἄνω καὶ κάτω. καὶ δεξιὸν καὶ ἀριστερόν. τὸ δὲ μᾶλλον καὶ ἧττον ἐπὶ τοῦ κεῖσθαι, ποτὲ μὲν λέγεται συνήθως, ὅταν πλάγιος ἐπιδέχηται τὰ κείμενα, ὥσπερ ἐπὶ τοῦ ἀνακεῖσθαι. ποτὲ δέ, τῷ μὲν σχήματι τῆς λέξεως, τὸ μᾶλλον καὶ ἧττον ἐμφαίνει. σημαίνει δὲ ὑπερβολὴν κατὰ τὴν διαφέρουσαν σύγκρισιν, ὥσπερ ὅταν ὑπτιώτερον σκάφης λέγηται. οὐκ ἐπὶ πάντων δὲ τῶν ἐν τῷ κεῖσθαι τὸ μᾶλλον καὶ ἧττον ἐστίν. ἡ γοῦν ἐπιφάνεια καὶ ἡ γραμμὴ καὶ τὸ σημεῖον, καὶ εἴ τι ἄλλο τῶν ἐν τῷ κεῖσθαι ἀσώματόν ἐστιν, οὐκ ἔχει τὸ μᾶλλον καὶ ἧττον. ὥσπερ δὲ ἡ μὲν ποίησις καὶ ἡ πεῖσις ἐν τοῖς πρός τι ἦν, τὸ δὲ ποιεῖν καὶ πάσχειν ἰδίας ἔτυχε κατηγορίας, οὕτως ἡ μὲν θέσις, τῶν πρός τί ἐστι. τὸ δὲ κεῖσθαι, ἴδιόν τι γένος ἐχαρακτήρισε, πολὺ διαφέρον τοῦ πρός τι. δεῖ δὲ λοιπὸν καὶ τὴν διαίρεσιν τοῦ κεῖσθαι, τήν τε κατὰ τὰς εἰδοποιοὺς διαφορὰς ἐπισκέψασθαι, εἴτε καὶ τοὺς ἄλλους τρόπους. κἂν μὴ εἰδοποιοί, ἀλλὰ χωρίζοντας γε τὰ ὑπ' αὐτὸ τεταγμένα. τῶν τοίνυν ἐν τῷ κεῖσθαι θεωρουμένων, τὰ μέν ἐστι φύσει, ὥσπερ τὰ τέσσαρα στοιχεῖα ἐν τοῖς οἰκείοις ἱδρυμένα τόποις. καὶ ὁ οὐρανὸς τὴν ἀνωτάτω χώραν ἐπέχων. τὰ δέ, θέσει, ὥσπερ ἀνδριάντες καὶ κίονες καὶ σκεύη. καὶ ὅλως τὰ κατὰ τέχνην τινὰ ἢ χρείαν τιθέμενα. ἔτι δὲ τὰ μέν, ἐν στάσει ἔχει τὴν θέσιν. ὥσπερ ἡ γῆ καὶ τὰ ἔσω τῶν στοιχείων. τὰ δέ, ἐν κινήσει. ὥσπερ αἵ τε τοῦ οὐρανοῦ περιφοραὶ ἐν ἀλλήλαις ἱδρυμέναι, καὶ τῶν στοιχείων τὰ κινούμενα. καὶ τῶν κινουμένων δὲ καὶ ἑστώτων, τὰ μέν, ἀΐδιον ἔχει τὸ κεῖσθαι. ὥσπερ τὰ ἀΐδια τῶν σω-

ματων. τὰ δέ, ἔγχρονον, ὡς τὰ ἐν μέρει χρόνου ὑφεστῶτα. δοκεῖ δέ φησιν ὁ Ἰάμβλιχος, πᾶν τὸ ἐν τῷ κεῖσθαι, ἐν τόπῳ τινὶ τὴν ἵδρυσιν ἔχειν. οὐ μὴν ἀλλ' ἔχει γε τὴν αὐτὴν τοῦ γένους φύσιν καὶ τὰ ἐν δυνάμεσιν ἱδρυμένα. κεῖται γὰρ ἐν ταῖς δυνάμεσι καὶ ἐν ζωῇ, τὴν ἕδραν ἔχοντα. καὶ γὰρ ταῦτα ὑπὸ τῆς ζωῆς ἀνέχεται. ὅσα τε ἐν τοῖς κυριωτάτοις αἰτίοις πάντα χωρεῖ συνέχει, κεῖσθαι ἐν ἑαυτοῖς εἰκότως ἄν τις μαθεῖν. μήποτε δὲ οὐ πᾶσαν ἐνίδρυσιν τὸ κεῖσθαι σημαίνει, εἰ μή τις κατὰ μεταφορὰν ἐκδέχοιτο. ἀλλὰ τὴν οἷον πῆξιν τῶν σωμάτων, ἢ ἐνέχον ἀποστάντα τῆς αὐταρκείας τῶν ἀμερίστων εἰδῶν φύσεως, καὶ δεηθέντα τῶν τὴν πῆξιν αὐτῶν ὑποδεχομένων, καὶ εὐθετιζόντων. καὶ γὰρ ὁ τόπος ταύτην παρέχει τὴν χρείαν. τὸ ὑποδέχεσθαι. τὸ εὐθετίζειν. τὰ μὴ ἀνέχοντα ἑαυτά, ἀλλὰ πεπτωκότα καὶ ἐσκορπισμένα. ἀμφότερα γὰρ ἔσχε τὰ τῆς ἀμερίστου φύσεως ἀποστάντα, καὶ τὸ ἐν ἄλλῳ εἶναι. ἀλλὰ μὴν ἐν ἑαυτῷ καὶ τὸ διεσπάσθαι, ἀλλὰ μὴ μένειν ἀμέριστον. διὸ καὶ ἐδεήθη τόπου, καὶ ὑποδεχομένου αὐτά, καὶ τάξιν τοῖς μορίοις καὶ εὐθετισμὸν παρεχομένου. τὰ γὰρ ἅπαξ διασπασθέντα, δεῖται τοῦ εὐθετισμοῦ, ἵνα ἡ κεφαλὴ τὸν οἰκεῖον ἔχῃ τόπον. καὶ ὁ τράχηλος. Ἀλλὰ μὴ πολλαὶ κόρσαι ἀναύχενοι βλαστῶσιν, ὡς Ἐμπεδοκλῆς φησι. τὸ δὲ κεῖσθαι, ὅτι καὶ τὸ πεπτωκέναι σημαίνει, ἐδήλωσεν Ὅμηρος εἰπών. Κεῖται Πάτροκλος. νέκυος δὲ δὴ ἀμφιμάχονται. τὰ οὖν ἐν δυνάμεσι καὶ ἐν ζωῇ καὶ ἐν τοῖς κυριωτάτοις αἰτίοις ἱδρυμένα, ἄλλως λέγεται κεῖσθαι, καὶ οὐ κυρίως. ὁμολογεῖται δὲ παρὰ πᾶσι, παντὶ σώματι τὸ κεῖσθαι συμβεβηκέναι. διὸ πᾶν σῶμα, ἐν τόπῳ ἐστὶ καὶ θέσιν ἔχει κατὰ τόπον. πλήν τό γε τῆς ἀπλανοῦς σῶμα, καὶ τὸ τοῦ παντὸς σῶμα, οὐκ ἔστιν ἐν τῷ κεῖσθαι. οὐδὲ γὰρ ἐν τόπῳ ἐστὶ, κατὰ τὴν Ἀριστοτέλους περὶ τόπου διάταξιν. διότι οὐκ ἔστι τὸ περιέχον αὐτὸ σῶμα. ὁ δὲ τόπος, πέρας ἦν τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον. καὶ ἀσωμάτοις δὲ τὸ κεῖσθαι ἐφαρμόζει, ὡς τοῖς τῶν σωμάτων πέρασι. καὶ γὰρ τῷ τόπῳ προσήκει, καὶ ἁπλῶς ἐπιφανείᾳ, καὶ γραμμῇ, καὶ σημείῳ. θέσιν γὰρ ἔχει πάντα ταῦτα. τοῖς δὲ καθ' αὑτὰ ἀσωμάτοις, τὸ κεῖσθαι πάντως οὐχ ὑπάρχει, εἰ μή τις κατὰ μεταφορὰν ἐν νῷ καὶ θεῷ λέγοι κεῖσθαι ταῦτα, ὡς ἐν ἀρχῇ καὶ αἰτίᾳ συνεχόμενα. Ἐν δὲ θεῷ κεῖνται πύρσους ἕλκοντες ἀκμαίους φησὶ τὸ λόγιον. ἐπιστῆσαι δὲ χρή, ὅτι τὸ μὲν σῶμα, ἐν τόπῳ κεῖται. ὁ δὲ τόπος κεῖται μέν, περὶ γὰρ τὰ σώματά ἐστι, καὶ ἔχει καὶ αὐτὸς τὰς τῆς θέσεως διαφοράς. τὸ ἄνω, καὶ τὸ κάτω, καὶ τὰ λοιπά. καὶ τὸ ὡρισμένον καὶ ἀόριστον. οὐ μέντοι ἐν τόπῳ κεῖται ὁ τόπος ὡς περὶ τὰ σώματα. τόπου γὰρ τόπος οὐκ ἔστιν. ἵνα μὴ ἐπ' ἄπειρον ὁ λόγος προέλθῃ, τόπον πρὸ τόπου ζητῶν. Ἀλλ' ἀπορίας ἄξιον, εἰ κεῖται ὅλως ὁ τόπος, ἐν τίνι κεῖται. τὸ γὰρ κείμενον, ἔν τινι κεῖσθαι βούλεται. Ὁ μὲν Ἀριστοτέλης πέρας εἶναι λέγων τοῦ περιέχοντος σώματος τὸν τόπον, ἐν αὐτῷ φαίη ἂν κεῖσθαι, ὡς πέρας καὶ αἱ ἄλλαι ἐπιφάνειαι ἐν τοῖς σώμασι κεῖνται. ὧν εἰσὶ πέρατα. οἱ δὲ διάστημά τι λέγει τὸν τόπον, ἢ μέτρον καὶ εὐθετισμὸν τῆς τῶν μεγεθῶν παραθέσεως, ὥσπερ τὸν χρόνον μέτρον τῆς κατὰ τὴν κίνησιν παρατάσεως, οὐ χρὴ τι ἄλλο ζητεῖν, ἐν ᾧ κεῖσθαι ὁ τόπος. ἕδρα γὰρ ὢν αὐτὸς τῶν ἄλλων, οὐκέτι ἕδρας δεήσεται. ὥσπερ καὶ τὰ πέρατα τῶν μεγεθῶν αὐτὰ πέρατα ὄντα, οὐκέτι δεῖται τῶν περαιούντων. διὸ καὶ Ἀρχύτας.

» τριστάρου φησὶ τὰ μὲν ἅμα ἐν τόπῳ ἦμεν· τὸ δὲ τόπον, ἐν μηδενί. ἀλλὰ οὕτως ἔχειν
» ποτὶ τὰ ἐόντα, ὥσπερ τὰ ὁρατὰ ποτὶ τὰ πεπερασμένα. τούτων δὲ κειμένων, τὰ
μὲν, ἁπλοῦν ἔχει τὸ κεῖσθαι. τὰ δὲ, διπλοῦν. ὁ μὲν γὰρ κενὸς ἀμφορεὺς, κεῖται εἰ τύ-
χοι ἐν τῷ λίθῳ. ὁ δὲ οἶνος ὁ ἐν τῷ ἀμφορεῖ, καὶ ἐν ἀμφορεῖ κεῖται, καὶ ἐν ᾧ κεῖται ὁ ἀμ-
φορεύς. κατ' ἄλλην δὲ ἐπίνοιαν, αὐτός τε ὁ ἀμφορεὺς κεῖταί που, καὶ τὰ μέρη αὐτοῦ ἐν
τῷ ὅλῳ. καὶ ὁ οἶνος δὲ αὐτός τε ἐν τῷ ἀμφορεῖ κεῖται, καὶ τὰ μέρη αὐτοῦ ἐν τῷ ὅλῳ. ὥσ-
τε ὁ πλήρης ἀμφορεὺς, τετραπλοῦν ἕξει τὸ κεῖσθαι. ἐπιστῆσαι δὲ ἄξιον, εἰ τὰ μέρη ἐν
τῷ ὅλῳ κεῖσθαι λέγεται κυρίως. οὐ γὰρ πᾶν τὸ ἔν τινι κεῖται ἐν ἐκείνῳ ἐν ᾧ ἐστιν, ἀλλὰ
τὰ ἐν τόπῳ μόνον ὄντα, ταῦτα κεῖσθαι λέγεται ἐν τῷ τόπῳ. καὶ κατὰ τὰ σχήματα δὲ
καὶ κατὰ τὰς τοπικὰς διαστάσεις, ἔσονται τοῦ κεῖσθαι διαφοραί. ὁ μέντοι Ἀρχύτας
διαφορὰς τοῦ κεῖσθαι λέγων, τὸ μέντοι αὐτοῦ ἐν δυνάμει φησί. τὸ δὲ, ἐν στάσει. καὶ
τὸ ἐν δυνάμει, τὸ μὲν, ἐν τῷ ἐνεργεῖν. τὸ δὲ, ἐν τῷ πάσχειν. περὶ μὲν γὰρ τὴν στάσιν,
θεωρεῖται τὸ κεῖσθαι. μένει γὰρ ἐν ταυτῷ τοῦτο, ἐάν τε ἀσώματον ᾖ, ἐάν τε σῶμα
τὸ ἐν τῇ στάσει κείμενον. περὶ δὲ τὴν δύναμιν, διχῶς θεωρεῖται κατ' ἀμφότερα τὰ
ἐναντία. ἔν τε τῷ ποιεῖν καὶ πάσχειν, καὶ ἐν τῷ κινεῖν καὶ κινεῖσθαι. καὶ ἐπειδὴ καὶ ἡ δύναμις
πρὸς ἀμφότερα τὰ ἐναντία ἄγεσθαι δύναται, εἰ μέντοι τις δύναμιν λαμβάνει μὴ
τὴν ἀτελῆ, ἀλλὰ τὴν τελείαν καὶ τῶν ἐνεργειῶν περιεκτικὴν, ἥτις ἀνέχει τὰ κείμενα ἐν
ἑαυτῇ. καὶ οὕτως δεῖ τὰς ἀρχηγικωτέρας αἰτίας, περιεκτικωτέρας εἶναι τῶν δευτέ-
ρων. καὶ κεῖσθαι ἐν τοῖς προτέροις τὰ δεύτερα, εὐλόγως ἐροῦμεν. ἀλλ' ἐπὶ τὰς ἀπο-
ρίας λοιπὸν τὰς ὑπὸ Πλωτίνου πρὸς τὸ κεῖσθαι ἰτέον λεγομένας. λέγει τοίνυν ἐν
ὀλίγοις εἶναι τὸ κεῖσθαι. καὶ διὰ τοῦτο μὴ ἄξιον ἐν οἰκείῳ γένει καταχωρίζεσθαι. ἀλλ' εἰ
πᾶσιν ὑπάρχει τοῖς σώμασι τοῖς τε ἀϊδίοις καὶ τοῖς ὑπὸ σελήνην, πῶς οὐκ ἄξιον καὶ
τοῦ τογένους οἰκείου τυγχάνειν. καὶ Ἀρχύτας δὲ ἐπὶ πολλὰ διατείνειν αὐτό φησιν.
ἀλλὰ τὸ ἀνακεῖσθαι φησὶ καὶ καθῆσθαι, οὐκ ἔστιν ἁπλοῦν. σημαίνει δὲ τὸ ἐν σχήματι τῷ-
δε κεῖσθαι. τοῦτ' ἔστιν, ἐν τόπῳ εἶναι. ἔστιν οὖν τὸ μὲν σχῆμα, ἄλλο. ὁ δὲ τόπος, ἄλλο. καὶ
εἴρηται περὶ ἀμφοῖν. καὶ οὐδὲν ἔδει λοιπὸν εἰς ἐν δύο κατηγορίας συνάπτειν. πρὸς ἃ
ῥητέον, ὅτι αἱ τῶν σχημάτων αὗται, οἷον, ἡ τοῦ καθῆσθαι καὶ ἀνακεῖσθαι, οὐχ ἁπλῶς
σχημάτων, ἀλλὰ τῶν κατὰ τὴν θέσιν σχηματισμῶν σημαίνουσι τὰς διαφοράς. κἂν ποιότητα δὲ
δηλῶσιν, ἐπειδὴ τὸ σχῆμα ποιότης, οὐ τὴν ἁπλῶς ποιότητα ἐροῦσιν, ἀλλὰ τὴν τοῦ
κεῖσθαι. ἠξίου δὲ καὶ αὐτὸς τὰς συμπληρωτικὰς τινὸς ποιότητας, εἰς ἐκεῖνο τὸ γέ-
νος ἀνάγειν, ὑφ' ὃ καὶ τὸ συμπληρούμενον ἀνάγεται. οἷον περὶ γραμμήν ἐστιν εὐθύτης. ἡ δὲ
γραμμὴ τοῦ ποσοῦ, ἔστω οὖν καὶ ἡ εὐθύτης τοῦ ποσοῦ. καὶ τὸ ὅλον τοῦτο ποσοῦ
ποιότης. ὥσπερ οὖν τὸ φέρειν οὐκ ἐξίσταται τῆς οἰκείας κατηγορίας, ὅταν ἀναφέ-
ρειν λέγωμεν, οὕτως οὐδὲ τὸ ἀνακεῖσθαι ἢ κατακεῖσθαι. ἔτι δὲ μᾶλλον ἐνιστάμε-
νοι πρὸς τὴν ἀπορίαν οἱ μετ' αὐτὸν, ἀντιλέγουσιν, ὡς οὔτε σχήματος οὔτε τόπου
ἐφάπτεται τὸ κεῖσθαι. ἀλλὰ ταῦτα μὲν ἄλλως παρακολουθεῖ, ὥσπερ καὶ ταῖς ἄλλαις
κατηγορίαις πλείονα ὁμοῦ συνθεωρεῖται. ἡ μέντοι ἰδιάζουσα τοῦ κεῖσθαι κατηγορία,

κατ' αὐτὴν μόνην τὴν θέσιν ψιλῶς νοεῖται, μηδὲν συνεπινοούντων ἡμῶν, ἐν τίνι κεῖται, καὶ πῶς ἔχον αὐτὸ κεῖται. ἀλλ' οὐδὲ πάντως ἐν τόπῳ ἐστί φησιν Ἰάμβλιχος τὸ κεῖσθαι. ἐπεὶ καὶ ὁ τόπος κεῖταί που, μὴ ὢν ἐν τόπῳ. οὐκ ἄρα ὑλικῶς τὸ ποῦ λαμβάνεσθαι τόπον ἐν τῷ κεῖσθαι. εἰ δὲ οἷόν τε καὶ ἄνευ σχήματος ἐπινοεῖν τινὰ θέσιν τῶν ἀσχηματίστων εἴτε ἀσωμάτων ὡς γραμμῆς καὶ σημείου, ἔσται καὶ ἄνευ σχήματος τὸ κεῖσθαι. ἀλλ' εἰ μὲν τὸ κεῖσθαι φησὶν ἐνέργειαν σημαίνει, ἐν ταῖς ἐνεργείαις τακτέον αὐτό. εἰ δὲ πάθος, ἐν τῷ πάσχειν. πάλιν οὖν καὶ ἐν τούτοις ῥητέον. ὅτι τὸ καθαρῶς νοούμενον κεῖσθαι, οὐδ' ὁποίων ποιήσεων ἢ παθῶν ἀναπίμπλαται. ἐκτὸς δὲ ὂν ἀμφοτέρων, ἰδίαν ἔχει καθ' αὑτὸ κατηγορίαν. εἰ δὲ ἄρα τις καὶ συνεμφαίνεσθαι λέγει τῷ κεῖσθαι τὸ ποιεῖν καὶ πάσχειν, ὡς ἕτερα γένη ἑτέρῳ συνυπάρξει διὰ τὴν σύμμικτον τῶν αἰσθητῶν σύνοδον. βέλτιον δὲ δι' ἀκριβείας ἀφορίζεσθαι τὸ κεῖσθαι, ὥσπερ καὶ Βοηθὸς δοκεῖ. ἐφ' ὧν γὰρ οὔτε τὸ ποιεῖν οὔτε τὸ πάσχειν πρόσεστι καθ' ἣν κεῖται θέσιν, καὶ καθ' ἣν τέτακται τάξιν, ταῦτα μόνον φησὶν εἶναι τῆς κατηγορίας. οἷον, τὸ ἑστηκέναι, ἢ καθῆσθαι ἐπὶ ἀνδριάντος λεγόμενον. ἢ τὸ ἀνακεῖσθαι τὴν εἰκόνα. ἐφ' ἡμῶν μὲν γὰρ ἐνέργειαν τὰ τοιαῦτα συνεμφαίνει. ἐπὶ δὲ τῶν ἀψύχων, οὔτε τὸ ποιεῖν, οὔτε τὸ πάσχειν ἐνδείκνυται ταῦτα, ἀλλὰ μόνον καθαρῶς τὸ κεῖσθαι. ἐπεὶ δὲ ὁ ἄνω καὶ κάτω τόπος συνεπινοεῖται, καὶ σχέσις συνεπιφαίνεται πρός τινας τόπους ἐν τῷ ἀνακεῖσθαι καὶ κατακεῖσθαι, δεῖ νοεῖν ὡς καθ' αὑτὸ ὄντος τοῦ κεῖσθαι πρότερον, ἐπισυλλαμβάνεται ἡ σχέσις πρὸς τὸ ἄνω καὶ κάτω. ὥσπερ καὶ παρὰ τὰς ἄλλας κατηγορίας ἐπιφύεται ἀεὶ τὸ πρός τι. τὸ μέντοι κεῖσθαι τὴν πρὸ τοῦ πρός τι εἰληφὸς φύσιν, καθ' αὑτό ἐστιν ὥσπερ καὶ τῶν ἄλλων γενῶν ἕκαστον, ὅσα προηγεῖται τοῦ πρός τι. εἰ δὲ πάντα οἷς ἐπεισέρχεται τὰ πρός τι ἐν τοῖς πρός τι θήσομεν, οὐκ ἂν φθάνοιμεν καθὰ καὶ αὐτὸς εἶπεν ὁ Πλωτῖνος, πάντα τὰ γένη ἐν τοῖς πρός τι τιθέντες. ταῦτα μὲν οὖν εἴρηται, πρὸς τὰς Πλωτίνου ἀπορίας. φησὶ δὲ ὁ Ἰάμβλιχος, ἄλλως μὲν ἐπὶ τῶν σωμάτων θεωρεῖσθαι τὸ κεῖσθαι, ὡς ἂν διαστατῶν ὄντων καὶ μεριστῶν, καὶ τόπον διαστατὸν ἐχόντων, ἄλλως δὲ ἐπὶ ψυχῆς. καὶ γὰρ αὕτη τόπος λέγεται τῶν ἐν αὐτῇ λόγων ὡς χώραν αὐτοῖς παρέχουσα εἰς τὸ ἐνιδρύεσθαι καὶ ἐνεργεῖν ἐν αὐτῇ. ἄλλως δέ, ὁ νοῦς τόπος λέγεται τῶν εἰδῶν, ὡς τὴν αὐτὴν ἔχων οὐσίαν πρὸς τὰ εἴδη. καὶ ὁμοῦ τὰς νοήσεις καὶ τὰ εἴδη συνέχων ἐν ἑαυτῷ. κυριώτατα δὲ ἐν τῷ θεῷ κεῖσθαι λέγεται πάντα. ἐπειδὴ τὰ μετ' αὐτὸν ὅλα ἐν αὐτῷ συνείληπται. ἀλλ' ἴσως φησὶ δόξει τισὶ πολλαχῶς λέγεσθαι οὕτως τὸ κεῖσθαι. ἄλλως μέν, ἐπὶ τῶν σωμάτων. ἄλλως δέ, ἐπὶ τῶν ἀσωμάτων. οὐ μὴν ἀλλ' εἴ τις ἀκριβέστερον ἐπισκοποίη, μία καὶ αὐτὴ θεωρεῖται ἀναλογία κατὰ τὸ περιέχειν καὶ περιέχεσθαι. καὶ κατὰ τὸ τὴν ἕδραν παρέχειν καὶ ἐνιδρύεσθαι. ὁ γὰρ αὐτὸς λόγος τοῦ κεῖσθαι, ἐπὶ πάντων τούτων διήκει, τὸ ἕτερον ἐν ἑτέρῳ ἀποπερατοῦσθαι κατ' αἰτίαν, ἢ δύναμιν, ἢ ἐνέργειαν, ἢ οὐσίαν, ἢ διάστασιν. διαφορὰ δὲ γίνεται περὶ τὰ πράγματα ἕτερα ὄντα, καὶ πρὸς ἕτερα ποιούμενα τὴν θέσιν, ἥτις οὐκ ἐξίστησι τὴν ἐνάλογον τοῦ κεῖσθαι ἐξ ἑαυτοῦ. τοσαῦτα καὶ περὶ τοῦ κεῖσθαι εἰρήσθω. ἐννοούντων ἡμῶν, ὡς ἐπὶ σώματος εἴρηται κυρίως τὸ κεῖσθαι.

Universitäts- und
Landesbibliothek Düsseldorf

# ΠΕΡΙ ΤΟΥ ΠΟΥ ΚΑΙ ΠΟΤΕ

Μετὰ δὲ τὸ κεῖσθαι, ἀμφίβολος ἡ τάξις ἐστὶ τῶν λοιπῶν κατηγοριῶν. καὶ γὰρ Ἀριστοτέλης, ἄλλοτε ἄλλως μνημονεύει τῆς τάξεως. ἐν ἀρχῇ μὲν τὸ ποῦ καὶ ποτὲ προτάξας τοῦ κεῖσθαι καὶ τοῦ ἔχειν. ὕστατα δὲ πάντων θεὶς, τὸ ποιεῖν καὶ πάσχειν. προϊὼν δὲ, τὸ ποιεῖν μετὰ τὸ πάσχειν, προτίθησι. τὸ δὲ κεῖσθαι, προτάττει τοῦ ποτὲ καὶ τοῦ ποῦ, οἷς αὐτὸ πρότερον ὑπέταξε. καὶ τὰ ἄλλα δὲ, ἄλλοτε ἄλλως τίθησιν. ἐνίοτε δὲ καὶ ἐν τῷ αὐτῷ τόπῳ ἐναλλάττων φαίνεται τὴν τάξιν. ἐν μὲν γὰρ τῷ φάναι, περὶ μὲν τοῦ ποτὲ καὶ τοῦ ποῦ καὶ τοῦ ἔχειν, ἄλλως φαίνεται διορίζων. ἐν δὲ τῷ ἐπεκδιηγεῖσθαι, ἑτέρως διορίζει τὴν τάξιν. ἀλλ' οὐδὲ ἐπὶ τῶν προτέρων κατηγοριῶν, ἐφ' ὧν τὸν πολὺν ποιεῖται λόγον, φαίνεται τηρῶν τὴν αὐτὴν τάξιν. ἀλλ' ὅπου μὲν τὸ ποιὸν προτάττει τοῦ πρός τι, ἐν δὲ τῷ διαπραγματεύεσθαι περὶ αὐτῶν, τὸ πρός τι τοῦ ποιοῦ. καὶ ὅλως οὐδαμοῦ περὶ τῆς τάξεως τῶν γενῶν, οὐδεμίαν αἰτίαν ὁ Ἀριστοτέλης ἀπεφήνατο. ὁ μέντοι Ἀρχύτας, μετ' αἰτίας τὴν τάξιν τῶν κατηγοριῶν ἀποδιδοὺς, φυλάττει τὴν αὐτὴν ἐν τοῖς πλείοσι. πλὴν ὅτι καὶ αὐτὸς ἔστιν ὅπου τὴν τάξιν ἐναλλάττει. ἐν μὲν γὰρ τῷ περὶ τῆς τάξεως λόγῳ, «ἐπειδὴ πᾶν τὸ κινούμενον φησὶν ἐν τόπῳ τινὶ κινεῖται, τὸ δέ γε ποιεῖν καὶ τὸ πάσχειν κινάσιές τινες καὶ ἐνέργειαι, φανερὸν ὅτι τόπον ἐπίμεν δεῖ πρᾶτον, ἐν ᾧπερ ἐστὶ τὸ ποιέον, ἢ τὸ πάσχον.» τὰς δὲ διαφορὰς αὐτῶν καὶ τὰ ἴδια ἀποδιδοὺς, τὸ ποιεῖν καὶ τὸ πάσχειν προτάττει τοῦ ποῦ ἑκατέρωθι. καὶ ἴσως αἴτιον τῆς τοσαύτης τῶν γενῶν περὶ τὴν τάξιν ἀδιαφορίας, γέγονεν ἡ πολλαχοῦ τῶν γενῶν ἀντιπλεονέκτησις. κρατεῖ δὲ ὅμως συνήθεια παρὰ τοῖς τοῦ Ἀριστοτέλους ἐξηγηταῖς, ὥστε προτάττειν τοῦ ποῦ τὸ ποτέ. ἐπειδὴ καὶ αὐτὸς ἐνταῦθα τοῦ κεῖσθαι μνημονεύσας, ἐπήγαγε. περὶ δὲ τῶν λοιπῶν τοῦ, τε ποτὲ καὶ τοῦ ποῦ, ὡς ταύτην αὐταῖς τὴν τάξιν ἀποδιδούς, διὸ καὶ μέχρι νῦν τινες καὶ συνηγοροῦσι τῇ τάξει ταύτῃ. καὶ λέγουσιν ὅτι πᾶν μὲν τὸ κινούμενον, ἐν τόπῳ καὶ χρόνῳ κινεῖται. πρότερον δέ ἐστι τὸ ποτὲ τοῦ ποῦ. ὅτι τῶν γενητῶν οὐδὲν ἄνευ χρόνου, οὔτε εἶναι, οὔτε γενέσθαι, οὔτε ἔσεσθαι δύναται. πολλὰ δὲ ἄτερ τόπου, ὥσπερ αὐτὸς ὁ τόπος. καὶ αἱ πράξεις δὲ, οὐκ ἐν τόπῳ, ἀλλ' ἐν χρόνῳ, κἂν ὁ πράττων ἐν τόπῳ. Πρὸς δὴ ταῦτα ὁ Ἰάμβλιχος, καίτοι φυλάττων τὴν συνήθειαν, καὶ περὶ προτέρου τοῦ ποτὲ διαλεγόμενος ἀντιλέγων, οὐ δεῖν φησι πρὸς κίνησιν ἀναφέρειν τὴν αἰτίαν τῆς τάξεως τῶν γενῶν. ἀλλ' εἴπερ τὰ γένη περὶ τὴν οὐσίαν ὑφίσταται, ὡς ἐκείνης μὲν, καθ' ἑαυτὴν ἐχούσης τὸ εἶναι. τούτων δὲ, περὶ αὐτὴν ὑφισταμένων, καὶ πρὸς αὐτὴν εἰς μίαν σύνταξιν συντελούντων, ἐκ τῆς περὶ τὴν οὐσίαν τάξεως τὴν τάξιν συλλογισόμεθα τῶν γενῶν. εἰ τοίνυν ὁ μὲν τόπος, τῇ οὐσίᾳ τῶν σωμάτων συνυπάρχει, ὁ δὲ χρόνος τῇ κινήσει συνυφίσταται, πρότερον δέ ἐστι τὸ εἶναι τῶν γινομένων ἢ τὸ κινεῖσθαι, πρότερον ἔσται γένος, τὸ τῇ ὑποστάσει τῶν γινομένων συνυφιστάμενον. ὕστερον δὲ, τὸ τῇ κινήσει συνακολουθοῦν. μήποτε δὲ καὶ ὁ χρό-

νος, οὔτε κατ' ἐνέργειαν μόνην κίνησιν τῶν γινομένων μερῶν, ἀλλὰ κατὰ τὸ οὐσιῶδες. κίνησις γὰρ ἡ ὅλη γενέσεώς ἐστιν, ὥσπερ καὶ ὁ τόπος. οὔτε κατ' οὐσίαν μόνην διάστασιν, ἀλλὰ κατὰ τὴν κατ' ἐνέργειαν συνέχειαν. ἔοικε δὲ ὁ μὲν τόπος, κατὰ τὴν στάσιν μᾶλλον θεωρεῖσθαι. ὁ δὲ χρόνος, κατὰ τὴν κίνησιν. διότι κἂν ἠρεμίαν ὁ χρόνος μετρῇ, ἀλλὰ κατὰ τὴν παράτασιν καὶ ῥοὴν τοῦ εἶναι, ἐν ἠρεμίᾳ μετρεῖται ὑπὸ τοῦ χρόνου. καὶ ἄλλως δὲ τοῦ μὲν τόπου, πάντα ἅμα τὰ μόρια ὑπάρχει. τοῦ δὲ χρόνου, οὐκέτι. καὶ ὁ μὲν τόπος, ἐναργῆ τὴν ὑπόστασιν ἔχει. ὁ δὲ χρόνος, ἀμυδράν, ἅτε λόγῳ μόνῳ ληπτὸς ὑπάρχων. ἴσως δὲ ἀληθὲς εἰπεῖν, ὅτι ὥσπερ τοῦ χρόνου τὰ μόρια οὐκ ἔστιν ἐν τῷ αὐτῷ χρόνῳ, οὕτως καὶ τοῦ τόπου, οὐκ ἔστιν ἐν τῷ αὐτῷ τόπῳ διὰ τὴν διάστασιν, κἂν ἐν χρόνῳ τῷ αὐτῷ ᾖ. εἰ δὲ λέγοι τις, ὅτι πλείοσιν ὁ χρόνος ἤπερ ὁ τόπος ὑπάρχει, εἴπερ πάντα μὲν ἐν χρόνῳ τὰ γεννητά, οὐ πάντα δὲ ἐν τόπῳ. οὔτε γὰρ ὁ τόπος ἐν τόπῳ ἐστίν, οὔτε αἱ πράξεις πολλαὶ οὖσαι καὶ ποικίλαι, πρῶτον μὲν ἐννοείτω, ὅτι κἂν πλείοσιν ὁ χρόνος ὑπάρχῃ, οὐκ ἀρκεῖ τοῦτο πρὸς τὸ τῆς τάξεως ὑπεροχήν. τὰ γοῦν πρός τι φησὶν Ἰάμβλιχος διὰ πάντων διατείνοντα, οὐκ ἄν τις εὐλόγως προθείη τῆς οὐσίας ἢ τῆς ποιότητος, ἐπειδὴ αὐτοῖς οὐδ' ὅλως οὐδ' ἑνοῦσι. μήποτε δὲ οὐκ ἀληθές ἐστιν, ὅτι διὰ πάντων διήκει τὰ πρός τι, ἤπερ ἡ οὐσία καὶ τὸ ποιόν. ἐν γὰρ αὐτοῖς ὁ τοῦ πρός τι χαρακτήρ, κατὰ ποιότητα ἀφορίζεται. ἐν ἄνευ οὐσίας, οὔτε τὸ πρός τι, οὔτε ἄλλο τι τῶν γενῶν ὑποστῆναι δύναται. ἐν αὐτῷ δὲ τοῦτο καθ' αὐτὸ δεικνύναι δυνατόν, ὡς οὐκ ἐπ' ἔλαττον τοῦ χρόνου καὶ ὁ τόπος διὰ πάντων διήκει. καὶ γὰρ πᾶν τὸ γινόμενον, ἐν τόπῳ. εἰ δὲ ὁ τόπος μὴ ἔστιν ἐν τόπῳ, οὐδὲ ὁ χρόνος ἐν ἑτέρῳ χρόνῳ ἐστίν. οὐδέτερον γὰρ τούτων δεῖται τῆς συνοχῆς, ἣν αὐτὸ τοῖς ἄλλοις παρέχεται. οὐδὲ γὰρ ἄλλο τι τῶν ἀρχικῶν αἰτίων, ἐπιδεές ἐστιν αὐτὸ τῆς εἰς τὰ ἄλλα ἀφ' ἑαυτοῦ μεταδόσεως. καὶ αἱ πράξεις δέ, οὐκ ἄνευ τόπου γίνονται. οὕτως μὲν οὖν ἡ κατὰ Ἀρχύταν τάξις τούτων τῶν κατηγοριῶν πολὺν ἔχει λόγον. κατὰ συζυγίαν δὲ αἱ λοιπαὶ κατηγορίαι συντάττονται, διὰ τὴν πρὸς ἀλλήλας ἀπόνευσιν, ὥσπερ τὸ ποιεῖν καὶ τὸ πάσχειν. τῇ γὰρ ἐνεργείᾳ τοῦ κινοῦντος ἡ τοῦ πάσχοντος κίνησις συνέζευκται. οὕτως δὲ καὶ τὸ ποῦ καὶ ποτέ, ἀδελφά πως ἐστὶ πρὸς ἄλληλα, κοινὴν ἐπίσης παρέχοντα τὴν συντέλειαν πρὸς ὅλην τὴν γένεσιν, καὶ τοῖς κινουμένοις τὴν ἴσην χρείαν συμβαλλόμενα. προκείσθω δὲ πρὸ τοῦ ποῦ τὸ ποτὲ εἰς ἐπίσκεψιν, διὰ τὴν ἀριστοτέλους τοιαύτην ἀπαρίθμησιν. ἰστέον δὲ ὅτι, ὁ μὲν ἀριστοτέλης τὸν χρόνον καὶ τὸν τόπον τοῦ ποσοῦ θείς, τὸ ποτὲ καὶ ποῦ, ἰδίας ἐποιήσατο κατηγορίας. οἱ μέντοι ἀρχύτας, καὶ ἀνδρόνικος ἀκολουθῶν τῷ ἀρχύτᾳ, τῷ μὲν χρόνῳ τὸ ποτὲ συντάξαντες, τῷ δὲ τόπῳ τὸ ποῦ, οὕτως ἔθεντο τὰς δύο κατηγορίας, φυλάξαντες τὴν δεκάδα καὶ οὕτω τῶν γενῶν. δεῖ δὲ τοῖς ἑπομένοις τῷ ἀριστοτέλει δεῖξαι πρῶτον μέν, ὅτι τοῦ ποσοῦ ὁ χρόνος ἐστὶ καὶ ὁ τόπος. ἔπειτα τὸ ποτὲ καὶ ποῦ, οὐ χρόνον καὶ τόπον, ἀλλὰ σχέσιν πρὸς χρόνον καὶ τόπον δηλοῦσι. καὶ ὅτι ἀξία ἐστὶν εἰς ἀριθμὸν τῶν γενικωτάτων παραλαμβάνεσθαι. ὁ μέντοι πλωτῖνος συντάττων μὲν τὸ ποτὲ τῷ χρόνῳ, πέντε λέγων τὰς πάσας κατηγορίας. οὐσίαν. ποσόν. ποιόν. πρός τι. κίνησιν, ὤφειλεν ἢ τοῦ ποσοῦ δεῖξαι τὸν

χρόνον, ἢ τινὸς ἄλλης τῶν πέντε τούτων κατηγοριῶν, ἵνα μὴ μέλλοι τελέως ὁ χρόνος τῶν ὄντων ἐκβάλλεσθαι. ἀλλ' ὅτι μὲν ποσὸν αὐτὸν βούλεται εἶναι, ἐδήλωσεν ἐν τοῖς περὶ τοῦ ποσοῦ λέγων. Ὁ δὲ χρόνος, εἰ μὲν κατὰ τὸ μέτρον λαμβάνοιτο, ὑπό ποτε τὸ μέτρον ληπτέον. ἢ γὰρ τὴν ψυχήν, ἢ τὸν νοῦν. εἰ δὲ κατὰ τὸ μετρούμενον, εἰ μὲν κατὰ τὸ ποσὸν δὲ εἶναι, οἷον ἐνιαυτός, ἔσω ποσόν. κατὰ μέντοι τὸν χρόνον, εἶναι φύσις τις ἄλλη. τὸ γὰρ ποσὸν δὲ ἄλλο ὄν, ποσὸν δὲ ἐστίν. οὐ δὴ ποσότης ὁ χρόνος. ἡ γὰρ ποσότης οὐκ ἐφαπτομένη ἄλλου, αὐτὸ τοῦτο ἂν εἴη κυρίως ποσόν. Εἰ δὲ τὰ μετέχοντα πάντα τοῦ ποσοῦ ποσότητος θεῖτο, καὶ οὐσία ἔσται τὸ αὐτὸ καὶ ποσόν. ἐν δὲ τῷ τρίτῳ τῶν περὶ τῶν τοῦ ὄντος γενῶν, τόπον δέ φησι καὶ χρόνον, μὴ κατὰ τὸ ποσὸν ἐννοεῖσθαι, ἀλλὰ τὸν μὲν χρόνον, τῷ μέτρον κινήσεως εἶναι, τῷ πρός τι δοτέον. τὸν δὲ τόπον, σώματος περιεκτικόν. ὡς καὶ τοῦτον ἐν σχέσει καὶ τῷ πρός τι κεῖσθαι. ἐπεὶ καὶ ἡ κίνησις συνεχής, καὶ οὐκ ἐν ποσῷ ἐτέθη. ἰδίαν γὰρ αὐτοῖς ὁ Πλωτῖνος κατηγορίαν τὴν τῆς κινήσεως ἀφωρίσατο. ἐν μέντοι τῷ περὶ χρόνου, οὐκ αὐτὸν μέτρον, ἀλλὰ μᾶλλον μετρούμενον ἀποφαίνεται. εἴτε δὲ μέτρον, εἴτε μετρούμενον ἀποφαίνεται, ἄλλο ὂν τοῦ μετρεῖν καὶ μετρεῖσθαι, κατὰ συμβεβηκὸς ἂν ἔχοι τὸ μετρεῖν ἢ μετρεῖσθαι. ὥσπερ οὖν τὸ μετρούμενον ὑπὸ πήχεως οὐ λέγεται τί ἐστιν αὐτό, καὶ ὁ τὴν κίνησιν τίς ἀποδείκνυται μετρούμενον ὑφ' ὅτου, οὐ λέγει τίς ἐστιν αὐτὴ ἡ κίνησις, οὕτω καὶ ὁ μέτρον ἢ μετρούμενον λέγων, χρόνον οὐ λέγει. συμβεβηκὸς δέ, ὅ ἐστί τι τῷ χρόνῳ. ὃ δὲ εἰκόνα κινητὴν αἰῶνος αὐτὸν ὥσπερ ὁ Πλάτων φησίν, ἀναιρεῖ τὸ εἶναι πρός τι. καὶ γὰρ ὑπάρχει αὐτῷ τὸ μετρεῖν καὶ μετρεῖσθαι κατὰ σχέσιν, οὐκ ὄντι σχέσει ἀλλ' ἄλλῳ τινὶ πρὸ τῆς σχέσεως ὑφεστηκότι ὑπάρχει. οὔτε οὖν καθ' ἑαυτόν, οὔτε πρός τι καὶ οὗτος. τοιαῦτα μὲν τὰ πρὸς τὸν Πλάτωνα. δυνατὸν δὲ ὑπὲρ αὐτοῦ λέγειν, ὡς ἐν οὐσίαις ὁ χρόνος θεωρεῖται, μήτε ποσὸν ὄν, μήτε πρός τι. καὶ οὕτως ὑπὸ μίαν τῶν ὑπ' αὐτοῦ τεθεισῶν πέντε κατηγοριῶν ὑπαχθήσεται. εἰ γὰρ εἰκών ἐστι κινητὴ τοῦ αἰῶνος, ἀνάλογον καὶ αὐτὸς περιέχει τὰ τῇδε, ὥσπερ ὁ αἰὼν τὰ ὄντα. καὶ εἰ νοῦς ἐστιν ἐκεῖνος πασῶν νοήσεων καὶ πάντων εἰδῶν περιεκτικός, καὶ οὗτος πάντας τοὺς λόγους τῶν γινομένων ἐν ἑαυτῷ περιείληφε. καὶ εἰ ἐν στάσει καὶ τῷ μένειν ἐκεῖνος ἐν ἑνὶ ὥρισται, καὶ οὗτος ἐν τῷ κινεῖσθαι κατ' οὐσιώδη τινὰ ζωὴν καὶ κίνησιν, καὶ ἐν τῷ μεταβαίνειν ἀφ' ἑτέρου λόγου εἰς ἕτερον λόγον τὸ εἶναι ἔχει. ἅτε ἦν ἐν τοῖς τῆς ψυχῆς λόγοις καὶ τῇ τούτων μεταβατικῇ ἐνεργείᾳ ὁ χρόνος ὑφεστηκώς, ἐν τῷ αὐτῷ ἔσται γένει, ἐν ᾧπερ καὶ ὁ τῆς ψυχῆς λόγος. καὶ γὰρ εἰ μὲν τὴν κίνησιν τῶν λόγων ὥσπερ ἄλλοι τινὲς οὕτως καὶ ὁ Πλωτῖνος ἀπεδείκνυεν εἶναι οὐσιώδη, εἶχεν ἂν λέγειν, ὡς οὐχ ὑπὸ τὴν οὐσίαν, ἀλλ' ὑπὸ τὴν κίνησιν δεῖ τίθεσθαι τὸν χρόνον, κατὰ τὴν μεταβατικὴν κίνησιν τῆς ψυχῆς. εἰ δὲ οὐσιώδεις εἰσὶ τῶν λόγων ἐνέργειαι, κατ' αὐτοὺς ἔσται καὶ ὁ χρόνος ὑπὸ τὴν οὐσίαν. οὐσίαν δέ, τὴν μέσην τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν. καὶ οὕτως ἂν λέγοιτο ποτὲ μὴ δεόντως προστίθεσθαι ταῖς κατηγορίαις. εἶναι γὰρ αὐτὸ τοῦ χρόνου. τὸν δὲ χρόνον, ὑπὸ τὴν οὐσίαν τετάχθαι. ταῦτα δὲ δηλονότι λέγει, ὡς εἰ μὴ διεστῶτος τοῦ ποτὲ καὶ τοῦ χρόνου ἢ εἰ καὶ μὴ διεστήκασι, μὴ οὐ-

τῆς ἀξίου τοῦ ποτὲ τῆς θέσιν ἰδίας κατηγορίας. ἀλλὰ ταῦτα μὲν, μετ' ὀλίγον ἐξετασθήσεται. ὁ δὲ ἀριστοτέλης πεπεισμένος μὲν εἶναι τὸν χρόνον ἐκ τῆς ἐνεργείας αὐτοῦ, ἀσαφῆ δὲ τὴν οὐσίαν αὐτοῦ ὁρῶν, πολλαχῆ μὲν ἐπ' αὐτὸν ἦλθε. ποτὲ μὲν, ὡς ἐπὶ ἀριθμὸν κινήσεως. ποτὲ δὲ, ὡς ἐπὶ μέτρον. ποτὲ δὲ, ὡς ἐπὶ κινήσεως. ποτὲ δὲ, ὡς ἐπὶ ἠρεμίας. λαβὼν δὲ τὴν ὡς συνεχῆ πᾶσι προσπίπτουσαν ἔννοιαν, ἐν τῷ γένει αὐτὸν ἔθετο ἐκείνῳ, ἐν ᾧ τὸ συνεχὲς καὶ τὸ πηλίκον. τοῦτο δὲ ἦν τὸ ποσόν. ὥσπερ οὖν τὰ ἄλλα πάντα πηλίκα τε καὶ ποσὰ, τὰ μὲν, ὑπὸ τῶν καθ' ἕνα ἐν ἑαυτοῖς μετρεῖται ὡς ἄνθρωποι δέκα ὑπὸ τῶν καθ' ἕνα, τὰ δὲ, θεμένων τι μέτρον ἐπ' αὐτοῖς ἡμῶν. οἷον πόδα. καὶ χοῦν. καὶ μέδιμνον, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ χρόνος, ἐν τισὶ τῶν συνεχῶν ποσῶν τοῖς ἑαυτοῦ μέρεσι μετρεῖται, ὥσπερ ἐν ἐπιφανείᾳ πολλῇ. μέρος μὲν οὐδὲν ἀποτετμημένον, οὐδὲ περιγεγραμμένον θεωρεῖται, θεμένων δὲ ἡμῶν τι μέτρον ἐν αὐτῷ, ἔχει καὶ αὐτὸ περιγραφὴν τὴν κατ' ἐκεῖνο τὸ μέτρον, οἷον πόδα καὶ τὰ ἄλλα μέτρα, οὕτω καὶ ὁ χρόνος, τι θεμένων ἡμῶν ἐλάχιστον πρὸς αἴσθησιν χρόνον τῶν τοῖς ἀπλατέσιν ὁριζόμενον, οἷον ὥραν, ἢ τὸν καλούμενον ὑπὸ τῶν γνωμονικῶν χρόνον, τούτῳ μετρεῖται. τινὰ δὲ καὶ μείζοσιν ὅροις περιγράφομεν φυσικῶς. οἷον ἡμέρᾳ, νυκτί. καὶ τῇ ἐξ ἀμφοῖν τοῦ, ὁ ἥλιος περιόδῳ. καὶ μηνὶ, καὶ ἐνιαυτῷ. καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. ἔστι μὲν οὖν συμφυὲς αὐτῷ τὸ πηλίκον ποσόν. καὶ μὲν ἡ ἐνιαυτὸς, ποσόν. τὸ δὲ μετρεῖν καὶ μετρεῖσθαι, καὶ ὅλως τὸ πρός τι, ἐπείσακτον ἔχει. διὰ τοῦτο οὐκ ἐν τῷ πρός τι, ἀλλ' ἐν τῷ ποσῷ τῷ συμφυεῖ τὸν χρόνον ἔταξεν. ὅσα δὲ πρὸς τὰ μέτρα τὰ χρονικὰ τὴν σχέσιν ἔχει, ταῦτα ἄλλης κατηγορίας ἠξίωσε. πρὸς μὲν γὰρ τὸ νυχθήμερον, ἔχει πως τὸ χθὲς, ἢ αὔριον. τὸ μὲν, πρὸς τὸ παρεληλυθόν. τὸ δὲ, πρὸς τὸ μέλλον. πρὸς δὲ τὴν ἀπ' ἀνατολῆς ἕως δυσμῶν φορὰν, τὸ τήμερον. πρὸς δὲ τὸν ἡλίου κύκλον, τὸν μὲν παρεληλυθότα, τὸ πέρυσι. τὸν δὲ ἐνεστῶτα, τὸ τῆτες. λοιπὸν δὲ καὶ ἀορίστως. πρὸς μὲν τὸ παρὸν, τὸ ἤδη καὶ τὸ ἄρτι. πρὸς δὲ τὸ παρεληλυθὸν, τὸ πάλαι. πρὸς δὲ τὸ μέλλον, τὸ οὔπω. γένος οὖν ἄλλο κατὰ ταῦτα πολλὰ ὄντα συνεστήσατο τὸ ποτέ. Ταύτην μὲν οὖν τὴν λύσιν φησὶν ὁ ἰάμβλιχος, συνευπορησάντων ἑτέρων παρειλήφαμεν. ἡμεῖς δέ φησι καθ' ἑαυτοὺς μετιόντες, τὴν περὶ τούτων πραγματείαν, οὔτε ἀκατάληπτον τὴν οὐσίαν φαμὲν τοῦ χρόνου, ἀλλὰ προδήλως ἐν τῷ ποσῷ κειμένην. πρὸς γὰρ τοῖς ἄλλοις καὶ μάχεται πρὸς ἑαυτὸ τὸ εἰρημένον. ὅτι ἡ οὐσία μὲν τοῦ χρόνου, οὐκ ἔστι ποσόν. ἰδίως δὲ αὐτῷ συμφυές ἐστι τὸ ποσόν. πᾶν γὰρ τὸ συμφυὲς, κατ' οὐσίαν ἐνυπάρχει. καὶ τὸ κατ' ἰδιότητα τοῦ εἶναι συνυπάρχον, οὐκ ἔξω τῆς οὐσίας ἀφέστηκεν. οὐ μέντοι οὔτε τῷ χρόνῳ ταὐτὸν τὸ ποτὲ, ἀλλ' εἴπερ ἄρα τῇ σχέσει τῇ πρὸς τὸν χρόνον. κυρίως γὰρ ἀφορίζεται ἐν τῷ διΐστασθαι μὲν τοῦ χρόνου, κατὰ τὸ ἐν χρόνῳ δὲ θεωρεῖσθαι. ὁ δὲ χρόνος ὅτι ποσὸν, δεικτέον οὕτως, οὐ μόνον μετρεῖ τὴν κίνησιν, ἀλλὰ καὶ μετρεῖται ὑπ' αὐτῆς ὥσπερ ἀριστοτέλης φησίν. εἰς γὰρ τὰ μεταξὺ σύμπαντα καὶ τὸ τούτων πλῆθος καὶ μῆκος, καὶ τὰς μακρὰς καὶ βραχείας κινήσεις ἀποβλέποντες, τὸν πλείω καὶ ἐλάττω χρόνον ὁρίζομεν. ὥσπερ καὶ τὸ μέγεθος πάλιν καὶ τὴν κίνησιν

ἀλλήλοις μετροῦμεν. πολλὴν γὰρ φαμὲν ὁδὸν, ἧς ἡ πορεία πολλή. πολλὴν δὲ πάλιν πορείαν, ὅταν ἡ ὁδὸς μῆκος ἔχῃ ἱκανόν. καὶ τοῦτο συμβαίνει εὐλόγως. ἀκολουθεῖ γὰρ τῷ μὲν μεγέθει, κίνησις. ταύτῃ δὲ, ὁ χρόνος. συνεχῆ γὰρ καὶ διαιρετὰ ὁμοίως τὰ τρία. ποσὸν ἄρα καὶ ὁ χρόνος, ἐπειδὴ ἕκαστα συγγενῆ μετρεῖται. μονάδες γοῦν μονάσι, καὶ αἱ πᾶσαι κινήσεις, μετρηθήσονται κινήσει. τίς οὖν ἤδε, εἰ μὴ ἡ κυκλοφορία. ὁμαλὴς γοῦν αὕτη. καὶ δεῖ τὸ μέτρον ὁμαλές τε καὶ ὡρισμένον ὑπάρχειν. ἐπεὶ οὖν ὁ χρόνος κινήσει μετρεῖται, ἡ κυκλοφορία καὶ τοῦ χρόνου ὥσπερ καὶ τῶν κινήσεων, ἔσται μέτρον. τούτῳ δὲ ὁμολογεῖ καὶ τὰ εἰωθότα λέγεσθαι, ὅτι κύκλῳ τὰ ἀνθρώπεια καὶ τὰ γινόμενα πάντα. καὶ ὡς ὁ χρόνος κύκλος τίς καὶ περίοδος ὥσπερ καὶ τὰ ἐνιαυτῶ. καὶ γοῦν τοιαύτης ἐστὶ φορᾶς μέτρον. καὶ μετρεῖται καὶ αὐτὸς ὑπὸ τοιαύτης. καὶ ὁ ἀριστοτέλης οὖν εἰδὼς ἐν ταῖς κοιναῖς ἐννοίαις σαφῶς τοῦτο διωρισμένον, τὸ συνεχῆ εἶναι τὸν χρόνον καὶ ποσὸν, ἐχρήσατο αὐτῷ ὡς κοινῷ ἀξιώματι. ὅθεν δὴ καὶ τὰ μὴ πεφυκότα κινεῖσθαι μηδὲ ἠρεμεῖν, ἀλλὰ φύσει ἀκίνητα ὄντα, οὐδαμῶς φησὶν ἐν χρόνῳ εἶναι, οἷά ἐστι τὰ νοήματα. ἐπεὶ δὲ ἔστιν ἡ κίνησις ἐν χρόνῳ, δεῖ καὶ τὴν ἠρεμίαν εἶναι ἐν χρόνῳ. μέτρον γὰρ καὶ ταύτῃ ὁ χρόνος. οὐ γὰρ πᾶν τὸ ἀκίνητον ἠρεμοῦν, ἀλλὰ τὸ πεφυκὸς μὲν κινεῖσθαι, πρὸς καιρὸν δὲ τῆς κινήσεως στερόμενον. εἰ οὖν καὶ ἀρχὴν ἔχει χρονικὴν ἡ ἠρεμία, καὶ τέλος δηλονότι, χρόνῳ καὶ αὕτη μετρεῖται. προηγουμένως δὲ, κινήσεώς ἐστι μέτρον ὁ χρόνος. ὥσπερ δὲ τὸ εἶναι ἐν ἀριθμῷ ταυτόν ἐστι τῷ μετρεῖσθαι, τὸ εἶναι τοῦ πράγματος ἀριθμῷ, οὕτως καὶ τὸ εἶναι ἐν χρόνῳ ταυτόν ἐστι τῷ μετρεῖσθαι τὸ εἶναι τοῦ πράγματος χρόνῳ. πάλιν οὖν ποσοῦ συνεχοῦς καὶ κινήσεως συνεχοῦς μέτρον ὁ χρόνος. ὥστε εἰκότως αὐτὸν ἐν τῷ ποσῷ καὶ τῷ συνεχεῖ ἀφοριζόμεθα. διὸ καὶ ὁ ὁρισμὸς αὐτοῦ οἰκείως ἀποδέδοται ἀριθμὸς κινήσεως πάσης, καὶ μέτρον τοῦ ἐν κινήσει προτέρου καὶ ὑστέρου. καὶ κατὰ τὰς παλαιὰς δὲ δόξας, ἡ αὐτὴ ἔννοια φαίνεται τοῦ χρόνου. ἢ γὰρ κίνησις, ἢ κινήσεώς τι. ἤτοι χωριστὸν ἢ ἀχώριστον τὸν χρόνον ὑπολαμβάνουσι. πλάτων μὲν γὰρ τὸ ποσὸν τῆς κινήσεως εἰπὼν τὸν χρόνον, ἀχώριστόν τι αὐτὸν ὑπέθετο τῆς κινήσεως. θεόφραστος δὲ, συμβεβηκός τι. καὶ ὁ ἀριστοτέλης ἀριθμὸν εἰπὼν, ὡς χωριστὸν ἐθεάσατο. ἡ νίκα δὲ ἕξιν ἢ πάθος κινήσεως λέγει, ὡς ἀχωρίστῳ καὶ αὐτοὶ ἐχρήσαντο. ἀλλὰ τούτων μὲν ὡς διὰ τὸ ἀκριβὲς τὴν εἰσαγωγικὴν πραγματείαν ὑπερβαινόντων, οὐκ ἐφάπτεται νῦν. τὸ μέντοι συνεχῆ καὶ ποσὸν εἶναι τὸν χρόνον, ὡς κοινὸν ἀξίωμα λαμβάνει. ἀριθμὸν δὲ αὐτὸν, οὐ τὸν τῶν μονάδων εἶπεν, ἀλλ᾽ ἀντὶ τοῦ μέτρου τῷ ἀριθμῷ κέχρηται. τὸ γὰρ μετρεῖν τῷ ἀριθμεῖν, οὐ ταυτόν. μέτρον δέ ἐστι τοῦ ἐν τῇ κινήσει προτέρου καὶ ὑστέρου, ὁποία ποτε ἂν ἡ κίνησις. εἴτε κατὰ γένεσιν καὶ φθορὰν, εἴτε κατὰ αὔξησιν καὶ μείωσιν. εἴτε κατὰ ἀλλοίωσιν, εἴτε κατὰ τὴν κατὰ τόπον μεταβολήν. ὅτι δὲ συνεχὲς ποσὸν ὁ χρόνος καὶ οὐ διωρισμένον, δῆλον ἐκ τοῦ, πᾶν τὸ λαμβανόμενον αὐτοῦ μέρος διαιρετὸν εἶναι. οὐ γὰρ καταλήγομεν διαιροῦντες εἰς ἀδιαίρετόν τι, ὥσπερ ἐπὶ τοῦ ἀριθμοῦ εἰς τὴν μονάδα ἀδιαίρετον οὖσαν. δῆλον καὶ ὅτι τῷ μεγέθει καὶ τῇ κινήσει ἀκολουθεῖ, ἅπερ συνεχῆ ἐστὶν ὁμολογουμένως. ὥστε οὔτε ἀκατάληπτον ἡγεῖται τὸν χρόνον

ὁ Ἀριστοτέλης, οὔτε ἄλλο τι τὴν φύσιν αὐτοῦ παρὰ τὸ ποσὸν ἡγεῖται. καὶ γὰρ καὶ ἄλλως ἀπορήσειεν ἄν τις, ὡς εἴρηται, τὴν μὲν οὐσίαν τοῦ χρόνου μὴ νομίζειν ποσόν. συμφυὲς δὲ αὐτὸ τὸ ποσὸν ὑπολαμβάνειν. πᾶν γὰρ συμφυὲς οὐκ ἔξω τῆς οὐσίας ἐστίν. ἀλλ᾽ οὐδὲ τὰ ἀπολαμβανόμενα τοῦ χρόνου φυσικὰ μέρη, οἷον τὴν ἡλίου καὶ σελήνης περίοδον, ταῦτα πότε ἐποίησεν ἄλλο γένος τῆς κατηγορίας. ἀλλὰ ταῦτα μὲν τὸν χρόνον συμπληροῖ, καὶ μέροις περιλαμβάνεται. ὅταν δέ τι πρᾶγμα ἕτερον ὂν τοῦ χρόνου, καὶ οὐχ ὡς μέρος χρόνου λαμβανόμενον, σχέσιν ἔχει πρὸς χρόνον, καὶ διὰ τοῦτο ἐν χρόνῳ ἐστίν, ὥσπερ ἡ ἐν Σαλαμῖνι ναυμαχία ἐν τῷδε τῷ χρόνῳ, τότε ἄλλη κατηγορία γίνεται ἡ τοῦ πότε, ἄλλη οὖσα παρὰ τὸ ποσόν. καὶ αὕτη μὲν ἡ Ἀριστοτέλους δόξα. Ἀρχύτας δὲ καὶ Ἀνδρόνικος, ἰδίαν τινὰ φύσιν τὴν τοῦ χρόνου θέμενοι, ὁμοῦ τούτῳ συνέταξαν τὸ πότε, ὡς περὶ τὸν χρόνον ὑφιστάμενον. αὐτὰ γοῦν τὰ προηγούμενα τῆς ὑποστάσεως πρῶτα γένη περὶ ἃ τὰ ἄλλα ὑφίσταται, πρόκειται αὐτῷ ὡς ἀρχηγικώτατα λαμβάνειν. ἐπεὶ τοίνυν ὁ μὲν χρόνος τοῦ πότε, ὁ δὲ τόπος τοῦ ποῦ. καὶ αὐτὸ τὸ εἶναι προτέτακται, διότι τοῖς αὐτοῖς ὡς προηγουμένοις γένεσι χρῆται, παραλιπὼν τὰ ἐν αὐτοῖς περιεχόμενα ὡς δεύτερα ἐκείνων ὄντα. δέδεικται οὖν ἐκ τῶν εἰρημένων, ὅπως μὲν Ἀριστοτέλης ἐν ἄλλῃ κατηγορίᾳ τὸ πότε τίθεται ταῖς διαφοραῖς τῶν σημασιῶν προσέχων. ὅπως δὲ Ἀρχύτας τῷ χρόνῳ συνέταξε τὸ πότε πρὸς τὴν κατὰ τὰ πράγματα συγγένειαν ἀποβλέπων. πῶς δὲ Πλωτῖνος ἀνεῖλε τὴν τοῦ πότε κατηγορίαν, διὰ τὸ συνάγειν εἰς βραχύτερον ἀριθμὸν τὰ πρῶτα γένη, καὶ μὴ πάνυ τι ἐνδιδόναι ταῖς τῶν νοήσεων καὶ σημασιῶν παραλλαγαῖς. ἀλλ᾽ ἐπὶ τὰς ἀπορίας λοιπὸν ἰτέον τὰς φερομένας πρὸς τὸ πότε. καὶ τὰς λύσεις αὐταῖς ἐπακτέον. ὅταν οὖν οἱ περὶ Πλωτῖνον καὶ Ἀνδρόνικον τὸ χθὲς καὶ αὔριον καὶ πέρυσι, μέρη χρόνου λέγωσι, καὶ διὰ τοῦτο ἀξιῶσι τῷ χρόνῳ συντετάχθαι, φήσομεν οὐκ εἶναι αὐτὰ μέρη χρόνου, ἀλλὰ σχέσιν περιέχειν τῶν ἐν τῷ χρόνῳ ὄντων πραγμάτων. ἄλλο δέ ἐστι τούτων ἑκάτερον. ἀλλ᾽ εἰ χρόνος φασὶ παρεληλυθὼς τὸ χθές, ἢ μέρος χρόνου, σύνθετόν τι ἔσται. ἢ ἕτερον τὸ παρεληλυθὸς καὶ ἕτερον ὁ χρόνος. καὶ δύο κατηγορίαι ἔσονται καὶ οὐχ ἁπλοῦν τὸ πότε. ἢ τῷ αὐτῷ λόγῳ φήσομεν, εἰ ἕτερον τὸ ζῷον, καὶ ἕτερον τὸ λογικόν, καὶ ἕτερον τὸ θνητόν, οὐχ ἁπλοῦν ἔσται, ἀλλὰ τρεῖς κατηγορίαι. εἰ δὲ ἐν αὐτοῦ τούτου ἑνὶ τῷ εἴδει τὰ τρία συλλαμβάνομεν, καὶ ὁ χρόνος καὶ τὸ παρεληλυθὸς εἰς ἓν πρᾶγμα συντελεῖ, καὶ οὐ ποιεῖ δύο κατηγορίας. μήποτε δὲ οὐδὲ ὁ χρόνος ἁπλῶς παρεληλυθώς ἐστι τὸ χθές, οὐδὲ ἔννοιαι πλείονες ἔσονται τὸ συνέχουσιν αὐτὸ τοῦτο. κατ᾽ αὐτὴν γοῦν μόνην τὴν σχέσιν τοῦ πράγματος, πρὸς τὸν χρόνον τὸ χθὲς ἀποδίδοται. ἀλλ᾽ εἰ τὸ πότε φασὶ τὸ ἐν χρόνῳ λέγεσθαι, τοῦτο τὸ ἐν χρόνῳ, εἰ μὲν πράγματί φατε, οἷον τὸν Σωκράτην ὅτι πέρυσιν ἦν ὁ Σωκράτης, ἄλλης ἐστὶ κατηγορίας. εἰ δὲ τὸν χρόνον, καὶ οὗτος ἄλλης. εἰ δὲ τὸ σύνθετον, οὐκ ἔσται μία κατηγορία. ἢ οὔτε τὰ πράγματα τὰ ἐν χρόνῳ, οὔτε αὐτὸς ὁ χρόνος, οὔτε τὸ σύνθετον ἐξ ἀμφοῖν ἀποδίδωσι τὴν τοῦ πότε κατηγορίαν. ψιλὴ δὲ ἡ σχέσις τοῦ πράγματος πρὸς τὸν χρόνον. διὸ οὔτε μέρη χρόνου παραληψόμεθα ἐν τῷ πότε, οὔτε τὰ πράγματα. ἀλλ᾽ ἔσται καὶ τοῦτο ἁπλοῦν ὥσπερ καὶ τὰ ἄλλα γένη. καὶ βοη-

Universitäts- und
Landesbibliothek Düsseldorf

θός δὲ, ἄλλο μὲν τὸν χρόνον ὑποτίθεται, ἄλλο δὲ τὸ μετέχον χρόνου, καὶ ἐν χρόνῳ. καὶ εἶναι μὲν ἐνιαυτὸν, καὶ μῆνα, καὶ χρόνον. ἐνιαυσιαῖον δὲ καὶ μηνιαῖον, μετέχον χρόνου. ὥσπερ ἄλλης κατηγορίας φρόνησις, καὶ τὸ κατὰ φρόνησιν, οἷον ἐστὶ τὸ φρόνιμον ἄλλης. καὶ τὸ μὲν ἐστι, ποιότητος. τὸ δὲ, τοῦ ποιοῦ. οὕτως καὶ ὁ χρόνος καὶ τὸ κατὰ χρόνον διέστηκεν. ἐπειδὴ τινὲς ἐκ τῆς τοῦ πράγματος ἀσαφείας διεστηκότα ταῦτα εἰς ταυτὸ συγχέουσι, λεκτέον ἔτι καὶ πρὸς τούτους παραμύθιον. ὅτι τὸ ποτὲ, διττόν ἐστι. τὸ μὲν, χρόνος. τὸ δὲ, ἰδίως ἐν χρόνῳ. ὁμοίως δὲ καὶ τὸ ἀεί. τὸ μὲν ἐν χρόνῳ, καθὸ λέγομεν ἀεὶ ἐστι πρᾶξις. τὸ δὲ χρόνος, παρώνυμον τοῦ αἰῶνος. ὁμοίως δὲ καὶ τὸ πέρυσι διττόν. τὸ δὲ εἰς νέωτα καὶ τῆτες, οὐκέτι. ἀλλὰ τὸ ἐν χρόνῳ μόνον δηλοῦσι. καὶ χρόνου μὲν διαφορὰς τίθενται. παρεληλυθότα. ἐνεστῶτα. μέλλοντα. τοῦ ποτὲ δὲ διαφορὰς, τὸ πέρυσιν. εἰς νέωτα. τῆτες. τὸ δὲ πάλαι, ὅταν μὲν λέγωμεν ὁ πάλαι ὤν, χρόνον δηλοῖ. ὅταν δὲ πάλαι ἔπραξεν, ἐν χρόνῳ. ὁμοίως δὲ καὶ τὸ ἄρτι, καὶ νῦν, καὶ τὸ ἤδη, καὶ χρόνον δηλοῖ, καὶ ἐν χρόνῳ. τὸ δὲ χρονίζειν τὸ ἐν χρόνῳ, οὐ τὸν χρόνον. οὐ γὰρ χρονίζει χρόνος. ὅτι μέντοι ἐστὶν ἐν χρόνῳ χρόνος, καὶ ἔστι τοῦ ποτὲ τὸ χρονίζειν, κἂν σχηματίζηται τοῦ ποιεῖν. καὶ γὰρ ὁ τεμνόμενος χρονίζει. καὶ ὁ τέμνων. ὥσπερ καὶ ταχύνειν καὶ βραδύνειν λέγομεν. καὶ ὁ μὲν χρόνος, ἄπειρος. τὸ δὲ ποτὲ, πεπέρασται. ὅτι καὶ ἡ ἐν αὐτῷ πρᾶξις πεπέρασται. διὸ τῶν θείων τὸ ποτὲ ἐξώρισται. ἀλλὰ ταῦτα μὲν προσιστορείσθω, τῆς συνηθείας τῶν ὀνομάτων ἕνεκεν. περὶ δὲ τοῦ ποτὲ καὶ τοῦ ποῦ, θαυμάζω μάλιστα τὴν ἀριστοτέλους ἀγχίνοιαν. ὅπως καίτοι τὰ ἄλλα τῷ ἀρχύτᾳ κατακολουθῶν, ὅμως τὴν τοῦ ἐν χρόνῳ καὶ ἐν τόπῳ διαφορὰν ἐθεάσατο, δυνάμενα εἰς γένη διαφορὰ τίθεσθαι. ἀλλ᾽ ἐκεῖνο πρόχειρον ἀπορεῖν. πῶς πολλῶν ὄντων τῶν ἔν τινι, καὶ τό γε ἐλάχιστον ἐνδεκαχῶς λεγομένων, δύο μόνα ταῦτα τῶν ἔν τινι, τὰ ἐν χρόνῳ καὶ ἐν τόπῳ ἰδίας ἡμῖν κατηγορίας ἐχαρακτήρισε. λέγεται δὲ ἔν τινι, ὡς τὸ συμβεβηκὸς ἐν τῇ οὐσίᾳ. καὶ ὅλως τὸ ἐν ὑποκειμένῳ. καὶ ὡς τὰ μέρη ἐν τῷ ὅλῳ, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι. καὶ ὡς τὸ εἶδος ἐν τῇ ὕλῃ. καὶ ἔτι μέντοι, ὡς τὸ γένος ἐν τοῖς εἴδεσι, καὶ τὰ εἴδη ἐν τῷ γένει. καὶ πρὸς τούτοις, τὰ τῶν ἀρχομένων ἐν τῷ ἄρχοντι, καὶ τὰ τοῦ ἄρχοντος ἐν τοῖς ἀρχομένοις. καὶ τὸ ὡς ἐν ἀγγείῳ. καὶ ταῦτα τὰ νῦν προκείμενα. τό, τε ἐν τόπῳ, καὶ τὸ ἐν χρόνῳ. τοσαυταχῶς οὖν λεγομένου τοῦ ἔν τινι, διατί κατὰ μόνας τὰς δύο σχέσεις ταύτας, ἴδιαι κατηγορίαι συνέστησαν. εἰ γὰρ ἄλλο τὸ λευκὸν καὶ ἄλλο τὸ σῶμα, καὶ ἄλλό τι τὸ εἶναι τὸ λευκὸν ἐν τῷ σώματι, ἀναλογεῖ δὲ τὸ μὲν λευκὸν, τῷ σωκράτει, τὸ δὲ σῶμα, τῷ χρόνῳ. τὸ δὲ ἐν σώματι εἶναι τὸ λευκὸν, τῷ ἐν χρόνῳ εἶναι τὸν σωκράτην, διατί μὴ καὶ κατὰ τοῦτο τὸ ἔν τινι ἰδία συνέστη κατηγορία. Ἀπορεῖ δὲ καὶ ὁ πλωτῖνος ἐν τοῖς περὶ τοῦ ποῦ, τοῦτο λέγων. εἰ τὸ ἐν χρόνῳ ἄλλο, καὶ τὸ ἐν τόπῳ ἄλλο παρὰ χρόνον καὶ τόπον, διατί οὐχὶ καὶ τὸ ἐν ἀγγείῳ, ἄλλην ποιήσει κατηγορίαν. καὶ τὸ ἐν ὕλῃ ἄλλην, καὶ τὸ ἐν ὑποκειμένῳ ἄλλην. καὶ τὸ ἐν ὅλῳ μέρος. καὶ τὸ ὅλον ἐν μέρει. καὶ γένος ἐν εἴδεσι. καὶ εἶδος ἐν γένει. καὶ οὕτως ἡμῖν πλείους ἔσονται αἱ κατηγορίαι. Λύων δὲ τὴν ἀπορίαν ταύτην ὁ ἰάμβλιχος, τὸ μὲν ὡς ἐν ἀγγείῳ, καὶ ὡς ἐν ὕλῃ, καὶ ὡς ἐν ὑποκει-

μένῳ, τῷ πῶς καὶ ἐμφαίνειν σχέσεις φησί. τὸ δὲ ὅλον πρὸς τὰ μέρη, καὶ τὰ μέρη πρὸς τὸ ὅλον, τὴν τοῦ πρός τι σχέσιν ἔχει. ὡσαύτως δὲ καὶ τὸ γένος πρὸς τὸ εἶδος, καὶ τὸ εἶδος πρὸς τὸ γένος, οὐδὲν ὅμοιον ἐχούσης τῆς τοῦ πρός τι σχέσεως, τῇ πρὸς τόπον καὶ τῇ πρὸς χρόνον. ἀλλ' ἐρεῖ τις οἶμαι, ὅτι καὶ ἄλλο μὲν ἐν ἑαυτοῖς τὸ πρός τι θεωρεῖται, καὶ ἄλλο δὲ τὸ ἔν τινι εἶναι. καὶ γὰρ καὶ τὸ ἐν τόπῳ, καθ' ὅσον αὐτὸ μὲν χωρεῖται, ὁ δὲ τόπος χωρεῖ, τῶν πρός τι ἂν εἴη. πῶς δὲ καὶ τὸ ὡς ἐν ὕλῃ, καὶ τὸ ὡς ἐν ἀγγείῳ ταὐτὸν ἂν εἴη τῷ ἐν τόπῳ.

Μήποτε οὖν ῥητέον, ὅτι οὐ πᾶν τὸ ἔν τινι κατηγορίας ἐστὶν ἰδικῆς ἄξιον, ἀλλ' ἐκεῖνα μόνα, ἐν οἷς τὸ μὲν, περιέχει. τὸ δὲ, περιέχεται. ἑκατέρου τὴν ἑαυτοῦ φύσιν διασώζοντος, καὶ μήτε ἑτέρου μέρους τοῦ ἑτέρου γινομένου, μήτε συμπληροῦντος τὸ ἕτερον. ἐν γὰρ τούτοις μόνοις, ἄλλο τὸ ἔν τινι φύσις τίς ἀφωρισμένη ἐστὶ κατὰ τὴν σχέσιν αὐτὴν ὑφεστῶσα, ὅταν καὶ τὸ καθόλου πάντως ὑπάρχειν δεῖ. οἷον τὸ ἐν τόπῳ εἶναι καὶ ἐν χρόνῳ τὸ σῶμα. ἀλλὰ τοῦ γεωμετρικοῦ χρόνου καὶ τόπου χωριζόμενα, τὸ ἐν αὐτοῖς ὑφέστηκεν. ἔτι τὰ μέντοι ἄλλα σημαινόμενα τοῦ ἔν τινι, τὰ μὲν, συμπληρωτικά ἐστιν, ὡς τὰ μέρη καὶ τὸ ὅλον. καὶ τὰ γένη καὶ τὰ εἴδη. καὶ τὸ ἄρχον καὶ τὸ ἀρχόμενον. τὰ δὲ, οὐ δυνάμενα χωρὶς ὑποστῆναι. ὡς τὸ ἐν ὕλῃ εἶδος, καὶ τὸ ἐν ὑποκειμένῳ συμβεβηκός. ὅπερ καὶ μορφὴ τοῦ ὑποκειμένου γίνεται. διὸ καὶ καλεῖται κατ' ἐκεῖνο τὸ ὑποκείμενον. οἷον λευκὸν καὶ ηὐξημένον. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ὁμοίως, τῶν τῇ οὐσίᾳ ὑπαρχουσῶν. πῶς ἂν εἴη τὸ ἕτερον ἐν ἑτέρῳ κυρίως, ὅτε μὴ δὲ ἔστιν ἁπλῶς ἕτερα ἀλλήλων κεχωρισμένα καθ' ὑπόστασιν, ἀλλὰ κατ' ἐπίνοιαν μόνην, καθ' ἣν τὰ γένη χωρίζομεν. τὰ μέντοι ἐν χρόνῳ καὶ ἐν τόπῳ, ἕτερά ἐστι τοῦ τόπου καὶ τοῦ χρόνου. τοιγαροῦν καὶ ἄλλοτε ἐν ἄλλῳ γίνεται τὰ αὐτὰ ἀριθμῷ. ἐν ὑποκειμένῳ δὲ ἄλλοτε ἄλλῳ τὸ αὐτὸ κατ' ἀριθμὸν γενέσθαι, ἀδύνατον. καὶ τὸ ἐν ἀγγείῳ δὲ, ἐν τόπῳ ἐστί. τόπος γὰρ περιφορητός ἐστι τὸ ἀγγεῖον. διὰ τοῦτο δὲ οἱ ὀνοματοθέται ἐπὶ τοῦ ποτὲ, ὀνόματα διάφορα τεθείκασι. τὸ χθές. καὶ αὔριον. καὶ πέρυσι. καὶ τῆτες. καὶ ἐς νέωτα. καὶ ἐπὶ τοῦ ποῦ. ἐν Λυκείῳ. ἐν ἀγορᾷ. ἐπὶ μέντοι τῶν ἄλλων ἔν τινι, οὐ τὸ λευκὸν ἐν τῷ σώματι λέγειν ἔθος, ἀλλὰ τὸ σῶμα λευκόν. καὶ ἡ κεφαλὴ, ζῴου. καὶ ὁ ἄνθρωπος, ζῷον. καὶ τὸ ἐξ ὕλης καὶ εἴδους, τὸ σύνθετον. ἀλλὰ τοῦτο μὲν οὕτω τέως ἐμοὶ δοκεῖ διαλύεσθαι. εἰ δὲ καὶ ἄλλως δύναταί τις, εὖ ἂν ἔχοι. τὴν δὲ τοῦ χρόνου φύσιν θεωρητικώτερον παραδιδοὺς ὁ Ἰάμβλιχος, τὸν Ἀρχύταν πάλιν ἡγεμόνα προΐσταται.

» ὅς φησιν, ὅτι ἔστιν ὁ χρόνος, κινάσιός τινος ἀριθμός. ἢ καὶ καθόλω, διάστημα τᾶς τῶ

» παντὸς φύσιος. οὐ τὴν Ἀριστοτέλους καὶ τῶν στωϊκῶν δόξαν ἀνίσταται τὸ συλλαμβάνων, ὥς τινες οἴονται. διότι ὁ μὲν Ἀριστοτέλης, ἀριθμὸν κινήσεως εἶναί φησι τὸν χρόνον. τῶν δὲ στωϊκῶν, Ζήνων μὲν, πάσης ἁπλῶς κινήσεως διάστημα τὸν χρόνον εἶπε. Χρύσιππος δὲ, διάστημα τῆς τοῦ κόσμου κινήσεως. οὐ γὰρ δύο ὅρους ἐνταῦθα συνάπτει, ἀλλ' ἕνα ὁρισμὸν ποιεῖται καὶ ἰδιάζοντα τοῦτον παρὰ τὰς τῶν ἄλλων ἀποφάσεις. οὐ γὰρ εἶπε κινήσεως ἀριθμὸν τῆς πάσης, ὥσπερ Ἀριστοτέλης ἀφωρίσατο, ἀλλὰ καὶ κινήσεώς τινος. οὐ τῶν ἐν μέρει δὲ οἷον, τῆς τοῦ οὐρανοῦ, ἢ τῆς τοῦ ἡλίου, ἢ ἄλλης τινὸς ἐν τοῖς καθ' ἕκαστα διωρισμένης. ἐπεὶ οὕτως, οὔτε ἀρχηγικὸς ἔσται ὁ χρόνος, οὔτε κοινὸς ἐπὶ πάντα διατεί-

νων, οὔτε ἐν τοῖς πρώτοις γένεσιν ἀφορίζεσθαι ἄξιος, ἀλλ' ἐμφαίνει πάντως διὰ τούτου κίνησιν ἀρχοειδῆ, καὶ ταῖς ἄλλαις κινήσεσι τοῦ εἶναι αἰτίαν. καὶ γὰρ εἰώθασι πανταχοῦ προτάττειν τὰ καθ' ἓν εἶδος προϋπάρχοντα, καὶ ὁμωνύμως τῶν μεθ' ἑαυτὰ κατηγορούμενα. οἷον τὸν λόγον αὐτὸν τοῦ ἀνθρώπου, τῶν πολλῶν ἀνθρώπων. οὕτως οὖν καὶ ἐν τούτοις, μίαν κίνησιν προτάττει τῶν πολλῶν κινήσεων αἰτίαν. ἣν αὐτοκίνητον ἔδει κατὰ Πλάτωνα, ἢ ἀκίνητον κατὰ Ἀριστοτέλην πάντως εἶναι, ἀρχὴν οὖσαν κινήσεων. ὥστε ἔοικε διὰ τούτου, τὴν οὐσιώδη τῆς ψυχῆς κίνησιν ἐμφαίνειν, καὶ τὴν τῶν κατ' οὐσίαν ὑπαρχόντων αὐτῇ λόγων προβολὴν καὶ μετάβασιν ἀπ' ἄλλων εἰς ἄλλους. ταύτην γὰρ μίαν καὶ τινὰ κίνησιν τῷ χρόνῳ φησὶ προσήκειν. ἀριθμὸν δὲ αὐτῆς λέγει, τὸν ἤδη γενεσιουργὸν, καὶ προϊόντα εἰς ποίησιν τῶν ἐν τῷ κόσμῳ. ὅστις διεξόδους καὶ μεταβάσεις ποιεῖται ἀεὶ, κατὰ τὰς προσβολὰς τῶν φυομένων ἐξ αὐτοῦ. ὃς καὶ ἐναργής ἐστι χρόνος. οὗτος δὴ οὐ πολὺ διέστηκε τοῦ παρὰ Ἀριστοτέλει λεγομένου ἀριθμοῦ. ἐκεῖνος μὲν γὰρ μέτρον αὐτὸν τοῦ συνεχοῦς ἔξωθεν ἐπιγινόμενον θεωρεῖ. οὗτος δὲ, μέτρον αὐτῆς ποιεῖται τῆς κινήσεως αὐτοφυὲς, καὶ οὐκ ἔξωθεν ὥσπερ ἐκεῖνος. καὶ ἔοικε φησὶν Ἰάμβλιχος ἀπὸ τῆς Πυθαγορικῆς παραδόσεως ἡ περιπατητικὴ δόξα παραγεγράφθαι. τὸ δὲ αἴτιον, ὅτι περὶ τοῦ ἀριθμοῦ καὶ τῆς κινήσεως, οὐ τὴν αὐτὴν ἔσχον οἱ νεώτεροι πρὸς τοὺς παλαιοὺς γνώμην, ἀλλ' οἱ μὲν, συμβεβηκότα αὐτὰ νομίζουσι, καὶ ἔξωθεν ἐπείσακτα θεωροῦσιν. οἱ δὲ, ὡς οὐσιώδη νοοῦσιν. ἐκεῖνο μέντοι θαυμάζω τῆς Ἀριστοτέλους ἀγχινοίας, πῶς καὶ αὐτὸς αἰτίαν τοῦ χρόνου προσεχῆ τὴν ψυχὴν ἔθετο. ζητήσας γὰρ τί τὸ ἀριθμοποιοῦν, τὴν ψυχὴν εἶπε. εἰ γὰρ πάσης κινήσεως ἀρχὴ καὶ αἰτία ἡ ψυχὴ, εἴτε ὡς αὐτοκίνητος κατὰ Πλάτωνα, εἴτε ὡς ἀκίνητος κατὰ Ἀριστοτέλην, εἴη ἂν εἰκότως καὶ τῆς χρονικῆς κινήσεως αἰτία. ἀλλ' εἰ τὸν ἀριθμὸν Ἀρχύτας τὸν γενεσιουργὸν χρόνον εἶναί φησι τὸν προϊόντα ἀπὸ τῆς ψυχικῆς κινήσεως ὡς μονάδος, δῆλον ὅτι καὶ τὴν κίνησιν ἐκείνην, ὡς χρόνου μονάδα ἐθεάσατο. καὶ ἔοικε τὴν πρώτην κίνησιν τήν τε ἐν τῇ ψυχῇ, καὶ τὴν ἀπ' αὐτῆς προϊοῦσαν, τὸν χρόνον θέσθαι. περὶ ἣν ἡ ἄλλη πᾶσα κίνησις συνέχεται καὶ τέτακται καὶ μεμέτρηται. τὸ γὰρ μέτρον, καὶ συνεστάναι δεῖ τῷ μετρουμένῳ, καὶ ἀρχοειδέστερον αὐτοῦ εἶναι. καὶ οἱ Στωϊκοὶ δὲ παραλαβόντες τὸν ὁρισμὸν, λέγοντα τὸ καθόλου διάστημα τῆς τοῦ παντὸς φύσεως, παρέτρεψαν τὸν λόγον ἐπὶ τὸ διάστημα τῆς κινήσεως. καὶ πλημμελοῦσιν οὗτοι. διότι τὸ Πυθαγορείων τὸ διάστημα, φυσικὸν καὶ ἐμφυσικοῖς λόγοις. καὶ τοῦτο τίς βούλοιτο καλεῖν ἐν τοῖς σπερματικοῖς, ὥς ποτε καὶ Κορνοῦτος ὀψὲ τοῦτο ὑπώπτευσεν. ἢ ὡς ἀκριβέστερον ἄν τις εἴποι κατὰ προτέρους λόγους. καὶ τῶν σπερματικῶν τούτων λόγων, τοὺς τῆς ὅλης κοσμικῆς φύσεως, ἐν οἷς καὶ ἡ ψυχὴ περιλαμβάνεται τὸ διάστημα ἀφοριζομένων. οὗτοι σαφῶς μὲν οὐκ ἔχουσι διελέσθαι, ὁποῖον λέγουσι διάστημα. ἐοίκασι μέντοι μᾶλλον, τὸ τῶν σωματοειδῶν κινήσεων, σωματοειδὲς διάστημα ὑπολαμβάνειν. ἢ ὥσπερ γραμμοειδές τι τοῦτο ἀποφαίνεσθαι, ὅπου πολλῆς ἀγροικίας μεστὸν εἶναι δείκνυται ἐν τοῖς περὶ χρόνου λόγοις. οὐ μέντοι παρὰ τοῖς ἀρχαίοις οὕτως εἴρηται. τὸ γὰρ τῆς τοῦ παντὸς φύσεως συμπαρεκτεινόμενον τῷ διαστήματι, δηλοῖ ὁποῖον ἀποφαίνονται εἶναι τὸ διάστημα. τοῖς γὰρ τῆς φύσεως λόγοις προ-

σοικεῖ τὸ τοιοῦτο. συμ-

φωνεῖ δὲ πρὸς τὸ αὐτὸ, καὶ ἡ τῶν ἔτι παλαιοτέρων δόξα. οἱ μὲν γὰρ, ὥσπερ καὶ τοὔνομα δηλοῖ, χορείᾳ τινὶ τῆς ψυχῆς περὶ τὸν νοῦν. οἱ δὲ, ταῖς τῆς ψυχῆς καὶ τοῦ νοῦ αὐτοῦ περιόδοις. οἱ δὲ, τῇ φυσικῇ περὶ τὸν νοῦν χορείᾳ. οἱ δὲ, ταῖς ἐγκυκλίοις περιφοραῖς τὸν χρόνον ἀφορίζουσιν. ἅπερ πάντα περιείληφεν ἡ πυθαγόρειος αἵρεσις. τὸ γὰρ καθόλου διάστημα τῆς τοῦ παντὸς φύσεως, πάσας τὰς φύσεις αὐτοῦ περὶ τὸ καθόλου περιείληφε. καὶ δι' ὅλων αὐτὸ διήκει παντελῶς. τόν τε χρόνον ἄνωθεν ἀρχόμενον, ἀπὸ τῶν πρώτων λόγων μέχρι τινὸς διήκοντα ἀφορίσατο. ὥσπερ κατὰ τὴν μετάβασιν καὶ κίνησιν τῶν ὅλων λόγων καθόλου τὸ διάστημα ἀφορίζοντα. ὥσπερ γὰρ ἐπὶ τῶν ἐν γενέσει τούτων τὸ νῦν, παρὰ τὸ πρόσθεν νῦν, καὶ αὐτὴ ἡ κίνησις παρὰ τὴν πρώτην κίνησιν, μεταβολὴν ἐπιδεικνύουσιν, οὕτω πολὺ πρότερον καὶ ἀρχηγικώτερον ἐπὶ τῆς οὐσίας τῶν ὅλων φυσικῶν λόγων προϋπάρχον θεωρεῖται. καὶ κυρίως συμπληροῖ τὸ διάστημα τοῦ πρεσβυτάτου πάντων χρόνου. ἀλλὰ νῦν μὲν ὡς δύο ὁρισμοὺς τοῦ χρόνου τούτους ὁ λόγος ἐξηγήσατο. δεῖ δὲ εἰς ἓν συναγαγεῖν ἀμφοτέρους. οὕτως γὰρ ἡ ὅλη φύσις τοῦ χρόνου θεωρηθήσεται. τῆς γὰρ αὐτοκινήτου κινήσεως ὥσπερ μονάδας χρονικῆς ἀριθμὸς ὢν ὁ γενεσιουργὸς χρόνος, διάστημά ἐστι τῶν φυσικῶν λόγων. οὔτε τὸ κατὰ τὸ γινόμενον, οὔτε τὸ κατὰ τὴν κίνησιν ἁπλῶς τὴν ἐκτὸς, ἀλλὰ τὸ διάστημα τὸ κατὰ τὴν προϋπάρχουσαν τῆς κινήσεως τάξιν ἐν ᾗ τὸ πρότερον καὶ ὕστερον προδιατεταγμένα, καὶ ταῖς πράξεσι καὶ ταῖς κινήσεσι τὴν τάξιν παρέχεται. οὐ γὰρ οἷόν τε τὸ πρότερον καὶ δεύτερον τῶν πραγμάτων συλλογίζεσθαι, μὴ προϋφεστῶτος τοῦ χρόνου καθ' ἑαυτὸν, εἰς ὃν καὶ ἡ τῶν πράξεων τάξις ἀναφέρεται. ἀλλὰ περὶ μὲν τῆς οὐσίας τοῦ χρόνου, τοσαῦτα. τὸ δὲ ἴδιον αὐτοῦ, διὰ πλειόνων ἀρχύτας παραδέδωκε. καὶ οὐδὲν ἄτοπον καὶ διὰ τὴν τῶν πυθαγορικῶν συγγραμμάτων σπάνιν, ὅλην
» αὐτοῦ τὴν περὶ τούτου παραθέσθαι λέξιν. τὸ δὲ ποκὰ καὶ ὁ χρόνος καθόλου μὲν ἴδιον
» ἔχει τὸ ἀμερὲς καὶ τὸ ἀνυπόστατον. τὸ γὰρ νῦν ἀμερὲς λεγόμενον, ἅμα νοούμενον καὶ
» λεγόμενον παρελήλυθε, καὶ οὐκέτι παραμένον. γινόμενον γὰρ συνεχῶς, τὸ αὐτὸ μὲν
» οὐδέποκα σώζεται κατ' ἀριθμόν. κατὰ μέντοι γε τὸ εἶδος. ὁ γὰρ ἐνεστὼς νῦν χρόνος
» καὶ ὁ μέλλων, οὐκ ἔστιν ὁ αὐτὸς τῷ προγεγονότι. ὁ μὲν γὰρ, ἀπογέγονε, καὶ οὐκέτι ἔστιν.
» ὁ δὲ, ἅμα νοούμενος καὶ ἐνεστακὼς, παρῴχηκε. καὶ οὕτως ἀεὶ συνάπτει τὸ νῦν συνε-
» χῶς, ἄλλο καὶ ἄλλο γινόμενόν τε καὶ φθειρόμενον. κατὰ μέντοι γε τὸ εἶδος τὸ αὐτό. πᾶν γὰρ
» τὸ νῦν, ἀμερὲς καὶ ἀδιαίρετον. καὶ πέρας μὲν ἐστὶ τῷ προγεγονότι. ἀρχὰ δὲ τῷ μέλλοντι.
» ὥσπερ καὶ γραμμᾶς εὐθείας κλασθείσας τὸ σαμεῖον περὶ ὃ ἁ κλάσις, ἀρχὰ μὲν γίνεται τᾶς
» ἑτέρας γραμμᾶς. πέρας δὲ τᾶς ἑτέρας. συνεχὴς δὲ ὁ χρόνος καὶ οὐ διωρισμένος. ὥσπερ ἀριθ-
» μὸς καὶ λόγος καὶ ἁρμονία. τῶ μὲν γὰρ λόγω τὰς συλλαβὰς, τὰ μόρια. ταῦτα δὲ διωρισμέ-
» να. καὶ τᾶς ἁρμονίας, τοὶ φθόγγοι. καὶ τῶ ἀριθμῶ, ταὶ μονάδες. γραμμὰ δὲ καὶ χωρίον καὶ τό-
» πος, συνεχές. τὰ γὰρ μόρια τούτων, κοινὰ τμάματα ποιεῖ διαιρευμένα. τέμνεται γὰρ γραμ-
» μὰ μὲν, κατὰ σημεῖον. ἐπίπεδον δὲ, κατὰ γραμμάν. στερεὸν δὲ, κατ' ἐπίπεδον. ἔστιν ὧν καὶ ὁ χρό-
» νος συνεχής. οὐ γὰρ ἦν ποκὰ φύσις, ὅποκα χρόνος. οὐδὲ κίνασις, ὅποκα τὸ νῦν οὐ πάρης. ἀλλ'
» ἀεὶ ἦν καὶ ἔσσεται καὶ οὐδέποκα ἐπιλείψει τὸ νῦν, ἄλλο καὶ ἄλλο γινόμενον. καὶ ἀριθμῷ μὲν ἅτερον. εἰ-

δεῖ δὲ τούτων. διαφέρει γε μὴν τῶν ἄλλων συνεχῶν, ὅτι τὰς μὲν γραμμὰς καὶ τῶν χωρίων ἐν τῷ τόπῳ τὰ μέρη συνυφέστηκε. τῷ δὲ χρόνῳ τὰ μὲν γινόμενα, ἔφθαρται. τὰ δὲ γενησόμενα, φθαρήσεται. διόπερ ὁ χρόνος ἢ ὅτι τὸ παράπαν οὐκ ἔστιν, ἢ ἀμυδρῶς καὶ μόλις ἐστίν. οὔτε γὰρ τὸ μὲν παρεληλυθὸς οὐκέτι ἐστί. τὸ δὲ μέλλον, οὔπω ἐστί. τὸ δὲ νῦν, ἀμερὲς καὶ ἀδιαίρετον, πῶς ἂν ὑπάρχοι τὴν κατ' ἀλήθειαν. ἔνιοι δὴ τούτοις, οἱ μὲν ἄλλοι, τὸ μὲν ἀμερές, κατὰ τὸ νῦν τοῦ χρόνου θεωροῦσιν. ὅπερ πέρας ἐστὶ καὶ ἀρχὴ χρόνου. τὸ δὲ ἀνυπόστατον, καθόσον τὸ μὲν παρεληλυθός, ἔφθαρται. τὸ δὲ νῦν ἅμα λεγόμενον καὶ νοούμενον, παρελήλυθεν. ὁ μέντοι Ἰάμβλιχος ζητῶν, πῶς τὸ ἀμερὲς καὶ ἀνυπόστατον ὑπάρχειν τῷ χρόνῳ φησὶν ἀσύντακτα ὄντα, οὐ κατὰ τὸ αὐτοῦ τίθεσθαι φησὶν ἀμφότερα, ἀλλὰ κατὰ μὲν τὰ εἴδη τῶν λόγων, τὰ ἑστῶτα ἐν ἑαυτοῖς τὸ ἀμερὲς ἀφοριζόμενος. κατὰ δὲ τὰς προϊούσας ἀπ' αὐτῶν κινήσεις, ἐπειδὴ αὗται οὐ διασώζουσι τὴν ἀμέριστον καὶ ἀκίνητον οὐσίαν, τὸ ἀνυπόστατον τιθέμενος. ἢ κατὰ μὲν τὴν μένουσαν ἐν τῇ οὐσίᾳ ἐνέργειαν καὶ τελειότητα, τὸ ἀμέριστον ἀφοριζόμενος. κατὰ δὲ τὴν ἐξιοῦσαν εἰς τὴν γένεσιν ἀπὸ τοῦ ὄντος ῥοπήν, τὸ ἀνυπόστατον τοῦ λόγου διαιρῶν. οὔτε γὰρ τὸ ἀμερὲς ὥς φησιν Ἰάμβλιχος, τὸ ἴδιον τοῦ χρόνου ἀνυπόστατον ἔσται, οὔτε τὸ ὑποστατὸν ἀνυπόστατον. μάχεται γὰρ τοῦτό γε πρὸς ἑαυτό. ἀλλὰ διώρισται τὸ ἀμερὲς καὶ τὸ ἀνυπόστατον ἐπ' ἄλλων καὶ ἄλλων φύσεων. τῶν μὲν, τιμιωτέρων. τῶν δὲ, ἀπολειπομένων τῆς πρεσβυτέρας φύσεως. καὶ διὰ τοῦτο λεγομένων ἀνυποστάτων. οὐχ ὅτι μὴ δὲ ὅλως εἰσίν, ἀλλ' ὅτι τὸ τῆς πρώτης οὐσίας καθαρὸν καὶ ἄχραντον οὐ διασώζουσι. τοιαῦτα γάρ ἐστι πάντα τὰ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα. οὔτε εἶναι κυρίως λεγόμενα, οὔτε μὴ εἶναι. ἐπεὶ δὴ οὖν τὸ μὲν παρεληλυθὸς τοῦ χρόνου, οὐκέτι ἐστί. τὸ δὲ μέλλον, οὔπω ἐστί. μόνον δὲ τὸ ἐνεστηκὸς εἶναι δοκεῖ ἀμερὲς ὄν, εἴπερ κατὰ τὸ νῦν λαμβάνοιτο. καὶ ἅμα τὸ εἶναι εἰς τὸ μὴ εἶναι χωροῦν. διὰ τοῦτο οὖν ἴδιον αὐτοῦ τὸ ἀμερὲς ἅμα καὶ ἀνυπόστατον εἶναί φησιν. ὁ μέντοι Ἰάμβλιχος, οὐκ ἀποδέχεται τοὺς τὸ ἀμερὲς αὐτοῦ τοῦ ῥέοντος τούτου καὶ γεννητοῦ χρόνου θεωροῦντας. ἢ ἀνυπόστατον αὐτὸ λέγοντας, διὰ τὸ μηδέποτε μένειν, ἀεὶ δὲ γίνεσθαι. πᾶν γὰρ τὸ γινόμενον φησὶ καὶ τὸ ὁπωσοῦν κινούμενον, οὐ δύναται εἶναι ἀμερές. διαιρετὴ γὰρ πᾶσα κίνησις ἐστὶν ἀεὶ διὰ τὴν συνέχειαν. ἀλλὰ μὴν καὶ τὸ ἀμέριστον εὐθὺς ἵσταται κατ' αὐτὸ τὸ εἶναι. καὶ εἰ μὲν γένοιτο ἀεί, οὐκέτι σώζει τὸ εἶδος. εἰ δὲ σώζει τὸ εἶδος διαρρήδην λέγοιτο, οὐκ ἂν ἀεὶ γένοιτο. κἂν λέγηται οὖν φησὶν ὅτι τὸ νῦν ἅμα νοούμενον καὶ λεγόμενον παρελήλυθεν ἐν τοῖς μετέχουσι τοῦ χρόνου, δεῖ τὴν τοιαύτην ἔκστασιν ὑποτίθεσθαι. τὰ γὰρ γινόμενα οὐ δύναται τὴν ἀμέριστον οὐσίαν ἀκινήτως δέξασθαι. ἄλλοτε δὲ ἄλλοις μέρεσι τοῖς ἑαυτῶν ἐκείνης ἐφαπτόμενα, τὸ αὐτῶν πάθημα ἐκείνης καταψεύδεται. διόπερ καὶ ἡ μὲν κατ' ἀριθμὸν ἑτερότης ἀεὶ ἀλλοιουμένη, τῆς τῶν μετεχόντων ἐστὶ διαφορότητος δεῖγμα. τὸ δὲ εἶδος ταὐτὸ μένον, τὴν τοῦ ἀμεροῦς νῦν ἐνδείκνυται ταυτότητα. καὶ λέγεταί γε ταῦτα καλῶς, εἰ τὸ ἑστὼς ἐν τῇ ῥοῇ τῆς γενέσεως δυνηθείημεν τῷ λογισμῷ συλλαβεῖν. ὅταν δὲ λέγῃ φησὶν ὁ Ἀρχύτας, ὡς ὁ ἐν τῷ νῦν χρόνος καὶ ὁ μέλλων οὐκ ἔστιν ὁ αὐτὸς τῷ προγεγονότι. ὁ μὲν γὰρ ἀπογέγονε καὶ οὐκέτι ἐστίν. ὁ δέ, ἅμα νοούμενος καὶ

ἐνεστηκὼς περιέχει, δεῖται διορισμοῦ φησὶ τὰ τοιαῦτα πρὸς τὴν τελείαν σαφήνειαν. καὶ ἐκτέον αὐτὸν ἅπαντα χρόνον, καὶ οὐ τὸν αὐτόν. ὥσπερ καὶ τὸ νῦν. κατὰ μὲν γὰρ τὴν οὐσίαν καὶ τὸ εἶδος, ἓν καὶ ταὐτόν. καθὸ δὲ διαιρεῖ τὸ παρεληλυθὸς καὶ τὸ μέλλον, πολλὰ καὶ ἕτερα. ὥσπερ καὶ αἱ στιγμαὶ σχεδόν τι πᾶσαι, μία. τῇ θέσει δὲ καὶ τῇ διαιρέσει, πλείους καὶ οὐ μία αὗται. αἱ γὰρ διαιροῦσαι ἓν νοοῦμεν τὴν στιγμήν, δύο γίνονται ἡ μία. ἡ μέν, ὡς ἐσχάτη. ἡ δέ, ὡς πρώτη. καὶ οὕτως ἀεὶ συνάπτει καὶ συνέχει τὸν ὅλον χρόνον ἐν ἑαυτῷ τὸ νῦν, ἕτερον καὶ ἕτερον τῇ διαιρέσει γινόμενον. τῷ δὲ εἴδει, τὸ αὐτὸ μένον. κἂν γίνεσθαι οὖν καὶ φθείρεσθαι λέγοιτο νῦν, οὐκ αὐτοῦ τοῦ νῦν τὴν γένεσιν καὶ φθορὰν ἀκουστέον, ἀλλὰ τῶν μετεχόντων αὐτοῦ, ἢ οὐ μετεχόντων. τὸ μὲν γὰρ συνέχειν καὶ συνάπτειν, οὐκ ἄλλου τινός ἐστιν, ἢ τοῦ ἀμεροῦς. τὸ δὲ ἄλλο καὶ ἄλλο γίνεσθαι καὶ φθείρεσθαι, καὶ τὸ ἀεὶ ἔχειν, τῆς ἐν τῇ γενέσει μετουσίας τοῦ νῦν ἐστὶν οἰκειότατον. πῶς οὖν τὸ αὐτὸ καὶ ἄλλο καὶ ἄλλο γίνεται. καὶ μένει τὸ αὐτὸ κατ' εἶδος, καὶ διαιρεῖται καὶ ἔστιν ἀδιαίρετον. καὶ ἀλλοιοῦται. καὶ ἐν ἑνὶ τὸ πέρας καὶ τὴν ἀρχὴν συνείληφεν. ἢ ὅτι ἄλλο μὲν ἦν τὸ ἐν τῇ φύσει μετεχόμενον νῦν, καὶ ἀχώριστον ὂν τῶν γινομένων, ἄλλο δὲ τὸ χωριστὸν καὶ καθ' ἑαυτό. καὶ τὸ μέν, ἐν εἴδει τῷ αὐτῷ ἕστηκεν ὡσαύτως. τὸ δέ, ἐν φορᾷ συνεχεῖ θεωρεῖται. ἐπεὶ δὲ τὰ δύο ταῦτα ὁμοῦ συνείληπται ἐν τῇ τοῦ νῦν ἀρχῇ τῇ συνεχούσῃ τὸν χρόνον, πάνυ σαφῶς διὰ τοῦτο. γραμμῆς εὐθείας κλασθείσης εἰς γωνίαν, σημείῳ περὶ ὃ ἡ κλάσις, ἀπείκασε τοῦ χρόνου τὸ νῦν. ὥσπερ γὰρ τὸ σημεῖον ἧς μὲν ἀρχὴ γίνεται γραμμῆς, ἧς δὲ πέρας, οὕτω καὶ τὸ νῦν τὴν ἀρχὴν καὶ τὸ τέλος τοῦ χρόνου πάντως ἐν ἑαυτῷ συνείληφεν. οὐχ ὡς συμβεβηκός τι, ἀλλ' ὡς συνέχον αὐτό, καὶ τὴν αὐτοῦ ἐν ἑαυτῷ περιέχον καὶ περιεχόμενον ὑπ' ἑαυτοῦ. οὐ τοίνυν ὡς μὴ ὄντος τοῦ νῦν ὑπεξῃρῆσθαι χρή. τὸ γὰρ κατ' εἶδος ἐν αὐτοῦ μένει τὸ αὐτό. ὅπερ κυριώτερόν ἐστι τῆς κατ' ἀριθμὸν ἑτερότητος. ἀλλὰ συνάπτειν φησὶ τὰ πέρατα τῶν μὴ ὄντων. ἀλλ' οὐκ ἐν τοῖς μὴ οὖσι φαμὲν διαπεφόρηται. ἐν ἑαυτῷ δὲ καὶ τὰ μὴ ὄντα συνέχει. καὶ καθ' ἑαυτό ἐστιν ἔχον τινὰ ἰδίαν οὐσίαν. συνεχὴς δέ ἐστιν ὁ χρόνος. οὐ μέντοι διὰ πέρατος ἀεὶ γινομένου καὶ ἀπολλυμένου συνέχεται. ἕστηκε γὰρ τοῦτο ἐν τῷ οἰκείῳ εἴδει, ἵνα καὶ ὄντως ᾖ συνεχής, καὶ ἀεὶ συνέχηται. περὶ ἄλλο δὲ νῦν θεωρεῖται τὸ κατ' ἀριθμὸν ἄλλο καὶ ἄλλο γινόμενον. ὅπερ ἤδη θέσιν προσείληφε, καὶ σύνταξιν ἔχει πρὸς τὰ γινόμενα. ὅθεν δή, εἰ μὲν τὸ νῦν λαμβάνοι τις, ὡς μέρος χρόνου λήψεται αὐτό, ὡς συμφυὲς ὂν πρὸς τὴν κίνησιν. εἰ μέντοι μὴ δὲ χρόνον αὐτὸ εἶναι ἀποφαίνοιτο, ὥσπερ ἤδη τινὲς περὶ αὐτοῦ διέγνωσαν, ἀρχὴ ἔσται τοῦ χρόνου χωριστή, καὶ τῷ εἴδει ἡ αὐτὴ διαμένει. καὶ ὅταν οὖν λέγηται τὸ μὲν παρεληλυθὸς τοῦ χρόνου οὐκέτι εἶναι, τὸ δὲ μέλλον οὔπω εἶναι, ἰστέον ὡς ταῦτα κατὰ τὰ νῦν λέγεται, τὰ προϊόντα ἔξω καὶ συμφερόμενα τῇ κινήσει, καὶ μετὰ τῆς φορᾶς συναλλοιούμενα. τὰ δὲ ἐν τῷ νῦν περιεχόμενα καὶ ἀφωρισμένα ἐν ἑαυτῷ, καὶ μηδέποτε ἐξιστάμενα τῆς οἰκείας ἀρχῆς, ταῦτα ἐν τῷ νῦν ἀεὶ διαμένει. ὅθεν δὴ καὶ εἰκότως αἰώνιος εἰκὼν κινητὴ ὁ χρόνος ἀφώρισται, ὡς τῆς ψυχῆς πρὸς τὸν νοῦν ἀπεικασθείσης, καὶ τῶν λόγων αὐτῆς

πρὸς τὰς νοήσεις, καὶ τοῦ νῦν πρὸς τὸ ἐν ἑνὶ μόνον. ἀπεικάσθη δὲ καὶ τὸ πῃ ἐκτικὸν τοῦ νοῦ ἅμα, καὶ ἀεὶ ἐν ἑαυτῷ περιέχον. καὶ τὸ τούτου κινούμενον, πρὸς τὸ ἐκείνου ἑστηκός. καὶ τὸ κατ' ἀριθμὸν τῆς γενέσεως μέτρον, πρὸς τὸ καθ' ἓν τῶν οὐσιῶν. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι καὶ ὁ Πλάτων κινουμένην κατ' ἀριθμὸν εἰκόνα τοῦ αἰῶνος εἰπὼν τὸν χρόνον, ὡς μονάδος τοῦ αἰῶνος ἀριθμὸν τὸν χρόνον θεασάμενος. καὶ μήποτε καὶ τὸ ἀρχύτειον αὐτὸ φυσικώτερον οὕτως ἀκουστέον, ὅτι ἔστι κινήσεώς τινος ἀριθμός. οὐχ ὡς ἄλλου μὲν χρόνον τῆς κινήσεως δηλούσης, ἄλλου δὲ τοῦ ἀριθμοῦ, ἀλλ' ὡς ἑνὸς τοῦ αὐτοῦ πάντων ἐκθέντων. ὡς γὰρ ὁ αἰὼν μονίμως τὸ ἓν εἶχε, καὶ οὐκ ἄλλος μὲν αἰὼν ἦν ὁ κατὰ τὸ ἑστώς, ἄλλος δὲ ὁ κατὰ τὸ ἕν, οὕτω καὶ ὁ χρόνος. καὶ ὁ ἐν τῇ ψυχῇ πρώτως ὑποστάς, καὶ ὁ ἀπ' ἐκείνου προελθὼν εἰς τὴν γένεσιν ἀριθμός ἐστιν ἐν κινήσει. ὁ δὲ αὐτὸς καὶ διάστημα τῆς τοῦ παντὸς φύσεώς ἐστιν. ὡς γὰρ ὁ αἰὼν τῷ ὄντι συνυπάρχει κατὰ τὴν ἀμέριστον αὐτοῦ καὶ ἀκίνητον ὁμοῦ ὅλην οὐσίαν θεωρούμενος, οὕτως ὁ χρόνος τῷ γενητῷ παντὶ συνυπέστη, κατὰ τὴν κινουμένην καὶ ἀεὶ ἄλλοτε ἄλλην διάστασιν τῆς γενέσεως θεωρούμενος. Καὶ ἐκεῖνο δὲ ἄξιον ἐπιστῆσαι, εἰ ἐν ψυχῇ πρώτως ὁ χρόνος ὑπέστη, ἢ ἀπὸ ψυχῆς. εἰ γὰρ μέση τῆς ἀμερίστου καὶ μεριστῆς οὐσίας ἐστὶν ἡ ψυχή, καὶ μέτρον ἂν ἔχοι συμφυὲς τὸ μέσον αἰῶνός τε καὶ χρόνου κατ' οὐσίαν ταύτῃ συνυφεστηκός, καὶ ἀπ' ἐκείνου προσεχῶς ὁ χρόνος ὁ κυρίως, ἐν τοῖς κυρίως γενητοῖς ὑφίσταται. ἀλλὰ τοῦτο μὲν καὶ αὖθις ζητείσθω. τὴν δὲ χρείαν ἣν ὁ χρόνος τῷ παντὶ παρέχεται, δίκαιον ἂν εἴη προσθεῖναι. ὡς γὰρ τὸ ὂν διὰ τὸν αἰῶνα ἅμα ὅλον ἐστὶν ἐν ἑνὶ συνῃρημένον, οὕτως ἡ γένεσις διὰ τὸν χρόνον ἐν τάξει διακέκριται. καὶ εἴπερ μὴ ἦν χρόνος, σύγχυσις ἂν ἦν καὶ τῶν γενέσεων καὶ τῶν πράξεων, ὡς συγκεχύσθαι τοῖς ἐπὶ τῶν ἡρωϊκῶν τὰ νῦν. ἀλλὰ πῶς τοσαύτην ἔχοντος δύναμιν τοῦ χρόνου, ὁ Ἀρχύτας ἤτοι τὸ παράπαν οὐκ εἶναι φησὶν αὐτὸν, ἢ ἀμυδρὸν καὶ μόλις εἶναι, ἢ ὅτι ὡς πρὸς τὰ κυρίως καὶ ἀληθῶς ὄντα παραβάλλων αὐτὸν, ταύτην αὐτοῦ τὴν μοῖραν κατεψηφίσατο. διότι ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. καὶ τὸ μὲν παρεληλυθός, οὐκέτι ἐστί. τὸ δὲ μέλλον, οὐδέπω. τὸ δὲ νῦν, ἀμερὲς καὶ ἀδιαίρετον. πῶς οὖν ἄν φησιν ὑπάρχοι τοῦτο, οὐχ ἁπλῶς ἀλλὰ κατ' ἀλήθειαν. οὐ γὰρ προσήκει τὸ ὄντως εἶναι τῷ χρόνῳ, ὥσπερ οὐδὲ τῇ γενέσει. δοκεῖ δὲ καὶ τῶν ἄλλων συνεχῶν ἀμενηνοτέραν αὐτῷ διδόναι τὴν ὑπόστασιν ὁ Ἀρχύτας. διότι γραμμῆς μὲν καὶ ἐπιφανείας καὶ τόπου τὰ μέρη ὑφέστηκεν ὁμοῦ. τοῦ δὲ χρόνου τὸ μὲν, ἔφθαρται. τὸ δὲ, οὔπω ἐστί. μήποτε δὲ καὶ τὰ ὑφεστάναι δοκοῦντα, εἴπερ γενητά ἐστι καὶ ἀεὶ ῥέοντα τῷ εἴδει τὰ αὐτὰ ὑφέστηκεν, ἀλλ' οὐ τῷ ἀριθμῷ, ὥσπερ καὶ τὸ νῦν τοῦ χρόνου. καὶ περὶ μὲν τούτων, τοσαῦτα.

μεταβαίνειν δὲ λοιπὸν ἐπὶ
τὰ ἑξῆς και-
ρός:~

# ΠΕΡΙ ΤΟΥ ΠΟΥ

Ἀπόκειται δὲ μετὰ τὸ ποτὲ τὸ ποῦ τάττεσθαι, διὰ τὴν πρὸς ἄλληλα τούτων συγγένειαν. ὥσπερ γὰρ ὁ τόπος καὶ ὁ χρόνος συγγενεῖς εἰσὶ μέτρα ὄντες ἄμφω συνεκτικὰ τῆς γενέσεως, ὁ μὲν, κατὰ τὸν δρόμον, ὁ δὲ, κατὰ τὴν τοῦ εἶναι διάστασιν, καὶ τοῦ ἀριθμὸς ἄμφω, τήν τε ἅμα καὶ ὁμοῦ συγκεκριμένην ἀμέρειαν ἐνεικονίσαντε, οὕτω καὶ τὸ ποτὲ καὶ τὸ ποῦ συγγενῶς ἔχει πρὸς ἄλληλα. ἐν ὑστέρῳ δὲ τέτακται τὸ ποῦ. διότι καὶ ὁ τόπος, πέρας τῶν γινομένων ἐστί. καὶ ὡς τέλει ἔχων τὰ ἄλλα, οὕτως θεωρεῖται. καὶ διότι προηγεῖται μὲν τὸ ποιεῖν τῶν κινουμένων. τοῖς δὲ κινουμένοις, ὁ χρόνος ὡς μέτρον αὐτῶν συνέζευκται. ἀποτελευτᾷ δὲ τὰ κινούμενα εἰς τὴν ἐν τόπῳ θέσιν. ἐπεὶ ἕως γε φησὶν Ἰάμβλιχος κινεῖται, οὔδέπω ἐστὶν ἐν τόπῳ, ἀλλὰ κινεῖται μὲν κατὰ τόπον. οὔδέπω δὲ ἤδη ἐστὶν ἐν τόπῳ. ὅλως δὲ τόπου μὲν δεῖται τὸ γεγονὸς ἤδη καὶ περιεχόμενον. ὁ δὲ χρόνος, αὐτὴν μετρεῖ τὴν εἰς τὸ εἶναι φέρουσαν ὁδόν. καὶ γὰρ ἐν τόπῳ γίνοιτο τὸ γινόμενον, ἀλλὰ τὸ ἀεὶ γεγονός ἐστι τὸ ἐν τόπῳ. ὁ μέντοι Ἀρχύτας, τῆς κινήσεως πρότερον ὑπάρχειν τὸν τόπον φησί. καὶ δῆλον ὅτι καὶ τὸν χρόνον. ἐν οἷς φησίν. ἐπειδὴ πᾶν τὸ κινούμενον ἐν τόπῳ τινὶ κινεῖται, τὸ δέ γε ποιεῖν καὶ πάσχειν κινήσιές τινες, φανερὸν ὅτι τὸν τόπον ὑπάρχειν δεῖ πρῶτον, ἐν ᾧ περ ἐστὶ τὸ ποιοῦν καὶ τὸ πάσχον. ὥστε ὁ λέγων τὰ κινούμενα μὴ εἶναι ἐν τόπῳ, οὐ δοκεῖ τῷ Ἀρχύτᾳ συμφωνεῖν, εἰ μὴ ἄρα κινεῖται μὲν ἐν τόπῳ, οὐκ ἔστι δὲ ἐν τόπῳ, εἰ μὴ καθ᾽ ὅσον κεκίνηται ἕκαστον. εἴρηται δὲ ἤδη ὅτι Ἀρχύτας μὲν καὶ Ἀνδρόνικος συνέταξε τῷ μὲν χρόνῳ, τὸ ποτέ. τῷ δὲ τόπῳ, τὸ ποῦ. καὶ οὕτως ἔθεντο τὰς δύο κατηγορίας. Ἀριστοτέλης δὲ τὸν μὲν χρόνον καὶ τὸν τόπον τοῦ ποσοῦ τέθεικε, διὰ τὰς εἰρημένας ἔμπροσθεν αἰτίας. τοῦ δὲ ποτὲ καὶ τοῦ ποῦ, ἄλλας ὑπέστησε τὰς κατηγορίας. ὡς τὰ πρός τι προϋποκειμένοις ἄλλοις γένεσι παρεφύετο, οἷον τῇ οὐσίᾳ καὶ τῷ ποσῷ κατὰ τὴν ἀντιστρέφουσαν καὶ ὁρίζουσαν σχέσιν θεωρούμενον, οὕτως καὶ τὸ ποτὲ καὶ τὸ ποῦ, κἂν ἄλλοις ἐπισυνίσταται γένεσιν, οὐδὲν ἄτοπον ἰδίας αὐτῶν κατηγορίας ὑποτίθεσθαι, εἰ μόνον ἴδιά τινα τὰ σημαινόμενα ἔχουσιν. ὥσπερ γε ὁ χρόνος οὐκ ἔστι τὸ ποτέ, οὐδὲ ὁ τόπος ἐστὶ τὸ ποῦ. ἀλλ᾽ ὥσπερ ἐπὶ τοῦ χρόνου, ἄλλο μὲν ἐστὶν ὁ χρόνος, ἄλλο δὲ τὸ κατὰ χρόνον, ἢ χρόνου τι, οὕτως ἄλλο μὲν ὁ τόπος, ἄλλο δὲ τὸ κατὰ τόπον, ἢ τόπου τι. καὶ γὰρ ἄλλο τί ἐστι ποσόν, καὶ ἄλλο τὸ ποσοῦ τι εἶναι. ὥσπερ οὖν ἄτοπον τὸ λέγειν ποσὸν εἶναι τὸ διπλάσιον καὶ τὸ ἴσον, διότι ποσοῦ τί ἐστιν, οὕτω καὶ ὁ τὸ κατὰ τόπον ἢ τόπου τι τόπον λέγων, ἄτοπος ἂν εἴη. Πλωτῖνος μέντοι τελέως ἀνεῖλε τὴν τοῦ ποῦ κατηγορίαν. ἀποδοὺς μὲν καὶ αὐτὸς τὸ ποῦ τῷ τόπῳ, ὥσπερ καὶ Ἀρχύτας καὶ Ἀνδρόνικος. τὸν δὲ τόπον, ὥσπερ καὶ τὸν χρόνον ἢ τῷ ποσῷ ἀπονείμας ἢ τῷ πρός τι. δύο δὲ σημαίνει τὸ ποῦ. τόν τε τόπον, καὶ τὸ ἐν τόπῳ. ὥσπερ καὶ τὸ ποτὲ ἐλέγετο δύο σημαίνειν. τόν τε παρεληλυθότα χρόνον, καὶ τὸ ἐν χρόνῳ.

ἡ δὲ τοῦ ποῦ κατηγορία, κατὰ τὸ δεύτερον σημαινόμενον ἀφώρισται. τὸ μὲν γὰρ ὡς τόπος λεγόμενον, ποσὸν ἂν εἴη κατ' ἀριστοτέλην. τὸ δὲ ἐν τόπῳ, τῆς τοῦ ποῦ κατηγορίας. καὶ σύνθετος δέ τις ἡ ἐν τόπῳ καὶ ἐν χρόνῳ φωνή, ἁπλοῦν τι δεῖ ἐκδέχεσθαι ἀπὸ τῆς συνθέτου λέξεως. ὡς ἀπὸ τοῦ ἀγαθὸς δαίμων, καὶ ἱερὰ πόλις, ἕν τι ἁπλοῦν ὑπολαμβάνομεν. διήκει δὲ ἡ διττὴ σημασία αὕτη, καὶ περὶ πάσας τὰς τοῦ τόπου διαφοράς. καὶ γὰρ τὸ ἄνω καὶ κάτω, καὶ πρόσω καὶ ὀπίσω, καὶ δεξιὰ καὶ ἀριστερά, διττά ἐστι. τὰ μέν, ὡς τόποι. τὰ δέ, ὡς ἐν τόπῳ ὄντα. καὶ δῆλον ὅτι τὰ μὲν τόπον δηλοῦντα, ποσά ἐστι. τὰ δὲ ἐν τόπῳ, τῇ τοῦ ποῦ κατηγορίᾳ ὑποτακτέον ἐστί. διατείνει δὲ ἡ τοῦ ποῦ σημασία, καὶ εἰς τὸ πόθεν, ὡς τὸ ἀθήνηθεν. καὶ εἰς τὸ ποῦ, ὡς τὸ ἀθήναζε. καὶ ταῦτα δὲ ἄμφω δηλοῖ, καὶ τόπον καὶ τὴν ἐν τόπῳ σχέσιν. καὶ μετὰ συνδέσμων λεγόμενα, τὰ αὐτὰ σημαίνει. οἱ ἐκ λυκείου καὶ εἰς λύκειον καὶ ἐν λυκείῳ. ἰσοδυναμεῖ γὰρ τὸ ἀθήνηθεν, καὶ ἀθήναζε, καὶ ἀθήνησι. καὶ τὰ δεικτικὰ δὲ συντακτέον τούτοις. οἷον ἐκεῖ. ἐνθάδε. πόρρω. ἐγγύς. καὶ τὰ τοιαῦτα. τὸ δὲ ἀθηναῖος καὶ τὸ ῥόδιος, οὐ τὸν τόπον, ἀλλὰ τὸ ὅθεν παρίστησι. καὶ σχέσις πρὸς τὸν τόπον σημαίνεται οὐ τόπος. ἐπιδέχεται δὲ καὶ ἐναντίωσιν τὸ ποῦ, κατὰ τὰς τοῦ τόπου διαφοράς. οἷον, ἄνω κάτω. πρόσω ὀπίσω. ἐν δεξιᾷ. εἰς ἀριστερά. ἐπιδέχεται δὲ καὶ τὸ μᾶλλον καὶ ἧττον. ἕτερον γὰρ ἑτέρου μᾶλλον ἐστὶν ἄνω. καὶ μᾶλλον κάτω. καὶ μᾶλλον πρόσω καὶ ἧττον, ὅσα μὴ ἀποκλίνει πρὸς τὸ πλάγιον. καὶ εἰς δεξιὰ καὶ ἀριστερὰ ὁμοίως. ἔτι δέ, τὰ μέν, ἀορίστως λέγεται. τὰ δέ, ὡρισμένως. ἢ γὰρ ἁπλῶς ἐν τόπῳ, ἢ ἔν τινι τόπῳ. καὶ τὰ μέν, ἐν πλάτει, οἷον, ἐν ἀθήναις. τὰ δέ, κατὰ περιγραφὴν ἀφώρισται, οἷον, ἐν λυκείῳ. ἢ τῷδε τοῦ λυκείου τόπῳ. ἀλλὰ ταῦτα μὲν οὕτως. κορνοῦτος δὲ ἀπορεῖ, εἰ τὸ ποῦ τοῦ τόπου. καὶ τὸ ποτὲ τοῦ χρόνου κατὰ τὸν χαρακτηρισμὸν τῶν λέξεων διενηνοχότα εἰς ἰδίας κατατετάχθαι κατηγορίας, διὰ τὸ τὴν πρόθεσιν περὶ χαρακτήρων εἶναι λεκτικῶν. τί δή ποτε οὐχὶ καὶ ταῦτα τῇ κατηγορίᾳ ταύτῃ προσέθηκεν. οἷον τὸ διωνόθεν καὶ εἰς δίωνα. καὶ τὰ τοιαῦτα πολλὰ ὄντα. ὅμοια γάρ ἐστι τῷ ἀθήνηθεν, καὶ εἰς ἀθήνας. πρὸς δὲ ταῦτα ἐξαρκεῖ λέγειν, ὅτι οὐ περὶ χαρακτῆρος λέξεώς ἐστιν ἡ τῶν κατηγοριῶν διαίρεσις. καθόλου γὰρ τὰς μὲν διὰ λεκτικὰς διαφοράς, εἰς ὄνομα ἀνῆγον ἢ ῥῆμα ἤ τι τοιοῦτον. οὐ μέντοι εἰς κατηγορίαν τινά. περὶ δὲ τούτων, ἔχεσθαι μὲν δεῖ τῶν φωνῶν. οὐ μέντοι κατὰ τὸ πλωτινοῦ σχῆμα τῆς λέξεως, ἀλλὰ διαιροῦμεν τὰς σημασίας κατὰ τὰς τῶν ὄντων διαφοράς. ὅθεν οὔτε ὁ τόπος, ἐπειδὴ τὸν αὐτὸν χαρακτῆρα ἔχει τῷ ἵππος. οὔτε ὁ χρόνος, ἐπειδὴ τὸ αὐτὸ σχῆμα τῆς λέξεως ἔχει τῷ λύκος, τῆς αὐτῆς εἰσι κατηγορίας. ἀλλὰ τὰ μέν, τοῦ ποσοῦ ἐστι. τὰ δέ, τῆς οὐσίας. πάλιν δὲ ὁ αὐτὸς ἀνὴρ τὸ πόρρω καὶ ἐγγὺς εἰς τὸ πρός τι ἀνάγειν ἀξιοῖ, τοπικὸν ἔχοντα τὸ ὑποκείμενον. Ἀνδρόνικος δέ, εἰς τὸ ποῦ τίθησιν αὐτά, ἀόριστα κατὰ τόπον ὄντα. καὶ εἴπερ ἡ τοῦ τόπου διαφορὰ ἐπικρατοῦσα φαίνεται ἐν αὐτοῖς, εἰς τὸ ποῦ μᾶλλον ἀνακτέα, ἀλλ' οὐκ εἰς ἕτερον γένος. οὐ γὰρ τὴν ἀντίστροφον σχέσιν ἔχει πρόχειρον, ὡς τὸ πορρώτερον καὶ ἐγγύτερον, ἀλλὰ τὴν τοῦ τόπου διάστασιν. ἐφιστάνει δὲ καὶ περὶ τοῦ ἅμα τε καὶ χωρίς, καὶ συνεγγίζον, καὶ διεστηκός, καὶ παρακείμενον. εἰ δεῖ ταῦτα τῆς τοῦ ποῦ κατηγορίας τίθεσθαι, ἢ τοῦ κεῖσθαι. ἢ μᾶλλον τοῦ πρός τι. ὑπὸ γὰρ τοῦ τόπου

κρατεῖσθαι καθάπερ τὸ διπλάσιον, καίτοι ποσὸν ἐμφαῖνον. μήποτε δὲ οὐ πάντα ταῦτα ἕνα ἔχει λόγον, ἀλλὰ τὰ μὲν ἅμα καὶ τὰ συνεγγίζοντα, τὸ πρός τι μᾶλλον ἐμφαίνει. κοινὴν γὰρ σχέσιν καὶ ταῦτα καὶ ἀντιστρέφουσαν συμπεριίστησι. τὰ δὲ χωρὶς καὶ διεστηκότα, τὸ τοῦ ποῦ. πλεονάζει γὰρ ἐν αὐτοῖς ἡ πρὸς τὸν τόπον σχέσις, τῶν χωρὶς ὄντων καὶ τῶν διεστηκότων. τὰ μέντοι παρακείμενα καὶ ὑποκείμενα, τῆς τοῦ κεῖσθαι ἐστὶ κατηγορίας. προηγεῖται γὰρ ἐν αὐτοῖς ἡ θέσις, καὶ ἔξωθεν ἡ σχέσις ἐπισυμβαίνει. καὶ τὰ ἄλλα δὲ, οὕτως χρὴ διακρίνειν τῷ πλεονάζοντι καὶ ἐπικρατοῦντι, καὶ τὰς ἐννοίας προβάλλοντι πρόχειρον, τούτῳ τὸ βραβεῖον τοῦ γένους ἀπονέμοντας. Ὁ δὲ πλωτῖνος προβαλλόμενος τὸ ἐν ἀκαδημίᾳ ἐν λυκείῳ ἄνω, κάτω, ζητεῖ πότερον τόπους διαφέροντας ταῦτα δηλοῖ, ἢ ἄλλα ἐν ἄλλῳ. εἰ μὲν γὰρ τόπους, τί δεῖ παρὰ τὸν τόπον ἄλλα ζητεῖν τὸ ποῦ. εἰ δὲ ἄλλο ἐν ἄλλῳ, οὐχ ἓν οὐδὲ ἁπλοῦν τὸ τοιοῦτον. Πρὸς ὃ καὶ νῦν ῥητέον. ὅτι οὔτε τόπος ἁπλῶς σημαίνεται ὑπὸ τούτων, οὔτε σύνθετόν τι. οὐ γὰρ τὰ πράγματα ἐν τόπῳ, καὶ αὐτὸς ὁ τόπος συμπλέκεται. αὕτη δὲ μόνη ἡ σχέσις μονοειδῶς συνεμφαίνεται. ἀλλ' οὐδὲ τὸ ἐν μόριον σύνθεσιν ἐμποιεῖ ἐν τῷ φάναι ἐν λυκείῳ, ἀλλὰ τὴν σχέσιν μόνην παρίστησι τὴν πρὸς τὸν τόπον. ἀλλ' εἰ τοῦτο φησὶ λέγομεν, σχέσιν τινὰ γεννῶμεν τοῦδε ἐν τῷδε. τοῦ δεξαμένου πρὸς ὃ ἐδέξατο. διατί οὖν οὐ πρός τι ἐστὶ ταῦτα, ἐκ τῆς ἑκατέρου πρὸς ἑκάτερον σχέσεως ἔχοντα τὸ εἶναι. πρὸς ὃ ῥητέον. ὅτι ἄλλη μέν ἐστι σχέσις ἐξισάζουσα καὶ ἀντιστρέφουσα, καὶ τῶν αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λεγομένων. ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον, ἥτις ἐπὶ τῶν πρός τι ἰδίως θεωρεῖται. ἄλλη δέ ἐστιν ἡ μὴ ἀντιστρέφουσα, ἀλλ' ἐπὶ τὰ ἕτερα μόνα ἀποκλίνουσα, καὶ ἰδίως πρὸς χρόνον ἢ τόπον ποιουμένη τὴν σχέσιν, ἥτις οὐκ ἔστι τῶν ἰδίως λεγομένων πρός τι. διόπερ οὐδὲ ἀντεστράφη ὥσπερ τὰ πρός τι. ἐν γὰρ τῷ ποῦ καὶ ποτὲ, οὐχ ἡ τοῦ τόπου καὶ τοῦ χρόνου σχέσις, πρὸς τὸ ἐν τόπῳ καὶ ἐν χρόνῳ λαμβάνεται, ἀλλὰ τοῦ ἐν τόπῳ πρὸς τὸν τόπον. οὐδὲν δὲ θαυμαστὸν, εἰ προσλαμβάνει ποτὲ αὕτη καὶ τὴν τοῦ πρός τι σχέσιν. ὥσπερ ἐπὶ τοῦ ἐπὶ τάδε καὶ ἐπέκεινα, καὶ τοῦ ἐπάνω καὶ ὑποκάτω. οὕτως δὲ καὶ ἐπὶ τῶν κατὰ χρόνον. ὁ μὲν πρέσβυς καὶ ὁ νέος, καὶ ὁ πρόσφατος καὶ ὁ παλαιὸς, ἐκτός ἐστι τῶν πρός τι κατηγορίας. καίτοι σχέσιν ἔχοντες πρὸς χρόνον, ἢ τὴν περὶ χρόνον ἰδίως ὄντων. ὁ δὲ πρεσβύτερος καὶ ὁ νεώτερος, καὶ ὁ προσφατώτερος καὶ παλαιότερος, καὶ τὰ τοιαῦτα, τὴν τῶν πρός τι σχέσιν ἰδίως ἐμφαίνουσι. καὶ αἱ τῶν συνδέσμων δὲ προσθῆκαι, οὐ ποιοῦσι σύνθεσιν ἐν ταῖς κατηγορίαις, ὅτι μηδὲ ἀνάγονται καὶ καθ' ἑαυτοὺς εἰς κατηγορίαν οἱ σύνδεσμοι. μηδὲ σημαίνουσί τι καθ' ἑαυτούς. ἀλλ' εἴπερ ἄρα συσσημαίνουσι, καὶ τὰ δεικτικὰ δὲ τὸ ὧδε καὶ ἐκεῖ, καὶ τὰ τοιαῦτα. κατὰ μὲν τὴν πρὸς τόπον δεῖξιν χαρακτηριζόμενα, τόπον ἂν δεικνύουσι. κατὰ δὲ τὴν ἐν τόπῳ, τῆς τοῦ ποῦ ἂν εἴη σχέσεως δεικτικόν. οὐ δὲ δεῖ ταῖς ἐξηγήσεσι τῆς λέξεως ἐμπλέκεσθαι. ἐπεὶ οὕτως πολλὰ τῶν ἁπλῶν εἶναι οἰησόμεθα σύνθετα. τινὰ γὰρ καὶ συνεμφαίνει τι ἑαυτοῖς. οὐ μέντοι εἰς ἰδίαν κατηγορίαν ἀναφερόμενον, ὥσπερ τὸ οὗτος καὶ αὕτη. σημαίνει γὰρ ὅδε, ἄρρεν. ἥδε, θήλεια. οὐ μέντοι σύνθεσιν ἔχει γενῶν. οὐ γὰρ εἰς ἄλλο μὲν γένος τὸ ὅδε, εἰς ἄλλο δὲ τὸ ἄρρεν ἀναφέρεται ἢ τὸ θῆλυ. οὕτως δὲ ἐν τῷ πεπαίδευκεν, καὶ ὁ χρόνος ὁμοῦ συνείληπται, καὶ τὸ τοῦ ἐνεργοῦντος πρόσωπον.

καὶ ὅμως εἰς τὴν τοῦ ποιεῖν μόνην ἀνάγεται κατηγορίαν. ὥσπερ οὖν καὶ τὸ Ἀθήνησι καὶ δηλοῖ τὸ ἐν Ἀθήναις εἶναι, οὐ πρὸς τῷ τόπῳ τὸ ἔστι προκατηγορεῖται ὥσπερ σύνθεσιν ποιοῦν, ἀλλ' ὡς βεβαιούμενον τὴν ἐν τόπῳ ὕπαρξιν πρόσκειται, καὶ ὥσπερ ἀπαρτίζον τὸ ἐν Ἀθήναις. καὶ γὰρ ὅταν λέγωμεν Σωκράτης καλῶς διαλέγεται, οὐκ εἰσὶ δύο κατηγορίαι ὡς περὶ δύο αἱ λέξεις. ἀλλὰ τὸ καλῶς τοῦ τρόπου τῆς διαλέξεως ἐφαπτόμενον, ἐκείνης ἐστὶ χαρακτηριστικόν. ἀλλ' οὐ σύνθετόν τι μετ' ἐκείνης ποιεῖ. τούτοις δὲ πᾶσι τὴν νοερὰν θεωρίαν προστιθεὶς ὁ Ἰάμβλιχος, ζητεῖ πρῶτον. πότερον αὐτὰ τὰ πράγματα ἐν τόπῳ ὄντα ἀφορίζει τὸν τόπον περὶ αὐτά, ἢ σὺν αὐτοῖς. ἢ ὁ τόπος ἀφορίζει τὰ πράγματα, ὥσπερ αὐτὸς αὐτὰ συμπεριλαβών. καὶ φησὶν ὅτι, εἰ μὲν ὡς οἱ Στωϊκοὶ λέγουσι, παρυφίσταται τοῖς σώμασιν ὁ τόπος, καὶ τὸν ὅρον ἀπ' αὐτῶν προσλαμβάνει τὸν μέχρι τοσοῦδε, καθόσον συμπληροῦται ὑπὸ τῶν σωμάτων. εἰ μέντοι οὐσίαν ἔχει καθ' αὑτὸν ὁ τόπος, καὶ οὐδὲ ὅλως εἶναί τι τῶν σωμάτων δύναται, ἐὰν μὴ ᾖ ἐν τόπῳ, ὥσπερ ἔοικεν Ἀρχύτας βούλεσθαι σημαίνειν, αὐτὸς ὁ τόπος ἀφορίζει τὰ σώματα, καὶ ἐν ἑαυτῷ συμπεριλαμβάνει. εἰ μὲν γὰρ ἦν ἀδρανὴς ὁ τόπος ἐν ἀπείρῳ κενῷ καὶ διαστήματι ἄνευ τινὸς ὑποστάσεως ἔχων τὸ εἶναι, καὶ τὸν ὅρον ἂν ἔξωθεν ἐπεδέχετο. εἰ δὲ καὶ δραστήριον ἔχει δύναμιν καὶ οὐσίαν ἀσώματον ὡρισμένην, καὶ τὴν τῶν σωμάτων διάστασιν, οὐκ ἐᾷ μάτην καὶ ἤ που εἰς ἄπειρον προχωρεῖν. ἀλλ' ἐὰν ἑαυτῷ ὁρίζῃ, εἰκότως ἂν καὶ τὸ πέρας ἀφ' ἑαυτοῦ τοῖς σώμασιν ἐπάγοι. ταῦτα δὲ καὶ Ἀρχύτας ἐδήλωσεν εἰπών.

„ἐπεὶ γὰρ πᾶν τὸ κινούμενον ἐν τόπῳ τινὶ κινεῖται, φανερὸν ὅτι τόπον ὑπάρχειν δεῖ
„πρότερον ᾧ περ ἔσται τὸ κινέον, ἢ τὸ πάσχον. ἴσως δὲ καὶ πρᾶτον τοῦτο ἁπάν-
„των. ἐπειδὴ περ τὰ ὄντα πάντα, ἤτοι ἐν τόπῳ ἐντί, ἢ οὐκ ἄνευ τόπου.

σαφῶς δὲ πρεσβύτερον ὑποτίθεται τὸν τόπον τῶν ποιούντων καὶ πασχόντων, ἐπειδὴ συνυφέστηκεν ἀεὶ τῷ τόπῳ τὰ ἐν τόπῳ. διὰ τοῦτο εἶπεν, ἴσως δὲ πρᾶτον. εἰ δὲ τὰ ὄντα ἢ ἐν τόπῳ ἐστὶν, ἢ οὐκ ἄνευ τόπου, δῆλον ὅτι οὐ παρυφίσταται ὁ τόπος τοῖς οὖσι. καὶ εἰ μὲν τὸν οὐσιώδη τις, ἢ τὸν τῆς ζωῆς, ἢ τὸν εἰδητικὸν, ἢ τὸν κατὰ δύναμιν συνεκτικὸν τόπον λαμβάνοι, ἐν τῷ τοιούτῳ τόπῳ τὰ ὄντα πάντα ἔχοι τὸ εἶναι. εἰ δὲ τὸ πέρας τοῦ περιέχοντος ψιλὸν, καὶ τὴν ἀσώματον ἐπιφάνειαν νοεῖ τις τὸν τόπον, οὐκ ἄνευ τόπου ἐστὶ τὰ ὄντα. οὐχ ὅτι συμβέβηκεν ἄλλως αὐτοῖς τὸ πέρας, οὐδὲ ὅτι ὕστερόν ἐστι τοῦ τριχῇ διαστατοῦ τὰ ἐφ' ἓν ἢ ἐπὶ δύο διαστατά, ἀλλ' ὅτι ἡ περιέχουσα αὐτὰ ἐπιφάνεια, ἀρχηγός ἐστι τῶν σωμάτων, καὶ ἀφ' ἑαυτῆς ὑποστήσασα αὐτά, ἐν ἑαυτῇ περιέχει αὐτὰ καὶ ἀφορίζει. ὅθεν δὴ καὶ ἐν τόπῳ ἔχει τὸ εἶναι τὰ σώματα, ὡς περιεχόμενα ἀπ' αὐτοῦ, καὶ ἐν τῇ ἀδιαστάτῳ φύσει τὴν διάστασιν ἑαυτῶν συνέχοντα. πανταχοῦ γὰρ ἡ ἀσώματος οὐσία τῆς σωματοειδοῦς προτέτακται. ὁ τόπος οὖν ἀσώματος ὤν, τῶν ἐν αὐτῷ ὄντων προέχει. καὶ ὥσπερ αὐταρκέστερος τῶν ἐνδεῶν καὶ δεομένων, ἐν τόπῳ εἶναι προέχει. οὐ δὲ γὰρ ὡς δοκεῖ τισι τῶν σωμάτων ἐστὶ μόνον τελευτὴ ὁ τόπος, ἀλλὰ καὶ τῆς περὶ αὐτὰ μορφῆς καὶ τῆς ἐν αὐτοῖς ζωῆς. σχημάτων τε τῶν περὶ αὐτὰ, καὶ εἴ τις ἄλλη ἐστὶν ἐν αὐτοῖς δύναμις καὶ οὐσία, πάντων τούτων, κοινόν ἐστι πέρας ὁ τόπος. ὥστε οὐ χρὴ ψιλὸν πέρας ἐπι-

νοεῖν τὸν τόπον ὡς ἐπινοοῦμεν τὰς μαθηματικὰς ἐπιφανείας τῶν μαθηματικῶν σωμάτων πέρατα. ἀλλ' ὡς φυσικῶν σωμάτων, φυσικοὺς ὅρους. καὶ ὡς ἐμψύχων ζώων, ζωτικοὺς ὅρους. καὶ ὡς νοερῶν ὄντων, νοερὰ πέρατα. καὶ ὡς ἐν δυνάμει ὄντα, δυνατώτατα. καὶ ὡς εἰδητικῶν, εἰδητικά. καὶ τὰ ἄλλα ὡσαύτως οἰκείως ἐφ' ἕκαστον ἀφοριστέον, ἵνα ὄντως ἦ συγγενῆ τὰ πέρατα ἐκείνοις, ὅσα ἐν ἑαυτοῖς συμπεραίνει. μετὰ δὲ ταῦτα, κατὰ τὸ περιέχειν καὶ κατὰ τὸ ὅλον γένος τῆς περιοχῆς τὸν τόπον θεωρητέον. κατὰ δὲ τὸ περιέχεσθαι, τὰ ἐν τόπῳ ἀφοριστέον. μὴ τοίνυν διάστημά τις τὴν περιοχὴν ψιλὴν οὕτως νοείτω. οὐδὲ γάρ ἐστι τὸ τοῦ τόπου διάστημα ἀργόν, ἀλλὰ ἀποπληροῦται. κατὰ μὲν τὰ εἴδη, τῶν ὅλων εἰδῶν. κατὰ δὲ τὰς ζωάς, τῶν ὅλων ζώων. κατὰ δὲ τὰς δυνάμεις, τῶν ὅλων δυνάμεων. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. δεῖ δὲ οὐ μόνον ὡς περιέχοντα τὸν τόπον καὶ ὡς ἐνιδρύοντα ἐν ἑαυτῷ τὰ ἐν τόπῳ ὄντα, ἀλλὰ καὶ ὡς ἀνέχοντα αὐτὰ κατὰ δύναμιν μίαν οὕτως νοεῖν. οὕτως γὰρ οὐκ ἔξωθεν μόνον περιέξει τὰ σώματα ὁ τόπος, ἀλλὰ καὶ ὅλα δι' ὅλων αὐτῶν πληρώσει τῆς ἀνεγειρούσης αὐτὰ δυνάμεως. τὰ δὲ ὑπ' αὐτῆς ἀνεχόμενα σώματα, πίπτοντα μὲν κατὰ τὴν οἰκείαν φύσιν, ἀνεγειρόμενα δὲ κατὰ τὴν ἐπικράτειαν τοῦ τόπου, οὕτως ἐν αὐτῷ ἐνέσται. διὸ ἡ μὲν τῶν πολλῶν δόξα, ἡ τὸ πέρας τοῦ περιέχοντος ἀφοριζομένη τόπον καθόσον ἐστὶ διαστατόν, τὸ περιεχόμενον ἔσχατον τοῦ τόπου λέγει. καὶ τὸ κατ' ἐπακολούθησιν ἐπισυμβαῖνον τῷ τέλει. ἡ δὲ τὸ πέρας κατὰ ταύτην τὴν αἰτίαν καὶ τὴν ἀρχὴν περιλαμβάνουσα τῷ λογισμῷ δόξα, οὐ τῶν συμβεβηκότων τι περὶ τὸν τόπον λέγει, οὐδὲ τῶν ἐπὶ τέλει περὶ αὐτῶν ὑπαρχόντων, ἀλλὰ τὴν οὐσίαν ὅλην αὐτοῦ, καὶ τὴν πρεσβυτάτην αἰτίαν παραδίδωσιν. ἀπὸ δὲ τούτων ῥᾴδιον μαθεῖν, πῶς ἡ νοητὴ ψυχή, τόπος τῶν ἐν ἑαυτῇ λόγων λέγεται. δῆλον γὰρ ὡς εἰς ἕνα λόγον, καὶ ἓν κεφάλαιον, τοὺς πολλοὺς ἐν ἑαυτῇ συνειληφυῖα, οὐχ ὡς ἑτέροις ἐν ἑτέρῳ, ἀλλ' ὡς τοὺς αὐτοὺς ἐν τῷ αὐτῷ. ἔνθα δὲ ὁ τόπος ζωτικός ἐστι καὶ λογικός. ὡσαύτως δὲ καὶ ὁ τῶν εἰδῶν τόπος, ἓν εἶδος ἐστὶ πάντων τῶν εἰδῶν περιληπτικόν. ἐπὶ τῆς ζωῆς δὲ καὶ δυνάμεως ὁ αὐτὸς ἔστω λόγος, ὥσπερ ἐπὶ τοῦ νοῦ καὶ τῆς νοήσεως. καὶ γὰρ καὶ ἐπὶ τούτων ἡ φαινομένη σχέσις, τῶν περιεχομένων πρὸς τὰ περιέχοντα, ὡς τῶν ἐν τόπῳ πρὸς τὸν τόπον ἐστίν. ἴσως γὰρ καὶ ὅτι μάλιστα συμπέφυκεν ἐπὶ τῶν ἀσωμάτων τὰ περιεχόμενα τοῖς περιέχουσιν, ἀλλ' ὅμως τὴν τάξιν οὐ συγχεῖ τὴν ὡς ἑτέρων ἐν ἑτέροις. διό φησιν ὁ Ἰάμβλιχος ἐπιδιαστῆναι ἐφ' ὅλα τὰ ὁπωσοῦν ὄντα, ὡς ἕτερα ἐν ἑτέροις τὴν ὅλην τοῦ τόπου φύσιν. οὐχ ὁμωνύμως, ἀλλὰ κατ' αὐτὸν τὸν τοῦ γένους λόγον. μία γάρ ἐστιν ἡ τῶν περιεχομένων πρὸς τὰ περιέχοντα σχέσις. ἡ αὐτὴ μὲν πανταχοῦ. κατὰ δὲ τὰς διαφόρους ὑποστάσεις τῶν μετεχόντων ἐξαλλαττομένη. ἄλλη μὲν γάρ ἐστιν ἐν τοῖς σώμασιν. ἄλλη δὲ ἐπὶ τῶν ἀσωμάτων. καὶ δὴ καὶ τοῦτο φανερόν, ὅπως ὥσπερ ἐπὶ τῶν ὁρωμένων ἕτερα ἐν ἑτέροις περιέχεται, οἷον τὰ μὲν στερεὰ σώματα ὑπὸ τῶν λεπτοτέρων στοιχείων, οἷον γῆ καὶ ὕδωρ ὑπὸ ἀέρος καὶ πυρός, ταῦτα δὲ ὑπὸ τοῦ οὐρανοῦ, οὕτως ἐν ταῖς ἄλλαις οὐσίαις, αἱ δεύτεραι ὑπὸ τῶν προτέρων περιέχονται, καὶ ἐν ἑαυταῖς κεῖνται. ὁ μὲν κόσμος, ἐν τῇ ψυχῇ. ἡ δὲ ψυχή, ἐν τῷ νῷ. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ἀεὶ γὰρ τὰ ἀρχηγικώτατα, τὰ τῶν πρεσβυ-

τὰ τοῦ τόπου τάξιν περιείληφε. ταύτην δὲ τὴν ἰδιότητα καὶ Ἀρχύτας ἀποδίδωσι τῷ τόπῳ, λέγων. τῷ μὲν τόπῳ ἴδιόν ἐστι, τὸ τὰ μὲν ἄλλα ἐν αὐτῷ ἦμεν. αὐτὸν δὲ ἐν μηδενί. εἰ γὰρ ἔν τινι τόπῳ ἔσται, καὶ ὁ τόπος πάλιν αὐτὸς ἐν ἑτέρῳ. καὶ τοῦτο μέχρις ἀπείρω συμβασεῖται. ἀνάγκα τοίνυν τὰ μὲν ἄλλα, ἐν τόπῳ ἦμεν. τὸν δὲ τόπον, ἐν μηδενί. καὶ οὕτως ποτὶ ὄντα ὥσπερ καὶ τὰ πέρατα πρὸς τὰ περαινόμενα. ὁ γὰρ τῶ παντὸς κόσμω τόπος, πέρας ἁπάντων τῶν ὄντων ἐστί. σαφῶς δέ φησιν ὁ Ἰάμβλιχος ἐν τούτοις πέρας τῶν ὁπωσοῦν περατουμένων τὴν ἰδιότητα τοῦ τόπου λέγειν, εἰ μὴ ἄρα ὄντα τὰ σώματα λέγει, περὶ ὧν αἱ κατηγορίαι. ἀλλ' ὁ Ἰάμβλιχος ταῦτά φησι, μὴ ὥσπερ ἐμφαίνεται ὁ λόγος ἐπὶ τοῦ κόσμου μόνου ταῦτα στήσωμεν, ἀλλὰ κοινῶς τὸ πέρας ἀεὶ ἐπὶ τὴν πρεσβυτέραν αἰτίαν ἐπαναγάγωμεν. οὕτω γὰρ ἡμῖν ἔσται τοῦ μὲν ὅλου κόσμου πέρας, ἡ ψυχή, καὶ ὁ νοῦς. καὶ τούτου ἡ μία καὶ ἡνωμένη ἐνέργεια. ἀνωτέρω δὲ ἔσται καὶ τούτου, τὴν ὡς θεοῦ οὐσίαν τοῦ τόπου κατανοούμεθα, ἑνοειδῆ τινα οὖσαν καὶ πάντα συνέχουσαν ἐν ἑαυτῇ, καὶ καθ' ἓν μέτρον τὰ ὅλα συμπεραίνουσαν. τὸ αὐτὸ δὲ καὶ ἀπὸ τῆς περιοχῆς ἐστι συλλογίσασθαι. τὸ γὰρ μέχρι τῶν ἀνωτάτω ἀνῆκον αἴτιον τῆς περιοχῆς, προάγει ἡμᾶς ἐπὶ ἐκεῖνον τὸν θεῖον τόπον, ὅστις αὐτός τε ἑαυτοῦ ἐστιν αἴτιος, καὶ αὐτὸς ἑαυτοῦ περιληπτικός. ἐν ἑαυτῷ τε ὑφέστηκε, καὶ οὐκέτι ἀχώριστον. χωριστὴν δὲ τῶν ὄντων ἔχει τὴν ὑπόστασιν. ἀλλὰ ταῦτα μὲν ἔστω τῆς Ἰαμβλίχου νοερᾶς θεωρίας περὶ τοῦ τόπου δόγματα. ἡμεῖς δὲ συμμετρότερον τήν τε χρείαν καὶ τὴν φύσιν τοῦ τόπου ζητοῦντες τοῦ κυρίως καὶ οὐ κατὰ μεταφορὰν λεγομένου φαμέν. ὅτι τὰ μὲν ἀγένητα καὶ ἀμέριστα πάντα, τήν τε οὐσίαν καὶ τὴν τοῦ εἶναι παράτασιν ἡνωμένην ἔχοντα ὅλα, ἅμα ἐν ἑαυτοῖς ἐστι. καὶ διὰ τοῦτο, οὐδὲ τόπου ἐδεήθη, οὔτε χρόνου. ἀρκεῖ δὲ ὁ αἰὼν ἐκείνοις ἐν ἑνὶ μένειν πάντα ποιῶν. τὰ δὲ γενητὰ καὶ μεριστὴν ἔχοντα τήν τε οὐσίαν αὐτῶν καὶ τὴν τοῦ εἶναι παράτασιν, ταῦτα τοῦ μὲν χρόνου ἐδεήθη, μὴ συγχωροῦντος μήτε σκεδάννυσθαι, μήτε συγχεῖσθαι τὴν τοῦ εἶναι παράτασιν, ἀλλ' ὡς δυνατὸν ἐν τάξει κατὰ τὸ πρότερον καὶ ὕστερον συνάγοντα αὐτὴν καὶ συνεχίζοντα. διὸ οὐδὲ συμπέφυκε τοῖς τοιούτοις ὁ τῶν ζωϊκῶν καὶ τῶν νῦν χρόνος. οὔτε μὴν τοι ἀπέσπασαι πάντῃ ἀλλήλων τὰ μέρη, ἀλλ' ἐν τάξει διασώζει τὴν πρὸς ἄλληλα συνέχειαν. οὕτως δὲ καὶ ὁ τόπος, τὰ μὴ ἐν ἀμερεῖ μείναντα τῶν σωμάτων μέρη, ἀλλ' εἰς ὄγκον διαστάντα καὶ πεσόντα ἐκ τῆς ἑαυτῶν ἀμερείας, ἅμα μὲν ὑποδέχεται, ἅμα δὲ εὐθετίζει καὶ τάττει καὶ διορίζει, ὥς μήτε συμφύρεσθαι τὰς χεῖρας τοῖς ποσί, μήτε διασπᾶσθαι πάντῃ ἀπ' ἀλλήλων, διότι τὴν οἰκείαν ἕκαστα κατέχει τόπον. διττὸς δὲ ὁ χρόνος καὶ διττὸς ὁ τόπος ἐστίν. ὁ μέν, συμφυὴς καὶ ἴδιος ἑκάστου. ὁ τήνδε μὲν τὴν χεῖρα καὶ τόδε τὸ σπλάγχνον ἐν τοῖς δεξιοῖς συνέχων. τήνδε δὲ καὶ τόδε ἐν τοῖς ἀριστεροῖς. καὶ τὴν μὲν κεφαλήν, ὑπὲρ τὸν τράχηλον ἄνω. τοὺς δὲ πόδας, μετὰ τὴν ἥβην κάτω. ὁ δὲ κοινός, καὶ ἄλλος ἄλλου κοινότερος. καὶ γὰρ τῶν χερσαίων πάντων τόπος, ἡ γῆ καὶ ὁ ἀήρ. καὶ τόδε τὸ μέρος τῆς γῆς καὶ τοῦ ἀέρος. καὶ ἔτι μᾶλλον ὁ προσεχῶς περιέχων. οὗ καὶ Ἀριστοτέλης ἀποδέδωκε, καὶ Ἀρχύτας. τὸν μέντοι ἴδιον ἑκάστῳ καὶ συμφυᾶ, οὐκέτι εὑρεῖν σαφῶς παραδεδομένον. καίτοι χρόνον ἀναγκαίως περὶ κοινόν, οὕτως καὶ ἴδιον ἀποδιδόναι, εἴπερ καὶ κίνησιν.

καὶ ὁ κοινότερος δὲ τόπος ὁ κατὰ τὸ πέρας τοῦ περιέχοντος, οὐχ ὡς πέρας ἁπλῶς ἔχει τὸ, τόπος εἶναι, ἀλλὰ κατὰ τὸ δραστικὸν καὶ ὑποδεκτικὸν καὶ ὁριστικόν, ὡς καὶ Ἰάμβλιχος εἴρηκε. τὰ γὰρ περιέχοντα, ἀεὶ δραστικὴν ἔχει καὶ περιεκτικὴν καὶ ὁριστικὴν τῶν ἐν αὐτοῖς δύναμιν. ἀλλὰ ταῦτα μὲν ἀρκείτω πρὸς τὸ παρόν.

## ΠΕΡΙ ΤΟΥ ΕΧΕΙΝ

Ἐπὶ δὲ τὴν λοιπὴν κατηγορίαν τὴν τοῦ ἔχειν ἰόντες, πρῶτον πάλιν περὶ τῆς τάξεως ζητῶμεν. καὶ γὰρ Ἀρχύτας μὲν μετὰ τὴν οὐσίαν καὶ τὰ συνυπάρχοντα τῇ οὐσίᾳ, τήν τε ποιότητα καὶ ποσότητα, καὶ μετὰ τὰ πρός τι, ἐφεξῆς τὴν τοῦ ἔχειν κατηγορίαν τίθησι λέγων. Μετὰ δὲ ταῦτα ἡ τῶν ἐπικτατῶν σχέσις. φανερὸν δὲ ὅτι καὶ ἀκράτησις ὁ ποιὸν ἀλλ' ἡ » τινῶν ἐπικτάτων ἀπ' αὐτομάτου, ὑπόπταται ἐν τινι. μετὰ γὰρ τὴν πρὸς ἄλληλα διϊστάζουσαν σχέσιν, οἰκείως ἐνόμισεν εὐθὺς τὴν τῶν ἐπικτήτων σχέσιν διηριθμῆσθαι, οὕτως ἔχουσαν συγγενῶς πρὸς ἐκείνην. ὁ δέ γε Ἀριστοτέλης τὸ ἐξ ἑαυτοῦ ὑπάρχειν ἀρχηγικώτερον οἰόμενος εἶναι τοῦ ἔξωθεν προσγινομένου καὶ ἐπικτήτου. ἐπειδὴ τὰ μὲν ἄλλα πάντα γένη, ἢ ἐν οὐσίᾳ, ἢ ἐν σχέσεσι τισὶν ὄντα ἀφ' ἑαυτῶν, τινὰ μοῖραν εἰς τὸ εἶναι συμβάλλεται. τὸ δὲ ἔξωθεν ἔχειν ὅλον καὶ ἐπίκτητον περὶ ἡμᾶς ἐστί. διὰ τοῦτο τελευταῖον αὐτὸ τίθησι. καὶ τὸ πολλαχῶς δὲ λέγεσθαι τὸ ἔχειν, ἐναργέστερον τοῦ ποῦ καὶ ποτέ. καὶ γὰρ ἐκεῖνα πολλαχῶς ἐλέγετο, ἐπί τε τοῦ τόπου καὶ τοῦ ἐν τόπῳ. καὶ τοῦ χρόνου καὶ τοῦ ἐν χρόνῳ. καὶ τοῦτο οὖν ἀφορμὴν παρέχει τῆς ἐπὶ τῷ τέλει θέσεως αὐτῆς. δῆλον δὲ ὅτι κἂν πολλαχῶς λέγηται τὸ ἔχειν, οὐ τὸ ὁμώνυμόν ἐστι τὸ γένος, ἀλλὰ τὸ ἐκ τῆς ὁμωνυμίας διακρινόμενον. ἐν μέντοι ταῖς τῶν ἰδίων ἀποδόσεσι, καὶ ὁ Ἀρχύτας οὐ μετὰ τὰ πρός τι, ἀλλὰ μετὰ τὸ ποιεῖν καὶ πάσχειν ἔταξε τὸ ἔχειν, ἑβδόμην αὐτῷ τάξιν ἀποδιδούς. καὶ ἴσως ἐνδείκνυσι διὰ τούτου, ὅτι κἂν ἔχῃ τινὰ τάξιν τὰ γένη, ἣν ἐν τῷ περὶ τῆς τάξεως λόγῳ παραδέδωκεν, ἀλλὰ τά γε ἔσχατα, καὶ ἀδιαφόρως πως κατὰ τὴν τάξιν διὰ τὴν ἀρχηγικὴν καὶ γενικὴν ἁπάντων ὕπαρξιν. ἀλλὰ περὶ μὲν τῆς τάξεως, ἀρκεῖ τοσαῦτα. τὴν δὲ φύσιν αὐτοῦ καλῶς ὁ Ἀρχύτας παρέστησεν εἰπών. » Τῷ δὲ ἔχειν ἴδιόν ἐστι τὸ » ἐπίκτατον καὶ τὸ κεχωρισμένον τᾶς οὐσίας, σωματῶδες ὑπάρχον. τό, τε λώπιον καὶ τὰ » ὑποδήματα ἕτερα τῶ ἔχοντος ἐντί, οὔτε συμπεφύκαντι αὐτῷ, οὔτε μὰν συμβεβή- » καντι, ὥσπερ χαροπότας καὶ μανότας. τούτων γὰρ ἕκαστον ἀσώματον. ἀλλ' ὥσπερ τὸ σῶ- » μα καὶ τὸ ἐπίκτατον. Ἐπίκτητον οὖν τινός μετουσία, καὶ τοῦ κεχωρισμένου τῆς οὐσίας, καὶ μὴ διατιθέντος αὐτὴν καθ' αὑτό, μὴ δὲ ὀνομάζεσθαι ἀφ' ἑαυτοῦ ποιοῦντος καὶ περικειμένου, τὸ ἴδιόν ἐστι τοῦ ἔχειν. καὶ σωματικὸν οὖν εὐθὺς τοῦτο, ἀλλ' οὐχὶ συμβεβηκός. διό οὔτε συμφυές ἐστιν, οὔτε ἀλλοιωτικὸν τοῦ ἔχοντος. ὥστε οὔτε ποιότητα οὔτε ποσότητα, οὔτε σχέσιν οὔτε ἐνέργειαν ἢ πάθος ἔχοντι, κατὰ τοῦτο τὸ γένος λέγεται ἔχειν. ἀλλ' οὐδὲ ἔστιν ὡς μέρος ἔχειν. συμφυῆ γὰρ ταῦτά ἐστι, καὶ αὐτὸ ἐκεῖνο. ἀλλ' εἴ τι σῶμα ἐπίκτητον ὡς ἕτερον ἑτέρῳ περίκειται, τοῦτο ἐν τῇ τοῦ ἔχειν περιείληπται κατηγορίᾳ.

διό, οὐδὲ τὰ κτήματα ἢ ἀνδράποδα ἢ φίλους ἢ πατέρας ἢ υἱοὺς, κατὰ τοῦτο τὸ γένος
ἔχειν λεγόμεθα. διότι οὐκ ἐν περιθέσει ταῦτά ἐστι, καίτοι κτήματα ὄντα. τὸ γὰρ οὖν
» καὶ ὁ πλάτων ἐν θεαιτήτῳ, τὸ ἔχειν ἀπὸ τοῦ κεκτῆσθαι σαφῶς διέκρινεν, εἰπών. Οὐ ταὐ-
» τόν μοι φαίνεται τὸ κεκτῆσθαι τῷ ἔχειν. οἷον, εἰ ἱμάτιον πριάμενός τις, καὶ ἐγκρατὴς ὢν μὴ φο-
» ροίη, ἔχειν μὲν οὐκ αὐτὸν, κεκτῆσθαί γε μὴν φαῖμεν. ὅρα δὴ καὶ ἐπιστήμην εἰ δυνατὸν οὕτως κε-
» κτημένον μὴ ἔχειν αὐτήν. ὥσπερ εἴ τις ὄρνιθας ἀγρίας, περιστερὰς ἢ ἄλλο τι θηρεύσας οἴκοι
» κατασκευασάμενος περιστερῶνα τρέφοι, τρόπον μὲν ἄν πού τινα φαῖμεν αὐτὸν ἀεὶ αὐτὰς
» ἔχειν, ὅτι δὴ κέκτηται. τρόπον δὲ ἄλλον οὐδεμίαν ἔχειν, ἀλλὰ δύναμιν μὲν αὐτῷ περὶ αὐτὰς
» παραγεγονέναι. ἐπειδὴ ἐν οἰκείῳ περιβόλῳ ὑποχειρίους ἐποιήσατο λαβεῖν καὶ ἔχειν, ἐπει-
» δὰν βούληται. ὥστε καὶ κατὰ πλάτωνα τότε γίνεται τὸ ἔχειν, ὅταν ἐγκρατὴς ᾖ ὁ ἔ-
χων τοῦ ἐχομένου. ὡς ὅταν κρατῇ τῆς περιστερᾶς, ὥσπερ ὅταν περίκειται τὸν δακτύ-
λιον, τότε λέγεται ἔχειν αὐτόν. καὶ οὐκ ἔστιν ἀπόλυτος ἐνέργεια. οὔτε ἄλλου πρὸς ἄλλο
ἁπλῶς. ἀλλὰ πρὸς ἄλλο εἰς ἑαυτὸ κράτησις, πολλῷ ἐκβεβηκυῖα πασῶν τῶν ἄλλων
κατηγοριῶν. φαίνεται δὲ λοιπὸν, καὶ πῶς τῶν ὁμωνύμως λεγομένων ἔχειν, διέστηκε τὸ
ὄντως γένος τοῦ ἔχειν. οὔτε γὰρ τὸ ἕξιν ἔχειν ἢ ποιότητα ἢ ποσότητα, περιέχεται ἐν
αὐτῷ. ἀσώματα γὰρ ταῦτα. οὔτε τὸ ὡς ἀγρὸν ἔχειν. ἢ υἱὸν ἔχειν. ἢ κεκτῆσθαι. κτήμα-
τα μὲν γὰρ καὶ ταῦτα σωματικά. ἀλλ᾽ οὐ περιεχόμενα ἔξωθεν, ἢ περιέχοντα. καὶ ἔοικε μέ-
σον πως εἶναι τὸ ἔχειν τοῦ κεκτῆσθαι, καὶ τοῦ καθ᾽ ἕξιν διακεῖσθαι. ἡ μὲν γὰρ ἕξις, ὡς
ἡ λευκότης, χωρίζεται ἀπὸ τῶν ἔξωθεν κτημάτων, ἃ οὐ περικείμεθα. ἡ δὲ σωματική ἐστι καὶ
ἔξωθεν χωρίζεται, τῶν ἔξωθεν. ἡ δὲ συμβεβήκασιν ἡμῖν, συμφυεῖς οὖσαι καὶ οὐκ ἐπί-
κτητοι. τοιαύτη μὲν οὖν ἡ τοῦ ἔχειν ἰδιότης ἐστί. καὶ οὕτως ἀπὸ τῶν ὁμωνύμως λεγο-
μένων κεχώρισται. ἐπεὶ δὲ δεῖ καὶ τούτου τοῦ γένους παραδοῦναι τὰς κατ᾽ εἴδη διαφοράς,
ὡς καὶ ἐπὶ τῶν ἄλλων γενῶν αὐτός τε ὁ ἀριστοτέλης ἐποίει, καὶ ἡμεῖς κατακολουθεῖν ἐπει-
ρώμεθα, λέγεται δὲ πολλαχῶς τοῦτο, φυλακτέον μὴ λάθωμεν εἰς ἄλλο τι σημαινόμενον
μεταχωρήσαντες. καὶ γὰρ καὶ αὐτὸς ὁ ἀρχύτας ἀντὶ τῶν κατ᾽ εἴδη διαφορῶν, τὰς πολ-
» λὰς σημασίας, ἀπαριθμεῖται λέγων. Τὸ δὲ ἔχειν, διαφορὰς μὲν οὐκ ἐπιδέχεται πλεό-
» νας εἰδέων. λέγεται δὲ πολλαχῶς. καὶ γὰρ οἱ ἐπιστάμονες, ἔχειν λέγονται τὰν ἐπιστάμαν. καὶ
» τοὶ νοέοντες, τὰν νόασιν. καὶ τοὶ κεκταμένοι, τὰν κτᾶσιν. καὶ ὁ ἀριστοτέλης δὲ ἐπὶ
τέλει τοῦ συγγράμματος, τὸ ἔχειν εἰπὼν κατὰ πλείονας τρόπους λέγεσθαι, οὐ τὰς κατ᾽ εἴ-
δη διαφορὰς, ἀλλὰ τὰς πολλὰς αὐτοῦ σημασίας παραδίδωσιν. ὁ μέντοι ἰάμβλιχος
πειρᾶται καὶ τούτου κατ᾽ εἴδη διακρίνειν. καὶ κατ᾽ αὐτὸ τοῦτο μόνον τὸ τοῦ ἔχειν γένος
ἀποδίδωσι τὰς διαφορὰς, ἐν ᾗ ἐστι φησὶ τοῦ ἔχειν, τά τε περικείμενα περὶ τοῖς σώμασι μερικῶς,
ὡς περὶ δακτύλιος περὶ δάκτυλον, καὶ τὰ περὶ ὅλον τὸ σῶμα, ὡς περὶ ἱμάτια. τὰ δὲ ἀ-
μυντήρια, ἤγουν ὄργανα, ὡς περὶ ὅπλα. τὰ δὲ, προβέβληται τοῦ σώματος. ἢ ὡς κόσμον
τινὰ παρεχόμενα αὐτῷ, ἢ ἄλλης ἕνεκα χρείας. ἔνεστι δέ φησι καὶ κατὰ τὰς σχέσεις τὰς περὶ τὸν
βίον διαιρεῖσθαι τὰς τοῦ ἔχειν διαφοράς. οἷον, εἰ τὰ μὲν, εἰς εἰρήνην. τὰ δὲ, εἰς πόλεμον ἐστὶ
χρήσιμα, ὡς κόσμια καὶ ὅπλα. καὶ τὰ μὲν, κατὰ προαίρεσιν ἡμῶν περίκειται ὡς ἱμάτια καὶ



Universitäts- und
Landesbibliothek Düsseldorf

ὅπλα. τὰ δὲ, ἄνευ προαιρέσεως. ὡς δεσμοί. καὶ τὰ μὲν, κρατοῦμεν, ὡς δόρυ καὶ βακτη-
ρίαν. ὑπὸ δέ τινων κρατούμεθα, ὡς ὑπὸ τῶν ὑποδημάτων. καὶ ἤτοι διὰ σπουδῆς παρὰ τῶν
ἡμῶν τὸ ἔχειν, ἢ ἄνευ τινὸς πραγματείας. ταύτας μὲν οὖν ὡς εἰδικὰς διαφορὰς τοῦ
ἔχειν ὁ ἰάμβλιχος ἀπηριθμήσατο. ἐπιστῆσαι δὲ ἄξιον, μήποτε τὰ πλεῖστα τούτων,
οὐ τῆς τοῦ ἔχειν ἐστὶ διαφορᾶς δηλωτικά, ἀλλὰ τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου. καὶ τοῦ τρό-
που. εἰ γὰρ ὅλον ἢ μέρος τὸ ἔχον, καὶ εἰ ἑκουσίως, ἢ ἀκουσίως, καὶ εἰ ἄνευ σπουδῆς, ἢ μετὰ
σπουδῆς, καὶ αὖ πάλιν. εἰ κόσμια ἢ ἀμυντήρια, καὶ τὸ ἐν εἰρήνῃ δὲ ἢ ἐν πολέμῳ, οὐ τοῦ
ἔχειν, ἀλλὰ τοῦ καιροῦ καὶ τῆς περιστάσεως ἐν ᾗ ἔχει τὸ ἔχον, τούτων λέγει τὴν διαφοράν.
τὸ μέντοι κρατεῖν ἢ κρατεῖσθαι, δοκεῖ μοι τοῦ ἔχειν αὐτοῦ διαφορὰν δηλοῦν. ἐφιστά-
νει δὲ ὁ ἰάμβλιχος ἐκ τῶν εἰρημένων τῇ αἰτίᾳ, δι' ἣν ἐπ' ὀλίγον διατείνει τὸ γένος τοῦτο.
τὰ γὰρ ἐπίκτητα σώματα καὶ σωμάτων περιβλήματα, ὀλίγα ἐστίν. ἔστι δὲ καὶ ὅτι ἐπὶ
» μόνων ἐμψύχων θεωρεῖται ὡς δεῖ χρήσασθαι. Ἀπορίαι δὲ πολλαὶ καὶ πρὸς τοῦτο γεγό-
» νασι τὸ γένος. καὶ γὰρ πλωτῖνος ἀπορεῖ λέγων, περὶ δὲ τοῦ ἔχειν, εἰ τὸ ἔχειν πολλαχῶς,
» διατί οὐ πάντες οἱ τρόποι εἰς ταύτην τὴν κατηγορίαν ἀναχθήσονται. ὥστε καὶ τὸ ποσόν,
» ὅτι ἔχει μέγεθος. καὶ τὸ ποιόν, ὅτι ἔχει χρῶμα. καὶ ὁ πατήρ, ὅτι ἔχει υἱόν. καὶ ὁ υἱός, ὅτι
» ἔχει πατέρα. καὶ ὅτι κτήματα. προσθετέον. ὅτι οὐ χωρίζοντες τῶν ὁμωνύμως καὶ κατὰ
γένος ἐξηλλαγμένων, μίαν εἶναι κατηγορίαν, καὶ ἓν γένος. οὐ μέντοι οὔτε τὸ ποσὸν ἐν
τῷ ἔχειν τούτῳ ἐστὶ διότι ἔχει μέγεθος, οὔτε τὸ ποιὸν ὅτι ἔχει χρῶμα. ἀσώματα γὰρ τὸ
ποιὸν καὶ τὸ ποσόν. ἡ δὲ κατηγορία αὕτη, τῶν περὶ ἡμᾶς ἐπικτήτων σωμάτων ἦν. ὁ δὲ πα-
τήρ, εἰ μὲν καθὸ σῶμα, ἀλλ' οὐ περίθετος ἦν. εἰ δὲ καθὸ σχέσιν ἔχει πρὸς υἱόν, ἀλλὰ σώμα-
τος ἡ σχέσις. ὁ δὲ νικόστρατος ἐγκαλεῖ. διατί φησιν οὐκ ἔθηκας τὰ ὀκτὼ σημαινόμενα
τοῦ ἔχειν, ἅπερ ἐν τέλει τοῦ βιβλίου διηριθμήσω. καὶ διατί οὐκ ἀπέκρινας τὰ ἀλλότρια
τῆς προκειμένης κατηγορίας, ὥσπερ ποιοῦσιν οἱ πολύσημον φωνὴν διαιρούμενοι. οὐ
γὰρ ἴσμεν νῦν τί ποτέ ἐστι τῶν κατηριθμημένων τὸ δέκατον τοῦτο γένος. ἐὰν γὰρ ἀκριβο-
λογῇ ταύτης, οὐδὲν τῶν ἀντικειμένων τοῦ ἔχειν, τὸ ὡς γένος ἐστίν. προσκείσθω δὲ αὕτη ἡ
» ἐπὶ τέλει τοῦ ἀριστοτέλους ῥῆσις, οὕτως ἔχουσα. Τὸ ἔχειν, κατὰ πλείους τρόπους λέγεται.
» ἢ γὰρ ὡς ἕξιν καὶ διάθεσιν, ἢ ἄλλην τινὰ ποιότητα. λεγόμεθα γὰρ ἐπιστήμην ἔχειν καὶ
» ἀρετήν. ἢ ὡς ποσόν. οἷον τυγχάνει τις ἔχων μέγεθος. λέγεται γὰρ τρίπηχυς. ἢ ὡς τὰ περὶ τῷ
» σώματι. οἷον ἱμάτιον ἢ χιτῶνα. ἢ ὡς ἐν μορίῳ. οἷον ἐν χειρὶ δακτύλιος. ἢ ὡς μέρος. οἷον πό-
» δα ἢ χεῖρα. ἢ ὡς ἐν ἀγγείῳ. οἷον ὁ μέδιμνος πυροῦ. ἢ ὡς κτῆμα. ἔχειν γὰρ οἰκίαν καὶ
» ἀγρὸν λεγόμεθα. λεγόμεθα δὲ καὶ γυναῖκα ἔχειν. καὶ ἡ γυνὴ ἄνδρα. ἔοικε δὲ ἀλλοτριώ-
» τατος ὁ νῦν ῥηθεὶς τρόπος τοῦ ἔχειν εἶναι. οὐθὲν γὰρ ἄλλο τὸ ἔχειν γυναῖκα σημαίνο-
» μεν, ἢ ὅτι συνοικεῖ. Ἐν δὴ τούτοις, τὸ μὲν ὄγδοον τὸ ἔχειν γυναῖκα ἢ ἄνδρα, καὶ αὐτὸς
παρῃτήσατο. ὡς μήτε τοῦ ὁμωνύμως λεγομένου ἔχειν ἁπτόμενον, ἀλλὰ μᾶλλον τὸ συνεῖ-
ναι δηλοῦν. τὸ δὲ πρῶτον, σαφῶς ἐστι τοῦ ποιοῦ. τὸ γὰρ ἕξιν ἔχειν καὶ διάθεσιν, οὐδὲν
ἄλλο φησὶν ὁ νικόστρατος ἤ, ἐὰν μεταλάβωμεν εἰς τὸ τί ἐστιν, ἢ τὸ ἐπιστήμονα εἶναι, καὶ
ἑκτικὸν εἶναι, ἅπερ ἐστὶ τοῦ ποιοῦ. ἀλλὰ καὶ τὸ μέγεθος ἔχειν καὶ τὸ τρίπηχυν εἶναι τοῦ πο-

σου. καὶ τὸ τρίτον δὲ καὶ τὸ τέταρτον, καὶ τὸ ἕβδομον, τοῦ ἔχειν σημαινόμενον, σαφῶς ἕκαστόν ἐστιν ἐν τῇ τοῦ πρός τι κατηγορίᾳ. καὶ γὰρ τὸ ἱμάτιον φησὶν ἔχειν, καὶ δακτύλιον ἔχειν, ἴσον ἐστὶ τῷ οἰκίαν ἔχειν καὶ κεκτῆσθαι. καὶ ἔστι τῶν πρός τι. τό γε κτῆμα, τοῦ κτήτορος. καὶ ὁ κτήτωρ, τοῦ κτήματος. καὶ τὸ πέμπτον δὲ, τουτέστι τὸ μόριον ἔχειν, οὐκ ἄδηλον ὅτι καὶ τῶν πρός τι ἐστὶν, εἴπερ μέρος πρὸς ὅλον. καὶ ὅλως τῆς κατὰ τὴν οὐσίαν ἐστὶ κατηγορίας. ἐὰν γὰρ μεταλαβὼν εἴπῃς τί ἐστι τὸ ἔχειν πόδας καὶ χεῖρας, ἐρεῖς κατὰ τὸν ἀκριβῆ λόγον. κἂν ἀσύνηθες ᾖ τὸ πεπεδῶσθαι καὶ κεχειρίδωσθαι. καὶ κοινῶς τοῦ οὐσιῶσθαι, ἀληθὲς ὂν καὶ τοῦτο. διαλεκτικοῖς δὲ οὐ χρὴ τῆς συνηθείας ὡς ἀκριβείας μέλειν. ἡ μέν τε νοῦν φησὶ μὴ ἀποκρίνας τὰ ἄλλα σημαινόμενα, ὡς ἐπιδείκνυμεν τίς ποτέ ἐστιν ἡ τοῦ ἔχειν κατηγορία. πρὸς δὴ τοῦτό φησιν Ἰάμβλιχος, ὅτι διὰ τοῦτο ἐν τῷ τέλει διέκρινε τὰ τοῦ ἔχειν σημαινόμενα, ἵνα αὐτὰ χωρίσῃ τῆς τοῦ ἔχειν κατηγορίας. ἐν μὲν ἀρχῇ καὶ ἐν μέσῳ, ὅτε περὶ τῶν ἓξ ἅμα γενῶν ἔλεγε, διὰ τῶν παραδειγμάτων ἐδήλωσε. καὶ γὰρ σύνηθες τοῖς διαλεκτικοῖς, τὸ ἀφορίσαι τι παράδειγμα, ὡς τὰ τούτῳ μὴ ὄντα παραπλήσια ἀποκρίνεσθαι. οἱ γοῦν ἐκ τῆς ἀκαδημίας ὁρισάμενοι τὸ ἑκτὸν, τὸ οἷόν τε ἔχεσθαι πρὸς τοὺς ζητοῦντας, κατὰ τί τοῦ ἔχειν σημαινόμενον λέγουσιν. ἐπεὶ δὴ πολλαχῶς τὸ ἔχειν, ὡς καὶ Ἀριστοτέλης διώρισε. πρὸς τοῦτο γοῦν παράδειγμα ἐπῆγον ἑκτὸν λέγοντες εἶναι, ὃ οἷόν τε ἔχεσθαι οὕτως, ὡς ἡ φρόνησις ἔχεται ὑπὸ τοῦ φρονίμου, διὰ τοῦ παραδείγματος τὴν ὑπογραφὴν ποιούμενοι, καὶ ἅμα τὰ ἀλλότρια σημαινόμενα τοῦ ἔχειν ἀποκρίνοντες. καὶ ὁ Ἀριστοτέλης οὖν, ὅταν τοῦ ἔχειν πολλαχῶς λεγομένου, τοιοῦτον τὸ κατὰ γένος ἔχειν ὑπολαμβάνει, οἷον τὸ ὑποδεδέσθαι καὶ ὡπλίσθαι, διὰ τοῦ παραδείγματος πᾶν τὸ ἄλλο πλῆθος τῶν ὁμωνύμως λεγομένων ἀπεσκευάσατο. καὶ γὰρ χωρίζεται ἀπὸ κτημάτων. οὐ γὰρ περικείμεθα ἐκεῖνα. καὶ ἀπὸ τῶν ἕξεων καὶ τῆς ποσότητος. συμβεβήκασι γὰρ αὗται, καὶ ἅμα εἰσὶν ἀσώματοι. χωρίζεται δὲ καὶ τῶν ὡς μορίων ἐχομένων. ὅτι ἐκεῖνα μὲν ἐστὶ συμφυῆ. ταῦτα δὲ, ἐπίκτητα. καὶ ἔτι τῶν ὡς κτημάτων. ὅτι πάντη ἔξωθεν ταῦτα, καὶ οὐ περικείμενα. χωρίζεται δὲ καὶ τῶν ἐν ἀγγείῳ. ὅτι ἐκεῖνα ἀπολέλυται ὡς ἐν τόπῳ. μόνα δὲ ἐστὶν ἐν τοῖς ἀπηριθμημένοις τῆς τοῦ ἔχειν κατηγορίας, τό, τε τρίτον καὶ τὸ τέταρτον. τὸ μὲν ἱμάτιον ἔχειν, κατὰ τὸ ἐν ὅλῳ τῷ σώματι. τὸ δὲ δακτύλιον, κατὰ τὸ ἐν μέρει. καὶ δῆλον ὅτι εὐσύνοπτα ταῦτα ἦν, διὰ τὴν πρὸς τὸ ὡπλίσθαι καὶ ὑποδεδέσθαι ὁμοιότητα. ἅπερ τῆς τοῦ ἔχειν κατηγορίας ὁ Ἀριστοτέλης παραδείγματα προεβάλετο. μάτην οὖν ὁ Νικόστρατος ἐγκαλεῖ, ὡς ἐν τοῖς τοῦ ἔχειν σημαινομένοις μὴ ἀποκρίνοντι τὸ κατὰ τὸ γένος ἔχειν, εἰ μὴ ἄρα ὅτι μὴ προσέθηκεν ὁ Ἀριστοτέλης τῷ τρίτῳ καὶ τετάρτῳ, ὅτι ταῦτά ἐστι κατὰ τὸ γένος. τὰ δὲ ἄλλα, ἐκτὸς ἀποβλητέον. ἀλλ' οὐκ εἰσὶν ἀεὶ αὗται προσθῆκαι συνήθεις τῇ Ἀριστοτελικῇ συντομίᾳ. τὸ δὲ καὶ ἐν μέσῳ τεθεῖναι τὰ τῆς κατηγορίας σημαινόμενα, γυμνάζοντος ἦν ὡς οἶμαι τοὺς ἐντευξομένους πρὸς ἀγχίνοιαν. ὁ μέντοι Νικόστρατος, ὑπὸ τὰ πρός τι καὶ τὸ τρίτον καὶ τὸ τέταρτον ἀνάγων, συγκρύπτει τὴν ἀλήθειαν. κἂν γὰρ κτήματά ἐστι τὰ ἱμάτια καὶ ὁ δακτύλιος, ἀλλὰ κατά γε τὴν περίθεσιν καὶ τὸ ἔχεσθαι προχείρως διαφέροντα τῶν ἄλλων κτημάτων, ὡς καὶ τῷ πλάτωνι

δοκεῖ τῆς τοῦ ἔχειν γίνεσθαι κατηγορίας. ἀλλ' εἰ τὰ σωματικὰ φησὶν ὅπλα τινὸς ἔχειν περὶ τὸ σῶμα καὶ μὴ ἀσώματον ἄλλην ποιεῖ κατηγορίαν, διὰ τί καὶ τῆς τοῦ ποιεῖν πολλῆς οὔσης διαφορᾶς, οὐκ ἄλλη μὲν κατηγορία γίνεται κατὰ τὸ τέμνειν, ἄλλη δὲ κατὰ τὸ κάειν, ἢ κατορύττειν, ἢ ἀποβάλλειν. ἢ ἡ μὲν τοῦ ποιεῖν ἐνέργεια μία ἐστὶ, καὶ ἕνα ἔχουσα λόγον. καὶ οὐδὲν δεομένη τῆς διαφόρου ὑποδοχῆς τῶν τὸ ποιεῖν ὑποδεχομένων. καὶ ὁ τέμνων γὰρ καὶ ὁ κάων καὶ οἱ ἄλλοι, οὐδὲν κατὰ τὸ ποιεῖν διαφέρουσιν. ἡ μέντοι τοῦ ἔχειν κατηγορία ἐν τούτῳ τὴν ὅλην ἔχει ἰδιότητα ἐν τῷ μὴ ἀσώματον. σῶμα δὲ εἶναι τὸ περικείμενον. ἢ οὐκ ἀπὸ τῆς τυχούσης σχέσεως χαρακτηρίζεται, ἀλλ' ἐκ τῆς πρὸς ἄλλο ἧς αὐτὸ κυρίως θεωρεῖται. ἀλλ' εἰ τὸ περικείμενον φησὶν ἱμάτιον ἄλλην κατηγορίαν ποιεῖ, διὰ τί μὴ καὶ τὸ κείμενον ἐπὶ κλίνης ἄλλην ποιήσει. ἢ τὸ μὲν κεῖσθαι ἱμάτιον ἐπὶ κλίνης, τῆς τοῦ κεῖσθαι ἐστὶ κατηγορίας ἢ τῆς ἐν τόπῳ. οὐδὲ μίαν γὰρ ἐνέργειαν παρέχεται ἡ κλίνη εἰς τὸ ἔχειν. ἕξιν γὰρ καὶ κράτησιν ἐμφαίνει τινὰ, ἡ τοῦ ἔχειν κατηγορία. ἀλλὰ σωμάτων ἐπικτήτων. εἰ δὲ τοῦτο ἀληθὲς, ἐπὶ μόνων τῶν ἐμψύχων τὸ ἔχειν ἐπαληθεύεται. ὥστε κἂν ἀγάλματι κόσμος περίκειται, ὡς μὲν ἄψυχον, οὐκ ἂν λέγοιτο ἔχειν τὸ ἄγαλμα, ἀλλὰ κεῖσθαι ἐν τῷ ἀγάλματι ὁ κόσμος. εἰ δὲ ὡς ἐμψύχῳ τινὶ θεωροῖτο, κατὰ τὴν πρὸς τὸ ἔμψυχον ἀναφορὰν, ἔχειν ἂν λέγοιτο τὸν κόσμον. ἀλλ' εἰ κατὰ τὴν καθ' ἕξιν τὸ ἔχειν χαρακτηρίζεται, εἰς ἕξιν ἀναχωρήσεται φησίν. ἡ δὲ ἕξις, ἐν τῇ ποιότητι. ἢ ὁμώνυμος αὕτη ἡ ἕξις. ἡ μὲν γὰρ, ἐστὶ σωμάτων συνοχή. αὕτη δὲ, ἐπικτήτων σωμάτων κράτησις. καὶ ἡ μὲν τοῦ ἔχειν, δι' ἐνεργείας τῶν ἐχόντων παραγίνεται. ἡ δὲ ποιοτήτων, οὐδ' ἐνεργείας οὔτε τῶν μετεχομένων, οὔτε τῶν μεταλαμβανόντων. διαφέρουσι δὲ καὶ κατὰ τὰ ἐχόμενα. ὅτι ἐκεῖ μὲν ἀσώματά ἐστιν. ἐνταῦθα δὲ, σώματα. καὶ κατὰ τὰ ἔχοντα. ὅτι ἐκεῖ μὲν, ἐν τῇ οὐσίᾳ. ἐνταῦθα δὲ, περὶ τὴν οὐσίαν ἔξωθεν. ἀλλ' εἰ ποιότητα φησὶν οὐ δεῖ λέγειν ἔχειν, ὅτι ἤδη ποιότης εἴρηται, οὔτε ποσότητα ἔχειν εἰρημένης ποσότητος, οὐδὲ μέρη ἔχειν εἰρημένης οὐσίας, διὰ τί τὸ ὅπλα ἔχειν, ἄλλης δεῖ λέγειν κατηγορίας. καίτοι εἰρημένης οὐσίας, ἐν ᾗ τὰ ὅπλα. ἢ ὅτι οὐ τὰ ὅπλα ἢ τὰ ὑποδήματα καθ' αὑτὰ εἴρηται εἶναι τῆς τοῦ ἔχειν κατηγορίας. οὐδὲ ἡ κτῆσις αὐτῶν, εἴ τις κεκτημένος αὐτὰ, χρῆσιν αὐτῶν μὴ ποιήσαιτο, ἀλλ' ἡ κράτησις αὐτῶν, καὶ ἡ ἐκ τοῦ ἔχειν αὐτὰ λεγομένη ἕξις, αὕτη ποιεῖ τὴν τοῦ ἔχειν κατηγορίαν. ἄλλο δέ ἐστι τὸ ποιότητα ἔχειν καὶ ποσότητα, ἄλλο τὸ ὅπλα ἔχειν καὶ ὑποδήματα. ἐκεῖ μὲν γὰρ ἀσωμάτων ἡ ἕξις. ἐνταῦθα δὲ, σωματικῶν. καὶ ἐκεῖ μὲν ἀλλοιωτικά ἐστι τῶν μετεχόντων τὰ μετεχόμενα. ἐνταῦθα δὲ περίκειται μόνον. ἀλλὰ τὸ ἐν ὀλίγοις φησὶ, ποῖον γένος. ἢ ὅτι ἐν τοῖς ἐσχάτοις ἐστὶ τοῦτο τὸ γένος. καὶ περὶ τὰ σώματα. καὶ ἐν τοῖς σώμασιν ὑπάρχει. καὶ διὰ τοῦτο εἰς βραχύτατον συνέσταλται. καὶ διὰ τοῦτο οὐκ ἂν εἴη γένος. καὶ γὰρ ὁ φοίνιξ εἷς ὢν, τὸ εἶδος ὅλον ἔχει ἐν ἑαυτῷ. ἀλλὰ διὰ τί οὐ συνῆψε τὸν περὶ τοῦ ἔχειν λόγον ταῖς ἄλλαις κατηγορίαις, ἀλλ' ὥσπερ ἐκ μεταγοίας μετὰ τὸν περὶ τῶν ἀντικειμένων, καὶ περὶ τῶν ἅμα, καὶ περὶ κινήσεως

λόγου, περὶ τοῦ ἔχειν ἐμνημόνευσεν. καὶ συμπληρώσας τὸν περὶ τῶν κατηγοριῶν λόγον, ἐπειδή τινων κατὰ παραδρομὴν ἐν ἑαυτῷ ἐμνήσθη, ἐξεργάζεται καὶ ἐκεῖνα. τελευταίας δὲ οὔσης τῆς τοῦ ἔχειν κατηγορίας, φροντίζων τάξεως, διότι ὡς τελευταίας τοῦ ἔχειν ὁμωνυμίας ἐμνημόνευσεν. οὐ μόνον αὐταῖς ταῖς κατηγορίαις τὴν προσήκουσαν ἀποδίδωσι τάξιν, ἀλλὰ καὶ τοῖς ἔξωθεν ἐπιλεγομένοις καὶ ἐξεργαζομένοις, τὴν αὐτὴν ἀποδίδωσι. ἀλλ' ἄτοπον φησὶν ἀποδοκιμάζων τὸ λέγειν ἔχεσθαι γυναῖκα σύνηθες ὄν. ἀλλ' εἰ μὲν μὴ ἐμνήσθη, ἄτοπος ἦν παρεὶς τὸ ἐν τῷ ἔθει. ὁ δὲ μνησθεὶς καὶ ἐπικρίνας, διαλεκτικοῦ ἔργον ἐποίησεν. ᾧ μάλιστα διαφέρει ἡ τῆς ἀληθείας κρίσις. ταῦτα μὲν οὖν καὶ πρὸς τὰς ἀπορίας εἰρήσθω. ἀκριβέστερον δὲ ὁ ἀριστοτέλης ἐν τῷ τετάρτῳ τῶν μετὰ τὰ φυσικὰ τοῖς τοῦ ἔχειν σημαινομένοις ἐπεξῆλθεν. ἔχειν γάρ φησι λέγεται πολλαχῶς. καὶ γὰρ κατὰ τὴν ἐν αὐτῷ φύσιν καὶ ὁρμήν, καὶ ὅλως ἐν ᾧ ἡ ἀρχὴ τῆς τοῦ ἐχομένου κινήσεως. οἷον ὁ τύραννος ἔχει τὴν πόλιν. καὶ ὁ πυρετὸς τόνδε τινά, καὶ βήξ. καὶ ἐπὶ τῶν ἐναντίων. καὶ γὰρ ἡ πόλις ἔχειν τύραννον λέγεται. καὶ ὅλως ἄρχοντα. καὶ ἡ ναῦς, κυβερνήτην. καὶ ὁ παῖς, παιδαγωγόν. ταῦτα μὲν οὖν οὕτως ἔχειν λέγεται. ὅτι ἢ ἄγει κατὰ τὴν ἑαυτοῦ ἀρχήν, ἢ ἄγεται κατὰ τὴν ἐν ἐκείνῳ. καὶ ἔστι κατηγορίας τῆς τοῦ ποιεῖν ἢ πάσχειν. ἑτέρως δὲ ἔχειν λέγεται ἡ ὕλη τὸ εἶδος. οἷον ὁ χαλκὸς ἢ ὁ κηρός, τὸ σχῆμα. καὶ τὸ σῶμα, τὴν ὑγείαν, ἢ τὸ χρῶμα. καὶ ὁ σωκράτης, δικαιοσύνην ἢ σωφροσύνην. ὅλως γὰρ τὸ δεκτικόν, πολλαχῶς. καὶ καθ' ἕνα μὲν τρόπον ὡς εἴρηται, ἡ ὕλη τοῦ εἴδους. κατ' ἄλλον δέ, τὸ ὡς ἐν ἀγγείῳ. οὕτως οἶνον λέγεται ἔχειν ὁ ἀμφορεύς. καὶ ἔλαιον ἡ λήκυθος. καὶ ὄχλον τὸ βαλανεῖον. καὶ ἔστι τὰ μέν, τῆς τοῦ ποιοῦ κατηγορίας. τὸ δέ, τῆς τοῦ ποῦ. ἀγρὸν δὲ ἔχειν καὶ ἵππον καὶ νοῦν, δοκεῖ μὲν διαφόρως λέγεσθαι. λέγεται δέ, κατὰ τὸν πρῶτον τοῦ ἔχειν τρόπον. ὅτι γὰρ κρατοῦμεν καὶ κύριοί ἐσμεν χρῆσθαι αὐτοῖς κατὰ τὴν ἑαυτοῦ προαίρεσιν, ἔχειν αὐτὰ λεγόμεθα. ἄλλως δὲ καὶ τὰ μέρη λεγόμεθα ἔχειν χεῖρα καὶ κεφαλήν. καὶ τὰ δένδρα τὰς ῥίζας. λεγόμεθα δὲ καὶ γυναῖκα ἔχειν, καὶ πατέρα καὶ συγγενεῖς. καὶ ἀδελφούς. εἰ καὶ τούτων ἔνια ὑπὸ τὸν πρῶτον τρόπον πεσεῖται. γυναῖκα μὲν γὰρ ἔχει ὁ ἀνήρ, ὅτι ἄγει κατὰ τὴν ἑαυτοῦ ἀρχήν. γυνὴ δὲ ἄνδρα, ὅτι ἄγεται κατὰ τὴν ἐν ἑτέρῳ. τούτων δὲ τὰ μέν, εἰς τὴν οὐσίαν. τὰ δέ, εἰς τὸ ποιεῖν καὶ πάσχειν ἀναχθήσεται. πράγματα δὲ ἔχειν τινὰς λέγει, ὅτι πράττειν καὶ πρὸς ἑαυτοῖς ἐστι. λόγον δὲ ἔχειν, ὅτι φροντίζει καὶ οὐκ ὀλιγωρεῖ αὐτοῦ. ἃ δὴ πάντα τοῦ ποιεῖν. ὑποδήματα δὲ καὶ ἐσθῆτα, καὶ ὡς κτήματα λεγόμεθα ἔχειν. καὶ τῷ ἠμφιέσθαι καὶ τὸ ὑποδέδεσθαι. καὶ ἔστι ταῦτα ὑπὸ τὴν τοῦ ἔχειν κατηγορίαν ἀπὸ τῆς ἕξεως. καὶ ἡ ἕξις δὲ πολλαχῶς. μία μέν, ἡ τῷ ἔχειν συζυγοῦσα, ὡς τῷ λαμβάνειν ἡ λῆψις. ὥσπερ οὖν τὴν λῆψιν οὐ λαμβάνομεν, οὕτως οὐδὲ τὴν ἕξιν ἔχομεν. εἰ δὲ μή, εἰς ἄπειρον πρόεισιν. ἑτέρα δὲ ἕξις διάθεσις ἔμμονος, ὥς φαμεν τὴν ἀρετὴν ἕξιν, καὶ τὰς τέχνας ἑκτικὰς εἶναι. διαφέρουσι δὲ αὗται τῷ τὰς μέν, ἔχειν ἡμᾶς. τὰς δέ, μή. ἔπειτα τῷ τὰς μέν, ἐπίτασιν ἐπιδέχεσθαι. δυνατὸν γάρ ἐστι καὶ τὸν ἑκτικὸν ἐν τῷ μελετῶντα, ἑκτικώτερον γενέσθαι. τὰς δέ, μὴ ἐπιδέχεσθαι.

οἱ γὰρ ἔχοντές τι, οὐ μᾶλλον καὶ ἧττον ἔχουσιν. Ἔτι δὲ τῇ μὲν ἕξις ἀντιτίθεται, ὡς τῇ ἀρετῇ ἡ κακία. τῇ δὲ, οὐχ ἕξις, ἀλλὰ στέρησις. δοκεῖ δὲ ἀντικείμενον εἶναι τὸ ἔχειν τῷ ἔχεσθαι. καὶ ἑτέρα κατηγορία, ὡς τὸ ποιεῖν καὶ πάσχειν ἕτεραι. δεῖ δὲ λέγειν, ὅτι κοινῶς τοῦ ἔχειν λεγομένου, τούτου τὸ μέν ἐστιν ἔχειν δραστικόν. τὸ δὲ ἔχεσθαι τόδε, κοινόν ἐστιν ἡ κατηγορία ὑφ' ἣν καὶ τὰ ἰδικῶς ἔχειν λεγόμενα. ὡς τὸ ὑποδέδεται, καὶ τὸ ἔχεσθαι. ὁμωνύμως καὶ τοῦτο. ὑποδέδεται γὰρ καὶ ὁ ἄνθρωπος, καὶ τὸ ὑπόδημα. Ἔτι δὲ καὶ τοῦτο ῥητέον, ὅτι τὸ ἔχειν ἐπί τινων ὁμωνύμως λέγεται τῷ ἐνηργηκέναι. τὸ γὰρ ὑποδέδεσθαι καὶ τὸ ἔχειν ὑποδήματα, δηλοῖ καὶ τὸ ἀνειληφέναι, ὅπερ ἐστὶ τὸ συντελικὸν τῷ ὑποδέδεται. ἀντίκειται δὲ τῷ ἔχειν, στέρησις. οἷον, γυμνός. ἀνυπόδητος. ἄνοπλος. τὸ γὰρ ἐστερῆσθαι ἐστὶ, τὸ μὴ ἔχειν τότε, ὅτε πέφυκεν ἔχειν. καὶ ὁ Ἀρχύτας δέ. τὸ μέντοι ἔχειν ὡς ἁπλῶς λαβὼν, πειρᾶται αὐτὸ διελεῖν. τὸ δὲ ὑπὸ τὸ ἁπλῶς ἴδιον ἔχειν, εἰς τὴν τοῦ ἔχειν κατηγορίαν τάξας ὑπογράφει, ὡς φθάσαντες δεδηλώκαμεν. τῶν δὲ ἀπὸ τῆς στοᾶς ἀξιούντων εἰς τὸ πῶς ἔχειν ἀναφέρειν τὸ ἔχειν, ὁ Βοηθὸς ἐναντιοῦται. οὔτε εἰς τὸ πῶς ἔχον ἡγούμενος δεῖν, οὔτε εἰς τὰ πρός τι ἀνάγειν αὐτό. ἰδίαν δὲ εἶναι κατηγορίαν. εἶναι μὲν γὰρ σχετικὴν αὐτήν. τριχῶς δὲ μάλιστα πως ὁμωνύμως τὴν σχέσιν λέγεσθαι. τὴν μὲν γὰρ, εἶναι ἐν ἑαυτῷ καὶ καθ' ἑαυτό. τὴν δὲ, πρὸς ἕτερον. τὴν δὲ, ἑτέρου πρὸς ἑαυτό. ἡ μὲν οὖν ἐν ἑαυτῷ θεωρεῖται, κατὰ τὸ πῶς ἔχοντα. οἷον ὁ προβεβλημένος. σχέσις γάρ ἐστιν αὐτοῦ πρὸς ἑαυτόν. ἡ δὲ πρὸς ἕτερον, ἡ τῶν λεγομένων πρός τι. ὁ γὰρ πατὴρ καὶ ὁ δεξιὸς, κατὰ σχέσιν λέγεται. οὐ τὴν αὐτοῦ τινὸς πρὸς ἑαυτὸν, ἀλλὰ τὴν πρὸς ἕτερον. ἡ δὲ ἀφ' ἑτέρου πρὸς ἑαυτό, οἷα ἡ τοῦ ὡπλισμένου καὶ ὑποδεδεμένου. ἔστι γὰρ ἄλλου σχέσις πρὸς αὐτόν. τῶν μὲν ὅπλων πρὸς τὸν ὡπλισμένον. τῶν δὲ ὑποδημάτων, πρὸς τὸν ὑποδεδεμένον. μήποτε δέ φησιν ὁ Βοηθὸς τοῦ ἔχειν δύο σημαινόμενα. τὸ μὲν, οἷον δύναμιν τῷ ἔχειν ὁτιοῦν, εἴτε μέρος, εἴτε χωρίον. ὃ δὴ, καὶ τάχα ὑπὸ τῆς λέξεως καθ' αὑτὴν προταθείσης σημαίνεται. τὰ δὲ πλείω ἐκεῖνα καὶ ἕτερα, ἐν τῇ συντάξει. ὁ γὰρ ἀγρὸς προταθεὶς, ἢ ὁ πατὴρ, ἢ τὸ μέρος, τὴν διαφορὰν ποιεῖ. ὑπὸ δὲ ταύτην, ἄλλην εἶναι τοῦ ἔχειν σημασίαν, τὴν ἰδίως ἐπὶ τοῦ κρατεῖν τεταγμένην. ἐὰν μὲν οὖν τὴν κατηγορίαν κατὰ τὸ πρῶτον σημαινόμενόν τι θήσεις, καὶ τὸ φρονεῖν, καὶ τὸ σωφρονεῖν, καὶ τὸ ὑγιαίνειν, εἰς ταύτην τὴν κατηγορίαν ἀναχωρήσεται. φρόνησιν γὰρ ἔχειν, τὸ φρονεῖν ἐστιν. ὑπεξαιρεθήσεται δὲ ἀπὸ ταύτης, ἡ κατὰ τὸ ποιεῖν καὶ πάσχειν κατηγορία. διακριθήσεται δὲ καὶ τοῦ πρός τι. ὁ μὲν γὰρ κεκτημένος, τοῦ πρός τι ἔσται. τὸ δὲ κεκτῆσθαι, τοῦ ἔχειν. καὶ ὁ μὲν πατὴρ, τοῦ πρός τι. τὸ δὲ πατέρα εἶναι, ἐν τῷ υἱὸν ἔχειν. ἐὰν δὲ κατὰ τὸ δεύτερον, τὰ μὲν ἄλλα τοῦ ἔχειν σημαινόμενα, εἰς τὰς ἄλλας κατηγορίας ἀναχωρήσεται. ὅσα δὲ κατὰ κράτησιν ἐπικτήτου τινός, εἰς ταύτην μόνην. τοιαῦτα μὲν οὖν καὶ τὰ τοῦ γενναίου Βοηθοῦ προσιστορείσθω. εἰ δὲ καὶ διαίρεσιν τις ἐθέλοι τοῦ οὕτως ἀφωρισμένου γένους ποιεῖσθαι, λεγέτω ὅτι τὰ οὕτως ἐχόμενα, ἢ

κατὰ πόλεμον ἔχεται, ἢ ἐν εἰρήνῃ. καὶ τῶν κατὰ πόλεμον, τὰ μὲν, περικείμενά ἐστι. τὰ δὲ, κρατούμενα. καὶ τούτων ἑκατέρων, τὰ μὲν, φυλακτικά ἐστιν ὡς θώραξ περικείμενος, καὶ ἀσπὶς κρατουμένη. τὰ δὲ, ἀμυντήρια, ὡς ξίφος περικείμενον, καὶ δόρυ κρατούμενον. τῶν δὲ ἐν εἰρήνῃ, τὰ μὲν, κόσμου ἕνεκα, κατὰ διάφορα μέρη τοῦ σώματος. ὡς διάδημα καὶ περιδέραιον, καὶ δακτύλιος. τὰ δὲ, σκέπης. καὶ τούτων τὰ μὲν, περὶ ὅλον τὸ σῶμα. ὡς ἱμάτιον. τὰ δὲ, περὶ μέρος. ὡς ὑπόδημα. τινὰ δὲ καὶ ὄργανα ἔχειν. ὡς τὸ σκέπαρνον, καὶ τὸ πηδάλιον, καὶ ἡ βακτηρία. τινὰ δὲ καὶ ὥσπερ κτήματα, ὡς ἀργύριον, ἢ τι ἄλλο. ὃ διὰ τὸ ἔχειν κρατούμενον. δεῖ δὲ οἶμαι πάντως τὸ ἔχον, κατὰ προαίρεσιν ἔχειν. διὸ οὐδὲ λέγεται τὰ ἄψυχα ἔχειν, κατὰ τὸ τοῦ γένους σημαινόμενον. μετὰ δὲ τὴν τοῦ ἔχειν τεχνολογίαν, τῆς νοερᾶς περὶ αὐτοῦ θεωρίας ἀντιλαβόμενος ὁ Ἰάμβλιχος, αὐτὸ τοῦτο ζητεῖ πρῶτον, πόθεν ὑφίσταται, καὶ τίνα ἔχει χρείαν ἐν τῷ παντί. καὶ φησὶν, ὅτι πολλὰ τῶν ἐν τῷ παντί ἐστι μὴ συνυπάρχοντα ἀλλήλοις, μὴ δὲ συμπεφυκότα. δυνάμενα δέ τινα ὠφελεῖσθαι ἀπ' ἀλλήλων παραδέχεσθαι. τῆς οὖν τοῦ παντὸς φύσεως μηχανησαμένης ἐπικτητά, καὶ τοῦ τὰ ἕτερα τοῖς ἑτέροις ἐγγενέσθαι. ὥστε ἐπιπλοκὴν εἶναι, καὶ τοῖς πόρρωθεν ἀλλήλων διῳκισμένοις, καὶ δύναμιν τῆς κτήσεως τῶν μήπω παρόντων. ὠφελίμων δὲ ὄντων. οὐ γὰρ ἔδει τὴν ἐν σχέσει φερομένην πολλάκις οὖσαν καθ' αὐτὴν ἐπιδεῆ διὰ τὸν ὡς ἔσχατον μερισμόν, ἄμοιρον αὐτὸν τελέως τῆς μετουσίας ἀπολείπεσθαι. πόρον οὖν τινα ἐκτήσατο καὶ ἰσχὺν εἰς τὴν κράτησιν τῶν ὠφελίμων ἐνδεόμενον, καὶ τῶν ἐχομένων διδοῦσα τοῦ ἑαυτὰ ἐρίμως εἰς τὰ ἀντιλαμβανόμενα ἑαυτῶν. πολὺ δὲ πρὸ τῆς φύσεως ἡ τοῦ παντὸς πρώτη αἰτία τὰ γινόμενα κατευθύνει, συναρμόζουσα οἰκείως τὰ οἰκεῖα κτήματα εἰς τὴν προσήκουσαν χρῆσιν τοῖς ἔχουσι. καὶ τοὺς ἔχοντας ἐπ' αὐτὴν ἀνεγείρουσα. χρείαν μὲν οὖν τῷ παντὶ τοιαύτην τοῦτο τὸ γένος παρέχει, πρὸς αὐτάρκειαν τῶν ἐνδεῶν, καὶ ἕνωσιν τὴν δυνατήν, καὶ τῶν πάντη διεστηκότων εἰς τὰ ὄντα προελθόν. τὴν δὲ ὅλην αὐτοῦ φύσιν φησὶν ὁ Ἰάμβλιχος, οὐκ ἐφ' ἡμῶν καὶ τοῦ ἡμετέρου σώματος ἱστάναι χρή. εἰς στενὸν γὰρ αὐτὸ κατακλεισθήσεται. ἀνωτέρω δὲ καὶ, περὶ τὴν ψυχὴν τὴν ἡμετέραν καὶ τὴν φύσιν, κατὰ τὰς ἐπικτήτους καὶ μὴ συμφυεῖς περικρατήσεις τὸ ἔχειν θεωρητέον. οὐ γὰρ δὴ τῷ μὲν σώματι περίκειται ὁμοφυῆ πρὸς αὐτὰ σώματα. τῇ δὲ ψυχῇ πολυειδεῖς ἐχούσῃ δυνάμεις, οὐκ ἔστιν οὐδὲ ἐπικτητοί τινες ζωαί. αἱ μὲν, ὁμοφυεῖς. αἱ δὲ, ὑποδεέστεραι τῶν οἰκείων ἐν αὐτῇ μερῶν. ἴδοι δὲ ἄν τις ὃ λέγω φησὶ, καὶ ἀπὸ τῶν ἐναργῶς φαινομένων. εἰ γὰρ εἰς τὸ σῶμα κατιοῦσα προβάλλεται τινὰς ζωὰς περὶ ἑαυτὴν ὡς περὶ ἐπικτήτους, ἄλλας δὲ ἀπὸ τοῦ σώματος παραδέχεται, ὅσαι ἐν ῥοπῇ καὶ ἐκστάσει θεωροῦνται, πῶς οὐκ ἂν λέγοιτο ταύτας ἔχειν, ἀλλὰ καὶ εἰς ἕκαστα μέρη τοῦ κόσμου παραγινομένη, ζωάς τινας καὶ δυνάμεις παραδέχεται. τὰς μὲν, αὐτὴ προβάλλουσα. τὰς δὲ, λαμβάνουσα ἀπὸ τοῦ κόσμου. σώματά τε οἰκεῖα ἐν ἑκάστῳ μέρει τοῦ παντός. τὰ μὲν, ἀπὸ τοῦ κόσμου λαμβάνει. τὰ δὲ, αὐτὴ ὀργανικὰ ποιεῖ κατὰ τοὺς οἰκείους λόγους. καὶ ταύτας τὰς δυνάμεις καὶ τὰς ζωὰς καὶ τὰ σώματα ἀποτίθεται, ὅταν τύχῃ εἰς ἄλλην λῆξιν μεθισταμένη. φανερὸν δὴ ἐκ τούτων γέγονεν, ὅτι ἐπικτητὰ αὐτῇ ταῦτα πάντα

Universitäts- und
Landesbibliothek Düsseldorf

ἔχειν. καὶ εἶχεν αὐτὰ ὡς ἕτερα, οὐδ' ὡς ἑτέρας ὄντα. οὔτε γὰρ συνεφύετο αὐτοῖς, ὥσπερ τὰ συγκρινόμενα σώματα, ἀλλ' ἀμιγὴς οὖσα καθ' ἑαυτὴν εἶχεν αὐτὰ περικείμενα. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς φύσεως φησὶ τοῦ παντός. ὅταν κατὰ τοὺς λόγους αὐτῆς περιέχῃ γινόμενα πολλὰ ὑπ' αὐτῆς καὶ τούτων ἀπογίνοιτο, ὥσπερ τινὰ ἐπίκτητα ὄντα, αὐτὴ δὲ μένει ἡ αὐτὴ οὖσα. καὶ περιδρασσομένη τὰ ἐν αὐτῇ καὶ ἀφιστᾶσα μηδὲν πάσχηται σώματά τε καὶ ζῷα καὶ φυτά, τότε καὶ περὶ τὴν φύσιν τοῦ παντὸς τὸ ἔχειν θεωρηθήσεται, τὰ ἐπίκτητα πάντα, ὅσα μὲν συμβεβηκότα ὄντα, μὴ δὲ συμφυῆ ἐν ἑαυτῇ περιεχούσης. τοῦτο δὲ ἐπὶ μᾶλλον ἐν ὅλῳ τῷ κόσμῳ, τῷ κατὰ τὰς ζωὰς αὐτοῦ πάσας νοουμένῳ, καὶ τὰς ψυχὰς τὰς ἐν αὐτῷ, στοιχεῖά τε καὶ φύσεις καὶ τὰ κοινὰ ὑπ' αὐτὸν συνιστάμενα, θεωρεῖται ἡ νῦν λεγομένη ἕξις. αὐτοτελὴς γὰρ ὢν ὁ ὅλος κόσμος, ἐκ μερῶν τελείων συμπεπληρωμένος, ἔχει πάντα τὰ ἐν ἑαυτῷ πλήρη. καὶ οὐδενὸς ἀμοιροῦντα τῶν ἐπιβαλλόντων ἑαυτῷ. εἴτε οὖν σύμφυτα ταῦτα εἴη, μετέχει τούτου. εἴτε ἐπίκτητα, περικρατεῖ καὶ ταῦτα. εἴτε καὶ τὸ συναμφότερον, καὶ ταῦτα περιέχει. οἷα ἡ γῆ ἔχει τὰ ἐν αὐτῇ ζῷα, ποτὲ μὲν γινόμενα, ποτὲ δὲ ἀπογινόμενα. εἴποις ἂν οὖν ἐπίκτητα αὐτὰ εἶναι τῆς γῆς. καὶ μετουσίαν τινὰ αὐτῇ παρέχοντα. καὶ αὖθις ἀφιστάμενα ἀπ' αὐτῆς. καὶ ἡ γῆ περικρατεῖ αὐτὰ ὡς ἰδεῖν φαίνεται. καὶ θάλασσα δὲ ὁμοίως τὰ ἐν αὐτῇ θαλάττια ζῷα περιείληφεν. εἰ δὲ ἐφ' ἡμῶν μὲν ἔξωθεν περίκειται τὰ ἐχόμενα, ἐπὶ δὲ τοῦ παντὸς εἰς τὰ ἐντὸς μᾶλλον περιαγόμενα, οὕτως ἔχει, καὶ τοῦτο οὐκ ἀπὸ δεῖ τῆς μεριστῆς ἀλλὰ τῆς ὅλης φύσεως, τὰ μὲν γὰρ ἡμέτερα σώματα μεριστὰ ὄντα, ἔξωθεν ἔχει τὰ ἐχόμενα σώματα, τὸ δὲ πᾶν, τέλειον ὄν, καὶ οὐδὲν ἔξωθεν ἑαυτοῦ ἀπολιπόν, ἐν ἑαυτῷ περιέχει τὰ περιεχόμενα, καὶ εἴσω ἑαυτοῦ πανταχόθεν αὐτὰ περιείληφε. καὶ ὁ οὐρανὸς δὲ τὰ τέτταρα στοιχεῖα ἐν ἑαυτῷ περιείληφεν. ἄνω δὲ τόπον, καὶ τὰς ἐν ἑαυτῷ σφαίρας ἔχει, καὶ ὅσα ἄλλα ἄστρα. καὶ τὰ ἐν τοῖς πέρασι δὲ στοιχείοις ζῷα. ὅ, τε σύμπας οὐρανὸς καὶ τὰ τέσσαρα στοιχεῖα ἔχεται ἐν ἑαυτῷ. καὶ ὅλως ἀεὶ τὰ περιέχοντα ἔχει τὰ περιεχόμενα. διακέκριται γὰρ καθ' ἕκαστα τεταγμένως τὰ ἐν τῷ κόσμῳ. καὶ τὰ ἀνώτερω. καὶ τὰ πρεσβύτερα ἀεὶ περιείληφε τὰ ὑποδεέστερα. καὶ οὕτως ἐξ ἀρχῆς τὸ τοῦ ἔχειν γένος περιέχει. καὶ εἰ ὁ κόσμος δὲ ὅλος νῦν μὲν ταῦτα ἔχει τὰ συμπληροῦντα αὐτόν, αὖθις δὲ ἄλλα ὅσα ἡ γένεσις εἰς αὐτὸν ἐνδίδωσιν, ἔσται ἡ ἕξις αὐτοῦ διάφορος. καὶ ἄλλοτε ἄλλη, διὰ τὴν τῶν παραγινομένων εἰς αὐτὸν μεταβολήν. καὶ εἴπερ αἱ δυνάμεις αἱ ἐν τῷ παντί, ἢ αἱ δαιμονίαι ἢ αἱ θεῖαι ἔχουσι μέρη τοῦ κόσμου περικείμενα ἑαυταῖς, καὶ τοῦτο ἀδιαλείπτως ἐν τῷ παντὶ γίνεται, ἢ δαιμονίων ἢ θείων λήξεων ἐχουσῶν τὰ διακληρωθέντα αὐτοῖς μόρια τοῦ κόσμου, καὶ οὕτως ἂν μετὰ πάντων εἴη τοῦ ἔχειν. ἐπεὶ δὲ καὶ αἱ τῆς ζωῆς τοῦ παντὸς μοῖραι, ἔχουσι μέρη τοῦ κόσμου περικείμενα καὶ ταῦτα οὐ συμφυῆ, πρὸς αὐτάς ἐστιν, ἀλλ' ὡς ἔξωθεν αὐτῆς ἐπίκτητα, κἂν οὕτως εἰς τὸ ἔχειν τάττοιτο πάντα ταῦτα. καὶ εἰ τὸ κοινὸν ζῷον ἔχει μικρότερα μέρη περὶ ἑαυτὸ καὶ μικρότερα ζῷα ἐν ἑαυτῷ περιειλημμένα, καὶ κατὰ τοῦτον ἂν τὸν τρόπον, εἰς τὸ ἔχειν τάττοιτο πᾶσα ἡ τοιαύτη σύνταξις. ταῦτα μὲν οὖν ὁ Ἰάμβλιχος θεωρητι-

κῶς οὕτως καὶ νοερῶς ἐπεσκέψατο. τολμητέον δὲ ἐφιστάνειν τοῖς εἰρημένοις, ἐπειδὴ καὶ αὐτῷ φίλον, μὴ ἀπερισκέπτως ἐκδέχεσθαι τὰ λεγόμενα. καὶ τὰ μὲν περὶ τῆς χρείας τοῦ ἔχειν εἰρημένα, θαυμαστῶς οὕτως καὶ ἀξίως τῆς τοῦ ἀνδρὸς μεγαλονοίας εἰρῆσθαί μοι δοκεῖ. πῶς δὲ τὰς προβαλλομένας ὑπὸ τῆς ψυχῆς ζωάς, καὶ τὰς ἀπὸ τοῦ σώματος ἐνδιδομένας αὐτῇ δυνάμεις ἔχειν τὴν ψυχήν φησιν, εἴπερ καὶ αὐτὸς ὁμολογεῖ σώματα εἶναι τὰ ἐχόμενα, καὶ περὶ σώματα τὰ ἔχοντα κατὰ τὴν τοῦ ἔχειν κατηγορίαν. πῶς δὲ τὰ γινόμενα ὑπὸ τῆς ὅλης φύσεως, ἔχεσθαί φησιν ὑπ' αὐτῆς. οὐ γὰρ ταυτὸν εἶναι τὸ κατ' αἰτίαν, καὶ τὸ ἔχον κατὰ τὸ τοῦ ἔχειν γένος. ἔτι δὲ μᾶλλον ἀπορῶ, πῶς τὸν ὅλον κόσμον τὸν κατὰ τὰς ζωὰς πάσας νοούμενον, καὶ τὰ στοιχεῖα, καὶ τὰς φύσεις, εἴτε σύμφυτα εἴη ταῦτα μετέχειν αὐτῶν φησιν, εἴτε ἐπίκτητα περικρατεῖν αὐτῶν. καὶ γὰρ ταῦτα πρῶτον μὲν κατὰ τὰς ζωὰς οὐ δύναται ἔχειν, εἴπερ ἀσώματοι αἱ ζωαί. σώματα δὲ εἶναι, τὰ ἐχόμενα. ἔπειτα εἰ μὲν συμφυῆ ἢ μέρη ὁπωσοῦν τοῦ παντός, οὐκ ἂν εἴη ἐχόμενα, ὡς αὐτὸς διετάττετο. εἰ δὲ γεννήματα, ἄλλος ὁ τῆς συνοχῆς τρόπος. καὶ τὰ ἐν τῇ γῇ δέ, καὶ τὰ ἐν τοῖς ἄλλοις στοιχείοις ζῷα, εἴτε ὡς μέρη θεωροῖτο τῆς ὅλης γῆς, εἴτε ὡς γεννήματα, οὐκ ἂν ἔχεσθαι λέγοιτο ὑπ' αὐτῆς. πῶς δὲ καὶ ὁ οὐρανὸς τὰς ἐν ἑαυτῷ σφαίρας ἔχει, εἰ μὴ ὡς μέρη. συμφυεῖς γὰρ αὗται καὶ οὐκ ἐπίκτητοι. πῶς δὲ τὸ κοινὸν ζῷον, μικρότερα ζῷα ἐν ἑαυτῷ περιείληφεν, εἰ μὴ ὡς μέρη ἢ ὡς γεννήματα. ταῦτα μὲν οὖν ἄν τις ἐπιστήσοι καὶ ἄλλα τοιαῦτα προχείρως. δυνατὸν δὲ οἶμαι λέγειν, ὅτι ἐπίκτητον μὲν εἶναι δεῖ καὶ κεχωρισμένον τῆς οὐσίας τὸ ἐχόμενον. οὐ πάντως δὲ σῶμα, ἀλλὰ σωματοειδές. καὶ γὰρ καὶ Ἀρχύτας, οὐ σῶμα εἶπεν, ἀλλὰ σωματῶδες. διότι τοῦτό ἐστι τὸ ἐπίκτητον καὶ κεχωρισμένον. τὰ γὰρ ἀσώματα, τελέως συμφύεται. καὶ ἡ ζωὴ οὖν ἡ σωματοειδής, κεχωρισμένη τῆς ψυχικῆς οὐσίας, ἐπίκτητος αὐτῇ γενομένη οὕτως, ὡς μὴ ἀλλοιοῦν αὐτήν, μηδὲ ἑνοῦσθαι αὐτῇ ποιεῖν, ἔχεσθαι ἂν ὑπ' αὐτῆς λέγοιτο. εἰ μέντοι ἀλλοιωτική τις ἐστὶν ἡ ζωὴ καὶ οὐ ποιητικὴ τῆς ὅλης οὐσίας, οὐκ ἂν ἔχεσθαι λέγοιτο. τὰ δὲ μέρη τῶν ὅλων καὶ τὰ γεννήματα, οὐκ ἂν ἔχοιτο. ὡς δὲ ἐπίκτητα καὶ κεχωρισμένα καὶ προσηρτημένα τῷ ὅλῳ, ἔχεσθαι ἂν λέγοιτο καὶ ταῦτα δικαίως. οὔτε γὰρ τὰ μέρη ἐκείνων οὕτως ἀτόμως συμπέφυκεν ὡς ἐφ' ἡμῖν, οὔτε τὰ γεννήματα ἀπέσπασται οὕτως ὡς τὰ ἡμέτερα. ἀλλὰ ταῦτα μὲν καὶ ἐπὶ πλέον ζητητέον. συμπληρωθέντος δὲ τοῦ περὶ τῶν δέκα κατηγοριῶν λόγου, ὁ Ἀρχύτας προστίθησιν, ὅτι ἡ τῶν ἄλλων κατηγοριῶν ἀπόστασις πλὴν τῆς οὐσίας, περὶ τὸ αὐτόματον θεωρεῖται καὶ αἰσθητόν, καὶ οὐ περὶ τὸ καθόλου καὶ νοητόν. γράφει δὲ οὕτως.

» Ἐπεὶ δὲ τέλος ἔχουσι τὰ σημαίνοντα καὶ τὰ σημαινόμενα, οἷς ποτε χρώμενος
» ἄνθρωπος ἐκπληροῖ τὸ τέλειον τῶν λόγων σύνταγμα, ποτιδιορίσθω, ποτί γε τοῖς εἰ-
» ρημένοις. ὅτι τὰν ἐφαρμογὰν τοῦ παντός, οὐκ αὐτὸς ὁ ἄνθρωπος, ἀλλ' ὅτις ἄνθρωπος
» ἐπιδέχεται. καὶ γὰρ ποιὸν ἀνάγκα, καὶ πάλιν ποσόν. καὶ ποτί τι πως ἔχειν τινὰ ἄνθρω-
» πον, καὶ ποῦ. ἔτι δὲ ποιεῖν καὶ πάσχειν. καὶ κεῖσθαι τε ἔχειν, καὶ ἐν τόπῳ ἦμεν καὶ ποκά.
» αὐτὸς δὲ ὁ ἄνθρωπος ὃς τὰν πρώταν ἐπιδέχεται σημασίαν, λέγω δὲ τὸ τί ἐντι κατὰ τὰν

ἰδέαν, οὔτε ποιότης ἐστί, οὔτε πάλιν ὡς. οὔτε ποτὲ γέγονέ τι πῶς ἔχον. οὐδὲ μὴν ποιοῦντι, ἢ πάσχοντι. οὐδὲ κεῖσθαι. οὐδὲ ἔχοντι. οὐδὲ ἐν τόπῳ καὶ ποῦ καὶ ὑπάρχον. πάντα γὰρ ταῦτα, φησὶ, κατὰ οὐσίας καὶ σώματα, καὶ συμβάματά ἐστι. ἀλλ' οὐ νοητὰς καὶ ἀκινήτω, καὶ προσεπιγεγαμβροῦς. εἶτα ὀλίγα περὶ συνθέσεως εἰπὼν τῶν ἁπλῶν φωνῶν, ἅπερ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ἑρμηνείας βιβλίῳ κατέταξεν. ὕστερον λέγει δὲ, τὴν εἰς δέκα διαίρεσιν τῶν γενῶν, ὡς οἰκείαν ταῖς ἀρχαῖς καὶ τῇ ἐπιστήμῃ ὡρισμέναις οὐσίαις. καὶ διὰ τοῦ ἐν ἀριθμῷ, καὶ τῷ παντὶ ἀριθμῷ ἀποδείκνυσιν. ὁ μέντοι Ἀριστοτέλης μετὰ τὰς κατηγορίας ἐξετάζει τὰ οἰκείως ἔχοντα πρὸς αὐτὰς, ὡς αὐτίκα μάλα εἰσόμεθα. ἔστι δὲ ταῦτα περὶ ἀντικειμένων εἰπεῖν. καὶ περὶ προτέρου καὶ ὑστέρου. καὶ περὶ τοῦ ἅμα. καὶ περὶ τῶν εἰδῶν τῆς κινήσεως. καὶ περὶ τῆς τοῦ ἔχειν ὁμωνυμίας. ἀλλὰ κοινῶς πρότον περὶ αὐτῶν ζητητέον. τί δή ποτε ὕστερον τῷ τέλει τῶν κατηγοριῶν ταῦτα πρόσκειται. καὶ τίνα χρείαν παρέχεται. τινὲς μὲν γὰρ, ὧν καὶ Ἀνδρόνικός ἐστι, παρὰ τὴν πρόθεσιν τοῦ βιβλίου προσκεῖσθαι φασὶν ὑπό τινος ταῦτα τοῦ τὸ τῶν κατηγοριῶν βιβλίον πρὸ τῶν τόπων ἐπιγράψαντος. οὐ κατανοοῦντες οὗτοι πόσην χρείαν ἐν τῇ τοπικῇ πραγματείᾳ μόνον, ἀλλὰ καὶ τῷ περὶ τῶν κατηγοριῶν λόγῳ εἰσάγειν τὰ εἰρημένα. ἄλλοις δὲ καὶ Πορφυρίῳ ἀρέσκει πρὸς σαφήνειαν συντελεῖν τὰ θεωρήματα ταῦτα. διότι τῶν ἐν ταῖς κατηγορίαις μνήμης τυχόντων ὀνομάτων, ὅσα μὲν οὐκ ἦν κατὰ τὰς κοινὰς ἐννοίας προειλημμένα, ταῦτα ἐν ἀρχῇ προύλαβεν ὁ Ἀριστοτέλης καὶ διήρθρωσεν, ὥσπερ τὸν περὶ τῶν ὁμωνύμων καὶ συνωνύμων λόγον. ὅσα δὲ ἦν μὲν ἐν ταῖς κοιναῖς ἐννοίαις προειλημμένα, διαρθρώσεως δὲ πλείονος ἐδεῖτο, τούτων τὸ συγκεχυμένον τῆς προλήψεως μετὰ τὴν συμπλήρωσιν διήρθρωσε, πρὸς τὸ μὴ διακόπτειν τὸ τοῦ λόγου συνεχὲς, μεταξὺ τὴν τούτων διάρθρωσιν παρεμβάλλοντα. οἱ δὲ ταῦτα λέγοντες, λέγουσι μέν τι. οὐ μέντοι γε τῆς ὅλης αἰτίας περιεκράτησαν. πολὺ γὰρ πρὸ τούτων ὡς φησὶν Ἰάμβλιχος τὴν ἐπίκρισιν περιέχει ταῦτα πάντων, οἷς ἐχρήσατο. τουτέστι τῶν ἀντικειμένων καὶ τῶν λοιπῶν. ἐπεὶ γὰρ χρήσιμα ταῦτα ἦν εἰς τὴν τῶν κατηγοριῶν εὕρεσίν τε καὶ βεβαίωσιν, ταῦτα δὲ οὐκ ἦν ὀρθῶς ἐπικρίνειν, μὴ τοὺς ἀκριβεῖς περὶ αὐτῶν λόγους διαρθρώσαντα, προσέθηκεν ὕστερον τέλει καὶ τούτους. καὶ οὐ κατὰ διατάκτως, ἀλλὰ διατεταγμένως αὐτοὺς ἐξέθετο. ἐπεὶ γὰρ καὶ ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ, καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις ἐζήτησεν εἰ ἐπιδέχονται τὸ ἐναντίον. ἐν δὲ τοῖς περὶ τοῦ πρός τι, εἰ τὸ μέγα τῷ μικρῷ ἐναντίον, ἢ ἀντίκειται μᾶλλον. μνημονεύσας δὲ τούτων, τίνι διαφέρει τὰ ἐναντία τῶν ἀντικειμένων οὐ παρέστησεν, ἀκολούθως μετὰ τὴν συμπλήρωσιν τῶν κατηγοριῶν, τὸν περὶ τῶν ἀντικειμένων λόγον ποιεῖται, ἕνεκα τῆς ἐπικρίσεως τοῦ κοινῶς συνυπάρχοντος ἢ μὴ ὑπάρχοντος πάσαις ταῖς κατηγορίαις. πάλιν δὲ μετὰ τὴν οὐσίαν καὶ τὸ ποσὸν, τὴν τοῦ πρός τι φύσιν ἀποδεικνὺς, ἀπέδειξεν ὅτι, τὰ μέν ἐστιν αὐτῶν ἅμα τῇ φύσει. τὰ δὲ, πρότερα ὡς πρὸς ἄλλα ὕστερα ὄντα. ὥσπερ τὸ ἐπιστητὸν καὶ αἰσθητὸν, ἐπιστήμης πρότερα καὶ αἰσθήσεως. ἀναγκαῖον οὖν μετὰ τὰ ἀντικείμενα, τὴν τοῦ ἅμα καὶ τὴν τοῦ προτέρου καὶ ὑστέρου φύσιν ὑποδεῖξαι. ἐπεὶ δὲ ἐφεξῆς περὶ τοῦ ποιεῖν καὶ πάσχειν ἀνεδίδαξε, περιέχουσι

δὲ αἱ κατηγορίαι αὗται κινήσεις, ἀναγκαίως εἰς τὴν ἐπίκρισιν τούτων τὰ εἴδη τῆς κινήσεως παραδέδωκε. καὶ τὴν τάξιν δὲ ἣν ἀπέδωκεν αὐτοῖς, ὡς ὑπεῖχον καὶ αἱ κατηγορίαι τὴν τάξιν. τελευταῖον δὲ, περὶ τῆς τοῦ ἔχειν ὁμωνυμίας διεστείλατο, ὅτι καὶ τῆς τοῦ ἔχειν κατηγορίας τελευταίας ἐμνημόνευσεν. ἀναγκαῖον οὖν εἰς τὴν ἐπίκρισιν ταύτης τὸ πλῆθος τῶν πολλαχῶς λεγομένων χωρὶς ἀφορίσαι, ἵνα μηδὲν ὑπ' αὐτῶν ἐπιταραττώμεθα. ὥστε ἀναγκαία γέγονεν αὕτη, ἡ τούτων τῶν θεωρημάτων παράληψις. καὶ ἡ τάξις αὐτῶν, ἑπομένως διετάχθη τῇ τάξει τῶν κατηγοριῶν. ἔστι δὲ καὶ πρὸς πᾶσαν τὴν διαλεκτικὴν χρήσιμα ταῦτα. καὶ ἄξιον τοῦτο τῆς τῶν ἀρχαίων δυνάμεως, τὸ τοῖς αὐτοῖς ὠφελίμως ἐπὶ πολλὰ χρῆσθαι. ἀλλὰ ταῦτα μὲν κοινῶς εἰρήσθω.

## ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΚΕΙΜΕΝΩΝ

Περὶ δὲ τῶν ἀντικειμένων ἀρξάμενος, ζητεῖ ὁ Ἰάμβλιχος πόθεν αὐτὰ πρώτως ἐνοήσαμεν. ἆρα τὰ ἀναιρετικὰ ἀλλήλων καταμονήσαντες ζῷα καὶ φυτὰ, οὕτως τὴν ἀντίθεσιν αὐτῶν διεσκοπησάμεθα, ἢ τὰ μὴ συνυπάρχοντα πράγματα καθόσον οὐ συνυπάρχει μαχόμενα ὑπελάβομεν. ἀλλ' οὔτε ἀναίρεσις οὔτε ἀνυπαρξία τις αὐτῶν εἰσάγει τὴν ἀντίθεσιν. καὶ γὰρ συνυπάρχουσιν ἔστιν ὅτε, ὥσπερ ἐν τοῖς πρός τι θεωρεῖται τὰ ἀντικείμενα. οὐ μὴν τοιοῦδε γένος τι κοινόν ἐστι τὸ τῶν ἀντικειμένων, ὡς δοκεῖ τισὶ τῶν περιπατητικῶν. ἀλλὰ φωνὴν μίαν κοινὴν τὴν τῶν ἀντικειμένων λαβὼν ὁ Ἀριστοτέλης, οὐ κατὰ μαχομένων καὶ ἀσυντροχέστων μόνων τὴν ὁμωνυμίαν ἔταξεν, ἀλλὰ καὶ κατά τινων συνυπαρχόντων μὲν, ἀντιθέτως δὲ ἀλλήλοις συνυπαρχόντων, ὥσπερ τὰ πρός τι. ὅταν γὰρ ἥμισυ πρὸς διπλάσιον λέγωμεν, μαχητικὴ μὲν σχέσις οὐδεμία ἐστίν. ὑπάρχει δέ τις κἂν μὴ ἐναντίωσις, ἀλλ' ἀντιθέσεως πάντως διαφορὰ κατά τινα ἰδιότροπον ἀντίθεσιν. διὸ, οὐδὲ ὑφ' ἓν γένος ὑπάγεται πρὸς τὰ ἄλλα τὰ ἑτέρως ἀντικείμενα. ἀλλ' οὐδὲ τὰ μὲν πρός τι ὁμώνυμα, τὰ δὲ ἄλλα διάφορα γένη, ὑφ' ἓν εἶδος τὸ τῆς ἀνυπαρξίας καὶ μάχης τάττεται. οὐδὲν γὰρ ἔχει κοινὸν γένος πρὸς ἄλληλα, ἀλλ' ὁμωνύμως ἀντικεῖται τὰ κοινῶς ἀντικεῖσθαι λεγόμενα. διὸ καὶ Ἀριστοτέλης. Περὶ δὲ τῶν ἀντικειμένων ῥητέον, ποσαχῶς εἴωθεν ἀντιτίθεσθαι. τὸ γὰρ ποσαχῶς εἴωθεν ἀντιτίθεσθαι, τοῦ ὁμωνύμου. τινὲς δὲ τῶν περιπατητικῶν, γένος ἔφασκον εἶναι τὸ ἀντικείμενον. διό τι κοινὸς ὅρος ἀποδίδοται τῶν ἀντικειμένων τοιοῦτος. ἀντικείμενα λέγεται, ὅσα περὶ τὸ αὐτὸ ἅμα καὶ κοινῶς σημαινόμενον τοῦ αὐτοῦ πράγματος, καὶ πρὸς τὸ αὐτὸ ἔξωθεν ἐξεταζόμενα, συνυπάρξαι οὐ δύναται. τοῦτο δὲ τοῖς τέτρασιν εἴδεσι τῆς ἀντιθέσεως οὐχ ὑπάρχει. ἐπί τε γὰρ τῶν ἐναντίων, ἀδύνατον τὰ αὐτὰ ἅμα καὶ κατὰ τὸ αὐτὸ, ἐν τῷ αὐτῷ λευκὸν εἶναι καὶ μέλαν. καὶ κατὰ τὰ πρός τι δὲ ἀνυπαρκτά ἐστι τὰ ἀντικείμενα, πρὸς τὸ αὐτὸ δεχόμενα. οὐ γὰρ οἷόν τε τὸ αὐτὸ πρὸς τὸ αὐτὸ, μεῖζον ἅμα εἶναι καὶ ἔλαττον. οὐδὲ τὸν αὐτὸν τοῦ αὐτοῦ ἅμα δεσπότην εἶναι καὶ δοῦλον. ἀλλ' οὐδὲ τὰ κατὰ ἕξιν καὶ στέρησιν,

τι. εἰ τὸ ἄλλο ἅμα συνυπάρχει. οὐ γὰρ οἷόν τε κατὰ τὸν αὐτὸν ὀφθαλμὸν ὄψιν ἔχειν καὶ τυ-
φλότητα. ἀλλὰ καὶ ἡ κατάφασις τῆς ἀποφάσεως ἀσυνύπαρκτος. εἰ γὰρ ἀληθὲς τὸ ἡμέρα
ἐστὶ, ψεῦδος τὸ ἡμέρα οὐκ ἔστιν. εἰ οὖν πᾶσι τοῖς εἴδεσιν ἐφαρμόζει ὁ τῶν ἀντικειμένων
λόγος, οὐ φωνῆς ἐστι σημαινομένης ἀλλὰ γένους, εἰς εἴδη ἐστὶν ἡ διαίρεσις, εἴπερ οὐχ ὁ-
μωνύμως, ἀλλὰ καὶ συνωνύμως κατηγορεῖται τὸ ἀντικείμενον. πρὸς δὴ ταῦτα ὁ Ἰάμ-
βλιχός φησιν, ὡς εἰ μὴ ὁμώνυμος ἦν ὁ ὅρος, ἦν ἂν τῷ ὄντι κοινὸς λόγος, καὶ κοινὸν γέ-
νος πάντων τῶν ἀντικειμένων. ἐπειδὲ τὸ μὴ δύνασθαι περὶ τὸ αὐτὸ συνυπάρχειν καὶ πρὸς
τὸ αὐτὸ, ἄλλως μέν φησιν ὁ Ἰάμβλιχος θεωρεῖται ἐν τοῖς πρός τι, ἄλλως δὲ ἐν κατα-
φάσει καὶ ἀποφάσει, καὶ ἄλλως ἐν τοῖς λοιποῖς τῶν ἀντικειμένων ἀληθὴς ἂν εἴη ὁ ἐξ ἀρχῆς
λόγος, τὸ ὁμώνυμα εἶναι τὰ ἀντικείμενα. διό φησι καὶ ὁ μέν τε νικόστρατος, ὡς πρὸς
ἓν γένος αὐτῶν τὴν ἀντιλογίαν ποιούμενος. ὁ μέντοι πορφύριος, γένος μᾶλλον καὶ αὐ-
τὸς τίθεται, καὶ ἐγὼ ταύτῃ μᾶλλον ἕπομαι. οὐδὲ λόγου ἀκούσας πιθανοῦ τινος, τὴν ὁ-
» μωνυμίαν κυροῦντος, οὔτε αὐτὸς εὑρὼν, πλὴν τοῦ ἀριστοτέλους εἰπεῖν. περὶ δὲ τῶν
» ἀντικειμένων ποσαχῶς εἴωθεν ἀντιτίθεσθαι. καίτοι τὸ ποσαχῶς καὶ ἐπὶ τὸ γένος ἦν δυνα-
τὸν εἰπεῖν. εἴτε γὰρ τρία εἴτε τέτταρα εἶχεν εἴδη, τριχῶς ἢ τετραχῶς, ἀληθὲς εἰπεῖν
ἀντικεῖσθαι. ὅπερ ἐστὶ ποσαχῶς. οὐ γὰρ τὸ ποσαχῶς εὐθὺς τὴν ὁμώνυμον δηλοῖ φωνὴν,
ἀλλὰ τὸ πολλαχῶς μόνον λέγεσθαι, μὴ μέντοι εἶναι. ἀλλὰ ταῦτα μὲν κοινῶς περὶ τῶν
ἀντικειμένων εἰρήσθω. λοιπὸν δὲ τὴν λέξιν τοῦ ἀριστοτέλους προσληπτέον, καὶ ποι-
» ητέον αὐτῆς τὴν ἐξήγησιν. Περὶ δὲ τῶν ἀντικειμένων ποσαχῶς εἴωθεν ἀντιτίθε-
» σθαι. ἕως τοῦ, ὥστε διαφέρουσιν αὗται αἱ ἀντιθέσεις ἀλλήλων. ὥσπερ ἐπὶ τῶν ἄλ-
λων τὴν διαίρεσιν πρότερον διὰ τῶν παραδειγμάτων παραδοὺς, τότε τὸν ἑκάστου λόγον
ἀπέδωκεν, οὕτως καὶ ἐνταῦθα τὴν διαίρεσιν τῶν ἀντικειμένων τετραχῶς γενομέ-
νην παραδοὺς, καὶ διὰ τῶν παραδειγμάτων τὰς διαφορὰς αὐτῶν ὑποδείξας γνωρίμως
τοῖς ἀκούουσιν, οὕτως ἑκάστου τὸν λόγον ἐπιφέρει, καὶ ὁρισμοῖς αὐτὰ περιλαμβάνει.
φαίνεται δὲ καὶ τὰ περὶ ἀντικειμένων ἀριστοτέλης ἐκ τοῦ ἀρχυτείου βιβλίου με-
ταλαβὼν τοῦ περὶ ἀντικειμένων ἐπιγεγραμμένου, ὅπερ ἐκεῖνος οὐ συνέταξε τῷ περὶ
γενῶν λόγῳ, ἀλλ' ἰδίας πραγματείας ἠξίωσε. καὶ γὰρ τὴν διαίρεσιν αὐτῶν ἀρχύτας,
» οὑτωσὶ παραδίδωσι. καὶ κατὰ νόμον καὶ κατὰ φύσιν ἀντικεῖσθαι ἀλλάλοις λέγεται. τὰ
» μὲν ἐναντία, οἷον ἀγαθὸν, κακῷ. καὶ ὑγιὲς, κάμνοντι. καὶ ἀληθὲς, ψεύδει. τὰ δὲ, ὡς
» ἕξις, στερήσει. οἷον ζωὰ, θανάτῳ. καὶ ὅρασις, τυφλότατι. καὶ ἐπιστάμα, λάθᾳ. τὰ δὲ,
» ὡς πρός τι πως ἔχοντα. οἷον, διπλάσιον ἡμίσει. ἄρχων ἀρχομένῳ. καὶ δεσπόζον δεσπο-
» ζομένῳ. τὰ δὲ, ὡς κατάφασις ἀποφάσει. οἷον, τὸ ἄνθρωπον ἦμεν, τῷ μὴ ἦμεν ἄνθρω-
» πον. καὶ τὸ σπουδαῖον ἦμεν, τῷ μὴ ἦμεν. πρώτην δὲ ἀριστοτέλης ὡρίσατο τῶν ἄλλων τὴν
κατὰ τὸ πρός τι ἀντίθεσιν. διότι οἶμαι ἴδιον ἔχει τι αὕτη παρὰ τὰς ἄλλας, τὸ συνυ-
πάρχειν ἀλλήλοις, τὰ οὕτως ἀντικείμενα. ἀρχύτας δὲ, τρίτα τέθεικε τὰ πρός τι,
ὡς κατὰ σχέσιν ὑφεστῶτα. καὶ περὶ τῆς κατὰ τὰ πρός τι ἀντιθέσεως, τάδε γέγρα-
» φε. τὰ δὲ πρός τι ἅμα ἀνάγκα γίνεσθαι καὶ φθείρεσθαι. ἀδύνατον γὰρ διπλάσιον

Universitäts- und
Landesbibliothek Düsseldorf

μὴ ὄντος ἡμῖν, ἡμίσεον δὲ μὴ ἡμῖν. ἢ ἡμίσεον μὴ ὄντος ἡμῖν. διπλάσιον δὲ, μή. καὶ ἅμα καί τι γίνεται διπλάσιον, ἅμα καὶ ἡμίσεον γίνεται. καὶ ἅμα καί τι φθείρεται διπλάσιον, ἅμα καὶ ἡμίσεον φθείρεται. ὁρίζεται δὲ αὐτὴν ὁ ἀριστοτέλης, τῷ κοινοτέρῳ τῶν πρός τι ὁρισμῷ. τῷ λέγοντι, ὅσα αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων τῶν ἀντικειμένων εἶναι λέγεται. ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον. δεῖ γὰρ καὶ ταύτης τῆς προσθήκης διὰ τὰς διαφόρους τῶν πρός τι ἀποδόσεις, ὡς ἐν ἐκείνοις εἴρηται. καὶ μάλα εἰκότως. πρὸς γὰρ τὴν ἀντίθεσιν ἐξαρκεῖ καὶ οὗτος ὁ ὁρισμός. συνάγει γὰρ καὶ ποιεῖ ἀντικατηγορεῖσθαι ἀλλήλων σαφῶς. καὶ οὐδὲ μιᾶς ἄλλης ἀκριβείας πρὸς τοῦτο δεῖται. ἅμα δὲ καὶ ὅτι τὰ πρός τι οὐκ ἀντίκειται ὁμοίως τοῖς ἄλλοις ἀντικειμένοις, τούτῳ χρώμενος τῷ λόγῳ, δείξει. πᾶσι γὰρ τοῖς πρός τι τὸ πρὸς ἄλληλα λέγεσθαι ὑπάρχει. ἀλλὰ πῶς ἐστιν ἀντικείμενα τὰ πρός τι, εἰ ἅμα ἐστὶ καὶ συνυπάρχει ἀλλήλοις, καὶ ἀντιστρέφει πρὸς ἄλληλα. ἀναιρετικὰ γὰρ ἀλλήλων εἶναι δοκεῖ τὰ ἀντικείμενα. ἢ οὐ τὸ ἀναιρετικὸν ἴδιόν ἐστι τῶν ἀντικειμένων, ἀλλὰ τὸ μὴ εἶναι περὶ τὸ αὐτὸ, καὶ κατὰ τὸ αὐτὸ, ὃ καὶ αὐτοῖς τῶν πρός τι ὑπάρχει. οὐδὲ γὰρ ταῦτα περὶ τὸ αὐτὸ συνυφέστηκε. τὰ δὲ αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων τῶν ἀντικειμένων λέγεσθαι, ἢ ὁπωσοῦν ἄλλως πρὸς αὐτὰ, δύναται μὴ διὰ τὰς πτώσεις μόνον εἰρῆσθαι πρὸς ἃς ἀποδίδοται ἕκαστον τῶν πρός τι, ἀλλὰ καὶ πρὸς αὐτὰ τὰ λαμβανόμενα, ὧν ἡ ἀπόδοσις γίνεται. οὐ γὰρ πάντα οὕτως λέγεται, ὡς ταῦτα ὅ ἐστι πρὸς ἄλληλα λέγεσθαι. ὥσπερ τὸ διπλάσιον καὶ τὸ ἥμισυ. καὶ ἡ ἐπιστήμη. ἕκαστον γὰρ τούτων, ὅ ἐστι πρὸς ἄλλο λέγεται, καθ' ἣν ἂν πτῶσιν ἡ ἀπόδοσις ἐκείνου γένοιτο. κἂν μὴ κατὰ πτῶσιν δὲ γένοιτο ἡ ἀπόδοσις, ὥσπερ τὸ μέγα καὶ μικρὸν, ἀντικείμενα κατὰ τὰ πρός τι ἀλλήλοις, οὐ κατὰ πτῶσιν ἀποδίδοται, οὐδὲ ἔστι τοῦ ἑτέρου τὸ ἕτερον, ἀλλὰ μόνον πρὸς τὸ ἕτερον λέγεται. οὐδὲ τὸ ἐπιστητὸν καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητὸν ὁμοίως. οὐδὲ ἄλλο τι τῶν τοιούτων ἐκείνων ἐστὶ τῶν πρὸς ἃ λέγεται. τὸ γὰρ ἐπιστητὸν, οὐκ αὐτὸ ἄλλου ἐστὶν, ἀλλ' αὐτοῦ ἄλλο. πρὸς γὰρ τὴν ἐπιστήμην λέγεται. οὐχ ὅτι ἐστὶ τῆς ἐπιστήμης, ἀλλ' ὅτι αὐτοῦ ἐστιν ἡ ἐπιστήμη. τὴν δὲ αἰτίαν τούτου, γέγραφεν ἀρχύτας. ἐν οἷς τὰς διαφορὰς τῶν κατὰ τὰ πρός τι ἀντικειμένων παραδίδωσι. καὶ κάλλιον ὅλην ἐκείνην παραγράψαι τὴν λέξιν. Τῶν δὲ πρός τι, τὰ μὲν, ἀντιστρέφει ἀλλάλοις ἐξ ἑκατέρων, ὡς τὸ μεῖζον καὶ τὸ μεῖον. καὶ τὸ ἀδελφὸν, καὶ τὸ ὅμοιον. τὰ δὲ, ἔχει μὲν ἀντιστροφὰν, οὐ μὰν ἐξ ἀμφοτέρων γε τῶν μερέων. ἅμα γὰρ ἐπιστάμα λέγεται, τῶ ἐπιστατῶ. καὶ αἴσθασις, τῶ αἰσθατῶ. οὐ μὰν ἀνάπαλιν τὸ ἐπιστατὸν τᾶς ἐπιστάμας. καὶ τὸ αἰσθατὸν, τᾶς αἰσθάσιος. τὸ δὲ αἴτιον, ὅτι τὸ μὲν κρινόμενον ἄνευ τοῦ κρίνοντος, δυνατὸν ἦμεν. οἷον τὸ αἰσθατὸν ἄνευ αἰσθάσιος. καὶ τὸ ἐπιστατὸν ἄνευ ἐπιστάμας. τὸ δὲ κρῖνον, ἄνευ τῶ κρινομένω ἀδύνατον ἦμεν. οἷον τὴν αἴσθασιν ἄνευ τῶ αἰσθατῶ. καὶ τὰν ἐπιστάμαν ἄνευ τῶ ἐπιστατῶ. τῶν δὲ ἐξ ἀμφοτέρων ἐχόντων τῶν μερέων τὰν ἀντιστροφὰν, τὰ μὲν, ἀδιαφόρως ἀντιστρέφει ἀλλάλοις, ὡς τὸ ὅμοιον καὶ τὸ ἴσον, καὶ τὸ ἀδελφόν. τοῦτο γὰρ τούτῳ ὅμοιον. καὶ τοῦτο τούτῳ πάλιν. καὶ τοῦτο τούτῳ ἴσον. καὶ τοῦτο τούτῳ ἀδελφόν. ἃ δὲ ἀντιστρέφει μὲν ἀλλάλοις ἐξ ἀμφοτέρων τῶν μερέων, οὐ μὰν ἀδιαφόρως. τοῦτο μὲν τούτου μεῖζον. τοῦτο δὲ τούτου μεῖον. καὶ οὗτος μὲν

τοῦ τῷ πατήρ. οὗτος δὲ τούτῳ υἱός. ἰστέον δὲ ὅτι, ὁ μὲν ἀριστοτέλης, μεσότητα τῶν πρός τι οὐ παραδέδωκεν. ὁ δὲ ἀρχύτας, περὶ αὐτῶν τάδε γέγραφε. » τὰ δὲ πρός τι, ἐπιδέχεται » μεσότατα. μεταξὺ γὰρ τῶ δεσπόζοντος καὶ δούλω, τὸ ἐλεύθερον. καὶ μεταξὺ τῶ » μείζονος καὶ μείονος, τὸ ἴσον. καὶ μεταξὺ τῶ πλατέος καὶ στενοῦ, τὸ ἐφαρμόζον. ἤδη καὶ ἀριστοτέλης μὴ συνεχώρει ταύτῃ τῇ μεσότητι, διαφέρειν ἂν εἴποι τὴν κατὰ τὸ πρός τι ἀντίθεσιν, τῆς κατὰ τὸ ἐναντίον. καὶ τὸ μὴ ἐπιδέχεσθαι μεσότητα. διαφέρει δὲ τῶν ἐναντίων τὰ πρός τι, τῷ τρόπῳ τῆς κατηγορίας. τὰ μὲν γὰρ πρός τι, αὐτὰ ἅπερ ἐστὶ πρὸς ἄλληλα λέγεται ὁπωσοῦν. τὰ δὲ ἐναντία, ἀντίκειται μέν, οὐ μέντοι ἀντιστρέφει πρὸς ἄλληλα. τὸ γὰρ ἀγαθόν, οὐ λέγεται τοῦ κακοῦ. οὐδὲ τὸ κακὸν ἀγαθοῦ κακόν, ἀλλ' ἐναντία μόνον ἀλλήλοις. φυλάττεσθαι δὲ δεῖ, μήποτε ἀπὸ τῶν πρός τι μεταπέσωμεν εἰς τὴν τῶν ἐναντίων, καὶ εἰς ἄλλην ἀντίθεσιν. τὰ μὲν γὰρ πρός τι, οὐκ εἰσὶ μαχητικὰ οὐδὲ ἀναιρετικὰ ἀλλήλων, ἀλλὰ μᾶλλον καὶ θετικὰ τῆς ἑτερότητος μόνης εἰσαγούσης, συνυπάρχουσαν ἀντίθεσιν. ἡ γοῦν ἐπιστήμη, πρὸς μὲν τὸ ἐπιστητόν, ἀντίθεσιν ἔχει συνυπαρκτικὴν τὴν κατὰ τὸ πρός τι. πρὸς δὲ τὴν ἄγνοιαν, ἀντίθεσιν μαχητικὴν καὶ ἀσύντακτον. οὐ γὰρ λέγεται ἐπιστήμη ἀγνοίας, ἀλλ' ἐπιστητοῦ μὲν ἐπιστήμη. ἀγνοίας δὲ ἐναντίον. δεῖ οὖν τὴν τῶν πρός τι ἀντίθεσιν συναγωγὸν τῶν ὑποκειμένων νοεῖν, μετά τινος ἀντιθέσεως ἐξ ἀλλήλων καὶ μὴ ἐξ αὐτῶν τὴν διαφορὰν λαμβανούσης. διὰ τοῦτο γὰρ τὰ μὲν ἐναντία, ἐξωθεῖ ἄλληλα. τὰ δὲ πρός τι, ἐκ τῆς πρὸς ἄλληλα οἰκειότητος τὴν ἑτερότητα συνάγει. διὸ καὶ τὰ μὲν μᾶλλον, ἐμφαίνει τὴν ἑτερότητα, ὡς τὸ διπλάσιον πρὸς τὸ ἥμισυ. τὰ δὲ ἧττον, ὡς ἐπιστήμη πρὸς τὸ ἐπιστητόν. τὰ δέ, οὐδὲ ὅλως σχεδόν, ὡς οἱ ἴσοι πρὸς ἀλλήλους. ὅσα οὖν ἀντίθεσιν ἔχοντα τοῦ ἀντικειμένου λέγεται αὐτὸ ὅπερ ἐστί, ταῦτα τῶν πρός τι ἐστίν. ὥσπερ τὸ μεῖζον αὐτὸ τοῦτο ὃ λέγεται, τοῦ ἀντικειμένου λέγεται. καὶ τὸ αὐτὸ πρὸς μὲν τό, μεῖζον. πρὸς δὲ ἕτερον, ἔλαττον. διὸ οὐδὲ μαχητικὴ ἡ τοιαύτη ἀντίθεσις. καὶ τὸ ὀρθὸν δὲ τὸ τύπτειν, πρὸς τὸ ὕπτιον τὸ τύπτεσθαι, ὡς πρός τι ἀντίκειται. διὸ καὶ ἀριστοτέλης τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐπιδέχεσθαι τὰ ἐναντία εἰπών, αὐτὰ μέντοι οὐκ ἔφη ἐναντία εἶναι ἀλλήλοις. ἐν ἑκατέρῳ δὲ αὐτῶν ἐπέδειξεν ἐναντίωσιν, ὡς ἐν τῷ λευκαίνειν καὶ μελαίνειν, καὶ λευκαίνεσθαι καὶ μελαίνεσθαι. ἀνδρόνικος δέ, οὐκ ἀντίθετα μόνον, ἀλλὰ καὶ ἐναντία τὸ ποιεῖν καὶ τὸ πάσχειν ἀπεφήνατο. καὶ τοῦτο δὲ ἐπιστῆσαι ἄξιον. ὅτι τὰ μὲν πρός τι, πρὸς ἄλληλα λέγεται. τὰ δὲ ἐναντία αὐτὰ μὲν ἅπερ ἐστὶν ἐναντία, τουτέστι τὰ τῇ ἐναντιώσει περιεχόμενα, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν πρὸς ἄλληλα οὐ λέγεται. τὸ δὲ ἐναντίον αὐτό, καὶ οὐχὶ τὰ περιεχόμενα ὑπ' αὐτοῦ κατὰ τὰ πρός τι λέγεται, καὶ οὐχὶ κατὰ τὸ ἐναντίον. ἀντεισάγει γὰρ ἄλληλα καὶ συνυφέστηκε. καὶ ἴσως τούτου αἴτιον, ἡ κοινὴ τῆς ἐναντιότητος ἐν τοῖς ἐναντίοις συνύπαρξις. νικόστρατος δὲ δεικνύναι νομίζει, ὅτι τὰ ἐναντία πρὸς ἄλληλα λέγεται, οὐκ ἀπὸ τῶν ὑπὸ τὸ ἐναντίον, ἀλλ' ἀπ' αὐτοῦ τοῦ ἐναντίου ποιούμενος τὴν ἐπιχείρησιν. πρὸ πάντων δὲ ἴσμεν, ὅτι ἄλλο μέν ἐστιν αὐτὸ ἕκαστον, ἄλλο δὲ ὑπ' αὐτὸ τεταγμένον καὶ μετέχον αὐτοῦ, ὥσπερ τὸ ἴσον αὐτὸ μέν ἐστι τῶν πρός τι, τὰ δὲ ὑπ' αὐτοῦ ποσά ἐστιν ἐν οἷς τὸ ἴσον, οὕτως οὖν καὶ τὰ

μὴ ἐναντία, ἀλλ' ὡς συνυπάρχοντα, πρός τι ἐστί. τὰ δὲ ὑπὸ τὰ ἐναντία, ὡς μετέχοντα τῶν ἐναντίων, ἐναντία ἐστί. καὶ ἔστι μὴ θαυμαστόν, πῶς τὰ ἐναντία καθὸ ἐναντία οὐκ ἔστιν ἐναντία, ἀλλὰ πρός τι. τὸ μὲν γὰρ πρὸς τῷ ἐναντία εἶναι ὑπάρχειν αὐτοῖς, καὶ τὸ πρός τι εἶναι, οὐδὲν θαυμαστόν. τὸ δὲ ἐναντία ὄντα, οὐδὲ ὅλως ἐστὶν ἐναντία καθὸ ἐναντία ἐστί, θαύματι ἔοικε. ἢ οὐδὲν θαυμαστόν, ἢ κατὰ τὴν κοινὴν καὶ μίαν ἰδιότητα τὰ ἱστάμενα συνυπάρχει ἀλλήλοις τὰ ἐναντία. κατὰ δὲ τὴν χωριστικὴν καὶ μαχητικὴν μάχεσθαι ποιεῖ τὰ μετέχοντα. καὶ γὰρ ἡ διάκρισις αὕτη, καὶ ἡ μάχη μία μὲν οὖσα, ἥνωται πρὸς ἑαυτήν. τὰ δὲ μετέχοντα μάχης καὶ διακρίσεως, κεχώρισται ἀπ' ἀλλήλων. ἀλλὰ ταῦτα μὲν περὶ τούτων. τῆς δὲ καταφάσεως καὶ ἀποφάσεως παραδείγματα παραθείς, οὐχ ὅλας τὰς προτάσεις, ἀλλὰ τοῖς κατηγορουμένοις ὅροις τέθεικε. διότι κατὰ ταύτους αἱ προτάσεις χαρακτηρίζονται. τοῦ γὰρ ἀρνητικοῦ μορίου τῷ κατηγορουμένῳ προστιθεμένου. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἴτεον. Τὰ δὲ ὡς τὰ ἐναντία, αὐτὰ μὲν ἅπερ ἐστὶν, οὐδαμῶς πρὸς ἄλληλα λέγεται. ἕως τοῦ, οἷον, τὸ οὔτε ἀγαθόν, οὔτε κακόν. οὔτε δίκαιον, οὔτε ἄδικον.

Μετὰ τὰ πρός τι, περὶ τῶν ἐναντίων τὸ ποιεῖν προτίθεται. διότι τῶν ἀντικειμένων τὰ ἐναντία εἴδη ἐστὶν ἑκατέρου. ἐπὶ δὲ τῆς ἕξεως καὶ τῆς στερήσεως, τὸ ἕτερον. ἐπὶ δὲ τῆς καταφάσεως καὶ ἀποφάσεως, ἐν λόγῳ τὸ ὅλον καὶ συνθέσει. εἰκότως οὖν τῶν ἄλλων τὰ ἐναντία προτετίμηται. ἀρχόμενος δὲ τοῦ περὶ τῶν ἐναντίων λόγου, τὴν διαφορὰν αὐτῶν εὐθέως τὴν πρὸς τὰ πρός τι παραδέδωκεν. οὐ γὰρ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων τῶν ἐναντίων λέγεται. τὸ γὰρ λευκόν, οὐ λέγεται τῷ μέλανι. τῶν δὲ λοιπῶν ἀντικειμένων ὡς εἴρηται διαφέρειν, τῷ εἴδη εἶναι ἄμφω τὰ ἐναντία. ἐφεξῆς δὲ τὴν διαφορὰν αὐτῶν τῶν ἐναντίων παραδιδούς, τῶν ἐναντίων τὰ ἄμεσα φησὶν εἶναι. ὧν ἐξ ἀνάγκης ἕτερον ὑπάρχει τῷ δεκτικῷ. οἷον ὑγεία καὶ νόσος καὶ περιττὸν καὶ ἄρτιον, καὶ γὰρ τὸ ἀρτιοπέριττον καὶ τὸ περισσάρτιον, κἂν μεταξύ πως ἀμφοῖν δοκῇ τοῦ τε περιττοῦ καὶ τοῦ ἀρτίου, ἀλλὰ καὶ αὐτὰ ἄρτιά ἐστι τῷ εἴδει. ὑγείας δὲ καὶ νόσου ὁ μὲν Ἀριστοτέλης, οὐδὲν εἶναι μέσον φησί. καίτοι ἀρετῆς καὶ κακίας ὁρῶν μεσότητα ὡς φιλόσοφος. οἱ δὲ ἰατροὶ περὶ τὰ σώματα ἐσπουδακότες, καὶ πολλὰς ἔθεσαν τὰς μεσότητας ὑγείας καὶ νόσου ἐν τῷ πλάτει στρεφομένας, τῆς οὐδετέρας παρ' αὐτοῖς λεγομένης καταστάσεως. τινὰ δὲ τῶν ἐναντίων ἔμμεσα, ὧν οὐκ ἐξ ἀνάγκης θάτερον περὶ τὸ δεκτικόν ἐστιν. οἷον τὸ λευκὸν καὶ μέλαν. οὐ γὰρ ἀνάγκη πάντως ἢ λευκὸν ἢ μέλαν εἶναι. ἐπειδὴ ἔστι καὶ φαιὰ καὶ ξανθά. καὶ ἄλλα ἔχοντα χρώματα τὰ ἀναμέσον. τῶν δὲ ἐμμέσων, ἤτοι μεσοτήτων, λέγεται γὰρ καὶ οὕτως, τὰ μὲν, πλείω ἔχει τὰ μέσα, τὰ πλέον ἴσως ἀλλήλων διεστηκότα τῇ φύσει, ὥσπερ ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος εἴρηται, πολλὰ γάρ ἐστι τὰ ἐν μέσῳ τούτων χρώματα, τὰ δέ, ἓν μόνον διὰ τὴν ἐγγύτητα τὴν πρὸς ἄλληλα. τοῦ γὰρ θερμοῦ καὶ ψυχροῦ, τὸ χλιαρὸν μόνον μέσον. τῶν δὲ ἐν μέσῳ, τὰ μὲν ὠνομασμένα ἔχει τὰ μέσα, ὥσπερ ἐπὶ τῶν εἰρημένων. τὰ δέ, ἀκατονόμαστα, τῇ δὲ ἀποφάσει τῶν ἄκρων δηλούμενα. τὸ γὰρ μεταξὺ τοῦ ἀγαθοῦ καὶ κακοῦ οὐκ ὠνόμασται. λέγεται δὲ οὔτε ἀγαθόν, οὔτε κακόν. τὸ γὰρ τοῦ ἀδιαφόρου ὄνομα, ὑπὸ τῶν νεωτέρων ἐτέθη. καὶ τοῦ δικαίου δὲ καὶ τοῦ ἀδίκου τὸ μέσον, ἀνώνυμόν ἐστι. τῇ δὲ ἀποφάσει τῶν ἄκρων ὀνομάζεται. καὶ δῆλον

ὅτι τὰ μὲν τῇ συνηθείᾳ γενόμενα γνώριμα, ταῦτα καὶ ὀνόματος ἔτυχε συνήθους. τὰ δὲ ἄγνωστα τῇ συνηθείᾳ, ἔμεινεν ἀκατονόμαστα. ἐπεὶ δὲ τῶν ἐναντίων, τὰ μὲν, ἐν ὑποκειμένῳ ἐστίν, ὡς τὸ λευκὸν καὶ μέλαν. ἐν σώματι γὰρ ὑπάρχει παθητικῶς, ἄλλα δὲ χρωμένῳ. τὰ δὲ, καθ' ὑποκειμένου λέγεται, ὡς τὸ ἄρτιον καὶ περιττόν. καὶ γὰρ τοῦ ἀριθμοῦ καθ' ὑποκειμένου λέγεται ταῦτα, διότι διαφοραί εἰσιν. αἱ δὲ διαφοραὶ ὡς αὐτὸς ἐν τῷ περὶ τῆς οὐσίας ἔδειξε λόγῳ, καθ' ὑποκειμένων λέγονται τῶν εἰδῶν. διὰ τοῦτο τὰ μὲν ἐν ὑποκειμένῳ ἐδήλωσε, διὰ τὸ ἐν οἷς πέφυκε γίνεσθαι. τὰ δὲ καθ' ὑποκειμένου, διὰ τοῦ οὗ ὧν κατηγορεῖται. καὶ ἂν γὰρ ἐν ὑποκειμένῳ πάντως ὁ ἀριθμός, ἀλλ' ὅταν τὸ ὑποκείμενον μὴ παραλαμβάνηται, τό, τε ἄρτιον καὶ τὸ περιττόν, ὡς καθ' ὑποκειμένου τοῦ ἀριθμοῦ λέγεται. ὅτι γὰρ οὐχ ὁμοίως ὑγεία καὶ νόσος ὑπάρχει τῷ σώματι, καὶ περιττὸν καὶ ἄρτιον ἀριθμῷ, δῆλον ἐκ τοῦ τὴν μὲν ὑγείαν καὶ τὴν νόσον τῷ αὐτῷ σώματι παρὰ μέρος ὑπάρχειν. τὸ δὲ ἄρτιον καὶ περιττόν, τῷ αὐτῷ ἀριθμῷ μηδαμῶς ὑπάρχειν. ἐπιστῆσαι δὲ ἄξιον, εἰ τὸ ἄρτιον καὶ περιττὸν διαφοραί εἰσιν ἀριθμοῦ, ἢ εἴδη ἀριθμοῦ. εἰ γὰρ ὁριζόμενοι τὸ ἄρτιον λέγομεν, ἀριθμὸς δίχα διαιρούμενος, τὸ δὲ ἐκ γένους τοῦ ἀριθμοῦ καὶ διαφορᾶς τινος εἶδος ἂν εἴη ἀριθμοῦ, πῶς καθ' ὑποκειμένου λέγεται τοῦ ἀριθμοῦ. τὸ γὰρ εἶδος, οὐκ ἂν καθ' ὑποκειμένου λέγοιτο τοῦ γένους, εἴπερ τὸ καθ' ὑποκειμένου λεγόμενον καθολικώτερόν ἐστι τοῦ καθ' οὗ λέγεται. ἢ οὐχὶ τοῦ ὡς γένος ἀριθμοῦ κατηγορεῖται τὸ ἄρτιον καὶ περιττόν, τὰ ὡς εἴδη. ἀλλὰ τοῦ ἀρτίου ἀριθμοῦ τοῦ ὡς εἴδους κατηγορεῖται ἡ τοῦ δίχα διαιρεῖσθαι διαφορά, ἣν ἴσως ἄρτιον ἐκάλεσεν, ὡς τοῦ ἀρτίου εἴδους ποιόν. ἀλλ' ἐπειδὴ ἀσαφείας ἔτυχεν ἡ τοῦ ἀριστοτέλους λέξις, ἴδωμεν καὶ ὅσα τῷ τόπῳ προσεξεργάζονται οἱ καινότεροι τῶν ἐξηγητῶν. τῶν γὰρ στωϊκῶν μεταφερόντων τὴν αὐτὴν τῶν λογικῶν ἐξεργασίαν, ἔν τε τοῖς ἄλλοις καὶ ἐπ' αὐτῶν τῶν ἐναντίων, σπουδάζουσι δεικνύναι, ὅτι πάντων τὰς ἀφορμὰς ὁ ἀριστοτέλης παρέσχεν ἐν ἑνὶ βιβλίῳ, ὃ περὶ ἀντικειμένων ἐπέγραψεν, ἐν ᾧ καὶ ἀποριῶν ἐστι πλῆθος ἀμήχανον. ὧν ὀλίγην ἐκεῖνοι μοῖραν παρέθεντο. καὶ τὰ μὲν ἄλλα ἐν εἰσαγωγῇ παρεμβάλλειν οὐκ εὔλογον. ὅσα δὲ συμφώνως οἱ στωϊκοὶ τῷ ἀριστοτέλει διετάξαντο, ταῦτα ῥητέον. Ὅρου δὲ τρίτου παλαιοῦ περὶ τῶν ἐναντίων καταβεβλημένου, οὗ καὶ ἔμπροσθεν ἐμνημονεύσαμεν, ὅτι ὅσα ἐστὶν ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διαφέρει, ηὔθυνε τὸν ὅρον ὁ ἀριστοτέλης ἐν τῷ περὶ τῶν ἀντικειμένων πολυειδῶς βασανίσας αὐτόν. καὶ γὰρ εἰ καὶ τὰ διαφέροντα ἐναντία ἐστίν, ἐπέστησε καὶ εἰ ἡ διαφορὰ ἐναντιότης εἶναι δύναται. καὶ εἰ ἡ πᾶσα διάστασις ἐστὶν ἡ τὸ πλεῖστον διαφέρουσα. καὶ εἰ ταὐτὸν τὰ πλεῖστον ἀπέχοντα, τῷ τὰ πλεῖστον διαφέροντι. καὶ τίς ἡ ἀπόστασις καὶ πῶς τὸ πλεῖστον ἀπέχειν ἀκουστέον. ὧν ἀτόπων φανέντων, προσληπτέον τι τῷ γένει, ἵνα ὁ ὅρος τὰ πλεῖστον ἀπέχοντα ἐν τῷ αὐτῷ γένει. καὶ τίνα τρόπον τὰ ἄτοπα ἕπεται. καὶ εἰ ἑτερότης ἐστὶν ἡ ἐναντιότης. καὶ εἰ τὰ μάλιστα ἕτερα ἐναντία. ἄλλους τε ἔθηκεν ἐλέγχους πλείονας. χρησαμένου δὲ ὅμως τῷ ὅρῳ τούτῳ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ, μετὰ τὸ ἐπισημήνασθαι ὅτι παλαιὸς ὁ ὅρος, οἱ ἀπὸ τῆς στοᾶς παραλαβόντες αὐτὸν ἐχρήσαντο. τὸ μὲν σαθρὸν αὐτοῦ, παραδεικνύοντες. πειρώμενοι δὲ ὅλως λύειν τὰ δοκοῦντα ἄτοπα. ὁ μὲν γὰρ νικόστρατος αἰτιᾶται, ὅτι μὴ μόνον ἐν τῷ αὐτῷ γένει

τῷ χρώματι, τὸ λευκὸν, καὶ μέλαν. καὶ γλυκὺ, καὶ πικρὸν ἐν τῷ χυμῷ. δικαιοσύνη δὲ καὶ ἀδικία, ἐξ ἐναντίων γενῶν. τῆς μὲν γὰρ, ἀρετή. τῆς δὲ, κακία τὸ γένος. αὕτη δὲ ἡ ἀρετὴ καὶ ἡ κακία, τρόπον μέν τινα ἐκ τοῦ αὐτοῦ γένους. ἕξις γὰρ ἀμφοῖν τὸ γένος καὶ ποιότης. τρόπον δὲ ἄλλον, ἐξ ἐναντίων γενῶν. τῆς μὲν γὰρ ἀρετῆς γένος, τὸ ἀγαθόν. τῆς δὲ μοχθηρίας, τὸ κακόν. τὸ δὲ ἀγαθὸν καὶ κακὸν, αὐτὰ γένη δοκεῖ, εἰ μὴ ἄρα ἐν ποιότητι καὶ ταῦτα ὡς ἐν γένει. ὁ μέντοιγε ἀριστοτέλης πολλαχοῦ φαίνεται τὸ ἀγαθὸν καὶ τὸ κακὸν, μὴ ὡς γένη, ἀλλ' ὡς ὁμωνύμοις φωνὰς τιθείς. τούτου δὲ πολλοστὸν μέν ἐστι μέρος. ὧν ἀριστοτέλης, ἐν τῷ λόγῳ τῷ περὶ τῶν ἐναντιοτήτων ἠπόρησεν. ἄξιον δὲ περὶ πάντων τῶν τοιούτων ζητημάτων δικαιολογεῖσθαι ὡς εἰώθασιν οἱ ἀρχαῖοι. κἂν ὑπαίτιος ἡ τῆς ὑπογραφῆς, χρῆσθαι αὐτῇ, ὅταν μηδὲν καταβλάπτῃ πρὸς ἃ χρῶνται. διὸ ἐν μὲν τοῖς περὶ τοῦ ποσοῦ βουληθεὶς τὸ κάτω τῷ ἄνω ἐναντίον δεῖξαι, ἐχρήσατο τῷ ὅρῳ, ὥσπερ ἀπὸ τῆς κατὰ τόπον ἐναντιώσεως ἀποδόντων αὐτὸν τῶν πρεσβυτέρων. ἐνταῦθα μέντοι ἐν τῇ περὶ τῶν ἐναντίων διδασκαλίᾳ, οὐκ ἔχρηται αὐτῷ ὡς ἄνω μὲν προερρηθέντι, μόνον δὲ ἀνυπαιτίῳ. τούτοις οὖν οἱ ἀπὸ τῆς στοᾶς ἐχρήσαντο πᾶσι, καὶ τοῖς ἄλλοις διορισμοῖς τοῖς περὶ τῶν ἐναντίων, ἀριστοτέλει κατὰ πόδας ἠκολούθησαν, ἐκείνου τὰς ἀφορμὰς αὐτοῖς δεδωκότος ἐν τῷ περὶ τῶν ἀντικειμένων συγγράμματι. ἃς ἐξειργάσαντο ἐν τοῖς αὐτῶν βιβλίοις. καὶ γὰρ καὶ τὰς ἕξεις ἐναντίας ὑπέλαβον ὡς ἐκεῖνος. οἷον φρόνησιν, ἀφρόνησιν. καὶ τὰ κατηγορήματα, ὥσπερ τὸ φρονεῖν καὶ ἀφραίνειν. καὶ τὰς μεσότητας. οἷον τὸ φρονίμως ἢ ἀφρόνως. τοὺς μέντοι ποιοὺς καὶ πῶς ἔχοντας, οὐκέτι ὑπέλαβον ἐναντίους, ἀλλ' ἐναντίως ἔχειν καὶ τοῦτον τούτῳ. ἀλλὰ μέσως τὸν φρόνιμον τῷ ἄφρονι λέγουσιν. ἐὰν δέ ποτε καὶ λέγωμεν τοῦτον τούτῳ ἐναντίον εἶναι, περὶ τὰ ἄμεσα ποιούμεθα τὴν σημασίαν ἀπόφασι. κυριώτατα μὲν οὖν περὶ τῶν ἕξεων, καὶ τῶν σχέσεων, καὶ τῶν ἐνεργειῶν, καὶ τῶν τούτοις παραπλησίων, ἡ ἐναντίωσις θεωρεῖται. δεύτερον δὲ, ὡς ἐναντία λέγεται τὰ κατηγορήματα καὶ τὰ κατηγορούμενά πως ἐκείνοις. προσάγει δὲ ἄλλως γέ πως πρὸς τὰ ἐναντία, καὶ τὸ φρονίμως καὶ ἀφρόνως. ὅλως δὲ ἐν τοῖς πράγμασι τὰ ἐναντία θεωρεῖται. καὶ ἡ φρόνησις τῇ ἀφροσύνῃ ἀμέσως, οὕτως ἐναντία λέγεται. οὐχ ἡ δὲ τῇδε. τοιαύτης δὲ οὔσης τῆς στωϊκῆς διδασκαλίας, ἴδωμεν πῶς αὐτὴν ἀπὸ τῆς ἀριστοτέλους παραδόσεως παρεσπάσαντο. οὗτος γὰρ ἐν τῷ περὶ ἀντικειμένων τὴν δικαιοσύνην πρὸς τὴν ἀδικίαν ἐναντίαν λέγει. οὐ λέγεσθαι δὲ τὸν δίκαιον τῷ ἀδίκῳ ἐναντίον φησὶν, ἀλλ' ἐναντίως διακεῖσθαι. εἰ δὲ καὶ ταῦτα ἐναντία φησὶ, δῆλον ὡς ἐρηθήσεται τὸ ἐναντίον. ἢ γὰρ καθ' αὑτὰ τὰ ἐναντία ἐρηθήσεται. οἷον ἀρετὴ καὶ κακία. κίνησις. στάσις. ἢ τῷ μετέχειν ἐναντίων. οἷον τὸ κινούμενον, τῷ ἑστηκότι. καὶ τὸ ἀγαθὸν, τῷ κακῷ. ἐν οἷς ἐδίδαξε, διατί τοὺς ποιοὺς οὐκ εἶπεν ἐναντίους. ἐπεὶ γὰρ κατὰ μετοχὴν οἱ ποιοί εἰσι διάφοροι, οὐκ ἂν τὸ μετέχον ὁμοίως οὗ μετέχει λέγοιτο, ἀλλὰ μᾶλλον ἐκείνου μετέχει. καὶ παρώνυμα εἴπερ ἄρα ἀπ' αὐτῶν εἶναι, ὡς ἀπὸ τῆς λευκότητος τὸ λευκόν. ἐπεὶ οὖν ἡ φρόνησις τῇ ἀφροσύνῃ ἐναντίον, οὐκ ἂν καὶ οἱ μετέχοντες ἐρηθεῖεν ἐναντίοι, ἀλλὰ μετέχειν ἐναντίων. εἰ δὲ καὶ ταῦτά τις

κατὰ ἐναντία, διελέσθαι φησὶν ὀφείλει. καὶ τὰ μὲν, λέγειν ἁπλῶς ἐναντία. τὰ δὲ, τῷ μετέχειν ἐναντίων, κεκλῆσθαι ἐναντία. ὄντος δὲ δυνατοῦ τὸ αὐτὸ καὶ κατὰ ἀσύνθετον φωνὴν εἰπεῖν, οἷον, φρόνησιν ἀφροσύνην. καὶ διὰ ὅρου, οἷον ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων. καὶ τὴν ἀφροσύνην ἄγνοιαν τῶν αὐτῶν. ζητοῦσι πότερόν ἐστι τὰ κατὰ τὰ ἁπλᾶ μόνον, ἢ κατὰ τοὺς ὅρους. καὶ ὅ γε χρύσιππος ἐφίστησι, μήποτε τὰ προσηγορικὰ καὶ ἁπλᾶ μόνον ἐστὶν ἐναντία. τὰ δὲ, οὐκ ἔστι. πολλὰ γὰρ ἐν τούτοις συμπεριλαμβάνομεν καὶ μετὰ ἄρθρων καὶ μετὰ συνδέσμων. καὶ ἄλλων δὲ μορίων λεξητικῶν, ὧν ἕκαστον εἰς τὸν τῶν ἐναντίων λόγον, ἀλλοτρίως ἂν παραλαμβάνοιτο. διὸ τὴν μὲν φρόνησιν, τῇ ἀφροσύνῃ φησὶν εἶναι ἐναντίον. τὸν δὲ ὅρον τῷ ὅρῳ, οὐκέτι ὁμοειδῶς ἐναντίον εἶναι φησίν. ἐπεὶ ἐκεῖνα δὲ ποιούμενοι τὴν ἀναφορὰν, καὶ τοὺς ὅρους κατὰ συζυγίαν ἀντιτιθέασι. ταῦτα δὲ παρὰ τῷ ἀριστοτέλει πρώτῳ διώρισται. ἀσύνθετον μὲν μὴ ἀξιοῦντι ἐναντίον εἶναι τῷ τοῦ ἐναντίου ὅρῳ. οἷον τὴν φρόνησιν, μὴ εἶναι ἐναντίον τῇ ἀγνοίᾳ τῶν ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων. ἀλλ' εἴπερ ἄρα κατὰ συζυγίαν, ὅρον ὅρῳ ἀντιτίθεσθαι, καὶ ἐναντίους λέγειν τούτους, τῶν ἐναντίων εἶναι πραγμάτων. φιλοτεχνεῖ δὲ περὶ τούτων ἐπὶ πλέον, ὡς λόγος ὁριστικὸς, λόγῳ ἐναντίος ἐστὶν, ἐὰν τῷ γένει τι ᾖ ἐναντίον. ἢ ταῖς διαφοραῖς, ἢ ἀμφοτέροις. οἷον ἐστὶ τοῦ καλοῦ ὁρισμὸς, εἰ οὕτω τύχοι συμμετρία μερῶν πρὸς ἄλληλα· τούτῳ ἐναντίον, ἀσυμμετρία μερῶν πρὸς ἄλληλα. καὶ ἔστι τῷ γένει ἡ ἐναντίωσις. ἀλλαχοῦ δὲ ταῖς διαφοραῖς, οἷον λευκὸν χρῶμα, διακριτικὸν ὄψεως. μέλαν δὲ χρῶμα, συγκριτικὸν. ἐν δὲ τούτοις, τὸ μὲν γένος, τὸ αὐτό. κατὰ δὲ τὰς διαφορὰς, ἐναντίωσις. εἴρηται οὖν πῶς λόγος λόγῳ ἐναντίος ἐστί, καὶ οἱ τῆς οὐσίας δὲ δηλωτικοὶ λόγοι, ἐναντίοι ἔσονται. ἀλλὰ ταῦτα μὲν ἀρκούντως μέχρι τοῦδε προήχθω. διελόντος δὲ τοῦ ἀριστοτέλους τὰ ἐναντία εἴς τε τὰ ἄμεσα καὶ τὰ ἔμμεσα, καὶ ἄμεσα μὲν λέγοντος ἐκεῖνα, ὧν ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ, καὶ ἀνὰ μέρος πάρεστι τῷ ὑποκειμένῳ, εἰ μὴ τῶν συμφυῶν εἴη ὡς ἡ θερμότης τῷ πυρί, ἀλλὰ τῶν συμβεβηκότων γίνεται ὁ λόγος τῶν ἀμέσων τοιοῦτος, ὅτι ἐστὶν ἄμεσα ἐναντία, ἐν οἷς τὸ ἕτερον ἐξ ἀνάγκης ὑπάρχει περὶ τὸ δεκτικόν. ἔμμεσα δὲ, ὧν οὐκ ἐξ ἀνάγκης τὸ ἕτερον. εἰπόντος δὲ τοῦ ἀριστοτέλους τῇ τῶν ἄκρων ἀποφάσει τὰ μέσα χαρακτηρίζεσθαι, ἀντιλέγει νικόστρατος. ὡς εἰ ἡ ἀπόφασις τὸ μέσον δηλοῖ, καὶ τὸ οὐκ ἄνθρωπος καὶ οὐχ ἵππος, μεσότητα δηλώσει. δεῖ οὖν φησὶ προσκεῖσθαι ἐν τῷ αὐτῷ γένει λαμβανομένου τοῦ μέσου, ἐν ᾧπερ ἐστὶν αὐτοῦ τὰ ἄκρα. ἀλλ' οὐ προσποιεῖται ὁ ταῦτα λέγων, ὅτι οὔτε ἄκρα ἐστὶν ἵππος καὶ ἄνθρωπος, οὔτε ἐναντία. περὶ δὲ ἄκρων καὶ ἐναντίων ἦν ὁ λόγος. αὐτὸς δὲ ὁ ἀριστοτέλης ἐν τῷ περὶ τῶν ἀντικειμένων βιβλίῳ ἐζήτησεν, εἰ θάτερον ἀποβαλών τις, μὴ ἐξ ἀνάγκης θάτερον λαμβάνει. ἆρά ἐστί τι τούτων ἀνὰ μέσον, ἢ οὐ πάντως. ὁ γὰρ τὴν ἀληθῆ δόξαν ἀποβαλὼν, οὐκ ἐξ ἀνάγκης ψευδῆ δόξαν λαμβάνει. οὐδὲ ὁ ψευδῆ, ἀληθῆ. ἀλλ' ἐνίοτε ἐκ τῆς δόξης ταύτης, ἢ εἰς τὸ μηδὲν ὅλως ὑπολαμβάνει, ἢ εἰς ἐπιστήμην μεταβάλλει. δόξης δὲ ἀληθοῦς καὶ ψευδοῦς, οὐδέν ἐστιν ἀνὰ μέσον. ἢ οὐκ ἄγνοια οὐδὲ ἐπιστήμη. εἰσὶ δὲ καὶ ἄλλαι διαφοραὶ τῶν

ἐναντίων. ὧν καὶ αὐτὸς προϊὼν ἐφάψεται. τούτων δὲ μάλιστα ἐμνήσθη, τῆς τε ἀμέσου καὶ τῆς ἐμμέσου. ὅτι ἐκ τούτων τὸ πρὸς τὰ ἄλλα ἀντικείμενα διαφέρον, τῶν ἐναντίων παρίστησι. καὶ γὰρ πρόκειται μὴ πᾶσι τοῖς προσοῦσι καθ' ἕκαστον τῶν ἀντικειμένων ἐπεξελθεῖν. τοῖς δὲ κυριωτάτοις αὐτῶν μόνοις, ἕνεκα τοῦ τὰς πρὸς ἄλληλα διαφορὰς αὐτῶν παραδεῖξαι. δείξει δὲ ὅτι τὰ τέσσαρα γένη τῶν ἀντικειμένων, ἀλλήλων διενήνοχε. καὶ ὅπως μὲν τὰ ὡς πρός τι τῶν ἐναντίων διαφέρει, δεδήλωκεν. ὅπως δὲ ἄμφω ταῦτα τῶν ὡς στέρησιν καὶ ἕξιν, δηλώσει τὰ ἴδια ἑκάστων προσθείς. καὶ τότε τὴν διαφορὰν τὴν πρὸς τὴν ὡς κατάφασιν καὶ ἀπόφασιν ἀποδείξει. καλὸν δὲ ἂν εἴη λοιπὸν καὶ τὰ τοῦ ἀρχύτα παραθέσθαι, περὶ τῆς τῶν ἐναντίων διαφορᾶς ἔχοντα οὕτως. Διαιρεῖται δὲ καὶ τὰ τῆς ἀντιθέσεως τούτω, ἐς τὰ ποτέχεα εἴδεα ἀλλάλοις. τῶν γὰρ ἐναντίων, ἃ μὲν, ἄμεσα ἐντί. ἃ δὲ, ἔχει μέσον. μεταξὺ γὰρ ὑγείας καὶ νόσου, οὐδέν ἐντι μέσον. οὐδὲ ἀρεμίας καὶ κινάσιος. οὐδὲ ἐγρηγορότος καὶ ὑπνόοντος. οὐδὲ εὐθέος καὶ καμπύλου. οὐδὲ τῶν ἄλλων ἐναντιωτάτων. πολλοῦ δὲ καὶ ὀλίγω μεταξὺ, τὸ μέτριον. καὶ ὀξέος καὶ βαρέος, τὸ ὁμόφωνον. καὶ τάχεος καὶ βραδέος, τὸ ἰσοταχές. καὶ μείζονος καὶ μείονος, τὸ ἴσον. τῶν καθόλου μὲν ἀναγκαιοτάτων, ἀναγκαῖον μίαν ἦμεν περὶ τὸ ἐπιδεκτικὸν αὐτῶν. αὐτὰ δὲ οὐκ ἐπιδέχονται μέσον. μεταξὺ γὰρ ὑγείας καὶ νόσου οὐδέν ἐντι μέσον. καὶ ἀναγκαῖον τὸ ζῶον, ἢ νοσεῖν, ἢ ὑγιαίνεν. οὐδὲ ἐγρηγόρσιος καὶ ὕπνου. καὶ ἀναγκαῖον τὸ ζῶον ἢ ἐγρηγορεῖν, ἢ εὕδειν. οὐδὲ ἀρεμίας καὶ κινάσιος. καὶ ἀναγκαῖον τὸ ζῶον, ἢ ἀρεμεῖν, ἢ κινέεσθαι. ὧν δὲ ἐναντιωτάτων, οὐκ ἀναγκαῖον, οὔτε ἀμφοτέραν, οὔτε τὴν ἑτέραν αὐτῶν ἦμεν περὶ τὸ ὑποδεκτικὸν αὐτῶν, αὐτὰ ἐπιδέχονται μεσότητας. μεταξὺ γὰρ λευκῶ καὶ μέλανος, τὸ φαιόν. καὶ οὐκ ἀναγκαῖον τὸ ζῶον ἢ λευκὸν ἢ μέλαν ἦμεν. καὶ μεγάλω καὶ μικρῶ, τὸ ἴσον. καὶ οὐκ ἀναγκαῖον τὸ ζῶον ἢ μέγα ἢ μικρὸν ἦμεν. καὶ σκληρῶ καὶ μαλακῶ, τὸ εὐαφές. καὶ οὐκ ἀναγκαῖον τὸ ζῶον, ἢ σκληρὸν ἢ μαλακὸν ἦμεν. Ἔτι τῶν ἐναντίων διαφοραὶ τρεῖς. τὸ μὲν, ὡς ἀγαθὸν κακῷ ἀντίκειται. οἷον ὑγεία, νόσῳ. τὸ δὲ, ὡς κακὸν κακῷ. οἷον ἀνελευθερία, ἀσωτία. τὸ δὲ, ὡς οὐδέτερον ἑτέρῳ. οἷον, λευκὸν, μέλανι. βαρὺ, κούφῳ. Ἔτι τῶν ἐναντίων ἃ μὲν, ἐν γένεσι γενῶν ἐσγίνεται. ἀγαθὸν γὰρ κακῷ ἐναντίον. καὶ γένος τὸ μὲν ἀγαθὸν, τῶν ἀρετῶν. τὸ δὲ κακὸν, τῶν κακιῶν. ἃ δὲ, ἐν γένεσιν εἰδῶν. ἀρετὰ γὰρ κακίᾳ ἐναντίον, καὶ γένος. ἃ μὲν ἀρετὰ, φρονάσιος καὶ σωφροσύνης. ἃ δὲ, τᾶς ἀφροσύνας καὶ ἀκολασίας. ἃ δὲ, ἐν εἴδεσιν. ἐναντία γὰρ ἀνδρεία, δειλία. καὶ δικαιοσύνα, ἀδικία ἐναντίον. εἴδεα δὲ ἁ δικαιοσύνα μὲν καὶ ἀδικία τᾶς ἀρετᾶς, ἀδικία δὲ καὶ ἀκολασία τᾶς κακίας. τὰ μὲν οὖν πρῶτα γένη ἃ καὶ γένη γενῶν ὀνομάζομεν, ἐπιδέχεται μὲν τομάν. τὰ δ' ἔσχατα εἴδεα καὶ ποτὶ τὰν αἴσθασιν, οὐκ ἂν γένη γενόμενον ἐντὶ, ἀλλὰ καὶ εἴδεα. τὸ γὰρ τρίγωνον, τοῦ μὲν ὀρθογωνίω καὶ ἰσοπλεύρω καὶ σκαλανέος, γένος. τῶ δὲ ἀγαθῶ, εἶδος. ἐν δὲ τούτοις, τὰ μὲν ἄλλα, σύμφωνα πρὸς τὴν ἀριστοτέλους παράδοσιν. ἡ δὲ τελευταία διαφορὰ, καθ' ἣν τὰ μὲν, ἐν γένεσι γενῶν εἶναι ἐναντία, τὰ δὲ, ἐν γένεσιν εἰδῶν, τὰ δὲ, ἐν εἴδεσιν, ὑπ' αὐτοῦ

τοῦ Ἀριστοτέλους παραλέλειπται ἴσως ἐν τούτοις, ὡς οὐ πάντη πραγματειώδης. ἀλλ' οὖν
» τὴν τετάρτην ἀντίθεσιν τῶν κατὰ ἕξιν καὶ στέρησιν, σκεπτέον. Στέρησις δὲ καὶ ἕξις λέγε-
» ται μὲν περὶ ταὐτόν τι. οἷον, ἡ ὄψις καὶ ἡ τυφλότης περὶ ὀφθαλμόν. καὶ καθόλου
» δὲ εἰπεῖν ἐν ᾧ ἂν ἡ ἕξις πέφυκε γίνεσθαι, περὶ τοῦτο λέγεται ἑκάτερον αὐτῶν. ἐστερῆ-
» σθαι δὲ τότε λέγομεν ἕκαστον τῶν τῆς ἕξεως δεκτικῶν, ὅταν ἐν ᾧ πέφυκεν ὑπάρ-
» χειν, καὶ ὅτε πέφυκεν ἔχειν μηδαμῶς ὑπάρχῃ. νωδὸν γάρ τε λέγομεν οὐ τὸ μὴ ἔχον
» ὀδόντας. καὶ τυφλὸν, οὐ τὸ μὴ ἔχον ὄψιν, ἀλλὰ τὸ μὴ ἔχον ὅτε πέφυκεν ἔχειν. ἔνια
» γὰρ ἐκ γενετῆς οὔτε ὀδόντας οὔτε ὄψιν ἔχει. ἀλλ' οὐ λέγεται οὔτε νωδὰ οὔτε τυφλά. τὸ δὲ
» ἐστερῆσθαι καὶ τὸ ἔχειν τὴν ἕξιν, οὐκ ἔστι στέρησις καὶ ἕξις. ἕξις μὲν γάρ ἐστιν ἡ ὄψις. στέρησις δὲ,
» ἡ τυφλότης. τὸ δὲ ἔχειν τὴν ὄψιν, οὐκ ἔστιν ὄψις. οὐδὲ τὸ τυφλὸν εἶναι τυφλότης. στέ-
» ρησις γάρ τις ἡ τυφλότης ἐστί. τὸ δὲ τυφλὸν εἶναι καὶ ἐστερῆσθαι, οὐ στέρησις ἐστίν. ἕως
» τοῦ, οὕτω καὶ τὸ τυφλὸν εἶναι, τῷ ὄψιν ἔχειν ἀντίκειται. Τρίτον εἶδος τῶν ἀντικειμένων,
τὸ κατὰ ἕξιν καὶ στέρησιν παραδίδωσι, προηγούμενον τῇ φύσει τοῦ κατὰ κατάφασιν καὶ ἀπόφασιν.
διότι ἐκεῖνο μὲν, ἐν λόγοις ἔχει τὴν ὑπόστασιν. τοῦτο δὲ, ἐν πράγμασι. καὶ λέγεται μὲν ἡ στέρη-
σις, πλεοναχῶς. ἧς δὲ νῦν ἐμνημόνευσεν, ἀπουσία τίς ἐστι παντελὴς, ἀπὸ τοῦ πεφυκό-
τος ἔχειν, καὶ ἐν ᾧ πέφυκε, καὶ ὅτε πέφυκε, καὶ ὅπου. τὸ μὲν γὰρ πεφυκότος, ἐπειδὴ τὸν τοῖχον
οὐκ ἄν τις εἴποι τυφλὸν, ἐπεὶ οὐδ' ὅλως πέφυκεν ὁρᾶν. ὅτε δὲ πέφυκε, διότι τὰ
σκυλάκια τὰ ἄρτι τεχθέντα, οὐκ ἄν τις εἴποι τυφλὰ, ὅτι μή πω πέφυκεν ὁρᾶν.
οὐδὲ τὰ παιδία νωδὰ ἄν τις εἴποι τὰ ἀρτιγενῆ, ὅτι μή πω ὀδόντας ἔχει. τὸ δὲ ἐν ᾧ
πρόσκειται, ἵνα τὸ οἰκεῖον μόριον λαμβάνωμεν, ἐν ᾧ ἐγγίνεται ἡ ἕξις. οὐ γὰρ εἴ τις μὴ ἐν
τοῖς ποσὶν ὀφθαλμοὺς ἔχει, ἐστέρηται ὀφθαλμῶν, ἀλλ' εἴ τις ἐν τῷ οἰκείῳ τόπῳ μὴ
μετείληφεν ὀμμάτων. αὐτὸς δὲ διὰ βραχέων συνέλαβε πάντα. τὸ μὲν πεφυκὸς καὶ
τὸ μόριον ἐν ᾧ ἐγγίνεται ἡ ἕξις, ὁμοῦ δηλώσας διὰ τοῦ ἐν ᾧ πέφυκε. τὸν δὲ χρόνον καὶ
τὸν τόπον τὸν ἐπιβάλλοντα καὶ τὰ ἄλλα τὰ συνεμφαινόμενα, ἐν τῷ ὅτε πέφυκεν
ὑπάρχειν συνέλαβε. τὸ γὰρ καθῆκον ἔχειν, καὶ ὡς προσῆκόν ἐστιν ἔχειν, ὅταν μη-
δαμῶς ὑπάρχῃ, τότε ἐν στερήσει λέγεται εἶναι. διό τινες τῷ εἰρημένῳ τῆς στερήσεως
λόγῳ, προστιθέασι τὸ, καὶ ὡς πέφυκε. καὶ γὰρ ἀτραχήλους λέγομεν τοὺς βραχυ-
τραχήλους, ἐπεὶ μὴ κατὰ φύσιν ἔχουσι τοὺς τραχήλους. καὶ ἀπύρηνον τὴν ῥοιάν,
ὡς ἐλάττονας τοῦ κατὰ φύσιν τοὺς πυρῆνας ἔχουσαν, τὴν τοῦ κατὰ φύσιν ἐλάττω-
σιν, ὡς τοῦ παντὸς στέρησιν ὀνομάζοντες. οὐχ ἁπλῶς δὲ εἶπεν ὅτι περὶ ταὐτὸν ἡ ἕξις
καὶ ἡ στέρησις λέγεται, ἀλλὰ περὶ ταὐτόν τι. διὰ τῆς τοῦ τὶ προσθήκης ἐνδειξάμενος, πῶς
περὶ ταὐτὸν λέγει. καὶ γὰρ τἀναντία περὶ ταὐτόν, εἴγε ταὐτόν ἐστι τῶν ἐναντίων δε-
κτικόν. ἀλλ' ἐκεῖ μὲν τῶν ἐναντίων οὐ πάντως περὶ ταὐτὸν κατ' ἀριθμὸν ὑποκείμενον
τὰ ἐναντία ἐστίν. ἄλλου γὰρ ὄντος μορίου λευκοῦ, οἷον τῶν ὀδόντων, οὐδὲν κεκώλυται
ἄλλο εἶναι μέλαν, ὡς τὸ περὶ τὴν κόρην. ἐκεῖ δὲ τῆς στερήσεως, οὐχ οἷόν τε τοῦτο. ἀλλ' ἐν ᾧ
μορίῳ ἡ ἕξις, ἐν τούτῳ καὶ ἡ στέρησις. καὶ τοῦτο εἰκότως. ἀπουσία γὰρ μόνον ἐστὶν ἡ στέ-

ρήσεως. καὶ ἀναγκαῖον εἶναι τὴν ἀπουσίαν, ὅπου καὶ ἡ παρουσία ἐστί. τὰ δὲ ἐναντία εἴδη
ὄντα, οὐδὲν κωλύεται ποτὲ καὶ ἐν διαφόροις τῷ ἀριθμῷ ὑποκειμένοις ὄντα, τὸν
λόγον σώζειν τῆς ἐναντιώσεως. φανερὸν δὴ οὖν ἐκ τούτων, ὅτι τὰ οὕτως ἀντικείμενα,
καὶ ὁμοιότητά τινα ἔχει πρὸς τὰ ἐναντία, καὶ ἀνομοιότητα. τά τε γὰρ ἐναντία περὶ
τὸ αὐτὸ ὑποκείμενον γίνεσθαι πέφυκεν. οἷον, περὶ ὃ ἡ ὑγεία, περὶ τοῦτο καὶ ἡ νόσος. οὐ γὰρ
περὶ τὰ ἄψυχα, ἀλλὰ περὶ τὰ ζῷα. ὡσαύτως δὲ καὶ τὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντι-
κείμενα. ὄψις γὰρ περὶ ζῷον. περὶ δὲ ἄψυχον, οὐκέτι. οὐκοῦν καὶ ἡ τυφλότης περὶ
ζῷον. οὐδεὶς γὰρ ἂν τὸν κίονα τυφλὸν εἴποι. ταύτῃ μὲν οὖν τοῖς ἐναντίοις ὅμοιον ἔχει
τὰ κατὰ στέρησιν ἀντικείμενα. διαφέρει δὲ αὐτῶν ὡς εἴρηται, τῷ τὰ μὲν ἐναντία, καὶ
ἐν τῷ αὐτῷ εἴδει ἐστίν, ἀλλὰ μὴ καὶ ἐν τῷ αὐτῷ πάντως τοῦ εἴδους μορίῳ. τὰ δὲ κατὰ
στέρησιν καὶ ἕξιν, καὶ ἐν μορίῳ τῷ αὐτῷ βούλεσθαι εἶναι. δείκνυσι δὲ ἐφεξῆς ὁ ἀριστοτέ-
λης, ὅτι τὸ ἐστερῆσθαι καὶ τὸ στέρησιν ἔχειν, οὐκ ἔστι ταυτὸν τῇ στερήσει. ἀλλ᾽ οὐδὲ τὸ ἕξιν
ἔχειν, ταυτὸν τῇ ἕξει. δείκνυσι δὲ αὐτό, ἐκ τοῦ, τὴν ὄψιν ἕξιν εἶναι. τὸ δὲ ἔχειν τὴν ὄψιν,
μὴ εἶναι τὴν ὄψιν. ὥστε καὶ τὸ ἔχειν ἕξιν, οὐκ ἔστιν ἕξις. ὁμοίως δὲ τὸ τυφλὸν εἶναι,
οὐκ ἔστι τυφλότης. δείκνυσι δὲ αὐτό, καὶ ἐκ τοῦ, εἰ ταυτὸν ἦν, καθ᾽ οὗ τὸ ἕτερον κατηγο-
ρεῖτο, κατὰ τοῦ αὐτοῦ καὶ τὸ ἕτερον. νῦν δέ, οὐχ οὕτως. τυφλὸς μὲν γὰρ ὁ ἄνθρω-
πος λέγεται. τυφλότης δέ, οὐ λέγεται. καὶ ὄψιν μὲν ἔχειν λέγεται. ὄψις δὲ οὐ λέ-
γεται. δοκοῦσι δὲ διαφέρειν ἀλλήλων αἱ ἐπιχειρήσεις. τῷ τὴν μὲν πρώτην, ἀπὸ τοῦ
εἶναι. τὴν δὲ δευτέραν, ἀπὸ τοῦ κατηγορεῖσθαι δεικνύναι τὸ προκείμενον. δείξας δὲ
τὴν στέρησιν καὶ τὸ στέρησιν ἔχειν, εἰκότως προστέθηκεν ὅτι καὶ ἕτερα ἦν. ἀλλ᾽ ὥσπερ ἡ ἕξις
ἀντίκειται τῇ στερήσει, οὕτως καὶ τὸ ἔχειν ἕξιν καὶ τὸ ἐστερῆσθαι. καὶ ἔστιν ὁ αὐτὸς τρό-
πος τῆς ἀντιθέσεως, διότι καὶ ταῦτα ἀντίκειται κατὰ τὴν ἐπ᾽ ἐκεῖνα ἀναφοράν. καὶ
ὁ τρόπος τῆς ἀντιθέσεως, ὁ αὐτός ἐστιν ἐπὶ τῶν κατηγορημάτων, ὥσπερ καὶ ἐπὶ τῆς
ἕξεως καὶ στερήσεως. ὡς γὰρ ἡ τυφλότης τῇ ὄψει ἀντίκειται, οὕτως καὶ τὸ τυφλὸν
εἶναι, τῷ ὄψιν ἔχειν ἀντίκειται. ἀλλὰ πρὸς μὲν τὴν τῆς λέξεως σαφήνειαν, ἀρκεῖ το-
σαῦτα. τὰ δὲ πραγματικώτερα περὶ τούτων, ὧδέ πως ὁ ἰάμβλιχος παραδίδωσιν.
ἓν δόγμα κοινὸν τῶν τε ἀρχαίων ἐστὶ καὶ τῶν νεωτέρων, τὸ μὴ εἶναι ἐναντία τὰ κατὰ στέρη-
σιν καὶ ἕξιν λεγόμενα. οὐ μὴν ὅτι εἰς ἴδιον γένος ἀντιθέσεως, τὸ κατὰ στέρησιν καὶ ἕξιν οἱ
παλαιοὶ κατέταξαν, ὥσπερ ὁ ἀριστοτέλης. ὅτι δέ ἐστιν ἀληθῆ, δῆλον γίνεται. διελο-
μένοις ποσαχῶς ἕξις καὶ στέρησις λέγεται, καὶ κατὰ ποῖα μάλιστα σημαινόμενα
ἡ τῶν καθ᾽ ἕξιν καὶ στέρησιν ἀντίθεσις γίνεται. λέγουσιν οὖν, ὡς καθ᾽ ἕνα μὲν τρό-
πον ἕξις λέγεται ἡ ἐνέργεια τοῦ ἔχοντος καὶ ἐχομένου. ἕξις γὰρ ἱματίου λέγεται,
ὅταν ὁ μὲν ἔχῃ. τὸ δέ, ἔχηται ὑπὸ τοῦ ἔχοντος. καὶ ἕξιν ὅπλων εἶπέ που πλάτων, ἐπὶ
τοῦ ἔχοντος τὰ ὅπλα. καθ᾽ ἕτερον δὲ τρόπον ἕξεις λέγομεν, τὰς ἐπικτήτους ποιό-
τητας ἐμμόνους γεγονυίας, τάς τε φυσικὰς τὰς κατὰ τέχνας καὶ τὰς ἐπιστήμας, καθ᾽ ἃς
καὶ ἐκτικοὶ οἱ ἐν αὐταῖς λέγονται. καὶ ἕξεις λέγονται κατὰ τοῦτο, καὶ αἱ τέλειαι

ἀρεταί. καὶ γὰρ λόγου ἀνάληψις ἐπ᾽ αὐτῶν θεωρεῖται. Ἔτι δὲ ἕξις λέγεται ἡ φυσικὴ κατασκευή, ὅτ᾽ ἂν ἔμμονος ᾖ. ὥσπερ σωματικὰς ἕξεις καὶ ψυχικάς, καὶ ἀρετὰς ἐκ φύσεως, ἢ κακίας ἐπιτηδείων νοοῦμεν. καὶ τὴν φυσικὴν δὲ δύναμιν αὐτήν, ἕξιν λέγεσθαί φασι. καὶ ταύτῃ τὴν στέρησιν ἀντικεῖσθαι, πήρωσιν οὖσαν αὐτῆς. ἔνιοι δέ, οὐ τὴν φυσικὴν δύναμιν λαμβάνεσθαι ἐν τῇ τῆς ἕξεως καὶ στερήσεως ἀντιθέσει φασίν, ἀλλὰ μᾶλλον τὴν κατὰ τὸ πρῶτον σημαινόμενον ἐκτεθεῖσαν, ἥτις παρὰ τὸ ἔχειν ἕξις ὠνόμασται. καὶ γὰρ καὶ τὸν Χρύσιππον Ἀριστοτέλει ἑπόμενον στερητικὰ λέγειν ταῦτα, ὅσα ἀναιρεῖ παρεμφαίνοντα τὴν τοῦ ἔχειν φύσιν, οὐχ ἁπλῶς, ἀλλ᾽ ὅταν ἐμφαίνῃ τὸ πεφυκός. καὶ ὅτε πέφυκεν ὡς εἴρηται πρότερον, καὶ ἀντίκειται τῇ ἀπὸ τοῦ ἔχειν λεγομένῃ ἕξει ἡ στέρησις. καὶ οὐ μόνον ποιοτήτων αἱ στερήσεις, ἀλλὰ καὶ ἐνεργειῶν. ὡς ἡ τυφλότης τῆς τοῦ ὁρᾶν ἐνεργείας. καὶ ἡ χωλότης, τῆς τοῦ βαδίζειν. ἄλλως δὲ λέγεται στέρησις ἡ ἀπουσία τούτου οὗ δύναται ἔχειν ἐν τῇ δυνάμει θεωρουμένη, ἧς ἐν φυσικοῖς μνημονεύει. τὸ γὰρ ὃ δύναται ἔχειν, καὶ ὃ δυνάμει ἐστί, μήπω ἔχον ἐνεργείᾳ, ἐν στερήσει αὐτοῦ εἶναι λέγεται. μήποτε δέ φησιν Ἰάμβλιχος, οὐ καθ᾽ ἕν τι σημαινόμενον τῆς ἕξεως τὴν ἀντίθεσιν δεῖ λαμβάνειν τῆς στερήσεως, ἀλλὰ κατὰ πάντα. οὕτω γὰρ ἔσται τελέα πρὸς ἁπάσας τὰς ἕξεις πασῶν τῶν στερήσεων ἀντίθεσις. κοινῶς τε οὕτως, καὶ ἑκάστης πρὸς ἑκάστην ἀντιτιθεμένης. οἷον, τῆσδε τῆς στερήσεως πρὸς τήνδε τὴν ἕξιν, κατὰ τὸν οἰκεῖον αὐτῶν τρόπον. ὅλως γὰρ τὴν ἀεχείαν τοῦ πεφυκότος ἔχειν, καὶ ὅτε πέφυκε, στέρησιν εἶναι ῥητέον. Πολλαχῶς δὲ τοῦ ἔχειν λεγομένου, πολλαχῶς καὶ ἡ ἀεχεία καὶ ἡ στέρησις ἔσται. ἔστι δέ τις στέρησις καὶ ἄλλη παρὰ τὴν φυσικήν, λέγω δὲ καθ᾽ ἣν ἐπὶ τῶν πεφυκότων ἐλέγομεν, καὶ ὅτε ἐπεφύκεσαν. ἣν Χρύσιππος ἠθικὴν καλεῖ. ἀχίτων γὰρ καὶ ἀνυπόδετος καὶ ἀνάριστος, σημαίνει μὲν καὶ ψιλὴν ἀναίρεσιν, σημαίνει δὲ καὶ παρέμφασιν τινά, ὅτε καὶ κατὰ στέρησιν γίνεται. οὔτε γὰρ ἀχίτωνα τὸν βοῦν ἐροῦμεν, οὔτε ἡμᾶς ὅταν λουώμεθα, ἀνυποδέτους καὶ ἀναρίστους. οὔτε τοὺς ὄρνιθας, οὔτε ἡμᾶς ἅμα τῇ ἡμέρᾳ γενέσθαι. ἀλλὰ δεῖ συνεμφαίνεσθαι τοῦ ἐθιζομένου καὶ ὅτε εἴθισται, τὴν στέρησιν. οὗτος γὰρ ἔθους ἀριστᾶν κατά τινα ὥραν τεταγμένην, ὁ ὑπὸ τὸ ἔθος ὤν, ὅταν μὴ ἐν τῷ χρόνῳ τῷ τεταγμένῳ ἀριστήσῃ, οὐ φύσεως ἔμφασιν, ἀλλ᾽ ἔθους κατὰ τὴν στέρησιν ἀναιρεῖ. εἰσὶν οὖν ἀεχεῖαι. αἱ μὲν, τῶν φύσει. αἱ δέ, τῶν κατ᾽ ἔθος. καὶ ἀναιρέσεις ἐν οἷς ἕκαστα καὶ πέφυκε καὶ εἴθισται. πολλάκις δέ, οὐκ ἔθους, ἀλλὰ καθήκοντος ἀπόπτωσιν ἐμφαίνει ἡ στέρησις. ὡς ἐπὶ τοῦ ἀκλήτου δειπνεῖν, ὅταν παρεμφαίνωμεν, ὅτι οὐ καθηκόντως ἀπήντησεν, οὔτε κατὰ τὸ ἐπιβάλλον τοῖς ἔθεσιν. ἔστι καὶ ἄλλως ἡ στέρησις τῶν ὁμωνύμως λεγομένων. καὶ γὰρ ὅταν τι γένος ὅλον μὴ ᾖ πεφυκός τι ἔχειν, ἐστερῆσθαι λέγομεν ἐκείνου, ὃ μὴ πέφυκεν ἔχειν, οὕτως τὰ φυτὰ ἐστερῆσθαι λεγόμενα αἰσθήσεως, τῷ μὴ πεφυκέναι ἔχειν αἴσθησιν. καὶ ὅταν δὲ τὰ ἐν τῷ γένει τὰ μὲν ᾖ πεφυκότα ἔχειν, τὰ δὲ μὴ πεφυκότα, ἐστερῆσθαι λέγεται τὰ μὴ πεφυκότα, ὥσπερ ἐν τῷ γένει τῶν ζώων ὁ ἀσπάλαξ ὄψεως. καὶ μᾶλλόν γε τοῦ λέγομεν,

Universitäts- und
Landesbibliothek Düsseldorf

ὡς ὑπὸ τοῦ πρὸς βίαν ἀφῃρῆσθαι. κυρίως δὲ στέρησις λέγεται, ὑπὸ τῶν πεφυκότων μὲν ἔχειν, μὴ ἐχόντων δὲ τότε, ὅτε πεφύκασι καὶ ὅτε εἰώθασι καὶ ἐνεστήσαν τὸ ἔχειν. ὃ δὴ καὶ ἀντίθετον τῇ ἕξει θεωρεῖται. καὶ ἡ ἐν τούτοις ἀντίθεσις κέκληται, ἡ κατὰ
» ἕξιν καὶ στέρησιν. ὁ μὲν γὰρ ἀρχύτας τριχῶς τὴν στέρησιν διαιρεῖ, λέγων. Ἁ δὲ στέρησις
» καὶ τὸ ἐστερῆσθαι, λέγεται τριχῶς. ἢ γὰρ τῷ μὴ ἔχειν παντάπασιν, οἷον τὸ πιλῶσσον
» ὅρασιν, καὶ τὸ ὑμωδὸν φωνάν. ἢ ἐν τῷ μὴ ὅλον ἔχειν. οἷον, τὸ δύσκωφον, ἀκοάν, καὶ τὸ τυ-
» φλῶσσον ὅρασιν. ἢ ἐν τῷ μὴ οἷον δεῖ ἔχειν. οἷον τὸ σκαμβόπουν πόδας, καὶ τὸ κακό-
» φωνον φωνάν. Καὶ τοῦτο δὲ ἰστέον. ὅτι ἐνίοτε μὲν οὐ στερητικὰ ὀνόματα στέρησιν δηλοῖ. ὡς ἡ πενία τὴν στέρησιν τῶν χρημάτων. καὶ ὁ τυφλὸς στέρησιν ὄψεως. ἐνίοτε δὲ στερητικὰ ὀνόματα, οὐ στέρησιν δηλοῖ. τὸ γὰρ ἀθάνατον, στερητικὸν ἔχει τὸ σχῆμα τῆς λέξεως, οὐ σημαίνει στέρησιν. οὐ γὰρ ὑπὸ πεφυκότος ἀποθνήσκειν, εἶτα μὴ ἀποθνήσκοντος, χρώμεθα τῷ ὀνόματι. πολλὴ δὲ ταραχὴ καὶ περὶ τὰς φωνάς ἐστι τὰς στερητικάς. διὰ τὸ τοῦ α καὶ αν προσαγομένων αὐτῶν ὥσπερ ἄοικος καὶ ἀνέστιος, συμβαίνει ποτὲ μὲν ταῖς ἀποφάσεσι, ποτὲ δὲ τοῖς ἐναντίοις συμφύρεσθαι ταύτας. καὶ γὰρ ὥσπερ τῇ ἀνδρείᾳ ἡ δειλία ἐναντίον ἐστὶν, οὕτω καὶ τῇ δικαιοσύνῃ ἡ ἀδικία, ἐναντία οὖσα τῇ δικαιοσύνῃ. καὶ τὸ κακὸν δὲ, δηλοῦται πολλάκις. ὡς ἄφωνον ἐλέγομεν τραγῳδὸν τὸν κακόφωνον. καὶ ἀποφάσεις δὲ δηλοῦνται διὰ τῶν στερητικῶν φωνῶν. ὥσπερ τὸ διάφορα ἀδιάφορα. καὶ λυσιτελῆ. ἀλυσιτελῆ. πολλάκις δὲ αἱ μὲν, πλείω σημαίνουσιν. ὡς καὶ ἀπόφασιν καὶ στέρησιν καὶ ἐναντίωσιν δηλοῦσθαι ὑπ' αὐτῶν. ὡς τὸ ἄφωνος. αἱ δὲ, καὶ διάφορα ἐναντία σημαίνουσιν, ὡς ἡ ἀκαιρία. τὸ μὲν ἐναντίον τῷ καιρῷ δηλοῖ. στερητικὸν δὲ οὐδὲν ὅλως ἐμφαίνει. ἐπειδὴ καὶ χρηστότητι μὲν ἐναντίον ἡ πονηρία. ἡ ἀπονηρία δὲ, στέρησις τῆς πονηρίας. ἔστι δὲ ὅτε καὶ τὴν χρηστότητα ἐμφαίνει. πολλῆς δὲ οὔσης τῆς ἀνωμαλίας, χρύσιππος μὲν ἐν τοῖς περὶ τῶν στερητικῶν λεγομένοις, ἐπεξῆλθεν αὐτήν. ἀριστοτέλης δὲ, οὐ τοῦτο προὔθετο, ἀλλὰ μόνον διελθεῖν περὶ τῶν κατὰ τὴν ἕξιν καὶ στέρησιν. κἂν λέγηται οὖν στερητικῶς πολλὰ καὶ τῶν ἐναντίων καὶ τῶν ἀποφατικῶν, ἀλλὰ δεῖ τὰς στερητικὰς τῶν ἕξεων ἀντιθέσεις κατὰ τὸν οἰκεῖον τρόπον λαμβάνειν. ἔστι δὲ οὗτος, ὁ τῆς ἐπιβαλλούσης ἕξεως τὴν οἰκείαν στέρησιν ἐν τῇ ἀντιθέσει λαμβάνων. γίνεται δὲ περὶ τὸ αὐτὸ ὑποκείμενον, ἥ τε τοιαύτη ἕξις, καὶ ἡ ἀντίθετος αὐτῇ
» στέρησις. οὐχ ἅμα δὲ, οἷον περὶ ὀφθαλμὸν τυφλότης. περὶ ὃ καὶ ἡ ὄψις. Οὐκ ἔστι δὲ οὐδὲ τὸ
» ὑπὸ τὴν κατάφασιν καὶ ἀπόφασιν κατάφασις καὶ ἀπόφασις. ἕως τοῦ, οὕτως καὶ τὸ ὑφ' ἑκά-
» τερον πρᾶγμα ἀντίκειται, τὸ καθῆσθαι τῷ μὴ καθῆσθαι. Δείξας ὅτι ἄλλο ἐστὶν ἕξις, καὶ ἄλλο τὸ ἕξιν ἔχειν, καὶ ἄλλο στέρησις, καὶ τὸ στέρησιν ἔχειν, καὶ ὅμως τὸ ἕξιν ἔχον, καὶ στέρησιν ἔχον, ὑπὸ τὴν αὐτὴν ἀντίθεσιν ἐστὶ τῆς ἕξεως καὶ τῆς στερήσεως, πιστοῦται τοῦτο διὰ παραδείγματος. καὶ γὰρ τὸ πρᾶγμα τὸ ὑπὸ τῆς καταφάσεως δηλούμενον, οὐκ ἔστι κατάφασις. καὶ τὸ ὑπὸ τῆς ἀποφάσεως, οὐκ ἔστιν ἀπόφασις. εἴπερ λόγοι μὲν ἡ κατάφασις καὶ ἡ ἀπόφασις. οὐ λόγοι δὲ τὰ ὑπ' αὐτῶν σημαινόμενα. κἂν μὴ τὰ αὐτὰ δὲ ἐστι, καὶ ταῦτα ὑπὸ τὴν αὐτὴν ὅμως ἐστὶν ἀντίθεσιν τὴν τῆς καταφάσεως

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ ἀποφάσεως. ὡσαύτως τὰ ἔχοντα ἕξιν καὶ τὰ ἔχοντα στέρησιν, ὑπὸ τὴν τῆς
ἕξεως καὶ τῆς στερήσεως. ὅταν γὰρ σωκράτην καθήμενον διανοηθῶ, ζῶον λογικὸν
οὕτως ἐνεργοῦν κατ' αὐτὸ τὸ πρᾶγμα ὑπολαμβάνω. ὁ δὲ λόγος ὁ λέγων ὅτι σωκρά-
της κάθηται, ὁ ἐξ ὀνόματος συγκείμενος, ἕτερός ἐστιν αὐτοῦ τοῦ πράγματος. εἴτε οὖν
ἐν φωναῖς, εἴτε ἐν τοῖς διανοήμασιν, εἴτε ἐν τοῖς ὑφισταμένοις ἀσωμάτοις λεκτοῖς,
αἱ προτάσεις ὑφεστήκασι, διεστήκασιν αὗται τῶν ποιῶν σωμάτων. καὶ τὰ μὲν, ὡς προ-
τάσεις λέγεται ἀντικεῖσθαι, ὡς ἀπόφασις καὶ κατάφασις. τὰ δὲ, ὑπὸ τὰς προτάσεις
καὶ αὐτὰ ἀντίκειται κατὰ τὸν αὐτὸν τρόπον. ἀλλ' οὐδεὶς ἂν εἴποι τὸν σωκράτην αὐτὸν ἑαυτῷ ἀν-
τικεῖσθαι. ἢ οὐ κατὰ τὸ ἕτερον φαμὲν γίνεσθαι τὴν ἀντίθεσιν, ἀλλὰ κατὰ τὴν ἐνέργειαν τοῦ καθῆ-
σθαι καὶ μὴ καθῆσθαι. καὶ τούτοις δὲ ἡ ἀντίθεσις κατὰ τὴν τῆς ἀντιφάσεως ἐστὶν ἀντίθεσιν, τῷ
ταῦτα τὰ σημαινόμενα ἀναιρετικὰ ἀλλήλων εἶναι, τούτῳ καὶ ἡ ἀντίφασις ἀντίκειται. καὶ
ἀνάπαλιν. τῷ τοὺς λόγους εἶναι τοιούτους, καὶ τὰ πράγματα ἀλλήλων ἐστὶν ἀναιρετικά.
καὶ ἔστιν ἡ ἀναλογία κατὰ τὸν αὐτὸν τρόπον, ὡς τὸ δηλούμενον πρᾶγμα πρὸς τὸ δηλούμενον,
οὕτως ὁ δηλωτικὸς λόγος πρὸς τὸν δηλωτικόν. καὶ ἀνάπαλιν. καὶ τὰ σημαινόμενα δὲ ὑπὸ
τῶν φωνῶν ἀντικείμενα λαμβάνομεν. ταῦτα δέ ἐστιν αἱ λογικαὶ διανοήσεις, αἱ περὶ
σωκράτους καθημένου, ἢ μή. ὁμοίως καὶ ταῦτα τῇ καταφάσει καὶ ἀποφάσει ἀντικεῖ-
σθαι λέγεται. καὶ ταῦτα γὰρ ὑπὸ τὴν ἀπόφασιν ἐστὶ καὶ τὴν κατάφασιν. δείξας δὲ μέχρι
τούτων τίνα ἐστὶ τὰ ὡς ἕξις καὶ στέρησις ἀντικείμενα, ἀκολούθως ἐπάγει τί διενήνοχε
τῆς τῶν πρός τι καὶ τῆς τῶν ἐναντίων ἀντιθέσεως. καὶ πρῶτόν γε τί τῶν ὡς πρός τι
» ἀντικειμένων δηλῶν, ἐπάγει. Ὅτι δὲ ἡ στέρησις καὶ ἡ ἕξις οὐκ ἀντίκειται ὡς τὰ πρός
» τι, φανερόν. ἕως τοῦ, οὐ γὰρ λέγεται ἡ ὄψις τυφλότητος ὄψις. Τεσσάρων οὖν οὐσῶν τῶν
ἀντιθέσεων καὶ διαφερουσῶν ἀλλήλων, ἓξ αἱ πᾶσαι γίνονται διαφοραί. καθόλου γὰρ
ὁσάποτε ἂν ᾖ τὰ διαφέροντα, δεῖ τὸν ἀριθμὸν αὐτῶν, ἐπὶ τὴν παρὰ μονάδα πολλα-
πλασιάζειν. καὶ γινομένου ἀριθμοῦ τὸ ἥμισυ συλλαβόντα, τοσαύτας λέγειν εἶναι
τὰς τῶν διαφερόντων διαφοράς. καὶ ἐνταῦθα οὖν ἡ τῶν πρός τι ἀντίθεσις διαφέ-
ρει τῆς τε τῶν ἐναντίων, καὶ τῆς τῶν ὡς ἕξις καὶ στέρησις ἀντικειμένων, καὶ τῆς ὡς κα-
τάφασις καὶ ἀπόφασις. τρεῖς γὰρ ἀφ' ἑκάστου γίνονται σχέσεις. τριῶν δ' ὄντων πρὸς ἃ αἱ
σχέσεις. διὸ καὶ ἐπὶ τὴν παρὰ μονάδα ἐπολλαπλασιάσαμεν τὸν ἐξ ἀρχῆς ἀριθμόν.
πάλιν δὲ ἡ τῶν ἐναντίων ἀντίθεσις διαφέρει τῶν λοιπῶν, ὡς ἕξις καὶ στέρησις διαφέρει
τῶν λοιπῶν δύο. ἡ γὰρ πρὸς τὰ πρός τι διαφορὰ, ἤδη εἴληπται. γίνονται οὖν πέντε
αἱ διαφοραί. καὶ λοιπὸν, ὡς ἡ ἕξις καὶ στέρησις διαφέρει τῆς κατὰ ἀπόφασιν καὶ κα-
τάφασιν, αἱ γὰρ πρὸς τὰ ἄλλα δύο ἤδη εἰλήφθησαν, ἵνα μὴ δὶς αἱ αὐταὶ διαφοραὶ λαμ-
βάνονται, ποτὲ μὲν ἀπὸ τῶν πρώτων ἀρχομένων ἡμῶν, ποτὲ δὲ ἀπὸ τῶν ὑστέρων,
διὰ τοῦτο τῶν ἐν τῇ μεθόδῳ τὸ ἥμισυ τὸ ἐκ τοῦ πολλαπλασιασμοῦ γινομένου ἀριθμοῦ
λαμβάνειν κελευόμεθα. οὕτως οὖν καὶ κατὰ τὴν τοιαύτην τάξιν ἓξ γινομένων
τῶν διαφορῶν, ὁ ἀριστοτέλης οὐχ οὕτως ἐπ' αὐτὰς ἐπῆλθεν, ἀλλὰ πρῶτον μὲν ἔδει-
ξεν, ὅτι τὰ πρός τι διενήνοχε τῶν ἐναντίων ὡς εἴρηται. νῦν δὲ δείξει, πῶς τὰ ὡς ἕξις

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ στέρησις ἀντικείμενα διαφέρει, τῶν ὡς πρός τα πρός τι, καὶ ἐφεξῆς. πῶς τὰ ὡς
ἕξις καὶ στέρησις, τῶν ὡς τὰ ἐναντία ἀντικειμένων. εἶτα μετὰ ταῦτα, πῶς τὰ ὡς
κατάφασις καὶ ἀπόφασις ἀντικείμενα, διαφέρει τῶν ὡς τἀναντία ἀντικειμένων, καὶ
τῶν ὡς τὰ πρός τι. καὶ ἔτι τῶν ὡς στέρησις καὶ ἕξις. καὶ οὕτως τὰς ἐξ παρέδωκε
διαφορὰς, ἀπὸ τῶν δευτέρων ἀρξάμενος τρόπων, ἐν ταῖς πέντε διαφοραῖς. καὶ οὐκ
ἀπὸ τῶν πρώτων ὡς ἡμεῖς ἐποιησάμεν. δείκνυσιν οὖν νῦν, πῶς τὰ ὡς ἕξις καὶ στέ-
ρησις ἀντικείμενα διαφέρει, τῶν ὡς τὰ πρός τι ἀντικειμένων, ἀπὸ τοῦ ὁρισμοῦ τῶν
πρός τι τὴν ἀπόδειξιν ποιούμενος, ὥσπερ καὶ πρότερον, ὅτε τῶν ἀντικειμένων
ἐναντίων ἐχώριζε τὰ πρός τι. λέγει οὖν, ὅτι τὰ μὲν πρός τι αὐτὰ ἅπερ ἐστι, τῶν ἀντι-
κειμένων λέγεται. οὔτε δὲ ἡ ὄψις τυφλότητος ἐστιν ὄψις, καὶ τοῦτο πρόδηλον, ἀλλ'
οὐδὲ ἡ τυφλότης ὄψεως τυφλότης. ὀφθαλμοῦ γὰρ ἑκάτερον, καὶ ἡ ἕξις καὶ ἡ στέ-
ρησις. ὅτι δὲ οὐ λέγεται ἡ τυφλότης ὄψεως τυφλότης κατὰ τὰ πρός τι, διὰ τοῦ
δευτέρου μάλιστα ἐπιχειρήματος δείκνυται. εἰ γὰρ ὡς πρός τι λέγοιτο πρὸς τὴν
ὄψιν ἡ τυφλότης, ἐπειδὴ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, ἐλέγετο ἂν καὶ
ἡ ὄψις τυφλότητος ὄψις. νῦν δὲ οὐ λέγεται. διαφέρει δὲ αὖ ὡς ἔφαμεν, καὶ τῷ τὰ
μὲν πρός τι ἅμα εἶναι τῇ φύσει. τὴν δὲ ἕξιν καὶ στέρησιν, πρὸς τῷ μὴ συνάγειν ἀλ-
λήλα, καὶ ἀναιρετικὰ εἶναι ἀλλήλων. ἐπὶ τῷ δὲ, ἡ ὄψις οὐκ ἔστι τυφλότητος ὄψις,
προσέθηκεν, οὐδὲ ἄλλως οὐδαμῶς πρὸς αὐτὸ λέγεται. διότι τὰ ἐναντία αὐτὰ μὲν
ἅπερ ἐστιν, οὐκ ἐλέγετο τῶν ἀντικειμένων. ἄλλως δὲ τὸ ἕτερον πρὸς τὸ ἕτερον ἐλέ-
γετο. ἐναντίον γὰρ αὐτῷ λέγεται. ἀλλὰ καὶ ἡ στέρησις, εἰ μὴ καὶ αὐτὸ ὅπερ ἐστι τῆς ἕξε-
ως λέγεται, ἀλλὰ στέρησίς γε αὐτῆς λέγεται. ἡ μέντοι ἕξις, κατ' οὐδὲν πρὸς τὴν
στέρησιν λέγεται. διὰ μὲν οὖν τούτων, ἔδειξεν οὐκ ὀνόματι μόνον, ἀλλὰ καὶ πρά-
γματι διαφέρουσαν τὴν ἕξεως καὶ στερήσεως ἀντίθεσιν πρὸς τὴν τῶν ὡς πρός τι ἀν-
τικειμένων. διὰ δὲ τῶν ἑξῆς, τὴν αὐτὴν πρὸς τὴν τῶν ἐναντίων παραβάλλει.

»Ὅτι δὲ οὐδ' ὡς ἐναντία ἀντίκειται τὰ κατὰ στέρησιν καὶ ἕξιν λεγόμενα, ἐκ τῶνδε δῆ-
»λον. τῶν μὲν γὰρ ἐναντίων ὧν οὐδέν ἐστιν ἀνὰ μέσον, ἀναγκαῖον ἐν ᾧ πέφυκε γίνεσθαι,
»ἢ ὧν κατηγορεῖται αὐτῶν θάτερον ὑπάρχειν ἀεί. τούτων γὰρ οὐδὲν ἦν ἀνὰ μέσον ὧν
»θάτερον ἀναγκαῖον ἦν τῷ δεκτικῷ ὑπάρχειν. οἷον ἐπὶ νόσου καὶ ὑγείας, καὶ περιττοῦ
»καὶ ἀρτίου. ὧν δέ ἐστιν ἀνὰ μέσον τινὰ, οὐδέποτε ἀνάγκη παντὶ ὑπάρχειν θάτε-
»ρον. οὔτε γὰρ λευκὸν ἢ μέλαν ἀνάγκη πάντως εἶναι τῷ δεκτικῷ, οὔτε θερμὸν οὔτε
»ψυχρόν. τούτων γὰρ ἀνὰ μέσον τι οὐδὲν κωλύει ὑπάρχειν. ἔτι δὲ καὶ τούτων τι ἦν ἀνὰ
»μέσον ὧν μὴ ἀναγκαῖον ἦν θάτερον ὑπάρχειν. ἕως τοῦ, οὔτε νωδὸς ὢν ὀδόντας ἔφυσε.

Δείκνυσιν ἐν τούτοις, ὅτι τὰ κατὰ στέρησιν καὶ ἕξιν λεγόμενα ἀντικεῖσθαι, διαφέ-
ρει τῶν ὡς ἐναντίων ἀντικειμένων τῶν τε ἀμέσων καὶ τῶν ἐμμέσων, ὧν τὴν διαφο-
ρὰν ἀναγκαίως προέλαβεν, ἵνα κατ' ἀμφότερα τῶν ἐναντίων πρὸς τὰς ἄλλας ἀντιθέ-
σεις διαφορὰν ἐπιδείξῃ. καὶ πρότερον μὲν τῶν ἀμέσων ἐναντίων χωρίζων τὰ κατὰ ἕξιν καὶ
στέρησιν ἀμφοτέρων, τῶν τοῦ ἀμέσου τρόπων ἐμνημόνευσε. τῶν τε ἐν ὑποκειμένῳ ὄν-

των, καὶ τῶν καθ' ὑποκειμένου λεγομένων. ἤτοι ὧν, ἐν οἷς πέφυκε γίνεσθαι, ἢ ὧν κατηγορεῖται. παραδείγματα δὲ τῶν μὲν ἐν ὑποκειμένῳ, ὑγίειαν καὶ νόσον παρέθετο ἐν σώματι γινόμενα. τῶν δὲ καθ' ὑποκειμένου, περιττὸν καὶ ἄρτιον κατὰ τοῦ ἀριθμοῦ λεγόμενα. ἢ ὡς εἴπομεν πρότερον, τὸ δίχα διαιρεῖσθαι κατὰ τοῦ ἀρτίου ἀριθμοῦ. τὰ γὰρ εἴδη, οὐ λέγεται καθ' ὑποκειμένων τῶν γενῶν, ἀλλ' αἱ διαφοραὶ καθ' ὑποκειμένων τῶν εἰδῶν. ἀμφοῖν δὲ τούτοιν τῶν ἐναντίων χωρίζεται, τὰ κατὰ στέρησιν καὶ ἕξιν. ὅτι τούτων μὲν ἀνάγκη ἀεὶ θάτερον τῷ δεκτικῷ ὑπάρχειν. τὸ γὰρ σῶμα ἢ ὑγιαίνει ἢ νοσεῖ. καὶ ὁ ἀριθμὸς ὁ ἐν τοῖς εἴδεσιν, ἢ δίχα διαιρεῖται, ἢ οὔ. τῆς δὲ στερήσεως καὶ ἕξεως, οὐκ ἀνάγκη ἀεὶ θάτερον τῷ δεκτικῷ ὑπάρχειν. οὐ γὰρ ἁπλῶς ἀντίκειται, ἀλλ' ὅτε ἐπεφύκει. τὰ γοῦν κυνίδια, ὅταν μήπω πεφυκότα ᾖ ἔχειν ὄψιν, οὐδέτερον λέγεται. οὔτε ὄψιν ἔχειν, οὔτε τυφλὰ εἶναι. καὶ τὰ παιδία τὰ μήπω πεφυκότα ὀδόντας ἔχειν, οὔτε ὀδόντας ἔχειν ῥηθείη, οὔτε νωδὰ εἶναι. ἀφ' οὗ δ' ἂν ἔχειν πεφυκότα ᾖ, ἀπ' ἐκείνου τὰ μὲν, ὁρᾶν λέγεται, ἢ τυφλὰ εἶναι. τὰ δὲ, ὀδόντας ἔχειν, ἢ νωδὰ εἶναι. γέγονεν οὖν ἡ διαφορὰ, παρὰ τὸ ἀεὶ ἢ ποτέ. τὰ μὲν γὰρ ἄμεσα ἐναντία εὐθὺς ἀπὸ πρώτης γε ἔχει τὴν διάστασιν. ἡ δὲ στέρησις καὶ ἡ ἕξις, οὐκ εὐθὺς ἀπ' ἀρχῆς, ἀλλ' ἀφ' οὗ χρόνου ἔχειν πεφύκασιν. εἰ δέ τινα εὐθὺς ἀπ' ἀρχῆς τὴν ἕξιν ἔχει ὥσπερ τὰ ζῷα πάντα τὴν ἁφὴν, καὶ εἰ τύχοι ἀπ' ἀρχῆς στερούμενα αὐτῆς, καὶ τὴν στέρησιν ἀπ' ἀρχῆς ἔχει. ἀλλ' οὐκ ἐπὶ πάντων ἀληθὲς τοῦτο. ἀλλ' εἴπερ ἄρα ἐπὶ τῶν ἐξ ἀρχῆς πεφυκότων. τὰ δὲ ἄμεσα ἐναντία πάντα οὕτως ἐξ ἀρχῆς πέφυκεν, ὥστε αὕτη ἂν εἴη ἡ διαφορά. ὅτι τὰ μὲν ἄμεσα ἐναντία πάντα οὕτως. τῶν δὲ κατὰ στέρησιν καὶ ἕξιν, τὰ μὲν, οὕτως. τὰ δὲ, οὐχ οὕτως. ἐπὶ δὲ τῶν ἐμμέσων ἐναντίων, οὐχ ὁ αὐτὸς τρόπος γίνεται τῆς ἀντιθέσεως, τούτων τε καὶ τῶν κατὰ ἕξιν καὶ στέρησιν. διότι τῶν μὲν ἐμμέσων ἐναντίων, οὐδέποτε ἀναγκαῖον θάτερον πάντῃ ὑπάρχειν τῷ δεκτικῷ. οὔτε γὰρ λευκὸν ἢ μέλαν πᾶν ἀναγκαῖον εἶναι τὸ δεκτικόν. ἐγχωρεῖ γὰρ καὶ ξανθὸν εἶναι, οὔτε θερμὸν καὶ ψυχρόν. ἐγχωρεῖ γὰρ καὶ χλιαρὸν εἶναι. ἐπὶ δὲ τῆς ἕξεως καὶ τῆς στερήσεως ποτὲ ἀνάγκη θάτερον. ἀφ' οὗ γὰρ ᾖ πεφυκὸς ἔχειν, ἀπὸ τοῦδε ἐξ ἀνάγκης, ἢ ἐστέρηται, ἢ ἔχει τὴν ἕξιν. ἐπεὶ δέ τινα καὶ τῶν ἐμμέσων ἐναντία ἐστὶν, ὧν φύσει τὸ ἕτερον ὑπάρχει ὡς τῷ πυρὶ ἡ θερμότης, καὶ τούτων διοίσει τὰ κατὰ ἕξιν καὶ στέρησιν. ἐπὶ μὲν γὰρ τούτων, ἀφωρισμένως τὸ ἕτερον. οἷον τῇ χιόνι ἡ λευκότης. καὶ ἐξ ἀνάγκης ἀεί. καὶ πρόδηλον πότερον. ἐπὶ δὲ τῶν κατὰ ἕξιν καὶ στέρησιν, οὔτε ἀφωρισμένως, οὔτε ἀεὶ θάτερον ὑπάρχει. καὶ ἄδηλον πότερον. οὔτε γὰρ ἡ ὄψις, οὔτε ἡ τυφλότης ἀφωρισμένως ἀεὶ παραγίνονται. ἡ διαφορὰ οὖν τῶν κατὰ ἕξιν καὶ στέρησιν πρὸς τὰ ἐναντία κατὰ τὸ ἀεὶ καὶ τὸ ποτὲ ἐστίν. καὶ γὰρ τῶν μὲν ἀμέσων ἐναντίων διαφέρει, τῷ, ἐκείνων μὲν ἐξ ἀνάγκης ἀεὶ πάντως θάτερον ὑπάρχειν τῷ δεκτικῷ. οἷον, ἢ ὑγιαίνειν ἢ νοσεῖν. τούτων δὲ οὐκ ἐξ ἀνάγκης ἀεὶ πάντων, ἀλλά τινων ποτέ. τὸ γὰρ σκυλάκιον, οὐδέτερον ἔχει. τῶν δὲ ἐμμέσων, ὅτι ἐκείνων μὲν, οὐδέποτε ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ. τούτων δὲ ποτὲ ἐξ

ἀνάγκης θάτερον ὑπάρχειν ἀφ' οὗ πέφυκε. τινῶν δὲ, καὶ ἀπ' ἀρχῆς. ἀλλὰ κἀκείνων οἷς φύσει τὸ ἓν ὑπάρχει, διοίσει τῷ ποτὲ καὶ τῷ ἀφωρισμένως. ἐκείνων μὲν γὰρ πάντως ἀεὶ τὸ ἕτερον. τούτων δὲ, τινῶν ποτὲ, κἀκείνων μὲν ἀφωρισμένως θάτερον. ἐπὶ τούτων δὲ, οὐκ ἀφωρισμένως, ἀλλ' ὁπότερα ἔτυχεν. εἰπόντος δὲ ἀριστοτέλους, ὡς ἀναγκαῖον ἦν παντὶ θάτερον ὑπάρχειν, δοκεῖ τισὶν ἀσάφειαν ἐμποιεῖν τὸ παντὶ προσκείμενον. οὐ μὴν ἔχει γε οὕτως, ἀλλ' ἀντιδιαστολὴν διασαφεῖ πρὸς τὸ τισὶν ἀναγκαῖον, ὡς τοῖς σύμφυτον ἔχουσι τὸ ἓν τῶν ἐναντίων. οὐ πάντως δέ. τὸ οὖν, εἰ ἀπὸ γεννήσεως ἐγγένοιτο ἡ ὅρασις, ὥσπερ ἐπ' ἀνθρώπων ἀεὶ, οὐχὶ καὶ ἐπὶ τούτων ἔσται ἡ ἕξις ἢ ἡ στέρησις. καὶ οὐδὲν διοίσει τῶν ἀμέσων ἐναντίων. τὸ δὲ, εἴ τις λέγοι ὡς ἐπὶ μὲν τῶν μὴ πεφυκότων τὰ κατὰ ἕξιν καὶ στέρησιν οὕτως ἀντίκειται, ὡς τὰ ἔμμεσα ἐναντία. οὐδέτερον γοῦν ἐξ ἀνάγκης. ἐπὶ δὲ τῶν ἤδη πεφυκότων, ὡς τὰ ἄμεσα. θάτερον γὰρ ἐξ ἀνάγκης. λύει τοίνυν καὶ τὰς τοιαύτας πάσας ἀμφισβητήσεις, ἑτέραν διαφορὰν αὐτῶν προστιθείς. ὅτι τὰ μὲν ἐναντία ἐπαμείβεται ἐν τοῖς δεκτικοῖς. ἕξεως δὲ καὶ στερήσεως, οὐ δυνατὸν εἰς ἄλληλα μεταβολὴν γίνεσθαι. τυφλότης μὲν γὰρ, ἐξ ὄψεως γίνεται. οὐκέτι μέντοι καὶ ἀνάπαλιν. ὅθεν καὶ ὁ χρύσιππος ἐζήτησεν, εἰ τυφλοὺς ῥητέον τοὺς ὑποχυθέντας, δυναμένους δὲ ἐκ παρακεντήσεως ἀναβλέψαι, καὶ ἐφ' ὧν τὰ βλέφαρα κέκλεισται. τῆς γὰρ δυνάμεως οὔσης ἐοικέναι τῷ καταμεμυκότι τοὺς ὀφθαλμοὺς, ἢ τῷ κωλυομένῳ ὁρᾶν διά τι παραπέτασμα. οὗ ἀφαιρεθέντος, οὐδὲν κωλύεται ὁρᾶν. διὸ οὐδὲ ἀπὸ στερήσεως εἰς ἕξιν ἡ τοιαύτη γίνεται μεταβολή. λαμβάνει δὲ νῦν στέρησιν, τὴν κατὰ πήρωσιν. ἐκ γὰρ τῆς τοιαύτης, οὐκ ἔστιν ἐπάνοδος ἐπὶ τὴν ἕξιν. ἄλλη γὰρ στέρησις ἦν, ἧς ἐν φυσικοῖς μνημονεύει, ἣν κατὰ συμβεβηκὸς αἴτιον τῶν γινομένων φησὶ τὴν ἐν τῇ πρώτῃ ὕλῃ ἀπουσίαν τῶν ἐν αὐτῇ πεφυκότων γίνεσθαι εἰδῶν θεωρόν, οὐδὲν ἔλαττον τῆς τοῦ εἴδους παρουσίας κατὰ φύσιν οὖσαν τῇ τῶν γενητῶν ὕλῃ. ἡ δὲ ἐνταῦθα στέρησις, ἐν τοῖς συνθέτοις κατὰ τὴν παρὰ φύσιν αὐτῶν διάθεσιν εἴληπται. ἔτι δὲ στέρησιν ληπτέον τὴν κατὰ φύσιν. οὐ γὰρ δὴ τὴν κατὰ ἔθος. ἀπὸ γὰρ τῆς κατὰ ἔθος στερήσεως, οἷον τῆς γυμνότητος, ἐπάνοδος γίνεται ἐπὶ τὴν ἕξιν. οἷον τὴν ἀμφίεσιν. ἀλλ' οὐ τούτων μνημονεύει νῦν ὁ ἀριστοτέλης, ὅσαι ἔθους ἔχονται, ἀλλ' ὅσαι φύσει καὶ τέλει, καὶ ἐν ταῖς πηρώσεσι θεωροῦνται. φησὶ δὲ εἰς ἄλληλα μεταβολὴν γίνεσθαι τῶν ἐναντίων, ὅταν ὑπάρχῃ τὸ δεκτικόν, ἐὰν μὴ τὸ ἓν φύσει τινὶ ὑπάρχῃ. οἷον τῷ πυρὶ τὸ θερμόν. παραδείγματα δὲ τῶν τοιούτων λαμβάνει, τὰ μὲν, ὁμολογούμενα, ὡς ὑγίειαν καὶ νόσον. τὰ δὲ, ἀμφισβητούμενα, ὡς σπουδαῖον καὶ φαῦλον. ἀπὸ μὲν γὰρ φαύλου φησὶ, τινὲς οἴονται σπουδαῖον γενέσθαι. ἀπὸ δὲ σπουδαίου φαῦλον, ἀδύνατον. καὶ αὐτὸς μὲν τὸ ἕτερον τούτων, διὰ πλειόνων κατασκευάζει λέγων. ὅτι ἐὰν ὁ φαῦλος εἰς βελτίους ἄγηται διατριβάς, εἰ καὶ σμικρὸν ἐπιδώσει, ἀεὶ δὲ σμικρὰν ἐπίδοσιν λαμβάνων, καὶ ἐπιτηδειότερος γινόμενος ἐπὶ τῷ τέλει, τελέως ἂν μεταβάλοι, καὶ εἰς τὴν ἐναντίαν ἕξιν ἀποκατασταίη, ἐὰν ὑπὸ μὴ χρόνῳ ἐξείργηται, ἢ πληρῶν τὸν χρόνον καὶ ἀποθνήσκων, ἢ πάνυ γεγηρακώς. ὁ γὰρ τοιοῦτος, οὐκ ἔχει ἐπίδοσιν

τελείαν. τοῦτο μὲν γὰρ οὕτως αὐτὸ κατεσκεύασε. τὸ δὲ ἀνάπαλιν οἱ στωϊκοὶ οὐ διδόα-
σιν. οὐκ εἶναι γάρ φασιν ἀποβλητὴν τὴν ἀρετήν. ἢ τάχα οὖν κοινότερον τὸν σπουδαῖον
εἴληφεν, οὐ τὸν τὰς τελείας ἀρετὰς ἔχοντα, ἀλλὰ τὸν κατ᾽ εὐφυΐαν ἢ μελέτην καὶ
προκοπήν, ἢ λόγον μόνον σπουδαῖον. ἢ ἴσως οὕτως κινεῖσθαι λέγει τὴν ἀρετήν, ὥσπερ
εἴπομεν ἐν τοῖς ἔμπροσθεν, ὑπὸ μεγάλου πάθους, ἢ νόσου σωματικῆς, λήθης ἐπι-
γινομένης. χαλεπῶς δὲ καὶ οὐ ῥαδίως ταῦτα συμπίπτειν. καὶ γὰρ καὶ αὐτὸς ἐν τοῖς
φυσικοῖς μονιμωτάτην τὴν ἀρετὴν εἶναι μαρτυρεῖ. τὸ μέντοι ἐκ πάντων συμβαῖ-
νον, ἐκεῖνό ἐστιν. εἰ γὰρ ἐπὶ μὲν τῶν ἐναντίων ὑπάρχοντος τοῦ δεκτικοῦ, δυνατὸν εἰς ἀλ-
ληλα μεταβολὴν γίνεσθαι, εἰ μή τινι φύσει τὸ ἓν ὑπάρχει. ἐπὶ δέ γε τῆς ἕξεως καὶ
τῆς στερήσεως, ἀδύνατον εἰς ἄλληλα μεταβολὴν γίνεσθαι, φανερὸν ὅτι, ἄλλη μέν ἐστι
τῶν ἐναντίων ἀντίθεσις, ἄλλη δὲ ἡ κατὰ ἕξιν καὶ στέρησιν. φανερὸν δὲ καὶ ἐκεῖνο γέγο-
νεν, ὡς οὔτε τοῖς ἀμέσοις ἐναντίοις, οὔτε τοῖς ἀφωρισμένοις τὸ ἓν ἔχουσι κατὰ φύσιν,
ταὐτά ἐστι τὰ κατὰ ἕξιν καὶ στέρησιν ἀντικείμενα. τούτων δὲ προειλημμένων, ῥᾴδιον
λοιπὸν καὶ τὰς νικοστράτου ἀπορίας διαλύειν. ὅς φησι, μὴ ἀκριβῶς ταύτην ἀποδε-
δόσθαι τὴν διαφοράν. μήτε γὰρ τὰ ἐναντία πάντως εἰς ἄλληλα μεταβάλλειν. διὸ καὶ
ἀπὸ σπουδαίου οὐ φαῦλος γίνεται. μήτε πᾶσαν στέρησιν ἀμετάβλητον εἶναι εἰς ἕξιν.
καὶ γὰρ ἐκ πεφωτισμένου, καὶ ὡπλισμένου, καὶ ἠμφιεσμένου, γένοιτ᾽ ἂν ἐσκοτισμέ-
νον, καὶ ἄνοπλον, καὶ γυμνόν. καὶ ἐκ τῶν στερήσεων αὖθις ἡ ἕξις. ἄτοπον οὖν τὰ ἀμ-
φοτέροις ὑπάρχοντα διακρίνειν. καὶ τὰ μέν, προσνέμειν τῷ ἑτέρῳ. τὰ δέ, τῷ λοι-
πῷ. Πρὸς δὴ ταῦτα ῥᾴδιον λέγειν, ὡς πρόχειρον εἴληπται τὸ ἀναπόβλητον εἶναι τὴν
ἀρετήν. καὶ γὰρ θεόφραστος περὶ τῆς μεταβολῆς αὐτῆς, ἱκανῶς ἀπέδειξε. καὶ ἀριστο-
τέλει δοκεῖ, οὐκ ἀνθρώπινον εἶναι τὸ ἀναπόβλητον. ἔτι δὲ καὶ οἱ στωϊκοί, ἐν μελαγχο-
λίαις καὶ κάροις καὶ ληθάργοις καὶ ἐν φαρμάκων λήψεσι, συγχωροῦσιν ἀποβολὴν
γίνεσθαι μεθ᾽ ὅλης τῆς λογικῆς ἕξεως, καὶ αὐτῆς τῆς ἀρετῆς. κακίας μέν, οὐκ ἀντει-
σαγομένης. τῆς δὲ βεβαιότητος χαλωμένης, καὶ εἰς ἣν λέγουσιν ἕξιν μέσην οἱ παλαιοὶ
μεταπιπτούσης. τοῦτο μὲν οὖν, οὕτως. ἀτόπως δὲ ἐκ τῶν κατὰ ἔθος στερήσεων τὰς
ἐπιχειρήσεις ποιούμενος, καὶ στέρησιν εἰς ἕξιν μεταβάλλειν φησίν. ὁ γὰρ ἀνάριστος
καὶ ἄοπλος, κατὰ συνήθειαν ὄντες ἐν στερήσει, ῥαδίως μεταβάλλουσιν εἰς τὰς ἕξεις.
ὁ μέν, ἀριστήσας. ὁ δέ, ὁπλισάμενος. ὁ δὲ ἀριστοτέλης, οὐκ ἐπὶ τῶν ἐξ ἔθους, ἀλλ᾽ ἐπὶ
τῶν φύσει τὴν ἕξιν καὶ τὴν στέρησιν παρέλαβεν. ἐφ᾽ ὧν καὶ κυρίως ἡ κατὰ ἕξιν καὶ στέ-
ρησιν ἀντίθεσις λέγεται. χρησώμεθα οὖν αὐτοῖς τοῖς ἀριστοτέλους πρὸς τὸν νικόστρα-
τον. ἐν γὰρ τῷ περὶ τῶν ἀντικειμένων, αὐτός φησιν. ὡς αἱ μέν, στερήσεις τῶν κατὰ φύ-
σιν λέγονται. αἱ δέ, τῶν ἐν ἔθει. αἱ δέ, τῶν κατηγορημάτων. αἱ δέ, ἄλλων τινῶν. τυ-
φλότης μέν, τῶν φύσει. γυμνότης δέ, ἐν ἔθει. ἀργυρίου δὲ στέρησις, τῶν ἐν χρήσει
παραγινομένων. εἰσὶ δὲ καὶ ἄλλαι στερήσεις πλείονες. καὶ ἐνίων μὲν στερήσεων, οὐκ ἔστιν
ἀπαλλαγή. ἐνίων δὲ ἔστι. πολλῶν δὲ ὄντων τῆς στερήσεως τρόπων, καὶ ἑνὸς τῶν κατὰ
φύσιν, ἐπὶ τῶν κατὰ φύσιν γεγονυίας τῆς πρὸς τἀναντία διαφορᾶς, οὐκ ἔχει ἣν ἐκ τῶν

ἀλλοτρίων τρόπων παραφέροντα, δοκεῖν ἐλέγχειν τὸν λόγον. ἀλλὰ τὸν μὲν πλήρη περὶ τῶν
στερήσεων λόγον, ἔστιν ἔκ τε τοῦ ἀριστοτελικοῦ καὶ τοῦ χρυσιππείου βιβλίου λαμβάνειν.
» τινὰ δὲ καὶ ὁ ἰάμβλιχος παραγράφει, ἔχοντα οὕτως. πολλαχῶς τοῦ ἔχειν λεγομένου,
» ὡς ἤδη προεδείξαμεν, ἡ στέρησις διατείνεται ἐπὶ πάντα τὰ σημαινόμενα τοῦ ἔχειν,
» οὐκέτι μέντοι καὶ οὐκ ἐπὶ πάντα τὰ ἐναντία. ἀπώλεια γὰρ ἴσον, ἡ στέρησις. ὥστε οὐκ
ἂν τοῦ κακοῦ γένοιτο στέρησις, ὅτι μηδὲ ἀπώλεια κακοῦ γένοιτο ἂν, ἢ βλαβεροῦ, ἀλλ'
ἀγαθοῦ ἢ χρησίμου. οὐ γὰρ ὁ νόσου ἢ πενίας ἀπαλλαγεὶς, ῥηθείη ἂν ἀπεστερῆσθαι νό-
σου ἢ πενίας, ἀλλὰ μᾶλλον ὁ εὐγενείας ἢ πλούτου ἀφαιρεθεὶς. ἀγαθοῦ μὲν στέρησις, ἡ
τυφλότης. ἀγαθὸν γὰρ ἡ ὄψις. ἀδιαφόρου δὲ, ἡ γυμνότης. ἀδιάφορον γὰρ τὸ ἱμάτιον.
καὶ οὔτε ἀγαθὸν, οὔτε κακόν. διὸ στέρησις οὐδεμία ἀγαθόν. ἀλλ' ἤτοι κακὸν, ἢ ἀδιά-
φορον. καὶ ἀγαθῶν δὲ στέρησις γένοιτο ἂν, ἤτοι τῶν πάντων, ἢ τῶν πλείστων. ἥκιστα δὲ
φησὶν ἀριστοτέλης τῶν ἐν τῇ ψυχῇ ἀγαθῶν, καὶ προαιρέσεως ἐχομένων γενέσθαι στέ-
ρησιν. οὐδεὶς γὰρ λέγει δικαιοσύνης ἐστερῆσθαι. καὶ ὁ εἰπὼν ὅτι ἐπιστάμενος οὐδεὶς φέρεται,
ἀπὸ τῆς αὐτῆς ἐννοίας εἴρηκε. μᾶλλον δὲ οὖν πλούτου. δόξης. τιμῆς. τῶν τοιούτων. καὶ
μάλιστα τῶν περὶ τὰς κτήσεις καλουμένων ἀγαθῶν εἰσὶν αἱ στερήσεις. διὸ καὶ ἔλε-
οι καὶ οἶκτοι ἐπακολουθοῦσι ταῖς πλείσταις στερήσεσιν. ὁ μέντοι ἀριστοτέλης τὴν φυσι-
κὴν στερήσεως νῦν τὴν ἀντίθεσιν πρὸς τὴν τῶν ἐναντίων παραβέβληκεν. ἀλλὰ ταῦτα
μὲν ἀρκούντως. ἑξῆς δὲ μεταβαίνει ἐπὶ τὴν τῆς καταφάσεως ἀντίθεσιν, τὴν διαφο-
» ρὰν αὐτῆς τὴν πρὸς τὰς ἄλλας ἀντιθέσεις παραδιδούς. λέγει δὲ οὕτως. Ὅσα δὲ ὡς κα-
» τάφασις καὶ ἀπόφασις ἀντίκειται. ἕως τοῦ, ὥστε ἐπὶ μόνων τούτων ἴδιον ἂν εἴη τὸ
» θάτερον αὐτῶν, ἢ ἀληθὲς ἢ ψεῦδος εἶναι. Ὅτι μὲν γὰρ ταῦτα τῶν ἀντικειμένων ἐστὶ
καὶ τὰ μάλιστα ἀντικείμενα, πρόδηλον. ἀναιρετικὰ γὰρ μάλιστα ἀλλήλων ἐστὶ, καὶ
ἀσυνύπαρκτα. ἡ μὲν καθόλου ἀποφατική, τῇ μερικῇ καταφατικῇ. ἡ δὲ καθόλου κα-
ταφατική, τῇ μερικῇ ἀποφατικῇ. οἱ γοῦν στωϊκοὶ, μόνα τὰ ἀποφατικὰ τοῖς καταφα-
τικοῖς ἀντικεῖσθαι νομίζουσι. τὴν δὲ διαφορὰν αὐτῶν τὴν πρὸς ἄλλους τρόπους τῶν
ἀντιθέσεων σαφῶς παραδίδωσιν, ἐκ τοῦ ἐπὶ μόνης ταύτης τῆς κατὰ ἀντίφασιν ἀν-
τιθέσεως. τὴν μὲν, ἀληθῆ. τὴν δὲ ψευδῆ εἶναι τῶν προτάσεων. λαμβανέσθωσαν
δὲ αἱ κυρίως ἀντικείμεναι προτάσεις, ἃς ἐν τῷ περὶ ἑρμηνείας διορίζεται. ἐπὶ δὲ τῶν
ἄλλων ἀντικειμένων, οὐ διαιρεῖται ταῦτα. οὔτε γὰρ τῶν ἐναντίων τὸ μὲν, ἀληθές
ἐστι. τὸ δὲ, ψεῦδος. οὔτε τῶν πρὸς ἄλληλα λεγομένων. οὔτε τῶν κατὰ ἕξιν καὶ στέρη-
σιν ἀντικειμένων. τοῦτο δὲ πιστοῦται μὲν καὶ διὰ παραδειγμάτων. πιστοῦται δὲ καὶ ἀπο-
δεικτικῶς οὕτως. τὰ κατὰ τοὺς τρεῖς τρόπους ἀντικείμενα, ἄνευ συμπλοκῆς λέγε-
ται. τῶν δὲ ἄνευ συμπλοκῆς λεγομένων, οὔτε ἀληθὲς οὔτε ψεῦδος σημαίνεται. καὶ
γὰρ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἐν προτάσει πάντως ἐστί. πᾶσα δὲ πρότασις, λόγος. ὁ δὲ
λόγος, ἐν συμπλοκῇ τινῶν. τῶν δὲ ἄλλων, οὐδὲν κατὰ συμπλοκὴν λέγεται, ἀλλά ἐστιν
ἁπλᾶ. οἷον λευκὸν, μέλαν. διπλάσιον, ἥμισυ. ὄψις, τυφλότης. εἰπὼν δὲ ὅτι οὔτε
ἐπὶ τῶν ἐναντίων ἀναγκαῖον ἀεὶ θάτερον ἀληθὲς εἶναι, θάτερον δὲ ψεῦδος, πρὸ τοῦ

μὲν οὐχ οὕτως εἶπεν, ὅτι οὐκ ἀναγκαῖον ὥς ποτε τῶν ἐναντίων διαιρούντων τὸ ἀληθὲς καὶ ψεῦδος καθ' ἑαυτά, ἀλλ' ὅπερ ἐφεξῆς ἐπέστησε. δόξειεν ἂν τὸ τοιοῦτον συμβαίνειν, τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐπὶ τῶν κατὰ συμπλοκὴν λεγομένων ἐναντίων. τοιαῦτα δέ ἐστιν ἐν οἷς τοῦ αὐτοῦ τἀναντία κατηγορεῖται. οἷον τὸ νοσεῖν Σωκράτην, καὶ τὸ ὑγιαίνειν Σωκράτην. ἄμεσα γὰρ ἐναντία τὸ ὑγιαίνειν, καὶ τὸ νοσεῖν. ταῦτα δὲ καθ' αὑτὰ μὲν πράγματα σημαίνει. καὶ φάσεις εἰσὶ μόνον. εἰ δὲ συμπλακείη, λόγος γίνεται. ὁ μέν, ἀληθής. ὁ δέ, ψευδής. δύναιτο δὲ ταῦτα πρῶτον μέν, μὴ δὲ ἐναντία λέγειν, ἀλλὰ κατηγορεῖσθαι τοῦ αὐτοῦ τὰ ἐναντία. τὸ γὰρ αὐτό, τῶν ἐναντίων ἐστὶ δεκτικόν. εἰ οὖν τοῦ Σωκράτους νοσεῖν, καὶ τοῦ Σωκράτους ὑγιαίνειν μηδέν ἐστι δεκτικόν, οὐκ ἂν εἴη ταῦτα ἐναντία. κἂν συγχωρήσῃ δέ τις ταῦτα ἐναντία εἶναι, οὐδὲ οὕτως ἀναγκαῖον ἐστί. τὸ μὲν αὐτῶν, ἀληθὲς εἶναι. τὸ δέ, ψεῦδος. ὄντος μὲν γὰρ τοῦ Σωκράτους, ἔσται τὸ μέν, ἀληθές. τὸ δέ, ψεῦδος. μὴ ὄντος δέ, ἀμφότερα ψευδῆ. ὁ γὰρ μὴ ὤν, οὔτε νοσεῖν, οὔτε ὑγιαίνειν ὀρθῶς ἂν λέγοιτο. ἡ μέντοι ἀντίφασις, ἀεὶ μερίζει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, καὶ ὄντος καὶ μὴ ὄντος Σωκράτους. κατὰ γὰρ τοῦ μὴ ὄντος ἡ ἀπόφασις ἀληθής, ἡ, Σωκράτης οὐχ ὑγιαίνει. καὶ ἡ, Σωκράτης οὐ νοσεῖ. οὐ γάρ ἐστι ταὐτὸν τὸ μὴ νοσεῖν τῷ ὑγιαίνειν, ὥσπερ οὐδὲ τὸ μὴ ὁρᾶν, τῷ τυφλὸν εἶναι. ἐπὶ γοῦν τοῦ τρίχου, τὸ μὲν οὐχ ὑγιαίνει, οὐδὲ ὁρᾷ, ἀληθὲς εἰπεῖν. τὸ δὲ νοσεῖ καὶ τυφλός ἐστι, ψεῦδος. ταῦτα δὲ ῥητέον, καὶ ἐπὶ τῶν κατὰ συμπλοκὴν τὴν στέρησιν καὶ τὴν ἕξιν ἐχόντων. καὶ γὰρ καὶ ἐπὶ τούτων, δοκεῖ μὲν διαιρεῖσθαι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. οὐ μὴν ὁριστῶς γε μερίζεται. ἀλλὰ μὴ ὄντος μὲν ψευδῆ ἄμφω. τό, τε ὁρᾶν καὶ τὸ τυφλὸν εἶναι. ὄντος δέ, οὐκ ἀναγκαῖον θάτερον, ὅταν μὴ πεφυκὸς ᾖ ἐπιδέχεσθαι, ὡς ἐπὶ τοῦ τρίχου. ἢ μηδέπω πεφυκός, ὡς ἐπὶ τοῦ σκυλακίου. ἐπὶ μέντοι τῆς ἀντιφάσεως, καὶ ὄντος καὶ μὴ ὄντος καὶ πεφυκότος, καὶ μή, ἀεὶ θάτερον ἢ ἀληθὲς ἢ ψεῦδος ἐστίν, ὡς εἴρηται πρότερον. ταῦτα μὲν οὖν ἀκριβῶς δέδεικται. πῶς δὲ περὶ Σωκράτους λέγων ὅτε μήπω φησὶ πέφυκεν ἔχειν ὄψιν, ἀμφότερα ψευδῆ ἐστι καὶ τὸ ὁρᾶν καὶ τὸ τυφλὸν εἶναι. ἅμα γὰρ τῷ γενέσθαι τὸν Σωκράτην πέφυκεν ὁρᾶν. καὶ εὐθὺς ἐπ' αὐτοῦ, τὸ μέν, ἀληθές ἐστι. τὸ δέ, ψεῦδος. λέγουσι δὲ πρὸς τοῦτο, ὡς τοῦ Σωκράτους, καὶ ἐπὶ τῶν ἐναντίων, καὶ ἐπὶ τῶν κατάφασιν καὶ ἀπόφασιν εἰς παράδειγμα παραληφθέντος. μεταβὰς ἐπὶ στέρησιν καὶ ἕξιν, τῷ αὐτῷ πάλιν ἀντὶ τοῦ κυνιδίου ἐχρήσατο, εἰς ἐκεῖνο ἀναφέρων τὴν ἐπὶ τῶν ἅμα τῇ γενέσει, μηδέτερον ἐχόντων διάταξιν. ἅμα μὲν ἐπὶ τοῦ αὐτοῦ πάντα ἐπιδεικνύναι βουλόμενος, ὡς ἐπιστημονικώτερος τούτου ὁ τανῦν δυνατόν. ἅμα δὲ ὥσπερ εἴωθε καταφρονεῖ τῶν παραδειγμάτων, ὅταν τὸ πρᾶγμα ἀληθὲς ὑπάρχῃ. μήποτε δέ φασιν οὐδὲ ὁ ἄνθρωπος ἐξ ἀρχῆς ἔχει τὴν ὄψιν, ὡς ἔχει τὴν ἁφήν. οὐδὲ χρώμενος εὐθὺς αὐτῇ φαίνεται, ἕως οὗ διανοίξῃ τὰ βλέφαρα ἡ μαῖα καὶ ἀπομάξῃ. κατὰ δὲ τὴν ἁφήν, εὐθὺς ἅμα τῷ πεσεῖν τοῦ ἔξω ἀέρος πλήττοντος, αἰσθόμενον τὸ βρέφος κλαίει. εἰ δὲ καὶ τοῦτο, ἐπὶ τούτου ἁρμόσει λέγειν, ὅτι ἅμα τῷ γίνεσθαι αὐτόν, ἀμφότερα ἐπ' αὐτοῦ ψευδῆ ἐστί. φανερὸν οὖν ὅτι μόνα τὸ ἀληθὲς ἢ τὸ ψεῦδος διαιρεῖ, ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται.

εἰ δὲ τοῦτο, διαφέροι ἂν τῶν ἄλλων εἰδῶν ἰδίων τοῦ ἀντικειμένου. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ διϊσχυρίζονται, ὅτι οὐδὲν τῶν κατὰ ἀπόφασιν λεγομένων οὐδὲ νῦν ἐστιν ἐναντίον. ἔσται γὰρ ἂν τῇ ἀρετῇ ἐναντία, ἡ οὐκ ἀρετή. καὶ τῇ κακίᾳ ἐναντία, ἡ οὐ κακία. ὑπὸ μὲν τὴν οὐκ ἀρετὴν καὶ τῆς κακίας πιπτούσης, καὶ ἄλλων πολλῶν. καὶ γὰρ λίθου καὶ ἵππου καὶ πάντων τῶν παρὰ τὴν ἀρετήν. ὑπὸ δὲ τὴν κακίαν καὶ τῆς ἀρετῆς καὶ τῶν ἄλλων πάντων. ἔσται οὖν ἑνὶ πάντα ἐναντία. καὶ τὰ αὐτὰ τῇ ἀρετῇ καὶ τῇ κακίᾳ ἐναντία. εἰ μὴ ἡ ἀρετὴ τῇ κακίᾳ ἐναντία, ἀλλ' ἡ οὐ κακία, συμβήσεται καὶ σπουδαίοις μέσα ἐναντία εἶναι καὶ φαύλοις. ἄτοπον δὲ τοῦτο. καὶ μάλιστα εἰ καὶ τὰ αὐτά. καὶ μὴν καὶ τὸ δυοῖν ἐναντίων. ὑφ' ὃ μὲν πάντα τὰ ὑποπίπτοντα ποιότητας εἶναι, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν. ὑφ' ὃ δὲ καὶ ποιότητας καὶ ποιά, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν οὐ κακίαν. ὑπὸ ταύτας γάρ, καὶ ποιότητες καὶ ποιὰ καὶ ἐνέργειαι, καὶ πᾶν ὁτιοῦν ἐστι. καὶ ἔστι τοῦτο ἀπεμφαῖνον. οὕτως μὲν οὖν καὶ παρὰ τοῖς στωϊκοῖς διώρισται, τά τε ἐναντία, καὶ τὰ ἀντιφατικῶς ἀντικείμενα. ὁ δὲ Νικόστρατος αἰτιᾶται κἂν ταῦτα λέγων, μὴ ἴδιον εἶναι τῶν κατὰ ἀντίφασιν ἀντικειμένων, τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. οὔτε γὰρ μόνοις, οὔτε πᾶσιν αὐτοῖς ὑπάρχει. οὐ μόνοις μέν, ὅτι καὶ τοῖς ὀμοτικοῖς καὶ τοῖς ἀπομοτικοῖς ὑπάρχει τὸ ἐξ ἀνάγκης θάτερον. οἷον, νὴ τὴν Ἀθηνᾶν, ἔπραξα τάδε. οὐ μὰ τὴν Ἀθηνᾶν οὐκ ἔπραξα. ἀλλὰ καὶ τοῖς θαυμαστικοῖς φησὶ τοῦτο ὑπάρχει. ὡς καλός γε ὁ Πειραιεύς. καὶ τοῖς ψεκτικοῖς. οἷον φαῦλός ἐστιν, οὐ φαῦλός ἐστιν. οὐκ ἄρα μόνοις ὑπάρχει τοῖς κατὰ ἀντίφασιν τοῦτο. ἀλλ' οὐδὲ πᾶσί φησιν. αἱ γὰρ εἰς τὸν μέλλοντα χρόνον ἐγκλινόμεναι προτάσεις, οὔτε ἀληθεῖς εἰσίν, οὔτε ψευδεῖς, διὰ τὴν τοῦ ἐνδεχομένου φύσιν. οὔτε γὰρ τὸ ἔσται ναυμαχία ἀληθές, οὔτε τὸ οὐκ ἔσται. ἀλλ' ὁπότερον ἔτυχε. πρὸς δὴ ταῦτα, ἔξεστι μὲν φάσι λέγειν, ὅτι τε τεττάρων ὄντων τῶν ἀντικειμένων, τοῦ ἑνὸς ἴδιον τοῦτο. οὐ πρὸς πάντα, ἀλλ' ὡς πρὸς τὰ τρία ἀποδέδωκεν. ὁ γὰρ ἐπὶ πάντων τῶν τεττάρων τὸ ἓν μερίζει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, οὐ καθάπαξ τοῦτο ἀπεφήνατο, ἀλλ' ἐπὶ μόνων τῶν ἀντικειμένων τοῦτο πεποίηκε. χωρὶς δὲ τούτων φασὶ πάλαι λέλυται ταῦτα ἐν ταῖς ἐξηγήσεσι τοῦ ὅρου τοῦ ἀξιώματος τοῦ ἀφοριζομένου τὸ ἀξίωμα, ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος. οὐ γὰρ τὸ ὀμοτικὸν οἷόν τε ἀληθὲς εἶναι ἢ ψευδές. ἀλλ' εὐορκεῖν μὲν ἢ ἐπιορκεῖν ἐν τοῖς ὁρκικοῖς ἐστιν. ἀληθεύειν δὲ ἢ ψεύδεσθαι ἐν αὐτοῖς, οὐχ οἷόν τε, κἂν περὶ ἀληθινῶν ὀμόσῃ τις ἢ ψευδῶν. καὶ τὸ θαυμαστικὸν δὲ πλεονάζον τῷ θαυμαστικῷ παρὰ τὸ ἀξίωμα, καὶ τὸ ψεκτικὸν τῷ μομητικῷ, οὔτε ἀληθές ἐστιν ἢ ψευδές. ἀλλὰ ὅμοια ἀληθέσιν ἢ ψευδέσιν. ἀλλ' αὗται μὲν ἀπὸ τῆς στωϊκῆς ἀκριβείας ἔστωσαν αἱ λύσεις. μήποτε δὲ ἁπλοϊκώτερον ἐπελθεῖν δεῖ τῷ λόγῳ. τὸ γὰρ ὀμοτικὸν νὴ τὴν Ἀθηνᾶν, οὔτε ἀληθὲς οὔτε ψεῦδος δηλοῖ. συμπλεκόμενον δὲ πάντως προτάσει ἢ ἀληθεῖ ἢ ψευδεῖ, εἰ μὲν ἀληθὴς ἡ πρότασις, εὐορκεῖν ποιεῖ, ἀλλ' οὐκ ἀληθεύειν. ἡ γὰρ πρότασις εἶχε τὸ ἀληθές. ψευδεῖ δὲ συμπλεκόμενον, ἐπιορκεῖν ἀναγκάζει, οὐ ψεύδεσθαι. καὶ τὸ θαυμαστικὸν δὲ τὸ ὡς προτάσει συνάπτει, τῇ, καλός ὁ Πειραιεύς ἐστι. καὶ τὸ ψεκτικὸν ὁμοίως τῶν προτάσεων τὸ ἀληθὲς ἐχουσῶν ἢ τὸ ψεῦδος. περὶ δὲ τῶν εἰς τὸ μέλ

λοντα χρόνου ἀντιφάσεων, οἱ μὲν στωϊκοί, τὰ αὐτὰ δοκιμάζουσιν, ἅπερ καὶ ἐπὶ
τῶν ἄλλων. ὡς γὰρ τὰ περὶ τῶν παρόντων καὶ παρεληλυθότων ἀντικείμενα, οὕτως
καὶ τὰ μέλλοντα αὐτά τε φασί, καὶ τὰ μόρια αὐτῶν. ἢ γὰρ τὸ ἔσται ἀληθές ἐστιν,
ἢ τὸ οὐκ ἔσται, δεῖ ἤτοι ψευδῆ ἢ ἀληθῆ εἶναι. ὥρισται γὰρ κατ᾽ αὐτὰ τὰ μέλλοντα.
καὶ εἰ μὲν ἔσται ναυμαχία αὔριον, ἀληθὲς εἰπεῖν ὅτι ἔσται. εἰ δὲ μή, ἔσται ψεῦδος τὸ
εἰπεῖν ὅτι ἔσται. ἤτοι ἔσται ἢ οὐκ ἔσται. ἤτοι ἄρα ἀληθὲς ἢ ψεῦδος θάτερον. οἱ μέν-
τοι περιπατητικοί, τὴν μὲν ἀντίφασιν τὴν εἰς τὸ μέλλον, ἀληθῆ ἢ ψευδῆ εἶναι λέ-
γουσι. πότερον δὲ ἔσται μόριον αὐτῶν ἀληθές, καὶ πότερον ψεῦδος, ἄληπτον εἶ-
ναι τῇ φύσει καὶ ἄστατον. τὴν μὲν γὰρ ἀντίφασιν ἐφ᾽ οὗτινος οὖν χρόνου, οὐ κωλύει
λέγεσθαι τὸ ἢ ἔσται ἢ οὐκ ἔσται. τῶν δὲ ἐμπεριεχομένων ἐν αὐτῇ μορίων, ἑκάτερον.
οἷον, τὸ ἔσται ἢ οὐκ ἔσται ἀφωρισμένως. ἐπὶ μὲν τοῦ παρόντος καὶ παρεληλυθότος
χρόνου, ἤδη ἐστὶν ἀληθῆ ἢ ψευδῆ. ὅσα δὲ περὶ τοῦ μέλλοντος ἀποφαίνεται, ἤδη μὲν οὐκ
ἔστιν ἢ ἀληθῆ ἢ ψευδῆ. ἔσται δέ, ἢ τοῖα, ἢ τοῖα. ταῦτα μὲν οὖν ἀρκείτω πρὸς τὸ νυνὶ νο-
στατον. συμπληρωθέντος δὲ παρὰ τοῦ ἀριστοτέλους περὶ τῆς τῶν ἀντικειμένων δι-
αφορᾶς λόγου, καλῶς ἂν ἔχοι καὶ τὰ ἀρχύτου περὶ αὐτοῦ, ἐν τῷ περὶ ἀντικειμέ-
νων βιβλίῳ ἀρχέτυπα τῶν εἰρημένων ὄντα παραγεγράφθαι. καὶ μάλιστα ὅπου
δὲ ὁ θεῖος ἰάμβλιχος ἀπὸ τούτου τοῦ βιβλίου τι τοῖς ὑπομνήμασιν ἐνέταξε. καὶ
ἴσως οὐκ ἦλθεν εἰς αὐτόν. οὐ γὰρ ἂν αὐτὸ παρῆκεν, ὁ τὸ τοῦ ἀριστοτέλους περὶ ἀντι-
» κειμένων βιβλίον ἐπισκεψάμενος. ἔχει δὲ οὕτως. Καὶ κατὰ νόμον καὶ κατὰ φύσιν ἀντικεῖσθαι
» ἀλλήλοις λέγεται. τὰ μέν, ὡς ἐναντία. οἷον, ἀγαθὸν, κακῷ. καὶ ὑγιές, κάμνοντι. καὶ ἀληθές,
» ψεύδει. τὰ δέ, ὡς ἕξις στερήσει. οἷον, ζωὰ, θανάτῳ. καὶ ὄψις, τυφλότητι. καὶ ἐπιστήμα,
» λάθα. τὰ δέ, ὡς πρός τι πως ἔχοντα. οἷον, διπλάσιον, ἡμίσει. ἄρχον, ἀρχομένῳ.
» καὶ δεσπόζον, δεσποζομένῳ. τὰ δέ, ὡς κατάφασις, καὶ ἀπόφασις. οἷον, τὸ ἄνθρωπον
» ἦμεν, τῷ μὴ ἦμεν. καὶ τὸ σπουδαῖον ἦμεν, τῷ μὴ ἦμεν. ἐκθέμενος οὕτως τὰς τέσσαρας
» ἀντιθέσεις, ἐπάγει ταῦτα περὶ τῆς διαφορᾶς αὐτῶν. Διαφέροντι δὲ ταῦτα ἀλλά-
» λων. ὅτι τὰ μὲν ἐναντία, οὐκ ἀνάγκα ἅμα γίνεσθαι, οὐδὲ ἅμα φθείρεσθαι. ὑγίεια
» γάρ, νόσῳ ἐναντίον. καὶ ἀρεμία, κινήσει. ἀλλ᾽ οὔτε ὑγίεια νόσῳ συνυπάρχει, οὔτε ἀρε-
» μία κινήσει. οὐδὲ μὰν ἅμα γίνεται. οὐδὲ μὰν ἅμα φθείρεται ἑκάτερον αὐτῶν. ἕξις δὲ
» γενέσιος καὶ στέρησις διαφέροντι τούτῳ. ὅτι τὰ μὲν ἐναντία μεταβάλλειν πέφυκεν εἰς
» ἄλλαλα. οἷον, τὸ ὑγιὲς ἐς τὸ κάμνον. καὶ τὸ κάμνον ἐς τὸ ὑγιές. καὶ τὸ ὀξὺ ἐς τὸ βαρύ. καὶ τὸ
» βαρύ, ἐς τὸ ὀξύ. ἕξις δὲ καὶ στέρησις οὐκέτι. ἀλλ᾽ ἕξις ἔρχεται μὲν ἐς τὰν στέρασιν. στέρησις δὲ
» οὐκ ἔρχεται ἐς τὰν ἕξιν. τὸ μὲν γὰρ ζῷον, θνάσκει. τὸ δὲ τεθνάσκον, οὐδέποκα ζήσει. ὅλως δὲ
» ἕξις μὲν ἐντὶ ἐπιοχὰ τῶ κατὰ φύσιν. στέρησις δέ, ἔκλειψις τῶ κατὰ φύσιν. Τὰ δὲ πρός τι, ἅμα
» ἀνάγκα καὶ γίνεσθαι καὶ φθείρεσθαι. ἀδύνατον γὰρ διπλάσιον μὲν ἦμεν, ἡμίσεον δὲ μή. καὶ
» ἡμίσεον μὲν ἦμεν, διπλάσιον δὲ μή. καὶ αἴκα τι γένηται διπλάσιον, ἅμα καὶ ἡμίσεον γίνεται.
» καὶ αἴκα τι φθείρηται διπλάσιον, ἅμα καὶ ἡμίσεον φθείρεται. κατάφασις δὲ καὶ ἀπόφασις καὶ
» λόγος, εἴδεα καὶ μάλιστα ἐντί. καὶ ἀλαθέος καὶ ψεύδεος μάλιστα ἐντὶ σημαντικά. τὸ γὰρ ἦμεν ἄνο »

„ ἀληθὲς ἐντί, ὅκκα ὑπάρχῃ. ψευδὲς δὲ, ὅκκα μὴ ὑπάρχῃ. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ
„ τᾶς ἀποφάσιος. καὶ γὰρ αὕτα ἀληθὴς ἢ ψευδὴς παρὰ τὸ πρᾶγμα τὸ σημαινόμενον. ἀλη-
„ θὴς μὲν, ὅκκα ὑπάρχῃ. ψευδὴς δὲ, ὅκκα μὴ ὑπάρχῃ. ἐπ' ἀγαθῶ μὲν καὶ κακῶ, μέ-
„ σον τί, τὸ μήτε ἀγαθὸν μήτε κακόν. καὶ πολλῶ καὶ ὀλίγω, τὸ μέτριον. καὶ βραδέος καὶ τα-
„ χέος, τὸ ἰσοταχές. ἕξιος δὲ καὶ στερήσιος, οὐδὲν ἐντὶ μέσον. ζωᾶς τε γὰρ καὶ θανάτω
„ μεταξὺ, οὐδέν. καὶ ὁράσιος καὶ τυφλότητος. εἰ μή τις λέγοι, τὸ μήπω γενόμενον ζῶ-
„ ον, ἀλλὰ γινόμενον, μεταξὺ ἦμεν ζωᾶς καὶ θανάτω. καὶ τὸ μήπω βλέπον κυνίδιον,
„ μεταξὺ ἦμεν τῶ τε τυφλῶσθαι καὶ ὁρῆν. οὕτω δὲ λέγων, κατὰ συμβεβηκὸς ἀποδώσει ταὶν
„ μεσότητα. οὐ κατὰ τὸν οἰκεῖον ὅρον τῶν ἐναντιωτάτων. τὰ δὲ πρός τι, ἐπιδέχεται με-
„ σότητας. μεταξὺ γὰρ τῶ δεσπόζοντος καὶ δούλω, τὸ ἐλεύθερον. καὶ μεταξὺ τῶ μεί-
„ ζονος καὶ μείονος, τὸ ἴσον. καὶ μεταξὺ τῶ πλάτεος καὶ στενοῦ, τὸ ἐφαρμόζον. καὶ τῶν ἀλ-
„ λων ἐναντίων εὑρεθήσεταί τι μέσον. ἢ κατωνομασμένον, ἢ καὶ ἀνώνυμον. καταφά-
„ σιος δὲ μεταξὺ, οὐδὲν ἐναντίον. οἷον τῶ τε ἦμεν ἄνθρωπον, καὶ τῶ μὴ ἦμεν. καὶ τῶ ἦμεν
„ μωσικὸν, τὸ μὴ μωσικόν. καὶ ὅλως δὲ ἀνάγκα καταφᾶσαι ἢ ἀποφᾶσαι λέγονται παρά-
„ τινος. καταφᾶσαι μὲν, ὅκκα τι εἶναι δηλοῖ. οἷον ἄνθρωπον. ἵππον. καὶ συνυπάρχον τι
„ τούτω. οἷον ἀνθρώπω μὲν, τὸ μουσικὸν ἦμεν. ἵππω δὲ τὸ, πολεμιστάν. ἀποφᾶσαι δὲ, ὅκ-
„ κα μὴ ἦμεν τι δαλοῖ τό. οἷον, μὴ ἦμεν ἄνθρωπον, ἢ μὴ ἦμεν ἵππον, ἢ μὴ συνυπάρχον-
„ τι τούτω. οἷον, μὴ ἦμεν τὸν ἄνθρωπον μωσικὸν, ἢ μὴ ἦμεν τὸν ἵππον πολεμιστάν. με-
„ ταξὺ δέ γε τᾶς καταφάσιος αὐτᾶς καὶ ἀποφάσιος, οὐδέν. Ταῦτα μὲν οὖν καὶ ἀρχύ-
τας περὶ τῆς τῶν ἀντικειμένων πρὸς ἄλληλα διαφορᾶς ἀνέγραψεν. ἅμα καὶ τὴν φύ-
σιν αὐτῶν παραδεικνὺς ἀκριβέστερον. καὶ τούτοις τὰ ὑπ' ἀριστοτέλους εἰρημένα ἀκό-
λουθά ἐστιν, ὡς ἐκ τῶν εἰρημένων δῆλον γέγονεν. ἑξῆς δὲ ὁ ἀριστοτέλης διαίρεσίν τινα
τῶν ἐναντίων προστίθησιν. ἣν καὶ ἀρχύτας παραδέδωκε. καὶ μετὰ ταύτην, ἄλλην τινὰ
„ τῶν ἐναντίων ἐπάγει. ἔχει δὲ οὕτως τὰ ὑπὸ ἀριστοτέλους. ἐναντίον δὲ ἐστὶν ἀγαθῷ μὲν
„ ἐξ ἀνάγκης κακόν. ἕως τοῦ, περὶ δὲ τῶν πλείστων, ἀεὶ τῷ κακῷ ἀγαθὸν ἐναντίον ἐστί.
Ταῦτα τοῖς περὶ τῶν ἐναντίων εἰρημένοις προστίθησι, χρήσιμα ὄντα πρός τε τὴν
ὅλην τῶν κατηγοριῶν θεωρίαν, καὶ πρὸς τὴν τῶν τόπων εὕρεσιν. ἔστι δὲ ταῦτα, ὅτι τῷ
μὲν ἀγαθῷ, κακὸν πάντως ἐναντίον. τῷ δὲ κακῷ, ποτὲ μὲν ἀγαθόν. ποτὲ δὲ, κακόν.
δεύτερον ὅτι, οὐκ ἀνάγκη τοῦ ἑτέρου τῶν ἐναντίων ὄντος, καὶ τὸ ἕτερον πάντως εἶναι.
περὶ μέντοι τῶν ἀτόμων, πάντως οὐκ ἔστι. τρίτον, ὅτι περὶ ὑποκείμενον τὸ αὐτό, ἢ τῷ
γένει ἢ τῷ εἴδει ἐστὶ τὰ ἐναντία. καὶ τέταρτον, ὅτι τὰ ἐναντία, ἢ ἐν τῷ αὐτῷ γένει ἐστίν,
ἢ ἐν ἐναντίοις γένεσιν, ἢ αὐτὰ γένη ἐστί. τούτων δὲ τοῦ μὲν πρώτου, τοῦ ὅτι ἀγαθῷ κα-
κὸν ἐξ ἀνάγκης ἐναντίον ἐστί, δι' ἐπαγωγῆς τὴν πίστιν ἐποιήσατο. διὰ γὰρ ὑγείας καὶ
νόσου, καὶ δικαιοσύνης καὶ ἀδικίας, τὸ καθόλου κατεσκεύασε. τὸ δὲ ὅτι τῷ κακῷ πο-
τὲ μὲν ἀγαθὸν ἐναντίον, ποτὲ δὲ κακόν, ἀπὸ τῶν κατ' ἔνδειαν καὶ ὑπερβολὴν καὶ με-
σότητα συνελογίσατο. τῇ γὰρ ἐνδείᾳ, ἥ τε μεσότης ἐναντιοῦται, καὶ ἡ ὑπερβολή.
ὡς τῇ δειλίᾳ, καὶ ἡ ἀνδρία καὶ ἡ θρασύτης. καὶ τῇ ψυχρότητι τοῦ σώματος ἀσυμμετρία,



Universitäts- und
Landesbibliothek Düsseldorf

ἥ τε σύμμετρος κρᾶσις, καὶ ἡ θερμοτέρα. ἐν δὲ τῷ περὶ ἀντικειμένων βιβλίῳ, προσέθηκε τοῖς τρόποις τούτοις τῶν ἐναντιώσεων, καὶ τὸν τῶν μήτε ἀγαθῶν μήτε κακῶν, πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, οὕτως λέγων. τὸ λευκόν, τῷ μέλανι. καὶ τὸ γλυκύ, τῷ πικρῷ. καὶ τὸ ὀξύ, τῷ βαρεῖ. καὶ τῇ κινήσει, τὴν στάσιν ἐναντιοῦσθαι. ἀλλὰ ἐν ποσῷ ἐνίοις δοκεῖ ἐναντίον εἶναι. νῦν δὲ τῷ κακῷ, δύο φησὶν ἐναντία εἶναι. τό, τε ἀγαθόν, καὶ τὸ ἀντικείμενον κακόν. ὡς τῇ θρασύτητι, ἥ τε ἀνδρεία, καὶ ἡ δειλία. καὶ τῷ ἀγαθῷ, δύο κακὰ φαίνεται ἐναντία. ὡς τῇ ἀνδρείᾳ, ἡ θρασύτης καὶ ἡ δειλία. καὶ τῇ μεσότητι, ἥ τε ὑπερβολὴ καὶ ἡ ἔλλειψις. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον, ὡς εἰ μὲν κατὰ τὸ αὐτὸ τῇ θρασύτητι ἑκάτερα ἀντέκειτο, ἄτοπος ἂν ἦν ὁ λόγος. εἰ δὲ ὡς μὲν κακῷ τὸ ἀγαθὸν ἀντίκειται, καὶ ὡς ἀσυμμέτρῳ τὸ σύμμετρον, ἐν ἑνί. ὡς δὲ ὑπερβολῇ τῇ θρασύτητι, ἀντίκειται ἡ ἔλλειψις, ἡ κατὰ τὴν δειλίαν οὐδὲν ἄτοπον. πρὸς δὲ τὸ δεύτερον, ὅτι καὶ ὡς ἀγαθῷ ἕν ἐστιν ἀντικείμενον τὸ κακόν. καὶ ὡς συμμέτρῳ, ἓν τὸ ἀσύμμετρον. ὅπερ κοινῶς καὶ ἐν ὑπερβολῇ θεωρεῖται καὶ ἐν ἐλλείψει. οὐ γὰρ ὡς ὑπερβολὴ καὶ ἔλλειψις πρὸς τὸ σύμμετρον ἀντίκειται, ἀλλ᾽ ὡς ἀσυμμετρία. ἡ δὲ ἔλλειψις πρὸς τὴν ὑπερβολήν, κατὰ τὸ ποσὸν ἀντίκειται. καὶ γὰρ καὶ τὰ πάθη καθόσον ἐστὶ διαιρετά, ποσόν ἐστι. καὶ Ἀριστοτέλης δὲ ἐνδείκνυται τὴν κατ᾽ ἄλλο καὶ ἄλλο ἀντίθεσιν, εἰπών. κακῷ δέ, ὁτὲ μὲν ἀγαθόν ἐστιν ἐναντίον. ὁτὲ δέ, κακόν. οὐ γὰρ ταὐτὸν τούτῳ, καὶ ἀγαθὸν καὶ κακόν. ἀλλὰ μᾶλλον τῷ κατὰ μὲν τό, ἀγαθόν. κατὰ δὲ τό, κακόν. ὥστε τοῖς μὲν ἄκροις, δύο τὰ ἐναντία. τὸ μὲν ἕτερον ἄκρον, κατὰ τὸ ποσόν. τὸ δὲ μέσον, κατὰ τὸ ποιόν. ὡς σύμμετρον ἀσυμμέτρῳ. τὸ γὰρ μέσον ποσόν, οὐκ ἔστι τῷ ἄκρῳ ἐναντίον ὡς ποσόν. οὐ γὰρ πλεῖστον διέστηκεν κατὰ τὸ ποσόν. τὸ δὲ μέσον, ὡς ἐν ἄμφω τὰ ἄκρα ἐναντία. ὡς γὰρ ἀσύμμετρον πρὸς σύμμετρον. καὶ ὡς κακία πρὸς ἀρετήν. Νικόστρατος δὲ αἰτιᾶται. ἓν μέν, ὅτι ἀτελῶς ἔχει ἡ τῶν ἐναντίων διαίρεσις. οὐ γὰρ προσέθηκεν ὅτι καὶ ἀδιάφορον ἀδιαφόρῳ ἀντίκειται. ὅπερ ἐν μὲν τῷ τῶν ἀντικειμένων βιβλίῳ προσέθηκεν εἰπών, εἶναί τινα τρόπον ἀντιθέσεως. τῶν μήτε ἀγαθῶν πρὸς τὰ μήτε ἀγαθά, μήτε κακὰ ὡς εἴρηται πρότερον. ἀδιάφορα δὲ αὐτὰ οὐκ ἐκάλεσεν ὡς οἶμαι. διὸ νεώτερον ἦν τὸ τοῦ ἀδιαφόρου ὄνομα παρὰ τῶν στωϊκῶν τεθέν. ἐνταῦθα δὲ αὐτῶν οὐκ ἐμνήσθη. διότι ἀμφισβητήσιμον ἦν, μήποτε οὐ μόνον ἀδιάφορον ἀδιαφόρῳ, ἀλλὰ καὶ ἀδιάφορον κακῷ ἀντίκειται. ὡς δοκεῖ τὸ τεχνικὸν μέσον ἐν τῷ ἀτέχνῳ κακῷ ὄντι ἐναντιοῦσθαι. καὶ τὸ νήφειν, τῷ μεθύειν. καὶ αὖ πάλιν. ἀγαθῷ μέσον ἐναντίον, ὡς τὸ οἰνοῦσθαι τῷ νήφειν. ἀκατάλληλος δὲ ἡ λῆψις. καὶ γὰρ τὸ ἄτεχνον μέσον, ἐπὶ καὶ τῶν παίδων λέγεται. καὶ τὸ νήφειν διττόν. τὸ μέν, ἀγαθόν. τὸ δέ, μέσον. ὅταν τὸ μὴ οἰνοῦσθαι δηλοῖ. καὶ τὸ μεθύειν. τὸ μέν, κακόν. τὸ δέ, μέσον, ὅταν τὸ οἰνοῦσθαι δηλοῖ. καὶ οὕτω μέσα μὲν μέσοις. ἀγαθὰ δὲ κακοῖς ἀντιτίθεσθαι προσήκει. ἅπερ ἀνεξέταστα καταλιμπάνων, ἄτοπον ἐποίει. μνημονεύσας δ᾽ ὅλως αὐτῶν καὶ ἐξετάζων, μήπως ἐπεισῆλθεν ἀσύμμετρον τῇ εἰσαγωγῇ. ἕτερον δὲ αἰτιᾶται ὅτι ὁ αὐτὸς ἀνὴρ πειρώμενος καὶ ἀγαθὸν ἀγαθῷ δεικνύναι ἐναντίον. τὴν γὰρ φρονίμην περιπάτησιν, τῇ φρονίμῃ στάσει ἐναντίαν φησί. καὶ τὴν φρονίμην ἡδονήν, τῇ φρονίμῃ λύπῃ. καὶ τἄλλα τὰ τοιαῦτα,

ἅπερ καὶ ἐναντίως λέγεσθαι δοκεῖ. ἀλλ' οὐκ ἔστιν ἐναντία συμφρονοῦντα πρὸς τὸν ἕνα σκοπόν. καὶ τὸ ἓν τέλος τοῦ ἄμφω ποιοῦντα ἐμφρόνως. εἰ δὲ καὶ ἔστιν ὅλως ἐν τούτοις ἐναντίωσις, ὡς οὐκ ἀγαθοῦ πρὸς ἀγαθόν ἐστιν, ἀλλ' ὡς μέσου πρὸς μέσον. ὡς γὰρ περιπάτησις πρὸς στάσιν, καὶ ὡς ἡδονὴ πρὸς λύπην ἀντίκειται. ζητήσοι δ' ἄν τις, διὰ τί κακῷ μὲν κακὸν ἀντίκειται, καὶ μέσον μέσῳ, ἀγαθὸν δὲ ἀγαθῷ οὐκ ἐναντιοῦται. καὶ ῥητέον, ὅτι τὸ μὲν ἀγαθόν, ἕν ἐστι καὶ ἁπλοῦν. τὸ δὲ κακόν, ποικίλον. ὥσπερ οὖν πανταχοῦ τὸ μὲν τυχεῖν καθ' ἓν γίνεται, κατὰ τὴν εἰς τὸν σκοπὸν βολήν. τὸ δὲ ἀποτυχεῖν, κατὰ πολλά. κατά τε γὰρ τὰς ὑπερβολὰς καὶ τὰς ἐνδείας, οὕτως τὸ μὲν ἀγαθὸν ἓν ὄν, οὐκ ἐναντιοῦται πρὸς ἑαυτό. τὸ δὲ κακὸν ποικίλον ὄν, ἐναντιοῦται. τὸ δὲ μέσον, οὐδὲ αὐτὸ ὡς μέσον ἐναντιοῦται, ἀλλὰ καθ' ἣν ἔχον φύσιν, μέσον ἐστίν. ὥσπερ τὸ λευκὸν μέλανι. καὶ γλυκὺ πικρῷ. τὸ μέντοι κακόν, οὐ κατὰ τοῦτο, ἀλλὰ κατά τε τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν, καθ' ἣν καὶ ἀσύμμετρα καὶ κακά ἐστιν. ὥσπερ δὲ δύο ἀληθῆ οὐκ ἀντίκειται, ψευδῆ δὲ δύο ἀντίκειται, ὡς ἐπὶ τῆς ἐνδεχομένης ὕλης τὸ πᾶς, καὶ οὐδείς, οὕτως ἀγαθὸν μὲν ἀγαθῷ οὐ μάχεται. κακὸν δὲ κακῷ μάχεται. διόπερ οἰκονομία μὲν καὶ ἐλευθερία οὐ μάχονται. καίτοι ἡ μέν, σώζειν βούλεται τὰ χρήματα. ἡ δέ, προΐεσθαι. ἀλλ' ἄμφω τοῦ καιροῦ στοχαζόμεναι, συνάπτονται κατὰ τὸ ἀγαθόν. θρασύτης δὲ καὶ δειλία, μάχονται. καὶ ταύτην δὲ τῶν ἐναντίων τὴν διαφορὰν ὁ ἀριστοτέλης τῷ ἀρχύτᾳ παρακολουθῶν, προτέθεικε. γράφει γὰρ οὕτως ἐκεῖνος ἐν τῷ περὶ τῶν ἀντικειμένων βιβλίῳ, τάδε.

» ἔτι τῶν ἐναντίων διαφοραὶ τρεῖς. τὰ μὲν γάρ, ὡς ἀγαθὸν κακῷ ἀντίκειται. οἷον ὑγίεια,
» νόσῳ. τὰ δέ, ὡς κακὸν κακῷ. οἷον ἀνελευθερία, ἀσωτία. τὰ δέ, ὡς οὐδέτερον οὐδετέρῳ.
» οἷον λευκόν, μέλανι. βαρύ, κούφῳ. τὸ παρὰ τοῖς νεωτέροις ἀδιάφορον καλέσας αὐτὸς οὐδέτερον, ὡς ἀριστοτέλης τῇ τῶν ἄκρων ἀποφάσει, οὔτε ἀγαθόν, οὔτε κακὸν αὐτὰ καλεῖ. ἐπ' ὀλίγων δέ φησι τὴν τοῦ κακοῦ πρὸς τὸ κακὸν ἐναντίωσιν ἔστιν ὁρᾶν. ἐπ' ἐκείνων γὰρ μόνων, ἐφ' ὧν τὸ μὲν ἀγαθόν, ἐν μεσότητι θεωρεῖται. τὸ δὲ κακόν, ἐν ὑπερβολῇ καὶ ἐλλείψει. καὶ ἐπὶ τούτων δὲ αὐτῶν ἄμφω, ὡς ἓν κακὸν πρὸς τὸ ἀγαθὸν ἀντίκειται. ζητεῖν δὲ ἄξιον οἶμαι, εἰ μὴ πᾶν ἀγαθὸν ἔχον ἀντικείμενον κακόν, ἐν συμμετρίᾳ θεωρεῖται. καὶ πᾶν κακόν, ἐν ἀσυμμετρίᾳ. εἰ γὰρ τοῦτο, οὐκ ἐπ' ὀλίγων ἐστί. καὶ ἡ κακοῦ πρὸς κακὸν ἀντίθεσις. ἡ γὰρ ἀσυμμετρία, κατά τε ὑπερβολὴν γίνεται καὶ ἔλλειψιν, ἅπερ ἀντί-
» κειται ἀλλήλοις ὡς κακά. ἢ πολλά. καὶ τὰ μὴ οὕτως. ἔτι δὲ τῶν ἐναντίων, οὐκ ἀναγ-
» καῖον ἂν θάτερον ᾖ, καὶ τὸ λοιπὸν εἶναι. ἕως τοῦ, οὐκ ἂν εἴη τὸ νοσεῖν σωκράτει. Δεύτερον θεώρημα εἶναι περὶ τῶν ἐναντίων παραδίδωσιν. ᾧ πρότερον ἐχρησάμεθα τὴν διαφορὰν τῶν ἐναντίων πρὸς τὰ πρός τι δηλοῦντες. διότι ἐπὶ μὲν τῶν ἄνευ συμπλοκῆς ἐναντίων, οὐκ ἀναγκαῖον ἂν θάτερον ᾖ, καὶ τὸ λοιπὸν εἶναι. οὐ γὰρ εἰ ὑγίεια ἐστίν, ἀνάγκη καὶ νόσον εἶναι. τὰ δὲ πρός τι, ἅμα συνυπάρχει. ἐπὶ δὲ τῶν συνειλημμένων ἐναντίων, ταῦτα δέ ἐστι τὰ ἀξιώματα, ὡς ὅταν λέγω, σωκράτην ὑγιαίνειν. σωκράτην νοσεῖν. ἐπὶ τούτων, οὐκ ἐνδεχομένως, ἀλλ' ἀναγκαίως θάτερον μόνον ὑπάρ-

χει. τούτων δὲ τὸ πρῶτον Ἀριστοτέλης μὲν καθ' ὑπόθεσιν ἔλαβε τὸ πάντας ὑγιαίνειν, καὶ πάντας λευκοὺς εἶναι, τὸ μὴ δεῖν ἀλλήλων ἠρτῆσθαι τἀναντία, ὥσπερ τὰ πρός τι δηλῶν. οὐ συγχωρήσουσι δὲ ὅσοι τἀναντία ἀρχὰς ἔθεντο. οἵ τε ἄλλοι, καὶ οἱ Ἡρακλείτειοι. εἰ γὰρ τὸ ἕτερον τῶν ἐναντίων ἐπιλείψει, οἰχήσεται ἂν πάντα ἀφανισθέντα. διὸ καὶ μέμφεται τῷ Ὁμήρῳ Ἡράκλειτος εἰπόντι, ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο. οἰχήσεσθαι γάρ φησι πάντα. ἐν μέντοι τῷ ἑξῆς οὐ τοῦτο δείκνυται, τὸ μὴ ἅμα ὑπάρχειν τἀναντία ἐν τῷ κόσμῳ, ἀλλ' ὅτι οὐχ ἅμα οἷόν τε Σωκράτην νοσεῖν καὶ ὑγιαίνειν. οὐδὲν δὲ κωλύει ἄλλου μὲν νοσοῦντος, ἄλλον ὑγιαίνειν. εἰ δὲ συμφωνεῖν τις τῷ προτέρῳ καὶ τοῦτον βούλοιτο τὸν λόγον, οὕτως ἂν ἐκδέξαιτο. καὶ γὰρ μὴ ἐνδέχεται ἅμα ὑγιαίνειν τὸν Σωκράτην καὶ νοσεῖν, οὐδὲ ἄλλον οὐδένα τὸν ὑγιαίνοντα ἐγχωρεῖ νοσεῖν. εἰ πάντες οὖν ὑγιαίνοιμεν καθ' ὑπόθεσιν, οὐκ ἂν εἴη νόσος οὐδαμοῦ. εἰπόντος δὲ αὐτοῦ περὶ τὸ αὐτὸ τῷ ἀριθμῷ, μὴ ἂν τὰ ἐναντία γίνεσθαι, ἀντιτίθενταί τινες τὸ ἡδονὴν καὶ λύπην ἅμα γίνεσθαι, ὑπὸ τῶν θερμῶν γλυκὺ πινόντων. ἢ πρῶτον μὲν, οὐκ ἔστι τὸ αὐτὸ συμβαίνειν. ἀλλ' ἡ μὲν ἁφὴ, ἀνιᾶται. ἡ δὲ γεῦσις, ἥδεται. ἔπειτα δὲ, ἐκ τοῦ συνυπάρχειν ἀλλήλοις ἡδονὴν καὶ λύπην, ἐν τῷ διψῶντι καὶ πίνοντι δείκνυσιν ὁ Πλάτων εἴ τι μέμνημαι, ὅτι οὐκ ἔστι ταὐτὰ ἀγαθόν καὶ κακόν. οὐδὲ γὰρ ἐναντία. ὁ δὲ Ἰάμβλιχος ἀπαριθμεῖται τῶν ἐναντίων ἐκτείνων τὸν λόγον, τὰ μὲν, μίγνυσθαί φησι τῶν ἐναντίων, ὡς λευκὸν καὶ μέλαν, ἐν τῷ φαιῷ. καὶ γλυκὺ καὶ πικρὸν, ἐν τῷ ἀψινθίῳ. τὰ δὲ, ἄμικτα εἶναι, ὡς ὑγείαν καὶ νόσον, τῶν ἰατρῶν καὶ ταύτας ἐν τῇ οὐδετέρᾳ λεγομένῃ καταστάσει μιγνύντων. ἔτι δέ φησι τῶν ἐναντίων ὅσα γεννητικά ἐστι, τοῦτο τὸ γεννηθὲν, ὅπου μὲν τὸ μὲν, μᾶλλον ἐστὶ τοῦ γεννήσαντος. ὃ δὲ, ἧττον ὡς τὸ φαιόν. ὅπου δὲ ἀμφοῖν μεῖζον, ὡς τὸ ἐκ μείζονος καὶ ἐλάττονος συντεθέν. ὅπου δὲ ἀμφοῖν ἔλαττον, ὡς τὸ ἐξ εὐθέος καὶ καμπύλου. ἔστι γὰρ τοῦ εὐθέος, ἧττον ἐστὶν εὐθύ. καὶ τοῦ καμπύλου, ἧττον καμπύλον. δῆλον δὲ ὅτι καὶ περὶ ταὐτὸν, ἢ εἴδει ἢ γένει πέφυκε γίνεσθαι τὰ ἐναντία. ἔστω τὸ δικαιοσύνη δὲ καὶ ἀδικία ἐν τῇ ψυχῇ ἀνθρώπου. ἐπειδὴ περὶ τῶν ἐμμέσων τε ἀμέσων ἐναντίων λέγων ἐχρήσατο τῷ ἐν ᾧ πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖσθαι, διδάσκει τίνα ἐστὶ τὰ ἐν οἷς πέφυκε γίνεσθαι τὰ ἐναντία. τριχῶς δὲ τοῦ ταὐτοῦ λεγομένου, ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ, ἐν τοῖς αὐτοῖς τῷ εἴδει, καὶ ἐν τοῖς αὐτοῖς τῷ γένει λέγει γίνεσθαι. ὅταν μὲν γὰρ τὸ σῶμα ἁπλῶς λάβωμεν περὶ ὃ τἀναντία λευκότης καὶ μελανία, γένος τὸ αὐτὸ ἐλάβομεν. ἐὰν δὲ ζώου σῶμα ἐν ᾧ νόσος καὶ ὑγεία, εἶδος ἐλάβομεν ὑπὸ τὸ γένος. κἂν μὲν πάσας ψυχὰς ὡς τῷ γένει τὰς αὐτὰς, ἔσται περὶ αὐτὰς ἐναντία τὸ λογικὸν καὶ τὸ ἄλογον. ἐὰν δὲ τὰς ἀνθρωπίνας ψυχὰς ὡς εἴδει, ἔσται περὶ αὐτὰς ἀρετὴ καὶ κακία. περὶ μέντοι τὸ αὐτὸ τῷ ἀριθμῷ γίνεσθαι τἀναντία, οὐ προσέθηκε. τινὲς μὲν γὰρ ὡρισμένως τὴνδε τὴν φρόνησιν οἷον τὴν Σόλωνος, τῇ αὐτῇ ἀφροσύνῃ εἴπερ γένοιτο, ἐναντίαν εἶναί φασι. καὶ τὴν τοῦδε ὑγείαν, τῇ αὐτοῦ ἐκείνου νόσῳ. ἀλλ' οὐ τὴν τυχοῦσαν τῇ τυχούσῃ. οὐ μέντοι ὁ Ἀριστοτέλης οὕτως ἔοικε τίθεσθαι. διὸ ἐν γένει μόνῳ καὶ ἐν εἴδει τῷ αὐτῷ εἶπε γίνεσθαι τἀναντία. καὶ Ἰάμβλιχος δὲ ἀκολουθῶν φησι, μὴ λέγεσθαι κατὰ δεῖξιν τὴνδε τὴν φρόνησιν, τῇδε τῇ ἀφρο-

σύνη ἐναντίαν. μέσως δὲ φρόνησιν ἀφροσύνη. κἂν ἐπί τινος δὲ τῶν ἀτόμων ὡρισμένως τὰ ἐναντία λέγηται, ἀλλὰ κατὰ ἀναφορὰν τὴν εἰς τὰ μέσα. ἐπεὶ τὸ μᾶλλον ἐν τούτῳ φρονήσει ἡ ἀφροσύνη ἐναντίον ἐστί. μήποτε δὲ ἔστι τις καὶ ἐν τούτοις ἀντίθεσις, εἴπερ καὶ αἱ ἀρεταὶ καὶ αἱ κακίαι πρὸς τὰς ἐχούσας ψυχὰς ἰδιοποιοῦνται. καὶ ὑγεῖαι καὶ νόσοι πρὸς τὰ ἔχοντα σώματα. πῶς δὲ ἂν οὐκ εἴποι ὁ Ἀριστοτέλης, καὶ περὶ ταύτην τῷ ἀριθμῷ γίνεσθαι τὰ ἐναντία, εἴπερ τῆς οὐσίας τὸ ἴδιον τοῦτο ἀφωρίσατο καὶ αὐτός, τὸ ταὐτὴν καὶ ἓν ἀριθμῷ μένουσαν τῶν ἐναντίων εἶναι δεκτικήν. ἢ οὐ λέγει τὸ ὑποκείμενον τοῖς ἐναντίοις βούλεται ὁ Ἀριστοτέλης μὴ εἶναι ἓν ἀριθμῷ. ἀλλ' ἴσως ὡς ἐν τοῖς περὶ οὐσίας λόγοις εἰρημένον, σαφῶς νῦν παραλέλειπται. ἀλλ' εἴπερ ἄρα τὰ ἐναντία κἂν ἐν τοῖς ἀτόμοις γένηται, μὴ κατὰ τὸ ἄτομον αὐτὰ τὴν ἐναντίωσιν ἔχειν. μὴ γὰρ ὅτι ἥδε ἡ φρόνησις, καὶ ἥδε ἡ ἀφροσύνη, ἀλλ' ὅτι φρόνησις ἀφροσύνη. οὕτως δὲ καὶ τὸ παρὰ τοῦ Ἰαμβλίχου λεγόμενον εὐθετιστέον. δῆλον δὲ ὅτι περὶ μὲν τὸ ταὐτὸν τῷ γένει, καὶ περὶ τὸ ταὐτὸν τῷ εἴδει, οὐ μόνον ἅμα εἶναι τὰ ἐναντία, ἀλλὰ καὶ ἔστιν ἅμα. διότι δύναται ἐν ἄλλῳ καὶ ἄλλῳ συνεστάναι. περὶ δὲ τὸ αὐτὸ τῷ ἀριθμῷ ἀδύνατον εἶναι ἅμα, ἀλλ' ἀνὰ μέρος. Ἀναγκαῖον δὲ πάντα τὰ ἐναντία. ἕως τοῦ, ἀλλ' αὐτὰ τυγχάνει γένη ὄντα. Τέταρτον θεώρημα παραδίδωσιν, ὅτι πάντα τὰ ἐναντία ἢ ὑπὸ τὸ αὐτό γένος ἐστίν, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν ὑπὸ τὸ χρῶμα, ἢ ὑπὸ τὰ ἐναντία γένη, ὥσπερ δικαιοσύνη καὶ ἀδικία. εἴπερ τῆς μέν, ἀρετή. τῆς δέ, κακία τὸ γένος. ἢ αὐτὰ γένη ἐστὶν ὥσπερ τὸ ἀγαθὸν καὶ τὸ κακόν, ἃ οὐκ ἔστιν ἐν γένει ἄλλῳ, ἀλλ' αὐτὰ τυγχάνει γένη ὄντα. ταύτης δὲ τῆς διαιρέσεως ὁ Ξενοκράτης λαμβάνεται, ἀνύπαρκτον λέγων τὸ τρίτον ἐν αὐτῇ τμῆμα. μὴ γὰρ εἶναί τινα ἐναντία, ἅπερ ἐστὶ μόνον γένη. οὐχὶ δὲ καὶ εἴδη τινὸς ἢ τινῶν. αὐτίκα γοῦν τὸ ἀγαθὸν καὶ τὸ κακόν, ὑπὸ τὴν ποιότητα τάττεται. καὶ ἤτοι τὴν διάθεσιν, ἢ τὴν ἕξιν. ἄλλως δὲ πᾶν ἐναντίον, ἤτοι ὑπό τι τῶν δέκα γενῶν ταχθήσεται καὶ ἔσται πάντως ὑπὸ γένος. καὶ μάτην εἴρηται τὸ αὐτὰ γένη εἶναι, ἢ ἔξω τῶν δέκα κατηγοριῶν ἐστί. καὶ ἀτελὴς ἔσται ἡ εἰς δέκα διαίρεσις. ταύτην δὲ τὴν ἀπορίαν καλῶς ἑρμηνεύσαντες, οἱ περὶ τὸν Πορφύριον λύουσι λέγοντες, τῶν ἐναντίων τὰ μέν, ὁμώνυμα εἶναι. τὰ δέ, οὐχ ὁμώνυμα. καὶ ὅτι τὰ μὲν μὴ ὁμώνυμα δῆλον, εἴς τε τὰ ὑφ' ἓν γένος τεταγμένα, καὶ εἰς τὰ ὑπὸ τὰ ἐναντία γένη. τὰ δέ γε ὁμωνύμως μὴ ὑφ' ἓν γένος ὄντα, κατὰ πολλῶν δὲ λεγόμενα, διότι ἔοικε γένη τοῖς ἀφ' ἑνὸς ὁμωνύμοις, αὐτὰ γένη φησὶν εἶναι. τοιοῦτον δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν. ὁμώνυμον γὰρ τὸ ἀγαθόν. καὶ γὰρ ἐν οὐσίᾳ, ὡς θεός. καὶ ἐν ποιότητι, ὡς ἀρετή. καὶ ὡς ποσὸν δέ, ὡς τὸ σύμμετρον. καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις. ἀλλ' οἱ οὕτως λέγοντες, πρῶτον μὲν τὸ γένος ἀκύρως εἰρῆσθαι ἀντὶ ὁμωνύμου φωνῆς λέγουσιν. ἔπειτα οὐ προσποιοῦνται, τὸ ποιότητα εἶναι τὸ ἀγαθὸν καὶ τὸ κακόν. ἄλλοι δὲ ἰδιοτρόπως ἐξηγοῦνται τὴν λέξιν. λέγοντες, μηδὲν ἀποδηλοῦσθαι ἐν τῷ, ἀγαθὸν δὲ καὶ κακὸν οὐκ ἔστιν ἐν γένει, ἀλλ' αὐτὰ τυγχάνει γένη τινῶν ὄντα. ἢ ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὐκ ἔστιν ὑπὸ τὰ ἐναντία γένη, ἀλλ' αὐτὰ

γένη ἐστὶν ἐναντία. καὶ γὰρ ὑπὸ τὸ ποιόν ἐστι. τὸ δὲ ποιὸν, οὐκ ἔστιν ἐναντίον ἄλλῳ γέ-
νει. βεβίασται δὲ καὶ αὕτη ἡ λύσις. οὐδὲν γὰρ διοίσει ἡ τρίτη διαφορὰ τῆς πρώτης,
εἴπερ ἐναντία ὄντα τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ὑφ' ἕν ἐστι γένος. Θεόφραστος δὲ ἐν τοῖς
ἑαυτοῦ τοπικοῖς, τάδε γέγραφεν, ἀπορώτερον ἔτι ποιοῦντα τὸν λόγον. ἐπεὶ δὲ ἐναν-
τίαι τῶν ἐναντίων αἱ ἀρχαὶ, δῆλον ὅτι οὐδὲ ἐν ἑνὶ γένει ταῦτα. καθάπερ οὐδὲ τὸ ἀγα-
θὸν καὶ τὸ κακόν. καὶ κίνησις καὶ στάσις. εἴη δ' ἂν καὶ ὑπεροχὴ καὶ ἔλλειψις ἐναντία-
γε. καὶ ἀρχαὶ καὶ εἶδος καὶ στέρησις. πρὸς δὴ ταῦτα φησὶν Ἰάμβλιχος, ὡς τῶν ὄν-
των δέκα γένη καὶ πάντα τὰ ἐναντία ὑπὸ ταῦτα, ἤτοι πάντα ὑφ' ἓν γένος ταχθή-
σεται, ἢ ἄλλο ὑπ' ἄλλο, ἢ πολλαχῶς ἔσται ἐναντία, ἑκάστου ὑπὸ πλείονα γένη ταττομέ-
νου. ἢ οὐχ ἁπλῶς φησὶν οὐδὲ ἐν ἑνὶ γένει εἶναι τὰ ἐναντία, ὡς γένη τὰς κατηγορίας
λέγων. ἀλλ' ὅτι οὐκ ἔστι γένη αὐτῶν, ἀλλ' ὡς ἐναντία. ἀρχαὶ γὰρ τῶν ἐναντίων αὗται.
καὶ ὑπὸ ταῦτα τὰ ἄλλα τέτακται. ἐπεὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, οἴεται
καὶ αὐτὸς ὑφ' ἓν γένος τὸ ποσὸν τεταγμένα, ὡς ὑπὸ μίαν κατηγορίαν. ὡς δὲ ἐναν-
τία καὶ ἐναντίων οὐ βούλεται ὑπὸ ἄλλα ἐναντία τετάχθαι. ἢ καὶ τὰ πρῶτα ἐναν-
τία, ἀκυρίως γένη. καὶ τοῦτό ἐστι τὸ, οὐδὲ ἐν ἑνὶ γένει ταῦτα. καὶ γὰρ τὰ παραδείγματα
οἷς ἐπ' αὐτῶν χρῆται τοιαῦτα ὡς ἔχειν ἐν αὐτοῖς τὸ πρῶτον καὶ ὕστερον. μήποτε οὖν
φησὶν Ἰάμβλιχος τῇ πυθαγορικῇ διατάξει περὶ τῆς τοῦ ἀγαθοῦ καὶ κακοῦ συστοιχίας
ἀκολουθεῖ νῦν Ἀριστοτέλης, τὰς ἐναντίας περὶ ἐκείνας ἀρχὰς γένη καλέσας. ὥστε τὴν
τρίτην ταύτην τῶν ἐναντίων διαφορὰν προκεῖσθαι παρὰ δόξαν μᾶλλον. ἀλλ' ἐπιζητήσοι
ἄν τις ποτὲ, πῶς ἔτι ἀληθὴς ἐκεῖνος τῶν ἐναντίων ὁ λόγος, ὁ λέγων ἐναντία ἀλλήλων
εἶναι τὰ πλεῖστον ὑπὸ τὸ αὐτὸ γένος διεστηκότα. εἴπερ μὴ μόνον ὑπὸ τὸ αὐτὸ, ἀλλὰ καὶ
ὑπὸ τὰ ἐναντία γένη ἐστίν. ἵνα τὸ τρίτον ὡς κατὰ δόξαν προστεθὲν, παραλίπω. ἢ ὁ μὲν
λόγος, τὴν εἰς ἓν ὁ ποσοῦν ἀναφορὰν περιέχειν. ἡ δὲ ἐνταῦθα διαφορὰ, κατὰ τὸ προ-
σεχὲς εἴληπται. διότι τὰ μὲν προσεχῶς, ὑφ' ἓν γένος τέτακται. ὡς λευκὸν καὶ μέ-
λαν, ὑπὸ τὸ χρῶμα. τὰ δὲ προσεχῶς, ὑπὸ τὰ ἐναντία. ὡς δικαιοσύνη καὶ ἀδικία, ὑπὸ
ἀρετὴν καὶ κακίαν. διὰ τούτων δὲ, περὶ τὸ ἓν, ἢ τὴν ἕξιν, ἢ τὴν διάθεσιν, ἢ αὐτὴν τὴν ποιό-
τητα. ὁ μὲν Ἀρχύτας μὴ δὲ ταύτην παραλιπὼν τῶν ἐναντίων τὴν διαφορὰν ἀσφα-
λέστερον αὐτὴν ἐκθέσθαι, λέγων οὕτως. ἔτι τῶν ἐναντίων, ἃ μὲν, ἐν γένεσι γενῶν ἐγίγνε-
ται. ἀγαθὸν γὰρ κακῷ ἐναντίον. καὶ γένος τὸ μὲν ἀγαθὸν, τῶν ἀρετῶν. τὸ δὲ κακὸν, τῶν
κακιῶν. ἃ δὲ, ἐν γένεσιν εἰδῶν. ἀρετὰ γὰρ καὶ κακία ἐναντίον. καὶ γένος ἃ μὲν ἀρετὰ,
φρονάσιος καὶ σωφροσύνας. ἃ δὲ κακία, τᾶς ἀφροσύνας καὶ ἀκολασίας. ἃ δὲ, ἐν εἴδεσιν. ἐναν-
τία γὰρ ἀνδρεία δειλία. καὶ δικαιοσύνη ἀδικία. καὶ ἔνιοι εἴδεα. δικαιοσύνα μὲν καὶ ἀνδρεία,
τᾶν ἀρετᾶν. ἀδικία δὲ καὶ ἀκολασία, τᾶς κακίας. ἐν δὲ τούτοις Ἀρχύτας τῶν ἐναν-
τίων, τὰ μὲν, γενικὰ γενῶν εἶπεν οὐ κωλυόμενα, οὐδὲ αὐτὰ ὑφ' ἕν τι γένος ἀνάγεσθαι.
ὡς τὸ ἀγαθὸν ὑπὸ τὴν ποιότητα. τὰ δὲ, γένη εἰδῶν. τὰ δὲ, εἴδη. καὶ προστίθησιν αὐτὸς,
ὅτι τὰ πρῶτα γένη, πάντως καὶ εἴδη ἐστίν. οὐ γάρ φησι γένη μόνον γένη ἐστὶ, ἀλλὰ καὶ

Universitäts- und
Landesbibliothek Düsseldorf

εἴδεα. ἀλλ' ἐπεὶ τὸν περὶ τῶν ἐναντίων καὶ περὶ τῶν ἀντικειμένων ὅλων συνεπεράσαμεν λόγον, καλῶς ἂν ἔχοι τὸ τηλικοῦτον ζήτημα μὴ παραλιπεῖν. ὁ γὰρ Ἀριστοτέλης πανταχοῦ ἐν τούτοις, καὶ πρὸ τοῦ Ἀριστοτέλους Ἀρχύτας, ἐναντίων παραδείγματα τὸ ἀγαθὸν καὶ κακὸν τίθησι. καὶ ὑγείαν καὶ νόσον. καὶ ἀληθὲς καὶ ψεῦδος. καὶ δικαιοσύνην καὶ ἀδικίαν. καὶ ἀρετὴν καὶ κακίαν, ἤτοι σπουδαιότητα καὶ φαυλότητα. ἕξεως δὲ καὶ στερήσεως παραδείγματα, ὄψιν καὶ τυφλότητα. ζητητέον οὖν οἶμαι ἄξιον τὸ ἀγαθὸν καὶ κακόν. καὶ δικαιοσύνην καὶ ἀδικίαν. καὶ ὑγείαν καὶ νόσον, ὡς ἐναντία δεῖ τίθεσθαι, ἢ ὡς ἕξιν καὶ στέρησιν. εἰ γὰρ τὰ ἐναντία ἰσοσθενῆ βούλεται εἶναι, καὶ ὁμοίως προηγούμενα καὶ κατὰ φύσιν ἄμφω. ταῦτα δὲ τὸ κακὸν φημὶ καὶ ἀδικία καὶ νόσος, καὶ τὰ τοιαῦτα, ἀποτυχίαι μᾶλλον εἰσί, καὶ παραλλάξεις καὶ παρατροπαὶ, ἀπὸ τοῦ κατὰ φύσιν, καὶ παρυποστάσεις. πάντως ἂν εἴη προηγούμενα ἄμφω ἢ ἰσοσθενῆ, ἢ κατὰ φύσιν ὁμοίως. εἰ γὰρ ἔστιν ὅλως τὸ παρὰ φύσιν, ἐν τούτοις ἐστὶ καὶ οὐκ ἄλλῳ. καὶ ὅτι ἀποτυχία δηλοῖ τὸ πρότερον μὲν μηδενὸς εἶναι τέλος αὐτά. ἔπειτα καὶ οἱ ἀναιρούμενοι ἀδικίαν τοῦ παραχήσει τοῦ ἐν αὐτοῦ ἀγαθοῦ δελεάζονται. καὶ κατὰ ἀποτυχίαν αὐτῶν περιποιοῦσι, τὸ αὔταρκες καὶ τὸ ἱκανὸν καὶ τὸ πρότερον ζητοῦντες. τίς δὲ οὐδὲ περὶ τῆς νόσου ἀμφιβάλλει, ὅτι οὐ παρὰ φύσιν ἐστὶ διάθεσις. καὶ οὕτως αὐτὴν μέχρι νῦν οἱ ἰατροὶ πάντες ὁριζόμενοι διατελοῦσιν. εἰ ὡς τὸ κατὰ φύσιν ταῦτα καὶ τὸ παρὰ φύσιν ἀντίκειται, οὐκ ἂν εἴη ὡς ἐναντίων ἀντίθεσις. ἐκεῖνα γὰρ κατὰ φύσιν καὶ εἴδη ἄμφω, ὡς λευκὸν καὶ μέλαν καὶ θερμὸν καὶ ψυχρόν. ἀλλ' ὡς ἕξεως μᾶλλον καὶ στερήσεως. ἡ μὲν, ἐν τῷ στερίσκεσθαι. ἡ δὲ, ἐν τῷ ἐστερῆσθαι. καὶ γὰρ τὸ νοσεῖν, στέρησις. καὶ τὸ τεθνάναι. καὶ τὸ ὀφθαλμιᾶν. ἡ μὲν, ἐν τῷ στερίσκεσθαι. ἡ δὲ, ἐν τῷ ἐστερῆσθαι. διττῆς οὖν οὔσης, οἱ ἄνδρες οὗτοι τὴν ἐν τῷ ἐστερῆσθαι μόνην στέρησιν καλοῦσι, διὰ τὸ παντελῶς ἀδύναμον. τὰ δὲ ἐν τῷ στερίσκεσθαι, ὡς ἐναντία τίθενται, διὰ τὸ ἐνεῖναί τινα δύναμιν αὐτοῖς. ἔτι ἀπὸ τοῦ παραμεμίχθαι τι τῆς ἕξεως. καίτοι τοῦ Ἀρχύτου ταύτην εἰδότος τὴν διαφοράν, ἐν τῷ περὶ τῶν ἀντικειμένων βιβλίῳ. καὶ οὐ μόνον ταύτην, ἀλλὰ καὶ τρίτην ἄλλην προστιθέντος. λέγει δὲ οὕτως.

» ἁ δὲ στέρησις, καὶ ἐστερῆσθαι λέγεται τριχῶς. ἢ γὰρ τὸ μὴ ἔχειν
» παντάπασιν ὡς τὸ τυφλὸν ὅρασιν, καὶ τὸ κωφὸν φωνάν, καὶ τὸ ἀμαθὲς ἐπιστήμαν,
» ἢ ἐν τῷ μὴ οἷον ἔχειν. ὡς τὸ δύσκωφον ἀκοάν. καὶ τὸ πιλῶσσον ὅρασιν. ἢ ἐν τῷ μὴ οἷον ἔχειν.
» ὡς τὸ σκαμβόπουν πόδας, καὶ τὸ κακόφωνον φωνάν. εἰ μὴ ἄρα καὶ οὗτος, οὐχ ὡς νόσον
» ἔλαβε τὸ πιλῶσσον, ἀλλ' ὡς ἐν τῷ ἐστερῆσθαι καὶ τοῦτο. καὶ γὰρ ὅλη ἡ διαίρεσις, τοῦ

ἐστερῆσθαί ἐστιν. ἔτι δὲ τὰ ἐναντία προηγούμενα, καὶ τέλος τῆς γενέσεως τῆς εἰς ἑαυτὸν ἀποβάλλοντα, εἰλικρινῶς ἐναντία γίνεται. καὶ ἡ νόσος θάνατος. ὥστε οὐκ ἔστιν ἐναντία ὀφθαλμία καὶ νόσος. ὅλως δὲ τὰ ἐναντία ἄμφω φύσεως ἔργα. νόσος δὲ, ἀποτυχία καὶ στέρησις. οὐχ ὡς ἀπουσία μόνον τοῦ πεφυκότος, ἀλλ' ὡς ἀποτυχία. ἡ μὲν γὰρ ἐν φυσικῇ ἀκροάσει στέρησις, ἀπουσία μόνον ἐστὶ τοῦ εἴδους, οὐδαμοῦ τὸ παρὰ φύσιν ἐμφαίνουσα, ἀλλ' ἑτερότητα μᾶλλον. ἡ γοῦν τοῦ βοὸς ὕλη ἐστέρηται τέως τοῦ τῶν μελισσῶν εἴδους. καὶ ἡ τοῦ ἄρτου, τοῦ τῆς σαρκός. οὐδαμοῦ τοῦ παρὰ φύσιν ἐνόντος ἐνταῦθα. ὥσπερ ἐπὶ τῆς ἀντικειμένης στερήσεως. ὥστε ὅπου τὸ παρὰ φύσιν, ἐκεῖ στέρησιν μᾶλλον, ἀλλ'

οὐκ ἐναντίον ῥητέον. οὕτως γὰρ ἡ μὲν καὶ ὁ πρὸς τὴν ἀρχὴν τὸ κακὸν τιθέντας λόγος εὐοδωθήσεται. τί οὖν φαίη τις αἴτιον τῶν θείων τούτων ἀνδρῶν τῆς διατάξεως, καὶ τοῦ μὴ δὲ τὸν Ἰάμβλιχον ἐπιστῆσαι, τὸν πολλοὺς καὶ καλοὺς κατατείναντα λόγους, πρὸς τὸ ἐν παρυποστάσει καὶ ἀποτυχίᾳ τὸ κακὸν οἴεσθαι δεῖν. ἢ τάχα τῇ τῶν Πυθαγορείων παραδόσει κατηκολούθησαν τὰς δύο συστοιχίας, τήν τε χείρονα καὶ τὴν κρείττονα, ὡς ἐναντίας ἐκτιθεμένοις, ἐν αἷς τὸ ἀγαθὸν τέτακται καὶ τὸ κακόν. ἀλλὰ τοῦτο μὲν καὶ ἐπὶ πλέον ζητητέον. εἰ δὲ ἀληθῶς εἴρηται τὰ εἰρημένα, καὶ ζητοῦμεν τῶν ἀντιθέσεων διαφοράς, τῆς τε ὡς ἐναντίας, καὶ τῆς ὡς ἕξεως καὶ στερήσεως, οὐκ ἐκείνην λοιπὸν ἐροῦμεν. ὅτι τὰ μὲν ἐναντία, μεταβάλλει εἰς ἄλληλα. τὰ δὲ κατὰ ἕξιν καὶ στέρησιν, οὐ μεταβάλλει. εἴπερ ὡς εἴρηται καὶ νόσος καὶ ὑγεία, καὶ δικαιοσύνη καὶ ἀδικία, καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν, μεταβάλλοντα εἰς ἄλληλα, οὐχ ὡς ἐναντία, ἀλλ' ὡς ἕξις καὶ στέρησις ἀντίκειται. ἀλλ' ἐροῦμεν ἅπερ καὶ πρώην. ὅτι τὰ μὲν ἐναντία, ἰσοσθενῆ καὶ προηγούμενα ἄμφω καὶ κατὰ φύσιν καὶ εἴδη. ἡ δὲ στέρησις, ἀδυναμία καὶ παρυπόστασις. καὶ παρὰ φύσιν. καὶ ἀποτυχία τοῦ εἴδους. ἀλλ' ἐπὶ τὰ ἑξῆς τοῦ Ἀριστοτέλους ἰτέον.

## ΠΕΡΙ ΤΟΥ ΠΡΟΤΕΡΟΥ

Πρότερον δὲ ἕτερον ἑτέρου λέγεται τετραχῶς. ἕως τοῦ, ὥστε κατὰ τοσούτους τρόπους πρότερον ἕτερον ἑτέρου λέγεται. Ἐχρήσατο καὶ τῷ προτέρῳ ἔν τε τῷ περὶ τῆς οὐσίας λόγῳ, καὶ ἐν τοῖς πρός τι, εἰπών. τὸ γὰρ ἐπιστητὸν, τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι. διὰ τοῦτο οὖν καὶ τὴν τοῦ προτέρου πολλαχῶς λεγομένου, τὴν διαίρεσιν ποιεῖται. οὐ πάντας τοὺς τρόπους παραδιδούς. καὶ ἄλλους γὰρ οὐκ ὀλίγους προστίθησι. καὶ αὐτὸς ἐν ἄλλοις. καὶ ὁ Στράτων ἐν τῷ περὶ τοῦ προτέρου καὶ ὑστέρου μονοβίβλῳ. ἀρκοῦντας δὲ πρὸς εἰσαγωγήν. καὶ τοὺς ἐκτιθέντας οἰόμενος, πρῶτον μὲν τὸν τρόπον τοῦ προτέρου καὶ κυριώτατον, τὸν κατὰ χρόνον εἶναί φησι. καθὸ τὸ πρῶτον τῷ χρόνῳ, πρεσβύτερον καὶ παλαιότερον λέγομεν, ἐπίσημα τιθέντες ταῦτα τὰ ὀνόματα. λέγεται δὲ κυρίως, τὸ μὲν πρεσβύτερον, ἐπὶ τῶν ἐμψύχων, καὶ μάλιστα ἀνθρώπων, καθὸ Πυθαγόραν Σωκράτους πρεσβύτερον λέγομεν. τὸ δὲ παλαιότερον, ἐπὶ τῶν ἀψύχων, καὶ τῶν πραγμάτων, ὡς τὰ Τρωϊκὰ τῶν Περσικῶν παλαιότερα φαμέν. καὶ ταῦτα τὰ πρότερα. καὶ δῆλον δὲ ὅτι πρὸς ἕτερον δεῖ παραλαμβάνοντα ἡγεῖσθαι τὴν σύγκρισιν. εἰ γὰρ μὴ τοῦτο, εὑρεθήσεταί τις αὐτὸς ἑαυτοῦ πρεσβύτερος κατὰ τὴν νέαν ἡλικίαν, ὅτι τῷ χρόνῳ πρότερα ταῦτα ἐκείνης. ἐν δὴ τούτοις ζητητέον. πρῶτον μὲν εἰ ὁμώνυμον τὸ πρότερον, πῶς ἐστί τι ἐν ἑαυτῷ κυριώτατον. ἐν γὰρ τοῖς πολλαχῶς λεγομένοις, καὶ ὁμωνύμοις τὸ μὲν, κύριον εἶναι. τὸ δὲ, κατὰ μεταφορὰν οὐκ ἐνδέχεται, ὡς εἴρηται ἐν τῷ περὶ ὁμωνύμων λόγῳ. ἡ μὲν ἄτομος οὐσία, κυριώτατα καὶ πρώτως καὶ μάλιστα εἴρηται. διότι συνωνύμως κατ' αὐτῆς αἱ δεύτεραι λέγονται οὐσίαι. ῥητέον οὖν ὅτι καὶ ἐπὶ ὁμωνύμων ἐστὶ φάναι τὸ κυριώτατα, ὅταν τὸ μὲν,

προσώπου τεθῇ. τὸ δὲ, ἀπ' ἐκείνου. ὡς τὸ ζῶον, τό, τε ἔμψυχον καὶ τὸ γεγραμμένον. ἀλλὰ τὸ μὲν, κυριώτατα ζῶον. τὸ δὲ, καθ' ὁμοιότητα ἐκείνου δευτέρως. ὁμώνυμα δὲ ἄμφω. δεύτερον δὲ ζητητέον, διὰ τί τὸ κατὰ χρόνον κυριώτατόν ἐστι τοῦ προτέρου σημαινόμενον. ἢ ὅτι ἀπὸ τῶν κατὰ χρόνον προτέρων, καὶ τὰ ἄλλα τὰ πρότερα εἴρηται ὡς δοκεῖ. καὶ τῇ συνηθείᾳ δὲ τοῦτο τὸ σημαινόμενόν ἐστι γνωριμώτερον. ἐπεὶ πρότερος γενοίμην φησὶν ὁ Ὅμηρος. δεύτερον δὲ τρόπον τοῦ προτέρου φησί, τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὅταν ἄλλῳ μὲν τεθέντι, αὐτὸ ἕπηται. αὐτῷ δὲ τεθέντι, τὸ ἄλλο μὴ ἕπηται. ὡς δυάδων μὲν οὐσῶν, ἓν πάντως ἐστίν. ἑνὸς δὲ ὄντος, οὐκ ἀνάγκη δύο εἶναι. ἀφ' οὗ οὖν οὐχ ἕπεται ἡ ἀκολούθησις, πρότερον ἐκεῖνο. καὶ ᾧ τεθέντι ἕπεται τὸ ἕτερον, ὕστερον ἐκεῖνο. καλεῖν δὲ εἰώθασιν οἱ νεώτεροι τὸ τοιοῦτον πρότερον συνεπιφερόμενον μὲν, μὴ συνεπιφέρον δέ. καὶ συναναιροῦν μὲν, μὴ συναναιρούμενον δέ. ἅπερ ὁ Ἀριστοτέλης συνέλαβεν ἐν τῷ ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. οὐκ ἀντιστρέφειν δὲ εἶπε, διότι οὐχ ὥσπερ ὄντων τῶν δύο ἐστὶ τὸ ἕν, οὕτως ὄντος τοῦ ἑνός ἐστι τὰ δύο. οὐκ ἐξισάζει οὖν τὸ ἓν πρὸς τὰ δύο, κατὰ τὸ ἀκόλουθον τῷ εἶναι τοῦ ἑνός, τὸ εἶναι τῶν δύο. ὥσπερ ἠκολούθει τῷ εἶναι τῶν δύο, τὸ εἶναι τοῦ ἑνός. πρότερον οὖν τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. οὕτως δὲ καὶ τὸ γένος πρότερον δείκνυται τῇ φύσει τοῦ εἴδους, ὡς συναναιροῦν μὲν, μὴ συναναιρούμενον δέ. καὶ συνεπιφερόμενον μὲν, μὴ συνεπιφέρον δέ. ζώου μὲν γὰρ ἀναιρεθέντος, συναναιρεῖται ὁ ἄνθρωπος. ἀνθρώπου δὲ ἀναιρεθέντος, οὐ συναναιρεῖται τὸ ζῶον. καὶ κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, οὔτε συνυπάρχει, οὔτε συνεπιφέρεται τῷ ζώῳ ὁ ἄνθρωπος, ὥσπερ τῷ ἀνθρώπῳ τὸ ζῶον. ἀλλὰ διὰ τί μὴ εἶπε πρότερον εἶναι τὸ γένος τοῦ εἴδους, καὶ τὸ εἶδος τοῦ ἀτόμου, καὶ τὸ αἴτιον τοῦ αἰτιατοῦ. ἢ κοινοτέραν ἐποιήσατο τὴν ἀπόδοσιν καὶ τῷ γένει καὶ τῷ εἴδει προσήκουσαν. καὶ ἐπὶ τοῖς αἰτίοις τοῖς φύσει προηγουμένοις τῶν αἰτιατῶν, ὡς καὶ τὸ ἓν αἴτιον τῶν δύο. Τρίτον δὲ τρόπον τοῦ προτέρου, τὸν κατὰ τὴν τάξιν ἀπαριθμεῖται, καὶ πιστοῦται τοῦτον, ἔκ τε τῶν ἀποδεικτικῶν ἐπιστημῶν, οἷον τῆς γεωμετρίας. πρότεροι γὰρ ἐν αὐτῇ τῶν διαγραμμάτων οἱ ὅροι, καὶ τὰ ἀξιώματα καὶ τὰ αἰτήματα καὶ αἱ ὑποθέσεις ὡς τῇ τάξει προτεύοντα. καὶ ἐπὶ τῆς γραμματικῆς, πρότερά ἐστι τὰ στοιχεῖα τῶν συλλαβῶν ὁμοίως τῇ τάξει. καὶ ἐπὶ τοῦ λόγου δὲ τοῦ δικανικοῦ καὶ δημηγορικοῦ, τὸ αὐτὸ δείκνυται. τὰ γὰρ προοίμια, τῶν διηγήσεων πρότερα. καὶ αἱ διηγήσεις, τῶν πίστεων. καὶ μήποτε τοῦτο κυρίως τὸ παράδειγμα κατὰ μόνην τὴν τάξιν πρότερον ἐνδείκνυται. ἐπὶ μὲν γὰρ τῶν ἄλλων, καὶ ὡς αἴτια πρότερα ἦσαν. ἐνταῦθα δὲ τὸ προοίμιον, οὐκ ἔστιν αἴτιον τῆς διηγήσεως, ἀλλὰ τῇ τάξει μόνῃ προϋπάρχει. Τέταρτον τίθησι τοῦ προτέρου τρόπον, καθ' ὃ ἐν τὸ βέλτιον καὶ τιμιώτερον πρότερον εἶναι καὶ δυνάμει ἐν ὑπεροχῇ λέγομεν. ὥσπερ τὰ θεῖα τῶν θνητῶν, οὕτω καὶ ἐν ταῖς πόλεσι καὶ ἐν τοῖς φίλοις οἱ τιμιώτεροι πρότεροι λέγονται. τοῦτον δὲ τὸν τρόπον, ἀλλοτριώτατον εἶναι φησὶ τῆς κατὰ τὸ πρότερον σημασίας. οὐχ ὅτι οὐκ ἔστι πρῶτα τῷ ὄντι τῇ φύσει τὰ βέλτιστα καὶ τιμιώτερα,

ἀλλ' ὅτι οὐ πάνυ συνειθίσαμεν τὸ πρότερον ἐπὶ τῶν τοιούτων. τοὺς γοῦν πατέρας καὶ διδασκάλους, καίτοι τιμιωτέρους ὄντας, οὐκ εἰώθαμεν κατὰ τοῦτο προτέρους λέγειν. οὐδὲ συμπέφυκε τὸ τοῦ προτέρου ὄνομα, ὡς ἐπὶ τῶν ἄλλων εἴρηται τρόπων. μήποτε δὲ οὐ διὰ τὴν συνήθειαν ἀλλοτριώτατον εἴρηκεν εἶναι τοῦ προτέρου καὶ ὑστέρου, τὸν τρόπον τοῦτον. ἐν γὰρ τῇ συνηθείᾳ πολλάκις πρότερον, τὸ τιμιώτερον λέγομεν. ἀλλ' ὅτι τὸ πρότερον καὶ ὕστερον ἐν τῇ αὐτῇ φύσει βούλεται εἶναι, ὡς ἐν χρόνῳ καὶ ἀριθμῷ τὸ ἓν καὶ δύο. ἢ ἐν λόγῳ τὸ προοίμιον καὶ ἡ διήγησις. καὶ τὸ ἐφεξῆς δὲ ἐπαχθησόμενον, ἐπὶ τῶν ἐξισαζόντων τίθεται, καὶ οὐ κατὰ βελτιόνων καὶ χειρόνων, καθὸ τοιαῦτα. καίτοι τὰ τῇ αἰτίᾳ πρότερα, βελτίονα. ἀλλ' οὐ κατὰ τὸ βέλτιον τὸ πρότερον ἔχει καὶ ὕστερον, ἀλλὰ καθὸ τῆς αὐτῆς ὄντα φύσεως, προτερεύει καὶ ὑστερεῖ. προστίθησι δὲ καὶ πέμπτον τοῖς εἰρημένοις τρόπον τοῦ προτέρου. καθ' ὃν ἢ ἐν τοῖς ἀντιστρέφουσι κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν καὶ ἅμα ὑπάρχειν δοκοῦσιν. ὅμως λέγεται, τὸ τὴν αἰτίαν περιέχον. ὥσπερ ἐφ' οὗ παρέθετο παραδείγματος. τὸ γὰρ πρᾶγμα, αἴτιόν ἐστι τοῦ ἀληθοῦς λόγου, ἀλλ' οὐχ ὁ λόγος τοῦ πράγματος. γίνεται δὲ ἐπὶ τῶν ἀντακολουθούντων ποτὲ μὲν, ὡς ποιητικὸν, ὡς ἐπί τε τοῦ εἰρημένου παραδείγματος. καὶ μέντοι πατρὸς ὄντος, καὶ υἱός ἐστι. καὶ ἀνάπαλιν. αἴτιον δὲ ποιητικὸν ὁ πατήρ. ποτὲ δὲ ὡς ὑλικὸν, ὡς ὁ κέραμος. ἅμα γὰρ ὕδωρ καὶ γῆ. μικτὸν δὲ, ὡς ἐκ γῆς καὶ πηλοῦ. ἀλλὰ τὸ μὲν ὕδωρ καὶ ἡ γῆ, ὑλικὸν αἴτιον. ἡ δὲ μίξις, εἰδικὸν τούτου. πέντε μὲν οὖν αὐτὸς ἐνταῦθα τοῦ προτέρου τοὺς τρόπους ἐξέθετο. τὸν κατὰ χρόνον. τὸν κατὰ φύσιν. τὸν κατὰ τάξιν. τὸν κατὰ δύναμιν. τὸν κατὰ αἰτίαν. δῆλον δὲ ὅτι, ὁσαχῶς τὸ πρότερον, τοσαυταχῶς ἂν καὶ τὸ ὕστερον λέγοιτο. ὁ δὲ τῇ θέσει τὸ πρῶτον ἀφορίζων, οἷον εἰ πρότερον τῶν κιόνων τὸν ἀνατολικὸν λέγομεν, εἰ μὲν κατ' ἐπίνοιαν ἔχει τὸ πρότερον, οὐδεὶς λόγος. τὸ γὰρ αὐτὸ πρότερον ἔσται καὶ ὕστερον. εἰ δέ τι καὶ φύσει ἔχει, ὑπὸ τὴν τάξιν ἀναχθήσεται. τὸ δὲ τῇ ἐπινοίᾳ πρότερον, ὥσπερ τὸ τέλος. διότι προεννοοῦμεν τὸ τέλος, ὥσπερ καὶ τὴν σκέπην πρὸ τῶν τοίχων, καὶ τῶν θεμελίων, καὶ τῆς ὀρύξεως. τοῦτο δ' οὖν ὑπὸ τὸ χρόνῳ πρότερον ἀναχθήσεται. χρόνῳ γὰρ ἡ τοῦ τέλους ἔννοια προτερεύει. ἡ δὲ ὕπαρξις αὐτοῦ, χρόνῳ μὲν ὑστέρα, τῇ δὲ οὐσίᾳ πρώτη. πρότερα γὰρ τῇ οὐσίᾳ τὰ τελειότερα. ὅπερ τὸ πρῶτον σημαινόμενον οὐ δοκεῖ μοι παραλελεῖφθαι ὡς Ἰάμβλιχός φησιν, ἀλλ' ἐν τῷ τετάρτῳ τρόπῳ περιέχεσθαι, ἐν ᾧ τὸ τιμιώτερον καὶ βέλτιον, πρότερον ἐλέγετο. ἐν ἄλλοις δὲ πρότερον λέγει καὶ τὸ μέρος τὸ ἐν τῷ ὁρισμῷ τοῦ πράγματος, ὅπερ ὡς ὑλικὸν οἶμαι λαμβανόμενον αἴτιον ἐν τῷ πέμπτῳ τρόπῳ περιεχθήσεται. τῷ αὐτῷ μὲν τρόπῳ, ὡς ἡ ὕλη τῷ ὅλῳ ἑπόμενον. οὐ μέντοι ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. λέγει δὲ καὶ τὸ τέλος, πρότερόν τε εἶναι καὶ γνωριμώτερον αὐτοῖς, καὶ ὕστερον ἢ τῇ φύσει. ἐν δὲ τοῖς μετὰ τὰ φυσικὰ, οὕτως τὸ πρότερον καὶ ὕστερον διαιρεῖται. πρότερόν φησι τὸ ἐγγύτερον ἀρχῆς τινὸς ὡρισμένης, ἢ ἁπλῶς καὶ τῇ φύσει, ἢ πρός τι, ἢ ποῦ, ἢ ὑπό τινων. οἷον, τὸ μὲν κατὰ τόπον, τῷ εἶναι ἐγγύτερον ἢ φύσει τινὸς τόπου ὡρισμένου. οἷον, τοῦ μέσου, ἢ τοῦ ἐσχάτου. ἢ πρὸς τὸ τυχόν. τὸ δὲ πορρώτερον

ὕστερον. τὰ δὲ κατὰ χρόνον, πρότερα. ἐπὶ μὲν τῶν γενομένων, τὰ πρεσβύτερον ὄντα τοῦ νῦν. ἐπὶ δὲ τῶν ἐσομένων, τὰ ἐγγύτερον. οὕτω γὰρ τὰ μὲν Τρωϊκὰ, τῶν Μηδικῶν γέγονε. τὰ δὲ Νέμεα, τῶν Πυθίων πρότερα γενήσεται. τῶν νῦν ὡς ἀρχῇ χρωμένων ἡμῶν. τὰ δὲ, κατὰ κίνησιν. τὸ γὰρ ἐγγύτερον τοῦ πρώτου κινήσαντος πρότερον. οἷον, παῖς ἀνδρός. ἀρχὴ δὲ καὶ αὕτη τὶς ἁπλῶς. τὸ δὲ, κατὰ δύναμιν. τὸ γὰρ ὑπερέχον τῇ δυνάμει καὶ τὸ δυνατώτερον, πρότερον. τοιοῦτον δέ ἐστιν, οὗ κατὰ τὴν προαίρεσιν ἀνάγκη θάτερον καὶ τὸ ὕστερον ἀκολουθεῖν. ὥστε κινοῦντος μὲν ἐκείνου, κινεῖσθαι. μὴ κινοῦντος δὲ, μὴ κινεῖσθαι. ἀρχὴ γὰρ καὶ προαίρεσις. τὰ δὲ, κατὰ τὴν τάξιν. ταῦτα δέ ἐστιν, ὅσα πρός τι ἓν ὡρισμένον διέστηκε κατὰ τὸν λόγον. οἷον παραστάτης τριτοστάτου πρότερος. καὶ ἡ παρανήτη, νήτης. καὶ γὰρ ἔνθα μὲν, ὁ κορυφαῖος. ἔνθα δὲ, ἡ μέση ἀρχή. ταῦτα μὲν οὖν πρότερα τοῦτον λέγεται τὸν τρόπον. ἄλλον δὲ τρόπον, τὸ τῇ γνώσει πρότερον, ὡς καὶ ἁπλῶς πρότερον. τούτων δὲ ἄλλως μὲν κατὰ τὸν λόγον, ἄλλως δὲ κατὰ τὴν αἴσθησιν. κατὰ μὲν γὰρ τὸν λόγον, τὰ καθόλου πρότερα. κατὰ δὲ τὴν αἴσθησιν, τὰ καθ᾽ ἕκαστα. ἔτι πρότερα λέγεται τὰ τῶν προτέρων πάθη. οἷον εὐθύτης, λειότητι πρότερον. ἐπειδὴ τὸ μὲν, γραμμῆς ἐστὶ πάθος. τὸ δὲ, ἐπιφανείας. λέγεται δὲ πρότερον καὶ κατὰ φύσιν καὶ οὐσίαν, ὅσα αὐτὰ μὲν ἐνδέχεται ἄνευ ἄλλων εἶναι. ἐκεῖνα δὲ, ἄνευ τούτων μὴ ἐνδέχεται. ᾧ τρόπῳ καὶ ὁ Πλάτων ἐχρήσατο καὶ αὐτὸς ἐνταῦθα. οὕτω μὲν οὖν ἐκεῖ τοὺς τοῦ προτέρου καὶ ὑστέρου τρόπους ἀπηριθμήσατο. καὶ δῆλον ὅτι περιέχονται ἐν τούτοις οἱ ἐν ταῖς κατηγορίαις εἰρημένοι. ὁ μὲν κατὰ χρόνον, καὶ ὁ κατὰ τάξιν, καὶ ὁ κατὰ δύναμιν, ἐν τῷ πρώτῳ. τὰ δὲ κατὰ φύσιν καὶ αἰτίαν, ἐν τῷ ἐσχάτῳ. οἱ μέντοι πέντε τρόποι οἱ ἐν ταῖς κατηγορίαις ἀναχθήσονται εἰς τὰ ἀνωτάτω γένη οὕτως. ὁ μὲν κατὰ χρόνον, εἰς τὴν ποτὲ κατηγορίαν. ὁ δὲ κατὰ φύσιν, καὶ τὸ συναναιρεῖν μὲν, μὴ συναναιρεῖσθαι δέ. καὶ ὁ κατὰ δύναμιν καὶ ὁ κατὰ αἰτίαν, ὑπὸ τὰ πρός τι. ὁ δὲ κατὰ τάξιν, ὑπὸ τὸ κεῖσθαι. δῆλον δὲ ὅτι καὶ τὸ ὕστερον ἐν ταῖς αὐταῖς ἔσται κατηγορίαις, ἐν αἷς καὶ τὸ πρότερον. καὶ Στράτων δὲ ὁ Λαμψακηνὸς ἐν τῷ περὶ τοῦ προτέρου καὶ ὑστέρου μονοβίβλῳ, πολλοὺς ἀπηριθμήσατο τρόπους. οὓς νομίζω δυνατὸν εἶναι ὑπὸ τοὺς πέντε τοὺς ἐνταῦθα λεγομένους ἀναγαγεῖν. οἷον μεθορισμὸν ἐκεῖνα ὄντας. ὑπὸ μὲν γὰρ τὸ τῷ χρόνῳ πρότερον τάχα θήσει, τὸ ἀτελὲς τοῦ τελείου λεγόμενον, διότι ἔσχατον ἐν πᾶσι τὸ τέλος. τὸ δὲ αὐτὸ καὶ ὑπὸ τὴν τάξιν, ἢ καὶ ὑπ᾽ ἄμφω ταῦτα. ἢ ὃ τῇ ἀξίᾳ καὶ δυνάμει, καὶ τῇ φύσει πρότερον μέν ἐστιν, οὐ ἐπιστήμῃ πρότερον. οἷον μονάδος, ἡ δυάδος. καὶ πλήθους, ἀριθμοῦ καὶ περιττοῦ. ταῦτα γὰρ οὐδὲ ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὥσπερ οὐδὲ ἡ ἐπιστήμη αὐτῶν. πρῶτον δὲ καὶ τῷ χρόνῳ, καὶ τῇ ἀξίᾳ. ὧν τὸ ἔργον πρότερον. οἷον τὸ ἀγαθὸν, τοῦ κακοῦ. τὸ μὲν γὰρ, σωτηρίας. τὸ δὲ, φθορᾶς αἴτιον. πρῶτον δὲ τὸ εἶναι τοῦ φθείρεσθαι καὶ χρόνῳ καὶ ἀξίᾳ. πρῶτον δὲ τῇ φύσει ὡς μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ὅπερ δυνατὸν εἶναι θατέρου μὴ ὄντος ὡς τόπος σώματος, καὶ σῶμα χρώματος. ὁμοίως δὲ καὶ ἐξ οὗ θάτερον ἐν ᾧ θάτερον πέφυκε γίνεσθαι, οἷον οὐσία ποιοῦ ἢ ποσοῦ, οὕτως δὲ καὶ τὸ κατὰ φύσιν πρότερον τοῦ παρὰ φύσιν.

καὶ ὁ νόμος, τῆς παρανομίας. καὶ ἡ ἕξις, τῆς στερήσεως. ὑπὸ δὲ τὸ τῇ ἀξίᾳ πρότερον καὶ τὸ δυνάμει, τάχα που καὶ ἄλλα τὰ τῷ τιμιωτέρῳ συγγενέστερα. ὡς τὸ ποσὸν τοῦ ποιοῦ προτάττοιτο ἄν. διότι τὸ μὲν ποσὸν, μέρος τῆς οὐσίας. τὸ δὲ ποιὸν, οὔ. ἔτι τὸ μὲν, μετέχει γενέσεως καὶ φθορᾶς, ὡς ὁ χρόνος. τὸ δὲ, οὔ, ὡς ὁ τόπος. καὶ τὸ μὲν, χωριστόν. τὸ δὲ, οὔ. ἄνευ μὲν γὰρ αἰσθήσεως εἶναι τὴν ψυχὴν, ἀδύνατον. ἄνευ δὲ ἐπιθυμίας εἶναι, δυνατόν. καὶ τὸ ἀμετρὲς τοῦ μετρίου. ἀρχῇ γὰρ ὁμοιότερον. ὥστε καὶ κύκλου τὸ κέντρον, καὶ τὸ μᾶλλον τοῦ προτέρου μετέχον. ὡς τὸ ἀΐδιον μὲν, τοῦ ἀγαθοῦ. τὸ φθαρτὸν δὲ, τοῦ κακοῦ. καὶ τὸ ἄρτιον δυάδος. τὸ δὲ περιττὸν, τριάδος. καὶ ἔτι τὸ μὲν, μένει χρόνον τινά. τὸ δὲ, οὐ μένει. οἷον σῶμα, κινήσεως καὶ χρόνου. ὑπὸ δὲ τῇ τάξει, πρότερον εἴη ἂν τὸ τοῦ μεταξὺ πρότερον. ὕστερον δὲ, τὸ τοῦ μεταξὺ ὕστερον. ὑπὸ δὲ τοῖς ἀντιστρέφουσιν, ὡς αἱ ἰάδες, πρότερον ἂν εἴη τὸ στοιχεῖον. καὶ γὰρ αὖ καὶ τὸ μέρος τοῦ ὅλου, ὡς τὸ πεπερασμένον τοῦ ἀπείρου. καὶ θάτερον ἐκ θατέρου, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος. ὑλικὸν γὰρ καὶ οὗτος αἴτιον. ὅτι δὲ καὶ αὐτὸ τὸ κατ' ἄλλο καὶ ἄλλο, καὶ πρότερον καὶ ὕστερον εἶναι δυνατὸν, καὶ αὐτὸς ὁ στράτων ἐνεδείξατο τὸν χρόνον καὶ τὸν τόπον, πρότερα καὶ ὕστερα ἀλλήλων δεικνύς.

## ΠΕΡΙ ΤΟΥ ΑΜΑ

Ἅμα δὲ λέγεται, ἕως τοῦ, ἁπλῶς δὲ ἅμα, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ ἐστί. Χρησάμενος καὶ τῷ ἅμα ἐν τοῖς περὶ τῶν πρός τι λόγων, εἰκότως καὶ περὶ αὐτοῦ προτίθεται διδάξαι. μετὰ δὲ τὸ πρότερον δὲ καὶ ὕστερον, τάττει τὸ ἅμα. διότι ἀντίκειται πρὸς ἐκεῖνα, ὡς δηλοῖ τὸ τῇ ἀποφάσει αὐτῶν δηλοῦσθαι. διὸ καὶ πρότερον τὸ ἅμα σχεδὸν τοῖς ἀντιθέτοις ἐκείνων τρόποις καὶ κατὰ τάξιν πῶς ἀπηριθμήσατο τὴν αὐτήν. Πρῶτον μὲν γὰρ τίθησι καθ' ὃν ἁπλῶς καὶ κυριώτατα λέγεσθαι φησὶν ἅμα, ὧν ἡ γένεσις ἐν τῷ χρόνῳ ἐστί. καὶ γὰρ ἐκεῖ τὸ κατὰ χρόνον πρότερον προέταξε, καθὸ πρεσβύτερον ἕτερον ἑτέρου καὶ παλαιότερον ἐλέγετο. ἁπλῶς δὲ καὶ κυρίως, καὶ τὸ ἅμα τοῦτο φησὶ λέγεσθαι, τὸ κατὰ χρόνον, ὡς ἐν τῇ χρήσει κατημαξευμένον. Δεύτερον δὲ σημαινόμενον τοῦ ἅμα τίθησιν, ὃ πρὸς τῷ δευτέρῳ καὶ τῷ πέμπτῳ τοῦ προτέρου καὶ ὑστέρου σημαινομένῳ ἀντέθηκεν εἰκότως. τὸ μὲν γὰρ, ἦν μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. καὶ ταύτῃ τὸ πρότερον εἶχε. τὸ δὲ, ἀντέστρεφε μὲν, ἀλλ' ὡς αἰτίου καὶ αἰτιατοῦ ἦν ἡ ἀντιστροφή. καὶ ταύτῃ πάλιν τὸ μὲν, πρότερον ἦν. τὸ δὲ, ὕστερον. ἐπὶ δὲ τοῦ ἅμα καθόσον μὲν ἀντιστρέφει, ἀντίκειται τῷ μὴ ἀντιστρέφοντι. καθόσον δὲ ὡς ἰσαζόντων, ὡς αἴτιον καὶ αἰτιατόν. ὡς ἔχει τὸ διπλάσιον καὶ τὸ ἥμισυ. κατὰ δὲ τοῦτο τοῦ ἅμα τὸ σημαινόμενον, τὰ πρός τι ἐλέγετο. καὶ γὰρ συνεισάγει καὶ συναναιρεῖ ἀεὶ ἄλληλα τὸ διπλάσιον καὶ τὸ ἥμισυ. καὶ οὐδέτερον θατέρου αἴτιόν ἐστι. Τρίτον τοῦ ἅμα σημαινόμενον παραδίδωσιν, ἅμα λέγων τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἀλλήλοις. ἀντιδιῃρῆσθαι δὲ λέγεται, τὰ κατὰ

τὴν μίαν καὶ τὴν αὐτὴν διαίρεσιν ἀναφερόμενα. ἑνὸς γὰρ ἔστιν ὅτε γένους πλείονες γίνονται διαιρέσεις. αἱ μὲν, καὶ ἰσοστοίχως. ὥσπερ ὅταν τῶν σωμάτων τὰ μὲν, θερμά. τὰ δὲ, ψυχρὰ λέγωμεν. ἢ τὰ μὲν, ἔμψυχα. τὰ δὲ, ἄψυχα. καὶ καλοῦσι ταύτας ἐπιδιαιρέσεις. αἱ δὲ, τὸ πρότερον ἔχουσαι καὶ ὕστερον. ὥσπερ ὅταν τὸ ἔμψυχον, ταὐτὸν δὲ εἰπεῖν τὸ ζῷον διέλωμεν εἰς τὸ πτηνὸν καὶ τὸ χερσαῖον καὶ ἔνυδρον. καὶ καλοῦσι ταύτην τὴν τοῦ ζῴου ὑποδιαίρεσιν. ἀντιδιαίρεσις μέντοι ἐστὶν, ἡ κατὰ τὴν αὐτὴν καὶ μίαν τομὴν γινομένη τῶν διαιρημάτων ἀντίθεσις. ὥστε τῷ μὲν ἐμψύχῳ τὸ ἄψυχον ἀντιδιῃρῆσθαι, ἐκ τῆς αὐτῆς γενομένης τομῆς. τῷ δὲ πτηνῷ, τὸ πεζὸν καὶ τὸ ἔνυδρον. καὶ ἕκαστον δὲ τούτων, εἰς εἴδη πάλιν τέμνεται. καὶ ἔσται καὶ ἐκεῖνα τὰ εἴδη ἅμα τῇ φύσει, ὡς ἀντιδιῃρημένα ἐκ τοῦ αὐτοῦ γένους. οὐδεμία γὰρ αὐτῶν πρότερον ἢ ὕστερον θεωρεῖται, ὥσπερ ἐπὶ τῶν ἄλλων διαιρέσεων τὰ κατὰ τὴν πρώτην διαίρεσιν πρότερα ἐστὶ τῶν κατὰ τὴν ὑστέραν. ὡς ἂν συναναιροῦντα μὲν, οὐ συναναιρούμενα δέ. καὶ συνεπιφερόμενα μὲν, μὴ συνεπιφέροντα δέ. ταὐτὸν δὲ εἰπεῖν μὴ ἀντιστρέφοντα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. καὶ γὰρ ζῴου ὄντος, οὐ πάντως ἔνυδρον. ἐνύδρου δὲ ὄντος, πάντως ζῷον. καὶ ζῴου μὲν ἀναιρεθέντος, ἀναιρεῖται τὸ ἔνυδρον. ἐνύδρου δὲ ἀναιρουμένου, οὐκ ἀναιρεῖται τὸ ζῷον. τούτῳ δὴ τῷ ἅμα δοκεῖ μηδὲν ἀντικείμενον πρότερον καὶ ὕστερον παραδεδόσθαι. λέγει δὲ ὁ ἰάμβλιχος ἀντικεῖσθαι τούτῳ τὰ κατὰ προτέραν καὶ ὑστέραν γινόμενα διαίρεσιν. ὡς τὸ ἔμψυχον τὸ ἐκ τῆς προτέρας διαιρέσεως ληφθὲν, πρότερόν ἐστι τοῦ πτηνοῦ τοῦ ἐκ τῆς ὑστέρας διαιρέσεως. οὐ δὲ γὰρ ἀντιστρέφει ταῦτα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. ὥστε καὶ τοῦτο τὸ ἅμα τὸ σημαινόμενον τῷ δευτέρῳ ἀντίκειται τρόπῳ τοῦ προτέρου καὶ ὑστέρου, ἐν ᾧ τὰ εἴδη καὶ τὰ γένη τέτακται. ὁ μέντοι ἰάμβλιχος τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον διελὼν, καὶ τὸ ἄλογον εἰς πτηνὸν καὶ χερσαῖον καὶ ἔνυδρον, πρότερον τὸ λογικὸν τοῦ πτηνοῦ τίθησιν. οὕτω δέ φησι καὶ ἐπὶ τῶν ἀξιωμάτων. οἱ μὲν τὰ ἁπλᾶ καὶ οὐχ ἁπλᾶ διελόμενοι, εἰς τὸ ἅμα τὴν διαίρεσιν ἐποιήσαντο. οἱ δὲ εἰς τὰ ἁπλᾶ καὶ συνημμένα καὶ διεζευγμένα, οὐκ ὀρθῶς. τοῦ γὰρ οὐχ ἁπλοῦ τούτου καὶ ἁπλοῦ ἀντιδιῃρημένου, εἴδη ἐστὶ, τό, τε συνημμένον καὶ τὸ διεζευγμένον. δοκεῖ δέ φησι καὶ τῇ τάξει εἶναί τινα ἅμα τοῖς κατὰ τάξιν προτέροις καὶ ὑστέροις ἀντικείμενα, ὥσπερ τὰ ἰσότιμα καὶ ἰσάξια. καὶ δύναται τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα κοινότερα ἅμα καὶ τῇ φύσει καὶ τῇ τάξει εἰρηκέναι. μᾶλλον γὰρ τῇ τάξει ταῦτα ἅμα, ἤπερ τῇ φύσει, εἴγε τῇ φύσει ἅμα τὰ συνυπάρχοντα ἀλλήλοις καὶ συναναιρούμενα ὥσπερ ἔχει ἐπὶ τῶν πρός τι. οὐχ οὕτως δὲ ἔχει πρὸς ἄλληλα τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι καὶ τὸ ἰσάξιον καὶ ἰσότιμον, οὐκ ἂν κατὰ τάξιν ἔχοι τὸ ἅμα. οὐδὲ γὰρ τὸ κατὰ τάξιν πρότερον καὶ ὕστερον, ἐν ἀξίας ἢ τιμῆς ὑπεροχῇ, καὶ ἐνδείᾳ τὸ πρότερον καὶ ὕστερον ἐλέγετο ἔχειν, ἀλλὰ μᾶλλον ἐν τοῖς τῆς θέσεως πρωτείοις. ὡς τὸ προοίμιον πρότερον ἐλέγετο τῆς διηγήσεως κατὰ τάξιν. τὸ δὲ ἰσάξιον καὶ ἰσότιμον, τῷ τετάρτῳ μᾶλλον τρόπῳ τοῦ προτέρου καὶ ὑστέρου ἀντίκειται τῷ κατὰ τὸ βέλτιον καὶ τιμιώτερον. ὅπερ ὡς σαφὲς ἴσως ὑπὸ τοῦ ἀριστοτέλους παρεῖται. τὰ δὲ κατὰ τάξιν, ἅμα εἴη ἂν τὰ τὴν αὐτὴν ἔχοντα θέσιν. ὡς τὰ πλείονα προοίμια ἅμα ἂν λέγοιτο προτετάχθαι τῆς διηγήσεως. καί ἐστί τις καὶ ἐν αὐτοῖς τάξις. μήποτε δὲ τὰ

ειρημένα ταῦτα, τῷ κατὰ τὴν τάξιν προτέρῳ καὶ ὑστέρῳ ἀντίκειται. ἅτε καὶ ἰσόστοιχα ὄντα, καὶ τὴν αὐτὴν ἔχοντα τάξιν. ὁ μὲν οὖν Ἰάμβλιχος λέγει, μήποτε δὲ τὸ ἅμα κυρίως οὐδὲ ἀνέχεται τάξεως. ἡ γὰρ τάξις ἐν διακρίσει. σημειωτέον δέ φησιν Ἰάμβλιχος, ὅτι ἐν τοῖς μὲν γένεσι δεῖ τινα ἀντιδιῃρῆσθαι εἴδη καὶ ἅμα εἶναι τῇ φύσει οὐκέτι ἐστίν. ἐν οἷς τὸ μὲν, πρότερόν ἐστι. τὸ δὲ, ὕστερον. καὶ ὅτι τὸ πτηνὸν καὶ πεζὸν καὶ ἔνυδρον, εἴδη τοῦ ζώου ἐστίν. ἔστι δὲ ἅμα καὶ τὰ ἐν τῷ αὐτῷ τόπῳ ἐγγινόμενα ἀλλήλων. ὥσπερ καὶ πρότερον καὶ ὕστερον ἐλέγετο κατὰ τόπον. τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐν τῷ αὐτῷ ἀγγείῳ ὄντα, ἅμα λέγομεν καὶ ὁμοῦ. τὸ δὲ ἅμα, τῷ ὁμοῦ ὡσαύτως λέγεται. Ἤδη ἅμα πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς φησιν Ὅμηρος. καὶ κεῖσθαι δὲ ἅμα φαμὲν, τὰ ἐν τῷ αὐτῷ τόπῳ κείμενα. καὶ οἰκεῖν ὁμοῦ, τοὺς ἐν τῇ αὐτῇ οἰκίᾳ οἰκοῦντας. καταχρῶνται δὲ τῷ ἅμα καὶ ἐπὶ τῶν κοινῇ τι πραττόντων. ὥσπερ ἐπὶ τοῦ ἅμα πολιτεύεσθαι. μήποτε δὲ οὐδὲν τούτων τῶν εἰρημένων ἅμα κυρίως δύναται λέγεσθαι, εἰ μὴ ἄρα πλατικῶς. οὔτε γὰρ ἐν τῷ αὐτῷ τόπῳ δύο σώματα εἶναι, οὔτε κεῖσθαι δύναται, ἵνα καὶ ἅμα λέγηται κυρίως. διὸ καὶ παρῆκεν αὐτὰ ὁ Ἀριστοτέλης. ἐπισημαντέον δὲ καὶ τοῦτο φησιν Ἰάμβλιχος, ὅτι τῷ μὲν κατὰ χρόνον ἅμα ἀντιτίθεμεν τὸ κατὰ χρόνον πρότερον καὶ ὕστερον. ἐπὶ δὲ τῶν κατὰ τόπον, ἀντιτίθεται τὸ χωρίς. διττὸν δὲ τοῦτο. τὸ μὲν, ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ. τὸ δὲ, καθ' ἕνα. ᾧ ἀντιτίθεται τὸ κοινῇ. οἱ βαστάσωμεν τοῦτο κοινῇ. οὔτε κατὰ τόπον, οὔτε κατὰ χρόνον τὸ κοινῇ λέγοντες, ἀλλὰ κατὰ τὴν ἐνέργειαν. μήποτε δὲ ἐν τῇ μετὰ τὰ φυσικὰ τὸ πρότερον καὶ ὕστερον κατὰ τόπον ἀφορίζεται. πρότερον μὲν καὶ κατὰ τόπον λέγων, τὸ τῇ ὡρισμένῃ ἀρχῇ κατὰ τόπον πλησιαίτερον. ὕστερον δὲ, τὸ πορρώτερον δηλονότι, τὸ δὲ ἅμα κατὰ τόπον τῷ προτέρῳ τούτῳ καὶ ὑστέρῳ ἀντικείμενον. ἔστι δὲ καὶ ἄλλο ἅμα κατὰ τόπον, τὸ κατὰ τόπον χωρὶς ἀντικείμενον. εἰ δέ τις ἀπορεῖ διατί μὴ πᾶσι τούτοις ἐπεξῆλθεν ὁ Ἀριστοτέλης, ἀρκεῖ λέγειν, ὅτι ὅσα πρὸς σαφήνειαν αὐτῷ τῶν φθασάντων ἥρμοττε, ταῦτα διώρθωσε τὰ περιττὰ παραλιμπάνων, διὰ τὸ τῆς εἰσαγωγῆς σύμμετρον. αὐτίκα τὸ ἅμα εἶναι τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιαιρούμενα ἀλλήλοις, εἰς κοινὰ ἔχει τὴν ἀναφορὰν τοῦ ἑτέρων γενῶν, καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων. καὶ ὅτι οὐδὲν μᾶλλον ἐν ταῖς οὐσίαις τὰ ἕτερα τῶν ἑτέρων οὐσίαι. καὶ τὸ ἀντιστρέφειν δὲ μὴ αἴτιον ὂν θατέρου ἐπὶ τοῦ πρός τι ἐλέγετο. ὅτε καὶ ἅμα αὐτὰ τῇ φύσει εἶναι ἔλεγε. διὸ καὶ νῦν τὸ ἅμα, διὰ τὸ ἅμα εἶναι τῇ φύσει ἐδίδαξεν ὡς οἰκεῖον τοῖς εἰρημένοις. ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

## ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ.

Κινήσεως δέ ἐστιν εἴδη ἕξ. ἕως τοῦ, ὥστε ἕτεραι ἂν εἴησαν αἱ κινήσεις ἀλλήλων. ἐμνημόνευσε μὲν τῆς κινήσεως, καὶ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ. αἱ δὲ περὶ τοῦ ποιεῖν καὶ πάσχειν κατηγορίαι, οὕτως εἴχοντο συγγενῶς πρὸς τὴν κίνησιν, ὡς καὶ γένος ἀμφοῖν δόξαι τὴν κίνησιν, ὡς τοῖς τυχοῦσι τῶν φιλοσόφων. εἰκότως οὖν καὶ περὶ κινήσεως διαλέγεται τὰ εἴδη τῆς κινήσεως διαιρούμενος. τουτέστι τῆς μεταβολῆς. κοινότερον γὰρ κινήσεως εἶπεν, ἀντὶ τῆς μεταβολῆς. ἐπειδὴ

τοῦ ἐν τρίτῳ περὶ οὐσίας λόγοις, τὴν ἁρμόζουσαν κατὰ τὴν ἑαυτῆς μεταβολὴν ἔλεγε δὲ ἔχε-
σθαι τὰ ἐναντία, ᾗ κοινῶς διαιρεῖται τὴν μεταβολήν. καὶ εἴδη δὲ κοινότερα εἴρηκεν. οὐ
τὸ δοκεῖ αὐτῷ γένος εἶναι ἡ μεταβολή, ἣν διαιρεῖ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκρο-
άσεως, εἴς τε γένεσιν καὶ φθοράν, καὶ εἰς τὰς ἄλλας μεταβολάς, ἃς κινήσεις καλεῖ.
αὔξησιν. μείωσιν. ἀλλοίωσιν. καὶ τὴν κατὰ τόπον μεταβολήν. ἀλλὰ τίς μὲν ἡ οὐ-
σία τῆς κινήσεως, καὶ τίς ὁ ὅρος αὐτῆς. καὶ εἰ γένος ἐστίν, ἢ οὔ. καὶ τὰ ἄλλα περὶ αὐτῆς
ἀκριβῆ θεωρήματα ἐν ἄλλοις ἐξήτασται, τῆς φυσικῆς ὄντα πραγματείας οἰκεῖα.
διαιρέσεις δέ τινας αὐτῆς παραδέδωκεν. ὡς πρόσθεν εἰώθει ἐν ταῖς εἰσαγωγαῖς γίνεσθαι,
καὶ ταύτας ἐπισκεπτέον. τοσοῦτον προσθεὶς πρότερον ὡς νῦν περὶ κινήσεως, οὐ νοερᾶς ἢ
ψυχικῆς ὁ λόγος, ἀλλὰ τῆς φυσικῆς καὶ σωματικῆς. ἐπεὶ οὖν τὸ κινούμενον ὡς σῶ-
μα τοῦ εἶναι ἦν πρότερον ὑφίσταται. ὑφίσταται δὲ τὰ μέν, κατ' οὐσίαν. τὰ δέ, κατὰ
ποσότητα. τὰ δέ, κατὰ ποιότητα. τὰ δέ, κατὰ τόπον ποιούμενα τὴν μεταβο-
λήν. κοινῶς πανταχοῦ τοῦ μεταβάλλειν θεωρουμένου, τέσσαρες γίνονται δια-
φοραί. ὧν τινὲς διπλαῖ. ἡ μὲν γὰρ κατ' οὐσίαν, γένεσίς ἐστι καὶ φθορά. ἡ δὲ κατὰ πο-
σότητα, αὔξησις καὶ μείωσις. ἡ δὲ κατὰ ποιότητα, ἀλλοίωσις. ἡ δὲ κατὰ τόπον,
φορά. διαιρουμένη καὶ αὐτὴ εἰς τὴν κύκλῳ καὶ τὴν ἐπ' εὐθείας, καὶ τὴν μικτήν. ἐγ-
καλεῖ δὲ ὁ Νικόστρατος, ὅτι ἐν μὲν τῇ φυσικῇ ἀκροάσει, τὴν γένεσιν καὶ τὴν φθορὰν
οὐ βούλεται εἶναι κινήσεις. ἐνταῦθα δὲ καὶ αὐτὰς μετὰ τὰς κινήσεις συγκαταριθ-
μεῖ. καίτοι γε ἄδηλον τὴν συνωρίαν. ὅτι πρῶτον μὲν εἰκὸς ἦν κοινῶς ἐνταῦθα τῷ ὀνόμα-
τι χρήσασθαι τῆς κινήσεως, ἀντὶ τῆς μεταβολῆς. ἔπειτα τὸ ἐνταῦθα ὡς ἐν εἰσαγω-
γῇ κατὰ τὴν κεκρατηκυῖαν συνήθειαν ἐχρήσατο τῷ ὀνόματι. ὕστερον δὲ ἐν τῇ φυσι-
κῇ ἀκροάσει προηγούμενον περὶ τούτου ποιούμενος λόγον, τὸ ἀρέσκον ἑαυτῷ δοκιμά-
ζει, τὰ γινόμενα καὶ φθειρόμενα μὴ ἀξιῶν λέγειν κινεῖσθαι. διότι ἡ κίνησις τῶν ὑφε-
στηκότων ἐστί. μεταβάλλει δὲ καὶ ταῦτα καὶ ἐκεῖνα. διὸ κοινὴν ἔθετο τὴν μεταβολὴν
ἐκεῖ. καὶ τὴν γένεσιν καὶ φθοράν, οὐκέτι κινήσεις, ἀλλὰ μεταβολὰς ἀφώρισεν. ἱστέ-
ον δὲ ὅτι Δημόκριτος ἀρχὰς τῶν ὄντων τὰς ἀτόμους ὑποθέμενος, μόνην τὴν κατὰ τόπον
εἰσήγαγε κίνησιν. καὶ γὰρ τὰ ἀλλοιούμενα, κατὰ τόπον ἡγεῖτο κινεῖσθαι. λανθάνει δέ, ἐν τῷ
μὴ ὅλα τὰ μέρη τόπον ἀμείβειν, ἀλλά τινα ἀφανῆ ἢ μένοντα. διὸ μόνα δοκεῖ κατὰ
τόπον κινεῖσθαι τὰ αἰσθητὰ συγκρίματα μεταβάντα τόπον ἐκ τόπου. ἢ ὅλα ὁμοῦ.
ἢ ὧν ἂν μέρη αἰσθητὰ μέρος κινῆται τοὺς ἀλλήλων μεταλαμβάνοντα τόπους, ὡς
τὰ ἡμικυκλίου καὶ τῆς σφαίρας μέρη, ὅταν περὶ ἄξονα ἡ στροφὴ γίνηται. πλὴν ἀλλὰ δεῖ συνι-
δεῖν ὅτι πολλὰ τῶν κινουμένων οὐ κατὰ τόπον κινεῖται, ὡς τὰ θερμαινόμενα καὶ λευκαι-
νόμενα, δεύτερον εἰσήγαγε τὴν ἀλλοίωσιν, ὡς ἑτέραν τῆς κατὰ τόπον. εἰ μήτε κατὰ ἀντιμε-
τάστασιν μερῶν, μήτε κατὰ τὴν τῶν ὅλων ἔκστασιν γινομένην. Ἀριστοτέλης δὲ καὶ τὴν κατὰ τό-
πον προσέθηκεν. ὡς μὴ ἀξιοῦσί τινες μικτὴν οὖσαν ἐξ ἀλλοιώσεως καὶ φθορᾶς. μᾶλλον δὲ ἁπλῆν
οὖσαν. τῆς τε ἀλλοιώσεως, διαφέρει ὅσον τὸ ποσὸν τοῦ ποιοῦ διενήνοχε. τῆς δὲ φθο-
ρᾶς, ὅτι οὐκ ἀπολείπει τόπον ὡς τὰ φερόμενα. εἰ δὲ ἐπιλαμβάνει τόπον πλείω, τοῦ
δὲ ἀρχῆς τὸ αὐξόμενον, ἢ ἀπολείπει τὸ μειούμενον, ἡ ἐπίληψις καὶ ἀπόληψις

τῆς τόπου κατὰ συμβεβηκός ἐστι. προηγουμένως δὲ, ἡ κατὰ τὸ ποσὸν συνίσταται κίνησις. ὁ
μέντοι πλάτων πᾶσαν τὴν κατ' εἶδος διαφορὰν, μένοντος τοῦ ὑποκειμένου, ὡς ἀλλοῖον, ἀλλ'
οὐχ ὡς ἄλλο ποιοῦσαν, ἀλλοίωσιν ἐκάλεσεν. ὑπὸ ταύτην δὲ αὐτὴν καὶ ἡ αὔξησις, καὶ ἡ κατὰ
ποιότητα μεταβολή. μήποτε δὲ καὶ αὔξησις καὶ μείωσις ἐν μέσῳ τῆς τε γενέσεως καὶ
φθορᾶς καὶ τῆς ἀλλοιώσεως καθεστήκασιν. καὶ γὰρ καθόσον μὲν οὐσίας προσθήκη ἐστὶ καὶ ἀπο-
βολή, γενέσει καὶ φθορᾷ ἔοικε. καθόσον μέντοι μένοντος τοῦ αὐτοῦ εἴδους ἡ μεταβολὴ
ἐστιν, ἀλλοίωσις μᾶλλον ἐστὶ τὸ συμβαῖνον. οἶδε μέντοι καὶ ὁ πλάτων τὴν αὔξησιν καὶ μείωσιν καὶ
πρὸ ἀριστοτέλους ἐν τῷ δεκάτῳ τῶν νόμων γράφων οὕτως. Καὶ μὴν συγκρινόμενα αὐ-
τῶν αὐξάνεται. διακρινόμενα δὲ, φθίνει τότε ὅταν ἡ καθεστηκυῖα τάξις ἑκάστων δια-
μένῃ. αὐτὸς μέντοι, οὐχ ἓξ μόνον, ἀλλ' ὀκτὼ ποιεῖ τὰ τῶν φυσικῶν κινήσεων εἴδη, προσ-
τιθεὶς τούτοις τὴν σύγκρισιν καὶ διάκρισιν τῶν σωμάτων. ἑπομένην μέντοι τῇ κατὰ τόπον κινή-
σει. οὐκ ἄλλην δὲ παρ' αὐτὴν οὖσαν. λαμβάνεται δὲ τοῦ ἀριστοτέλους ὁ νικόστρατος, ὡς οὐ κα-
λῶς διάφορον τῆς αὐξήσεως τὴν ἀλλοίωσιν διὰ τοῦ παραδείγματος ἀποδείξαντος, τοῦ κατὰ
τὸ τετράγωνον καὶ τὴν γνώμονος περίθεσιν, ὡς αὐξομένου μὲν, οὐ μέντοι ἀλλοιουμένου. δι-
πλᾶ γάρ φησιν εἶναι τὰ σχήματα. τὰ μὲν, σωματικὰ καὶ ἔνυλα. τὰ δὲ, μαθηματικὰ καὶ
ἄυλα. καὶ εἰ μὲν περὶ τοῦ ἀΰλου λέγοι τετραγώνου, οὔτε ἀλλοιοῦται, οὔτε αὔξεται
ἐκεῖνο, ἄτρεπτα ὄντα ἐκεῖνα καὶ ἀναλλοίωτα, ἅτε ἔξω ποιότητος ὄντα καὶ ὕλης. εἰ δὲ περὶ
τῆς ἐνύλου φησὶ λέγοι τοῦτο ὥσπερ αὔξεται, οὕτω καὶ ἠλλοίωται. ὁ δὴ ταῦτα λέγων,
ἔοικε μὴ διορίζειν κατὰ ἀριστοτέλην. τὴν μὲν ἀλλοίωσιν εἶναι τῆς κατὰ ποιότητα μετα-
βολῆς. τὴν δὲ αὔξησιν, εἶναι τῆς κατὰ ποσότητα. ἀλλ' ὡς εἴρηται πρότερον, πᾶσαν
τὴν κατὰ τὸ εἶδος μεταβολὴν, μένοντος τοῦ ὑποκειμένου, ἀλλοίωσιν καλεῖ. διότι καὶ
τὸ αὐξόμενον εὐθὺς ἀλλοιοῦσθαι φησίν. ἔδει δὲ ἐννοεῖν, ὅτι καὶ αὐξάνεσθαι δύναται τὸ
ἐν τῇ αὐτῇ μορφῇ μένον, καὶ τῇ αὐτῇ ποιότητι. κατὰ μέγεθος μόνης γινομένης τῆς
διαφορᾶς. ὡς ὅταν τὸ ἀλεξάνδρου εἶδος, καὶ ἐν σφενδόνῃ δακτυλίου γένοιτο. καὶ
ἐν τῷ ἄθῳ εἰς κολοσσὸν ἀλεξάνδρῳ σχηματισθέντι. διὸ καὶ ὁ ἰδίως ποιὸς ἐκ νηπίου
μέχρι γήρως, ὁ αὐτὸς διαμένειν λέγεται τοῦ ποσοῦ ἀμειβομένου. τοῦ δὲ εἴδους μένοντος,
καὶ αὖ πάλιν τοῦ αὐτοῦ μένοντος μεγέθους, οὐδὲν κωλύει μεταβάλλειν κατὰ ποιότητα.
ὥσπερ ὁ οἶνος τραπεὶς, μετέβαλε μὲν κατὰ ποιὸν, μένει δὲ τῷ ποσῷ αὐτός. ἀλλὰ τίς ὁ γνώ-
μων, καὶ πῶς τὸ τετράγωνον αὔξεται τῇ περιθέσει τοῦ γνώμονος, σαφέστερον διὰ γραμμάτων
[illegible] ῥητέον. τετράγωνον σχῆμα καλεῖται, τὸ τὰς τέσσαρας πλευράς τε καὶ γωνίας
ἴσας ἀλλήλαις ἔχον. οἷον τὸ α.β.γ.δ. τούτου διάμετρος ἤχθω, ἡ β.γ. καὶ εἰλήφθω
ἐπὶ τῆς αβ, τυχὸν σημεῖον τὸ ε. καὶ διὰ τοῦ ε, ὁποτέρᾳ τῶν αγ βδ παράλληλος ἤχθω,
ἡ ε.ζ. διὰ τοῦ κ. ὅπερ ἐστὶ κοινὴ τομὴ τῆς τε διαμέτρου, καὶ ἀχθείσης παραλλήλου ὁποτέρᾳ
τῶν αβ γδ παράλληλος ἤχθω, ἡ ηθ. καὶ ἐν τῷ αβγδ χωρίῳ, τεσσάρων ὄντων τετρα-
πλεύρων τὰ κα, καὶ τὸ βκ, καὶ κγ, καὶ κδ, τετράγωνά ἐστι. τὰ δὲ ακ, κδ, ἅπερ παρα-
πληρώματα λέγεται ὡς συμπληροῦντα τὸ ὅλον σχῆμα μετὰ τῶν δύο τετραγώνων, προηγου-
μένην ἔχοντα τάξιν διὰ τὸν ὁρισμόν. ταῦτα οὖν τὰ δύο παραπληρώματα, τὸ ακ, κδ,
μεθ' ἑνὸς τετραγώνου ὁποιουοῦν, γνώμων καλείσθω. καὶ ὅτι τῷ γ στοιχείῳ ἔοικε τὸ σχῆμα.

καὶ ὅτι γνωματεύεται καὶ κρίνεται τὸ λοιπόν. καὶ ὁ ἀφαιρούμενος, ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς καταλειπόμενον ποιεῖ. καὶ προστιθέμενος, ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς. ἐπεὶ οὖν τετράγωνόν ἐστι τὸ καταλειπόμενον, ἀφαιρουμένου τοῦ γνώμονος, δῆλον ὅτι κἂν τετραγώνῳ γνώμων προστεθῇ, τετράγωνον γίνεται τὸ ὅλον. τοῦ μὲν ποιοῦ, μένοντος. τετράγωνον γάρ. τοῦ δὲ ποσοῦ, ἀμειβομένου. μεῖζον γὰρ ἢ ἐλάττονος. τοῦ οὖν μήτε αὐξομένου μήτε μειουμένου τὸ τετράγωνον ἀλλοίωσιν ὑπομένει, δῆλον ὡς ἄλλαι μὲν κινήσεις αἱ κατὰ αὔξησιν καὶ μείωσιν, ἄλλαι δὲ αἱ κατὰ ἀλλοίωσιν. ἐπὰν δὲ περὶ τῶν ἄλλων μεταβολῶν ὡς ἐναργῶς διαφερουσῶν ἀλλήλων, ἐπὶ τῆς ἀλλοιώσεως ἀπορίαν εἶναί φησι. μήποτε τὸ ἀλλοιούμενον καὶ κατὰ ἄλλην πάντως κινεῖται κίνησιν, ἀλλ' ὅτι τῷ ἀλλοιοῦσθαι. ὥσπερ λέγουσί τινες κατὰ τόπον κινεῖσθαι. οὗτοι δὲ δημοκρίτῳ κατακολουθοῦντες, καὶ περὶ τῶν ἄλλων ἀμφισβητοῦσι κινήσεων. μὴ δέοι πάντας εἰς φορὰν ἀνάγειν. ἀλλ' εἰ καὶ συγχωρηθείη οἱ τοῦτο λέγοντες, καὶ τῇ τῶν μορίων μεταβάσει ποιεῖν τὴν ἀλλοίωσιν. καὶ οὕτως ἄλλη μὲν ἡ κατὰ τόπον μεταβολὴ μορίων οὖσα, ἄλλη δὲ ἡ ἀλλοίωσις τῷ ὅλῳ ὑπάρχουσα μὴ μεταβαίνοντι κατὰ τόπον. καὶ ἐπὶ τῆς αὐξήσεως δὲ ὁμοίως. ἄλλη μὲν ἡ τῶν μορίων φορά, ἄλλη δὲ ἡ τοῦ αὐξανομένου κίνησις οὐδαμοῦ μεταβαίνοντος. εἰ οὖν ἄλλο μὲν ἡ φορά, ἄλλο δὲ τὸ ἀλλοιούμενον καὶ αὐξόμενον καὶ μειούμενον, οὐκ ἂν εἴη ταὐτὸν ἡ φορὰ ταῖς τρισὶ ταῖς κινήσεσιν. εἰ δ' ὅμως δὲ καὶ ἐπὶ τῆς ἀλλοιώσεως τὴν μάλιστα τὴν ἀπορίαν φασί. διότι ταῖς ἄλλαις κινήσεσιν εἴωθε παρακολουθεῖν ἡ ἀλλοίωσις. καὶ γὰρ τοῖς αὐξομένοις καὶ μειουμένοις, καὶ τοῖς γινομένοις καὶ φθειρομένοις, ἀλλοιουμένων γὰρ τινῶν, ἢ καθ' ἕκαστον τούτων, καὶ τὰ κατὰ τόπον κινούμενα, καὶ ἠρεμοῦντα θερμαίνεται καὶ ψύχεται καὶ χρώματι ἴσχει διαφοράς. εἰ οὖν ἄλλῃ τινὶ κινήσει, καὶ ἄλλαις ἀεὶ παρακολουθεῖ ἡ ἀλλοίωσις, οὐκ ἂν εἴη φανερὰ καθ' ἑαυτὴν κίνησις ἀφωρισμένη. καὶ οἱ περὶ δημόκριτον δέ, καὶ ὕστερον οἱ περὶ ἐπίκουρον τὰς ἀτόμους ἀπαθεῖς καὶ ἀποίους ὑποτιθέμενοι τῶν ἄλλων ποιοτήτων χωρίς, παρὰ τὰ σχήματα καὶ τὴν ποιὰν αὐτῶν σύνθεσιν, ἐπιγίνεσθαι λέγουσι τὰς ἄλλας ποιότητας. τάς τε ἁπλᾶς οἷον θερμότητας καὶ λευκότητας, καὶ τὰς κατὰ χρώματα καὶ τοὺς χυμούς. εἰ δὲ ἐν τῇ ποιᾷ συνθέσει τῶν ἀτόμων ταῦτα καὶ ἡ ἀλλοίωσις αὕτη, κατὰ ταῦτα ἂν εἴη μεταβολή. ἡ δὲ ποιὰ σύνθεσις αὐτῶν καὶ μετάθεσις καὶ τάξις, οὐκ ἀπαλλαχθεῖσιν ἐκ τῆς φορᾶς καὶ τῆς τοπικῆς κινήσεως ἐστίν. ὥστε ἡ

παντὸς τοῦ παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον αὐτοῦ ἢ παραλληλογράμμων.




ἓν ὁποιονοῦν σὺν τοῖς δυσὶ παραπληρώμασι, γνώμων καλείσθω.

ἀλλοίωσις τῇ φθορᾷ ἡ αὐτή. ἢ παρακολουθοῦσα ταύτῃ καὶ ταύτης τι. ἀλλ' εἴπερ φησὶν ἡ ἀλλοίωσις τῶν ἄλλων κινήσεών τινι ἡ αὐτὴ ἦν, ἔδει τὸ ἀλλοιούμενον καὶ ἐκείνην πάντως κινεῖσθαι τὴν κίνησιν. νῦν δὲ πολλὰ ὁρῶμεν λευκαινόμενα καὶ θερμαινόμενα, καὶ κατὰ τὰς ἄλλας ποιότητας μεταβάλλοντα. καὶ μήτε αὐξόμενα μήτε μειούμενα ἢ γινόμενα ἢ φθειρόμενα. μηδὲ μέντοι κατὰ τόπον μεταβάλλοντα. ὁμοίως δὲ καὶ τὸ κινούμενον ἄλλην κίνησιν. οἷον τὸ αὐξόμενον. εἰ τῇ αὐξήσει ἡ αὐτή ἐστιν. εὐθέως καὶ ἀλλοιοῦσθαι. πολλὰ δὲ αὐξόμενα, οὐκ ἀλλοιοῦται, ὥσπερ τὸ τῇ παραθέσει τοῦ γνώμονος τὸ αὐξόμενον τετράγωνον. καὶ θαυμαστῶς περὶ τῆς αὐξήσεως εὗρεν ἐπισυμβᾶσαν ὅλως ἀλλοίωσιν. περὶ γὰρ τῶν ἄλλων κινήσεων, δύσκολον τὸ μὴ συνυπάρχειν αὐτήν. καὶ γὰρ τὸ κατὰ τόπον κινούμενον θερμαίνεται. καὶ τῇ θερμότητι χρῶμα διάφορον ἀκολουθεῖ. καὶ τὸ γινόμενον καὶ φθειρόμενον, ἀλλοιούμενά τινα, ἐκείνας κινεῖται τὰς κινήσεις. διόπερ περὶ τῆς ἀλλοιώσεως ἡ ἀπορία χώραν ἔσχε. κἂν συνυπάρχῃ δὲ, ἡ αὐτή ἐστιν ἐκείναις. ἀλλ' ὅτι μὲν ἄλλη παρὰ τὴν διαφοράν ἐστιν ἡ ἀλλοίωσις, δέδεικται, εἴπερ καὶ κατὰ τοὺς τὴν αὐτὴν τιθέντας, ἄλλου μέν ἐστιν ἡ φορὰ τῶν μορίων ὥς φασιν, ἄλλου δὲ ἡ ἀλλοίωσις τοῦ ὅλου. ὅτι δὲ ἄλλη παρὰ τὴν αὔξησιν, ἱκανῶς ἐκ τῆς τετραγώνου αὐξήσεως δέδεικται. καὶ γενέσεως δὲ καὶ φθορᾶς, ἑτέρα ἡ ἀλλοίωσις. καὶ γὰρ αὕτη μὲν σωζομένου τοῦ ὑποκειμένου, ἐστὶ γένεσις καὶ φθορά. ἡ μὲν, ἐκ μὴ ὄντος εἰς ὄν. ἡ δὲ, ἐξ ὄντος εἰς μὴ ὄν. τούτῳ δὲ καὶ τῶν ἄλλων ἡ γένεσις καὶ ἡ φθορὰ διαφέρουσιν. ὅλως δὲ, ὡς διαφέρουσιν αἱ τέσσαρες κατηγορίαι ἀλλήλων, ἥ τε οὐσία, καὶ τὸ ποσὸν, καὶ τὸ ποιὸν, καὶ τὸ ποῦ, τούτῳ καὶ κατ' αὐτὰς τὰς κινήσεις διοίσουσιν. » ἔστι δὲ ἁπλῶς » μὲν κίνησις ἠρεμία ἐναντία. ἕως τοῦ, ἀλλοιοῦται γὰρ εἰς τοὐναντίον τοῦ ποιοῦ, μεταβολῆς » γινομένης. ὥσπερ τινὰς τῶν κατηγοριῶν, οὕτως καὶ τὴν κίνησιν ἐπιδεκτικὴν τοῦ ἐναντίου θεασάμενος, ἁπλῶς μὲν τῇ κινήσει τὴν ἠρεμίαν εἶναί φησιν ἐναντίαν. οὐ τὴν στάσιν καλῶν, ἀλλὰ τῆς κινήσεως ἀπόφασιν καὶ στέρησιν. ταῖς δὲ καθ' ἕκαστα κινήσεσι, τὰς καθ' ἕκαστα κινήσεις. γενέσει μὲν, φθοράν. αὐξήσει δὲ, μείωσιν. αὗται γὰρ κατὰ συζυγίαν ἀντίθεσιν προκχήσαν. ἡ δὲ κατὰ τόπον μία εἶναι δοκοῦσα, τί ἂν ἔχοι ἐναντίον. ἢ καθόσον μὲν κίνησις κατὰ τόπον, τὴν κατὰ τόπον ἠρεμίαν. καθόσον δὲ ἐναντιώσεις εἰσὶ τόπου καὶ, ἐναντίον γὰρ τὸ ἄνω τῷ κάτω, κατὰ τοῦτο καὶ κίνησις εὑρεθήσεται ἐναντία περὶ τὸν ἐναντίον τόπον. οἷον ἡ περὶ τὸ κάτω κίνησις, τῇ περὶ τὸ ἄνω κινήσει. τῇ δὲ λοιπῇ τῶν κινήσεων, τουτέστι τῇ ἀλλοιώσει, κατὰ τὸ ποιὸν οὔσῃ κινήσει, οὐ ῥᾴδιόν φησιν ἀποδοῦναι τὸ ἐναντίον. οὐχ ὅτι οὐκ εἰσὶ ποιότητες ἐναντίαι καὶ κινήσεις κατ' αὐτάς, ἀλλ' ὅτι οὐκ ἔστι συνήθης ἡ κατὰ τοῦτο τῆς ἀντιθέσεως ὁμόνοια. πλὴν ὅτι οὐδὲ κίνησις οὕτως ἐναργής ἡ κατὰ ἀλλοίωσιν, ὡς ἡ κατὰ τόπον. μικρὸν δὲ ἐπιστήσασι φανεῖται. διὸ καὶ ἀναλογίαν μετάγειν ἀξιοῖ τὰ περὶ τῆς τοπικῆς κινήσεως εἰρημένα, περὶ τὴν κατὰ τὸ ποιόν. δεῖ ἀντιτιθέναι τῇ κατὰ τὸ ποιὸν κινήσει, τήν τε ἐν τῷ αὐτῷ ποιῷ τῷ μεταβάλλοντι ἠρεμίαν, καὶ τὴν ἐκ τοῦ ἐναντίου ποιοῦ εἰς τοῦτο μεταβολήν. οἷον τῇ τοῦ λευκοῦ εἰς μέλαν, ἣν μελάνσιν καλοῦσι. καὶ τὴν ἐκ τοῦ μέλανος εἰς τὸ λευκὸν, ἣν λεύκανσιν ὀνομάζουσι. μὴ μέντοι ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν κινήσει τὴν ἐν τῷ λευκῷ ἠρεμίαν ἀντιθετέον. ἀφίστασθαι γὰρ δεῖ τοῦ ἐναντίου, ἀλλ' οὐκ εἰς τὸ αὐτὸ καταντᾶν. ἠρεμίαν δὲ ἀκουστέον φησὶν Ἰάμβλιχος, τὴν τῆς κινήσεως στέρησιν. ἣν κατὰ σχετικῶς ἐναντίαν

ἐκάλεσε. ζητοῦσι δὲ καὶ περὶ τῆς γενέσεως καὶ φθορᾶς, τίνας αὐταῖς ἠρεμίας ἀντιθετέον. καὶ
λέγουσι τῇ μὲν γενέσει, τὸ τῷ μὴ εἶναι. οὕτως δὲ καὶ τῇ μὲν αὐξήσει, ἡ κατὰ τὸ ἀτελὲς, ἠρεμία ἀν-
τίκειται. τῇ δὲ μειώσει, ἡ κατὰ τὸ τέλειον. πλωτῖνος δὲ ἐφίστησιν, ὅτι ἀποφάσεως δεῖ τὸ
κινεῖσθαι ἡ ἠρεμία. διότι οὐδὲ ἐν γένει ἄλλο ἡ ἠρεμία. εἶτα ζητήσας, διατί οὐχὶ καὶ κίνη-
σις ἀπόφασις τῆς στάσεως, ὅτι φησὶν ἡ ἐκεῖ φέρουσα κίνησις δεῖ. καὶ ὅτι ἡ κίνησις, ἔργον.
καὶ ἔστιν ἄλλο τι ἐνεργοῦν καὶ οἷον ὠθοῦν τὸ ὑποκείμενον, καὶ μυρία ἐργαζόμενον αὐτὸ καὶ φθεῖρον. ἡ δὲ
ἠρεμία ἑκάστου, οὐδέν ἐστιν ἄλλο παρ' αὐτό. σημαίνει δὲ μόνον, ὅτι κίνησιν οὐκ ἔχει. περὶ δὲ
τῶν νοητῶν φησὶν, οὐχ ὁ αὐτὸς τρόπος τῷ θατέρου μὴ ἀναιρεῖν τὸ ἕτερον, ἀλλ' ἄμφω ἅμα
εἶναι, καὶ τὴν κίνησιν καὶ τὴν στάσιν. ὁ μέντοι βοηθὸς τὴν ἀντικειμένην ἠρεμίαν τῇ κατὰ ποιό-
τητα κινήσει, οὐκ ἀξιοῖ ποιότητα εἶναι. οὐδὲ τὴν κατὰ μέγεθος. οὐδὲ τὴν κατὰ τόπον. ἐναρ-
γὲς λέγων τοῦτο εἶναι ἐκ τῆς κατὰ τόπον. ἄλογον γὰρ τὴν ἐν τόπῳ ἠρέμησιν, τόπον κα-
λεῖν. οὐ μέντοι οὐδὲ ἀποφάσεις τῶν κατ' αὐτὰς κινήσεων τὰς ἠρεμίας εἶναι συγχω-
ρεῖ, ἀλλὰ σχέσιν εἶναι τὴν ἠρέμησιν καὶ τὴν κίνησιν, πρός τε τὸν χρόνον καὶ τὸ εἶδος, καθὸ αὐ-
τὸ ἔχει κινούμενόν τι ἢ ἠρεμοῦν. ἔοικε γὰρ φησὶν ὁ χρόνος φύσιν ἔχειν, ὥστε ἀεὶ ῥεῖν, καὶ
ἄλλως ἑτεροῖα μεθίστασθαι. διὰ δὴ τοῦτο συμπαρήκει πάσῃ κινήσει καὶ ἠρεμίᾳ. ἡ μὲν οὖν κί-
νησις, ὁμοίως ἔχει πρός τε τὸν χρόνον καὶ τὸν τόπον. οἷον, περὶ μὲν φορᾶς ἔχειν φησὶν ὁμοίως,
διὰ τὸ καθ' ἕτερον καὶ ἕτερον ἀεὶ τοῦτο γίνεσθαι. ἡ δὲ ἠρέμησις, ἐναντίως φησὶ πρὸς
τὸν τόπον ἔχει καὶ τὸν χρόνον. ὁ μὲν χρόνος, οὐδέποτε ὁ αὐτός. ὁ δὲ τόπος ἀεὶ ὁ αὐτός. ὥστε
ἡ σχέσις αὐτῶν ἡ πρός τε τὸν χρόνον καὶ τὸν τόπον διάφορος οὖσα, ὅτε μὲν, ἠρεμία. ὅτε δὲ, κίνη-
σις ἐστίν. καὶ ἐν τοῖς ἄλλοις φησὶ κατὰ τὰ αὐτὰ ἐροῦμεν. ὅταν μὲν ἡ αὐτὴ σχέσις ἡ τοῦ ὑποκει-
μένου, πρός τε τὸν χρόνον καὶ τὸ μέγεθος, κίνησιν εἶναι. ὅταν δὲ ἐναντία τῇ κατὰ μέγεθος,
ἠρεμίαν. τὸ δὲ αὐτὸ καὶ περὶ ἀλλοιώσεως ῥητέον. ὥστε δῆλον φησὶν ἐκ τούτων, ὡς οὐκ ἄλλο
τὸ μέγεθος οὐδὲ ἄλλο. καὶ οἱ τρόποι οὖν τῶν ἠρεμήσεων, οἱ αὐτοὶ οἵπερ καὶ τῶν κινήσεων.
καθ' ἕκαστον γὰρ τῆς σχέσεως αὐτῆς ἔδει ἔχειν ἐναντιότητος, ἐπί τε τῶν κινουμένων καὶ
ἠρεμούντων. ταῦτα μὲν οὖν ὁ βοηθὸς κατὰ τὴν ἑαυτοῦ ἀγχίνοιαν διακρίνει. μήπο-
τε δὲ οὔτε ἡ κίνησις οὔτε ἡ ἠρεμία σχέσις πρὸς χρόνον ἐστίν. εἴπερ ἀριθμὸς κινήσε-
ως ὁ χρόνος. ἀλλὰ ζητεῖν οἶμαι ἄξιον διατί τῇ κινήσει μὴ τὴν στάσιν ἀντιτιθέμενοι ὡς
εἶδος εἴδει. τῶν γὰρ παρὰ πλάτωνι τοῦ ὄντος γενῶν, καὶ ἡ κίνησίς ἐστι καὶ ἡ στάσις. ὥσ-
περ κίνησίς ἐστι καθάπερ τῶν εἰρημένων γενῶν, οὕτως εἶναι δεῖ πάντως καὶ στάσιν
τὴν ἀντικειμένην τῇ κινήσει. οὐ γὰρ μόνον γίνεται ἡ οὐσία καὶ φθείρεται, ἀλλὰ καὶ
ἐστί. καὶ τοῦτο κατὰ τὴν στάσιν ἔχει. καὶ κατὰ τόπον οὐ κινεῖται μόνον τὰ σώματα,
ἀλλὰ καὶ ἕστηκε. καὶ ἡ στάσις αὕτη, οὐκ ἀπόφασίς ἐστι τῆς κινήσεως. οὐ γὰρ κατὰ ἀπό-
φασιν κινήσεως ἕστηκε πρὸς τὸ κέντρον ἡ γῆ. ὥσπερ οὐδὲ ὁ οὐρανὸς κατὰ ἀπόφασιν
στάσεως κύκλῳ κινεῖται. ἔχει γὰρ καὶ ἡ στάσις οὐκ ἐλάττονα τῆς κινήσεως ἐνέργει-
αν, ὡς δηλοῖ τὸ μηδὲ αὐτὴν εἶναι τὴν κίνησιν, στάσεως τελέως ἀναιρεθείσης. ἀλλ'
εἴπερ ἄρα τὴν ἠρεμίαν ταύτην τὴν ὡς ἀπόφασιν τῆς κινήσεως θετέον ἐν τοῖς βίᾳ ἀκι-
νητίζουσιν. ὥσπερ ἐν τῇ βώλῳ τῇ βιαίᾳ ἐν ἀέρι ἰσχομένῃ. αὕτη γὰρ οὐκέτι στάσις,
ἀλλ' ἀπόφασις πάντως κινήσεως καὶ ἠρεμία. διόπερ ταύτην ὡς στέρησιν ἀντιθέντες τῇ

Universitäts- und
Landesbibliothek Düsseldorf

κινήσει, καλῶς ἀντιθήσομεν. ὡς μὲν γὰρ ἐναντίον εἶδος τὴν στάσιν οἶμαι, ἀντιθετέον ταύτην τε πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν. τάχα δὲ καὶ τὴν ἐν αὐτῇ τῇ κινήσει. καὶ ἐκεῖνο δὲ μὴ παρῶμεν ζητεῖν. διατί μεταβολῆς οὔσης ἐν τοῖς εἰρημένοις πράγμασι καθ᾿ ἑκάστων τῶν κατηγοριῶν, κατὰ τέσσαρας μόνας ἀφώρισαν τὰς μεταβολάς. οὐσίαν. ποσόν. ποιόν. ἔτι τὸ ποῦ. καὶ γὰρ οὐ μόνον κατὰ τὸ ποτὲ μεταβάλλομεν, ὅταν ἐκ νέων παλαιοί, καὶ ἐκ παίδων γινώμεθα πρεσβῦται. κατὰ δὲ τὸ πρός τι, ὅταν ἐξ ἐχθρῶν φίλοι. καὶ ἐξ ἀριστερῶν, δεξιοί. καὶ ἐξ ἀνίσων ἴσοι. κατὰ δὲ τὸ ποιεῖν καὶ πάσχειν, πρόδηλον ὅπως εἰς τὰ ἐναντία ἑκάστοτε μεθιστάμεθα. ἔτι τὸ κεῖσθαι δὲ πολλὰς λαμβάνει μεταβολάς. μαρτυρεῖ δὲ ἡ κλίνη. καὶ μάλιστα δὲ ἐπὶ τῶν ἐμπλαζομένων, ἔχοντες πολλάκις δακτύλιον, κἄπειτα μὴ ἔχοντες, μεταβαλλόμενοι εἰς τὸ μὴ ἔχειν, ἢ ἄλλα ἀντὶ τούτων ἔχειν. διατί οὖν ἀπὸ μὲν τοῦ κάτω τόπου εἰς τὸν ἄνω, καὶ ἀπὸ λευκοῦ χρώματος εἰς μέλαν διὰ κινήσεως μεταβαίνομεν. ἐπὶ δὲ τῶν εἰρημένων μεταβολῶν, οὐκ ἔτι κινήσεως τίθεμεν εἴδη. οὐδὲ γὰρ ἐρεῖ τις οἶμαι ὑπὸ τὰ τέσσαρα εἴδη τῶν μεταβολῶν, καὶ τὰ εἰρημένα ἀνάγεσθαι. ἐπεὶ οὕτω γε καὶ τὰς κατηγορίας τὰς ἕξ, ὑπὸ τὰς τέσσαρας ἀνάξει. ὃ δὲ μάλιστα θαυμάζω, πῶς κατὰ τὴν τόπον κίνησιν ἰδόντες, κατὰ χρόνον οὐκ ἐθεάσαντο. εἰ μὴ ἄρα ὁ κίνησιν χρόνου τιθείς, καὶ χρόνον χρόνου λέγειν ἀναγκασθήσεται, πῶς δὲ αὐτὸς ἀριστοτέλης ἐν τῷ τρίτῳ τῆς φυσικῆς σαφῶς εἰπών, ὥστε κινήσεως καὶ μεταβολῆς ἐστὶν εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος. ὅμως καὶ ἐν τῷ πέμπτῳ τῆς πραγματείας ἐκείνης, καὶ ἐνταῦθα οὐκέτι δέκα, ἀλλὰ τέσσαρα εἴδη κινήσεως ἀπαριθμεῖται. ἐπειδὴ δὲ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκροάσεως, καὶ τὰς αἰτίας ἀποδιδόναι προτίθεται ὁ ἀριστοτέλης δι᾿ ἃς ἐν τοῖς ἄλλοις γένεσιν οὔ φησιν εἶναι κίνησιν ἢ μεταβολήν. πρὸς μὲν ἐκείνους τοὺς ἀπολογισμοὺς ἐπειράθην τι λέγειν, ἐν ταῖς εἰς ἐκείνην τὴν πραγματείαν σχολαῖς. ἵνα μὴ τολμηρόν τις ἡγῆται μελίαν, ἄκραντα γαρυόμενον διὸς πρὸς ὄρνιχα θεῖον κατὰ πίνδαρον, ἐθέλω καὶ τὸν ἄριστον τῶν αὐτοῦ μαθητῶν τὸν θεόφραστον ἐπιδεῖξαι ταῖς ἐμαῖς ἐπινοίαις συμψηφιζόμενον. λέγει γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν φυσικῶν, οὕτως. περὶ δὲ κινήσεως, τὸν μὲν κοινὸν καὶ καθόλου λόγον, οὐ χαλεπὸν ἀποδοῦναι καὶ εἰπεῖν, ὡς ἐνέργειά τις ἐστὶν ἀτελὴς τοῦ δυναμένου ὄντος. ἢ τοιούτου καθ᾿ ἕκαστον γένος τῶν κατηγοριῶν. ὃ καὶ διὰ τῆς αἰσθήσεως σχεδὸν φαίνεται. ἀλλὰ ταῦτα μὲν κατὰ τῆς πολλῆς συνηθείας τῶν φιλοσόφων ἠπορημένα, ἀκριβεστέρας καὶ παρ᾿ ἡμῶν καὶ παρ᾿ ἄλλων τυγχανέτω ζητήσεως. μήποτε δὲ οὐδὲ ἀπορίας ἄξια τυγχάνωσιν. οἱ μέντοι στωϊκοὶ διαφέρειν ἀλλήλων ἡγοῦνται, τὸ μένειν. τὸ ἠρεμεῖν. τὸ ἡσυχάζειν. τὸ ἀκινητεῖν. τὸ ἀκινητίζειν. μένειν γὰρ ἂν ῥηθῆναι πρὸς ἕνα χρόνον. ἀλλὰ πρὸς τὸν ἐνεστῶτα καὶ μέλλοντα, μένειν γὰρ λέγομεν, τὸ κατέχον τὸν αὐτὸν χρόνον καὶ καθεξῆς. τὸ γὰρ κατεσχηκός, μεμενηκέναι λεγόμενον. χρώμεθα δέ φασι καὶ ἐπὶ τοῦ μὴ κινεῖσθαι τῷ μένειν. ὥστε καταχρηστικῶς εἰπεῖν ἄν τινα καὶ ἐπὶ τῶν ἀσωμάτων τῷ μένειν, ἀντὶ τοῦ μὴ κινεῖσθαι. κοινὸν μὲν οὖν πάντων σωμάτων τὸ μένειν. τὸ δὲ ἠρεμεῖν φησί, μήποτε ζώων ἐστὶ συμπτώματα. λίθος γὰρ οὐκ ἠρεμεῖ. ζώων δὲ καὶ τὸ ἡσυχάζειν. τὸ ἀκινητεῖν καὶ ἀκινητίζειν, ἐπὶ τῶν σωμάτων λέγεται, ἃ πέφυκε μὴ κινεῖσθαι. ἀντὶ τοῦ μὴ κινεῖσθαι δὲ λέγεται.

Universitäts- und
Landesbibliothek Düsseldorf

## ΠΕΡΙ ΤΟΥ ΕΧΕΙΝ

Τὸ ἔχειν, κατὰ πολλοὺς τρόπους λέγεται. ἕως τοῦ τέλους. Καὶ περὶ τοῦ ἔχειν ἀκολούθως διδάσκει. διότι περὶ τῶν γενῶν διαλεγόμενος, τὸ γένος τοῦτο συντόμως παρῆλθε. τελευταῖον δὲ τέθεικεν αὐτό, διότι καὶ ἐν ταῖς λέξεσι τελευταίαν αὐτῷ τάξιν αὐτὸς ἀποδέδωκε, τοῦ ἀρχύτου μετὰ τὰς τέσσαρας τὰς πρώτας, τὴν τοῦ ἔχειν κατηγορίαν τάξαντος, ὥσπερ εἴρηται. λέγει δὲ ὁμώνυμον εἶναι τὸ ἔχειν, καὶ ὀκταχῶς λέγεσθαι. ὅ, τε γὰρ ποιὸς καθὸ ποιόν, εἴτε κατὰ ἕξιν, εἴτε κατὰ διάθεσιν, εἴτε κατὰ σχῆμα καὶ χρῶμα. καὶ σχῆμα δηλονότι, καὶ πάθος ὁ ποιωμένος ἂν ἔχειν λέγεται τὴν ποιότητα, καθ᾽ ἣν ἐστὶ ποιός. καὶ ὁ πεποσωμένος λέγεται ἔχειν ποσότητα. οἷον τετράπηχυ μέγεθος. καὶ ὀκτὼ φησὶν ἰάμβλιχος ἔχων οἰκέτας, λέγεται ὑπὸ ὀκτὼ δουλεύεσθαι. μήποτε δὲ τοῦ ζώου τοῦτό ἐστι σημαινόμενον, τοῦ ὡς κτήματος. λεγόμεθα δὲ καὶ τὰ περὶ τὸ σῶμα ὅλον ἔχειν, ὥσπερ ἱμάτιον. οὐκ ἀναγκαίου ὄντος τοῦ, περὶ τὸ σῶμα ὑποβεβλῆσθαι. τὸ μεῖζον δὲ πάντως, ἵνα οὕτως ἀληθεύηται ὡς ἐπὶ ὅλου. ἔτι λέγεται ἔχειν, τὸ ἐν μορίῳ. ὡς περιδέραιον. ἢ ψέλλιον. ἢ δακτύλιον. ἔτι δὲ καὶ τὰ μόρια ἔχειν λεγόμεθα, ὡς χεῖρας καὶ πόδας. καὶ τὸ ἐν ἀγγείῳ ἀποκεῖσθαί τι. ἔχειν γὰρ λέγεται ὁ μέδιμνος τοὺς πυρούς, καὶ τὸ κεράμιον τὸν οἶνον. καὶ τὸ ὡς κτῆμα δέ, ὡς ἀγρὸν ἔχειν λεγόμεθα καὶ οἰκίαν. τὸ δὲ γυναῖκα ἔχειν ἄνδρα, ἀλλοτριώτερον εἶναί φαμεν. καὶ ὅτι ἀντιστρέφει. οὐδὲν γὰρ μᾶλλον ἔχει, ἢ ἔχεται. καὶ ὅτι τὸ ἔχειν τοῦτο, συνοικεῖν ἐστί. καὶ γὰρ καὶ ὅμηρος τάττει τὸ ἔχειν, ἀντὶ τοῦ οἰκεῖν. Οἳ δ᾽ εἶχον κοίλην λακεδαίμονα. οἳ δ᾽ εἶχον ἀρκαδίην. ἴσως δέ φησι καὶ ἄλλοι τρόποι εὑρεθεῖεν τοῦ ἔχειν. καὶ γὰρ αὐτὸς ἐν τοῖς μετὰ τὰ φυσικά, ἐζήτησε. καὶ ἄλλων αὐτοῦ ἐμνήσθην ἐν τῇ τοῦ ἔχειν κατηγορίᾳ. ζητητέον δέ, πῶς τὴν διαίρεσιν τοῦ ἔχειν, ὡς πολλαχῶς λεγομένου πεποίηται. εἰ γὰρ τοῦτο, πῶς γένος τὸ ἔχειν. καὶ εἰ μὲν γὰρ δι᾽ ἣν αἰτίαν ἐπὶ τῷ τέλει ταύτην τὴν διαίρεσιν παραδέδωκε, καὶ οὐκ ἐν τῇ τοῦ γένους τάξει. ἀλλ᾽ ὅτι μὲν οὐχὶ τὸ ὡς γένος ἀλλὰ τὸ νῦν διαιρούμενον, δῆλον. ἐκεῖνο μὲν γὰρ παράδειγμα ἐπῆγε τὸ ὑποδεδέσθαι. τὸ ὡπλίσθαι. τὰ δὲ ἐν ταύτῃ, τῇ αὐτῇ κατηγορίᾳ ὑποτάσσεται. ἢ καὶ τὰ ἐχόμενα. ὁ γὰρ ποιότητα ἔχων, ποιός ἐστι. καὶ ὁ ποσότητα ἔχων, ποσός. ἔτι δὲ οὐδὲ ἄνευ συμπλοκῆς ταῦτα ἔχειν ἐστί. τὸ γὰρ ἐν μορίῳ ἔχειν, ἢ μόριον ἔχειν, μετὰ συμπλοκῆς. καὶ τὸ περιέχειν δέ, ἀψύχως. ὅθεν οὐχ ὡς ὁ μέδιμνος καὶ ὁ κύαθος περιέχει, ἀλλὰ τὸ κυρίως ἔχειν ἄνευ συμπλοκῆς. ὥσπερ τὸ ὡπλίσθαι, τὸ ὑποδεδέσθαι. ἅπερ ἐν τῷ τρίτῳ καὶ τετάρτῳ τόπῳ μόνῳ περιέχεται. οἷς οὖν εἴωθε τὸ ἔχειν συντάττεσθαι, καὶ ὧν κατηγορεῖσθαι, ταῦτα ἀπηριθμήσατο. ἀλλ᾽ οὐ τὴν τοῦ γένους λεγομένου ἔχειν διαίρεσιν ἐποιήσατο. εἰ μὴ ἄρα καὶ τὸ λελευκάνθαι, καὶ τὸ μεμελάνθαι, οὐδὲν κωλύει δι᾽ ἑνὸς ὀνόματος εἰπεῖν. καὶ τὰ ἄλλα δὲ κἂν μὴ κεῖται ὁμοίως. μήποτε οὖν ἐπιμνησθῆναι τῶν προτέρων εἰρημένων κάλλιον. ὅτι ἡ τοῦ ἔχειν κατηγορία, σώματος ὢν ἐπικτήτου περὶ ζώου σῶμα παράθεσις, ἐμφαίνουσα τὴν τοῦ ἔχοντος ἐπικράτησιν. τούτῳ γὰρ τῷ λόγῳ καὶ τὰ ἀσώματα ἀποκριθήσεται, ὅτι τῶν σωμάτων τά τε ἀθροιστά, καὶ τὰ ἀπεσπασμένα, καὶ τὰ τοῖς ἀψύχοις περικείμενα. ἀκολούθως δὲ οὐκ ἐν ἐκείνῳ τῷ τόπῳ, ἀλλ᾽ ἐπὶ τέλει τὴν διαίρεσιν πεποίηκεν. οὐ διατελεῖ δέ φησιν ἰάμβλιχος

εἰς εἴδη τὸ κατὰ τὸ γένος ἔχειν. διότι ὁμοίως ἂν αὐτὸς διεῖλε τῷ ποιεῖν, καὶ τῷ πάσχειν, καὶ τῷ κεῖσθαι. εἰ δὴ γὰρ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν, εἰ τύχοι, τὰ ὡς ἔμψυχα ἢ ὡς ἄψυχα ποιοῦντα ἢ πάσχοντα. καὶ τούτων τὰ μὲν, κοινά. τὰ δὲ, ὡς ἅμα τε καὶ καθ' ἕκαστα ποιήματα καὶ παθήματα. καὶ ἐπὶ τοῦ κεῖσθαι διαφορὰς ὁμοίως ἂν λέγοιτο. ἢ γὰρ ἐμψύχων εἶναι κεῖται, ἢ ἀψύχων. καὶ κατὰ τὰς εἰρημένας διαφοράς. καὶ τὸ ἔχειν οὖν τὸν αὐτὸν τρόπον ἐκείνοις, ὡς γένος εἰς εἴδη διαιρεῖται. ἣν διαίρεσιν φησὶν, οὔτε ἐπ' ἐκείνων, οὔτε ἐπὶ τούτου ἐποιήσατο τῷ μηδὲν ἔχειν περὶ τούτων. ταῦτα τοῦ Ἰαμβλίχου λέγοντος, θαυμάζω πῶς τῶν ἑτέρων γενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, τοῦ τε ποιεῖν φημὶ, καὶ τοῦ πάσχειν, καὶ τοῦ κεῖσθαι, καὶ τοῦ ἔχειν, τὰς αὐτὰς εἶναί φησι διαφοράς, καὶ τὰ αὐτὰ εἴδη. ὅλως γὰρ οὐ τῶν γενῶν, ἀλλὰ τῶν μετεχόντων. καὶ οὐδὲ καθὸ μετέχουσιν ἐστὶν ἡ τοιαύτη διαίρεσις. ἄμεινον οὖν ἐν τοῖς περὶ τοῦ ὡς γένους ἔχειν διετάξατο αὐτός, οἰκείας αὐτοῦ διαφορὰς παραδοῦναι ἐπιχειρήσας. ἐν οἷς ἔλεγε τῶν ἐχομένων τὰ μὲν, κόσμον περιέχεσθαι. τὰ δὲ, ἀμυντήρια εἶναι. τὰ δὲ, σκεπάσματα. καὶ ἢ περὶ ὅλον τὸ σῶμα ὡς ἱμάτιον, ἢ περὶ μέρος ὡς ὑπόδημα. καὶ ὅσα ἄλλα τοιαῦτα ἐν ἐκείνοις φησί. καὶ ἡμεῖς ἐκ τῶν παρ' αὐτοῦ ῥηθέντων συνηγάγομεν τὴν διαίρεσιν. ἀλλὰ τίνες μὲν αἱ κατ' εἴδη τῶν γενῶν τούτων διαιρέσεις, ζητεῖν ἄξιον. τὰ δὲ ἐφεξῆς, τῷ Ἰαμβλίχῳ παραγραπτέον. μήποτε γάρ φησι τὸ κατὰ πλείους τρόπους λέγεσθαι τὸ ἔχειν, οὐκ ἔστι τὸ πολλαχῶς καὶ ὁμωνύμως. πάντας γάρ φησιν οὓς κατέλεξε τρόπους, ὡς ὑπὸ γένος τὸ ἔχειν τάττονται. ἀλλ' ἐπὶ τῆς ποιότητος εἶπεν. ἔστι δὲ ἡ ποιότης τῶν πολλαχῶς λεγομένων. οὐχ ὁμώνυμον αὐτὴν λέγων. οὕτω καὶ τοῦ ἔχειν ὡς γένους διαφοράς τινας ἐκτίθεται. ἔχει μὲν γὰρ καὶ τὸ ποιὸν ἔχον, τὸ ποιόν. καὶ τὸ ποσὸν, τὸ ποσόν. πλὴν διαφόρως καὶ οὐ κατὰ τὸν αὐτὸν τρόπον. ὁρῶν οὖν καὶ ἐν τῷ ἔχειν οὔσαν διαφορὰν, οὐδὲ ταύτην ἀδιόριστον ἡγήσατο δεῖν παρελθεῖν, ἅμα δεικνὺς καὶ ὅτι γένος ἐστὶν, εἴ γε κατὰ πλειόνων καὶ διαφερόντων κατηγορεῖται. ἔδει καὶ γὰρ ἁπλοῦν τι εἶναι. ὂν δὲ τοιοῦτον, οὐκ ἂν ἦν γένος τῶν ἐχόντων. οὔτε δὲ τὰ ἀσώματα παραληπτέον, οὔτε τὰ μόρια. τὸ γὰρ λευκὸν καὶ δίπηχυ καὶ πόδας ἔχειν, ἔν τι μετὰ τῶν ἐχομένων ἐστίν. ἀλλ' οὔτε ὁ υἱὸς ἢ ὁ ἀγρὸς πρὸς τῷ ἀψύχῳ περικείμενος κρατεῖται. διό γε ἄρχοντας τὸ ἔχειν, κράτησιν εἶναι τῶν ἐπικτητῶν ἔστιν ἣ φησὶν, ἐν οἷς περὶ τοῦ ὡς γένος ἀκριβολογεῖται. ἀλλ' ἐπειδὴ μέχρι καὶ ὅθεν προῆλθεν Ἰάμβλιχος, καὶ ἐγὼ κατὰ πάντα τὸν ἀγῶνα εὐχόμενος τοῖς τῶν λόγων ἐφόροις, τούτων τε ἀκριβεστέραν ἐνδοῦναι κατανόησιν, καὶ ταύτην ἐφόδιον ἡμῖν πρὸς τὰς ὑψηλοτέρας θεωρίας χαρίσασθαι. καὶ σχολὴν παρασχεῖν, ἀπὸ τῶν ἐν τῷ βίῳ περιελκόντων.

ΤΕΛΟΣ:~

Τὸ Σιμπλικίου ὑπόμνημα εἰς τὰς δέκα κατηγορίας τοῦ Ἀριστοτέλους ἐντυπωθὲν, πέρας εἴληφεν ἤδη σὺν θεῷ ἐν Ἐνετίαις. ἀναλώμασι μὲν, τοῦ εὐγενοῦς καὶ δοκίμου ἀνδρὸς, κυρίου Νικολάου Βλαστοῦ τοῦ Κρητός. πόνῳ δὲ καὶ δεξιότητι, Ζαχαρίου Καλλιέργου τοῦ Κρητός. τῶν λογίων ἀνδρῶν χάριν, καὶ λόγων ἑλληνικῶν ἐφιεμένων. Ἔτει τῷ ἀπὸ τῆς Χριστοῦ γεννήσεως, χιλιοστῷ, τετρακοσιοστῷ, ἐνενηκοστῷ ἐνάτῳ.

Πυανεψιῶνος, πέμπτῃ φθίνοντος:~

LANDES-
UND STADT-
BIBLIOTHEK
DÜSSELDORF

Universitäts- und
Landesbibliothek Düsseldorf

# Η ΤΩΝ ΤΕΤΡΑΔΙΩΝ ΙΘΥΤΗΣ ΑΥΤΗ ΣΟΙ ΦΙΛΕ.

Α
σιμπλικίου
σχόλια εἰς τὰς
στοτέλους
ταίοις τῶν
τὸ γνήσιον

Β
τὸ δὲ, τὸ
διὸ ὁμωνύμων
μετέχει δὲ
ὁμωνύμων

Γ
διὰ τοῦτο
συμβεβηκὸς
στορούμενον
ἀλλὰ καὶ

Δ
τῶν ζώων
ὅσα κατάφασιν
τῶν γενῶν
σῶμα καὶ τὸ

Ε
ἔπι δέσπου
αὐτόθεν
βαίνει μὲν
τελευτῆς τὸ.

Ζ
ὥστε καὶ τὴν
τὰ ἀλλὰ ὑπάρχει.
οὔτε κατὰ τὴν
πη ποσοῦ

Η
γίνονται
σας διαφορὰς
τὴν συνέχειαν
οὐδὲν ἐστὶν

Θ
ἓν καὶ ὁμοειδὲς
προσελθεῖν
δὲ βουληθεὶς
ὑπὸ τοῦ πάσχειν

Ι
οἰστικὰ
συμμετρία
τελείως φησὶ
τινῶν καὶ

Κ
καὶ ἡ περὶ αὐτοῦ
ἀποδίδωσι
τὰ τοιαῦτα
ἐν τῷ πρός τι

Λ
τὸ ὁ παραδεξάμενος
τὸ εἶναι
λευκότητος
συμπτωμάτων

Μ
καὶ ἀπειρίας
οὖν αὐτῶν
λέγομεν
ποιοτήτων

Ν
ἄρτιον
καὶ αὐτῶν
δὲ οὐ καθ᾽
μαλ᾽ ἡ κίνησις

Ξ
ἀντὶ τῆς
ἐναντία
προχωροῦντα
τὸ μᾶλλον

Ο
ἀλλ᾽ ἴσως
τὴν ἔτι
ρους ἐς
στῶσα, πλήν

Π
κίνησιν
τοῖς ζώοις
τὰ μέν, ποιη.
ὥσπερ αἱ

Ρ
περὶ τοῦ που
χρόνου. κ
ἀλλήλοις
θος δὲ, ἄλλο

Σ
καὶ ὅμως
τὰ τοῦ τόπου
διό, οὐ δὲ
σου. καὶ τὸ

Τ
μὲν ἤμεν
μὲν ἐναντία
τῷ χρώματι
ἐναντίων

Υ
ἀλλοτρίων
εἰ δὲ τοῦτο
ἀληθὲς ἐστι
ἄπειρ καὶ

Φ
τὴν μίαν καὶ
γὰρ ἐν τοῖς
καὶ ὅτι γνω.

ΤΕΛΟΣ.

LANDES- UND STADT- BIBLIOTHEK DÜSSELDORF

Universitäts- und Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf




Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf



Universitäts- und
Landesbibliothek Düsseldorf